CLASSICORUM AUCTORUM

E VATICANIS CODICIBUS EDITORUM

TOMUS IX.

CLASSICORUM AUCTORUM

E VATICANIS CODICIBUS EDITORUM

TOMUS IX.

PROCOPII GAZAEI COMMENTARIUS IN SALOMONIS PROVERBIA. EIUSDEM CATENA VETERUM PATRUM IN CANTICUM CANTICORUM. SCHOLIA MINORA IN EVANGELIA LUCAE ET IOHANNIS. HERENNII COMMENTARIUS AD METAPHYSICA ARISTOTELIS. GEORGII PHRANTZAE CHRONICON PARVUM RERUM SUI TEMPORIS.

CURANTE

A. M.

ROMAE
TYPIS COLLEGII URBANI
M·DCCC·XXXVII·

EDITORIS PRAEFATIO.

Procopii gazaei rhetoris, Iustiniano imperante clari, stilus elegans, christiana pietas, vis exegetica non vulgaris, sic me iamdiu delectarunt, ut quicquid ab eo scriptum in exemplaribus priscis nactus sum, id dignissimum honore typorum semper iudicaverim. Itaque praeter ea, quae in superioribus tomis edidi, nunc eius pulcherrimum et χριστιανικώτατον ad Salomonis Proverbia commentarium divulgare non dubitavi, quem in codice vaticano servatum, et manu Matthaei Devarii graeci hominis emendatum, vidisse me recte memineram, et huic collectioni locupletandae addixeram. Interpretandi genus, quod Procopius sequitur, morale est et mysticum, quale scilicet Ecclesiae patres ab apostolicis usque temporibus semper adamarunt: quo super pio argumento praeclare prae ceteris disputavit Nicolaus Antonellus in praefatione ad commentarium S. Athanasii in psalmos. Reapse hic est praecipuus sacrorum Bibliorum fructus, quem sola rudis grammatica numquam parit. Sed operae pretium est, Procopii saltem exordium latine heic adscribere. " Quum „ hunc sibi finem proposuerit Salomon, ut cupiditatem nostram erga ineffabilem divini typi pulchritu- „ dinem incendat, id est erga Dei et patris filium uni- „ cum atque verbum, substantialem videlicet eius vim „ atque sapientiam, quae ab apparentibus rebus, tam-

„ quam symbolis, praedicatur; proverbiorum coloribus describit formositatem eius; quô animae adhuc „ pueriliter insipientis affectum erga verum amatorem „ permoveat, adhibitis rerum sensibiliter delectabilium „ argumentis; moresque informat, perturbationes animi sanat, quae agenda sint demonstrat; praeponitque operi titulum: proverbia Salomonis, filii David, qui Hierosolymis regnavit. „

Et in hoc quidem ad Proverbia commentario, ore ingenioque proprio Procopius loquitur. Sed enim et altera mihi occurrit in vaticanis codicibus Procopii eiusdem nomine inscripta lucubratio, scilicet priscorum patrum in Canticum Salomonis Catena, quam ipse retento singulorum auctorum sermone atque nominibus, sapiente delectu contexuit. Horum etsi aliquos in propriis operum editionibus, non sine multa varietate, legimus; alii tamen, et quidem praeclari et uberes, in impressis libris desiderantur. Et quidem a magni Origenis hexaplari textu varietates novas antiquarum editionum nanciscimur Ergo utile existimavi pretiosas has patrum reliquias in ecclesiae conspectu exponere, gravesque et optimos divino Cantico interpretes suscitare: cuius quidem genuinus et unicus sensus his Gregorii nysseni verbis totus exprimitur: ἐν ἐπιθαλαμίου τρόπῳ τὴν πρὸς τὸ θεῖον ἀνάκρασιν τῆς ἀνθρωπίνης ἐξηγεῖται ψυχῆς: *sub epithalamii specie coniunctionem humanae animae cum Deo auctor describit.* Nilus quoque eleganter et vere Salomonis Canticon ornatissimae matronae assimilat, cuius quidem muliebris mundus imprudentes spectatores fortasse percellit, mos tamen eiusdem familiari consuetudine cognitus, et latens in animo pudicitia, longe

aliam rei naturam esse demonstrat. Hic est christianus divini libri sensus; quem Iudaeorum quoque sapientes indubitanter fatentur, duce praesertim Eben-Esra. Qui vero, praesertim ex recentioribus, aliter sentiunt, hi partim inani abrepti curiositate vagantur, partim vero impietate subversi in praeceps runnt.

Antiquam ad priora duo evangelia scholiorum syllogem in volumine sexto edidi; quam nunc demum ex eodem codice sumptam, ad reliqua quoque evangelia continuandam curavi. Sic igitur spero, me novum sacris criticis adiumentum suppeditasse, quo et praecipuas circa evangelicos textus controversias facilius solvant, et diversorum patrum exegeticam doctrinam ad singula prope divini textus verba in promptu habeant. Etsi enim auctorum nomina in his scholiis minime apparent, quominus ipsa tamen ex variis decerpta sint interpretibus, nullus dubito. Et sane sententiam anonymam p. 448. huius voluminis scriptam, deinde in tomo decimo cognoscemus pertinere ad Cyrillum alexandrinum, cuius desideratos in Lucam commentarios ex inedito Nicetae thesauro eductos nosmet vulgabimus.

Quartam tomi huius veluti partem constituit Herennii philosophi perdoctus et peracutus ad Aristotelis metaphysica commentarius, quem mihi codex idem exhibuit, qui Catenam in Canticum Salomonis. Fallitur in primis Ioh. Fabricius, qui Bibl. gr. lib. III. cap. 6. inter Aristotelis interpretes Herennium Philonem numerat, *Philonem* inquam pro *philosophum*, ut in codicibus vaticanis rectius scribitur. Rursus falli Fabricium video lib. IV. 4. et lib. V. 7., dum

hunc confundit cum Philone Byblio grammatico, qui sub Domitiano Caesare cognoscebatur; quum Herennius reapse noster multo iunior sit, quippe qui Iamblichum atque Porphyrium auctores laudat; et quidem eum adseclam fuisse christiani dogmatis, ex nono capitulo comperire, ut arbitror, licet. Porro et locus Herennii, quem ex codice ms. Dionysius Petavius tract. de Deo lib. III. cap. 4. olim protulerat, in editione nostra p. 537. nunc obviam fit.

Hactenus meum volumen minutis litterarum formis totum impressi, ut exuberantem materiae copiam arctiore quo fieri potuit spatio concluderem. Postremo Georgii Phrantzae parvum, sed plenum magnis eventibus, Chronicon collocavi, ab anno MCCCCI. ad MCCCCLXXVII. pertingens; parvum, inquam, prae maiore illo, quod latine primum inter byzantinarum rerum scriptores, deinde graece in urbe Vindobona divulgatum fuit. Sed de Phrantzae scripto, infra, suo in loco, aptius disserui.

ΠΡΟΚΟΠΙΟΥ ΧΡΙΣΤΙΑΝΟΥ

ΕΡΜΗΝΕΙΑ

ΕΙΣ ΤΑΣ ΠΑΡΟΙΜΙΑΣ.

CAP. I.

Σκοπὸν ἔχων Σαλομὼν, τὸν πόθον ἡμῶν κινῆσαι πρός τὸ ἄφραστον κάλλος τοῦ θείου χαρακτῆρος, ὅς ἐστιν ὁ τοῦ θεοῦ καὶ πατρὸς μονογενὴς υἱὸς καὶ λόγος, ἡ ἐνυπόστατος αὐτοῦ δύναμις καὶ σοφία, ἡ διὰ τῶν φαινομένων ὡς διά συμβόλων κηρυττομένη, ὑπογράφει τε παροιμιωδῶς τὰς χάριτας αὐτῆς, ἐπισπώμενος εἰσαγωγικῶς πρὸς τὸν ὄντως ἐραστὴν τὴν ἔφεσιν τοῦ ἔτι τὴν κατὰ ψυχὴν ἡλικίαν νηπιάζοντος, διὰ τῶν ἡμῖν ποθεινῶν ἐν αἰσθήσει τερπνῶν, καὶ ἠθικῶς παιδεύει, παθῶν ἐπανορθούμενος, καὶ τὰ πρακτέα ὑποτιθεὶς, καὶ φησὶν ὡς ἐν ἐπιγραφῇ.

Παροιμίαι Σολομῶντος υἱοῦ Δαβὶδ, ὃς ἐβασίλευσεν ἐν Ἱε- v. 1.
ρουσαλήμ.

Λόγοι παρὰ πᾶσαν τὴν ὁδὸν τῆς παρούσης ζωῆς χρησιμεύοντες, οὐ μόνον ὡς τὸ ἦθος ἡμῶν πρός τὸ ἀγαθὸν ῥυθμίζοντες, ἀλλὰ καὶ ὡς ἐνάγοντες ἡμᾶς πρὸς τὴν ἐν πνεύματι φυσικὴν θεωρίαν τῶν ὄντων· ὧν ταῖς ἐπιφανείαις, ὡς ἐν ἐσόπτροις καὶ αἰνίγμασι, τὰ τοῦ θεοῦ ἱστοροῦνται θελήματα, ὡς λόγοι τῶν ὄντων, καθ' οὓς τὰ πάντα γεγόνασιν· τὰ γαρ ἀόρατα αὐτοῦ ἀπό κτίσεως κόσμου, τοῖς ποιήμασι νοούμενα, καθορᾶται· οἷα τῶν τοιούτων λόγων, ἕτερον μὲν κατὰ τὸ φαινόμενον, ἕτερον δὲ κατὰ τὸ νοούμενον ἀπαγγελλόντων· εἰσὶ δὲ οὗτοι οἱ λόγοι τοῦ δι' αὐτῶν ἐπιχειροῦντος εἰρηνεύειν ἡμᾶς πρός τε ἑαυτοὺς καὶ ἀγγέλους καὶ τὸν θεὸν, Σολομῶντος· εἰρηνικὸς γαρ ὁ Σολομὼν ἑρμηνεύεται, λαβόντος παρὰ θεοῦ σοφίαν καὶ φρόνησιν,

1. καὶ ὄντος υἱοῦ Δαβὶδ, τοῦ ἐν Ἱερουσαλὴμ βασιλεύσαντος· ἐξετέθησαν δ' οὗτοι παρ' αὐτοῦ, ὥστε τὸν τούτους μανθάνοντα

2. Γνῶναι σοφίαν, καὶ παιδείαν, νοῆσαί τε λόγυς φρονήσεως.

Ἐπιγνῶναι σοφίαν τὲ, ἥ τις ἐστὶν ἐπιστήμη θείων τὲ καὶ ἀνθρωπίνων πραγμάτων· καὶ παιδείαν, ἥ τις ἐστὶν ὠφέλιμος τῇ ψυχῇ ἀγωγὴ, ἐπιπόνως πολλάκις τῶν ἀπὸ κακίας κηλίδων αὐτὴν ἐκκαθαίρουσα· καὶ καταλαβεῖν λόγους τὸ συνοῖσον ὑποτιθεμένους.

3. Δέξασθαί τε ςροφὰς λόγων καὶ λύσεις αἰνιγμάτων, νοῆσαί τε δικαιοσύνην ἀληθῆ, καὶ κρίμα κατευθύνειν.

Ὑποδέξασθαί τε καὶ χωρῆσαι τὰς τούτων ἀπὸ νοὸς κατ' ἐνέργειαν συγκαταβάσεις εἰς αἴσθησιν· καὶ αὖθις τὰς ἀπὸ αἰσθήσεως κατ' ἐπιστήμην ἀναγωγὰς πρὸς νοῦν, καὶ μὴ τῇ ψευδεῖ δικαιοσύνῃ ἰυδαϊκῶς ἀρκεῖσθαι, ἣ μόνοις περιγράφεται τοῖς συμβόλοις, ἀλλὰ μαθεῖν τὴν διὰ τούτων δηλουμένην ἀληθῆ δικαιοσύνην, τὴν δι' ὀρθῆς κρίσεως ἀποκληροῦσαν ἑκάστῃ τῶν τριῶν τῆς ψυχῆς δυνάμεων, τὸ πρόσφορον· ἥ τις ἐςὶν ἕξις ἀπονεμητικὴ τοῦ κατ' ἀξίαν· καὶ τὴν τοιαύτην κρίσιν ἀπευθύνειν πρὸς ἀρετὴν, διὰ πράξεως ἀπαρεγκλίτου πρὸς τα κατ' ἔλλειψιν τῆς ἀρετῆς καὶ ὑπερβολὴν πάθη.

4. Ἵνα δῷ ἀκάκοις πανουργίαν, παιδὶ δὲ νέῳ αἴσθησίν τε καὶ ἔννοιαν.

Ὅπως ὁ τούτυς τοὺς λόγους ἐκτεθεικὼς Σολομὼν παράσχῃ δι' αὐτῶν, τοῖς μὲν ἀποβαλλομένοις πᾶσαν κακίαν, πάντων τῶν καλῶν ἐμμέθοδον ἐνέργειαν· τῷ δὲ πνευματικὴν ἡλικίαν ἀρτιγενεῖ καὶ νεάζοντι, διάκρισιν μὲν ἀρετῆς καὶ κακίας· ἐνθύμησιν δὲ τῶν τ' ἐπ' ἀρετῇ κατὰ τὸ μέλλον ἐπάθλων καὶ τῶν ἐπὶ κακίας τιμωριῶν.

5. Τῶνδε γὰρ ἀκούσας σοφὸς, σοφώτερος ἔσται.

Τούτων γὰρ τῶν παροιμιακῶν λόγων ἀκούσας τὶς εἰς σοφίαν προκόπτων, εἰς τὴν ταύτης φθάσει τελειοτέραν ἕξιν· πολλὰ μὲν περὶ τῶν θείων παιδευθεὶς δογμάτων· πολλὰ δὲ καὶ περὶ

τῶν ἀνθρωπίνων ἐκδιδασκόμενος παρ᾽ αὐτοῦ παροιμιώδης λό- I.
γου. ποικίλως μὲν ἐξορίζοντος τὴν κακίαν, πολυτρόπως δὲ πά-
λιν τὴν ἀρετὴν ἀντεισάγοντος.

Ὁ δὲ νοήμων, κυβέρνησιν κτήσεται.

Ὁ δ᾽ ἐντεῦθεν τὴν ἀληθῆ τῶν ὄντων ἐπιστήμην λαβὼν, καὶ εἰδὼς ὅπως τὴν ἄστατον φορὰν τῶν ἀνθρωπίνων πραγμάτων περαιοῦσθαι προσήκει, οὔτε γὰρ τὰ δεξιὰ καὶ περισπούδαστα τοῖς πολλοῖς, οὔτε τὰ περιστατικὰ καὶ κατηφῆ τῶν πραγμάτων τὸ ἑστὼς καὶ μόνιμον ἔχει καὶ ἐν αὐτῇ τε τῇ γαλήνῃ τοῦ βίου, πάντων αὐτῷ κατὰ ῥοῦν προϊόντων, τὰς μεταβολὰς ἐκδέξεται· καὶ οὐχ ὡς ἀθανάτοις ἐπαναπαύσεται τοῖς παροῦσι· καὶ ἐν τῇ σκυθρωποτέρᾳ καταστάσει οὐκ ἀπελπίσει ἑαυτὸν, καὶ τῇ πολλῇ λύπῃ καταποθῇ· ἀλλὰ τὸν νοῦν ἔχων ὥσπέρ τινα κυβερνήτην, οἱονεὶ πλοίȣ τῆς σαρκὸς κυριαρχοῦντα, καὶ ἐμπείρως τοὺς λογισμοὺς, οἷον οἴακας περιστρέφοντα, τάτε ὡς ἔκ τινος ζάλης βιαίας τοῦ σαρκικοῦ φρονήματος ἐπεγειρόμενα τῶν παθῶν κυματήσει γενναίως· καὶ ὑψηλὸς τούτοις καὶ δυσπρόσιτος ἔσεται, μηδαμῶς τῆς ἀπὸ τούτων ἅλμης ἀναπιμπλάμενος· καὶ ὅμοιος μὲν ἀεὶ αὐτὸς ἑαυτῷ διαμένει, μήτ᾽ ἐπαιρόμενος ἐν ταῖς εὐθυμίαις, μήτε καταπίπτων ἐν ταῖς συμφοραῖς.

Νοήσει τὲ παραβολὰν, καὶ σκοτεινὸν λόγον, ῥήσεις τὲ σο- 6.
φῶν, καὶ αἰνίγματα.

Γνώσεται δὲ λόγους παντοδαποὺς· παραβολικόν τε δηλοῦντα διὰ τοῦ γινωσκομένου ὁμοίου, τὸ ἀγνοούμενον ὅμοιον· καὶ ἀσαφῆ, τήν τε ῥῆσιν καὶ τὴν διάνοιαν· ῥήματά τε σοφῶν βάθος ἔχοντα γνώσεως, κἂν νομίζωνται τοῖς πολλοῖς ἔχειν πρόχειρον τὴν κατάληψιν· καὶ αἰνίγματα, μετ᾽ ἐπικρύψεως σημαίνοντα τὴν ἀλήθειαν· ὧν παροιμιωδῶν λόγων ἀρκτέον λοιπόν.

Ἀρχὴ σοφίας, φόβος κυρίου. 7.

Ἀρχὴ τῆς δι᾽ ἡμᾶς εἰς ἑπτὰ πνευματικὰ χαρίσματα διαιρημένης σοφίας, τελευταία μὲν ἐκ θεοῦ, προσεχὴς δὲ ἡμῖν, ὁ τοῦ κυρίȣ φόβος ἐςίν· ὃς διὰ τὰς τῶν αἰωνίων κολάσεων ἀπει-

I. λάς, πάντων τε ποιεῖται τῶν κακῶν ἀποχὴν, καὶ τῆς καταφρονήσεως ἀπελαύνει τὴν πώρωσιν· ἀφ' οὗ κινούμενοι, ὁδῷ τινι καὶ τάξει προβαίνοντες, διά τε ἰσχύος, ἤ τις διὰ τὴν ἐλπίδα τῶν ἐπαγγελιῶν, πρόθυμός ἐστιν ὁρμὴ καὶ κίνησις πρὸς ἐνέργειαν τῶν ἐντολῶν, καὶ τῆς ἀσθενείας ἐξέλασις· καὶ βουλῆς, ἤ τις ὑπάρχει ἕξις τῆς διακρίσεως· καθ' ἣν σὺν λόγῳ τὰς θείας πράττομεν ἐντολὰς, καὶ τῶν κρειττόνων διαιροῦμεν τὰ χείρονα· καὶ ἐπιστήμης, ἥ τις ἐστὶ τῆς μὲν ἀσεβείας, καὶ τῆς ἐπ' αὐτῆς τῶν ἔργων φαυλότητος, διωγμός· τῶν δὲ κατ' ἀρετὴν τῆς πράξεως τρόπον ἄπτωτος εἴδησις, καθ' οὓς πράττοντες, τῆς ὀρθῆς τοῦ λόγου κρίσεως, οὐδαμῶς διαπίπτομεν· καὶ γνώσεως, ἥ τις ἐστὶ τῶν ἐν ταῖς ἐντολαῖς λόγων περίληψις, καθ' οὓς οἱ τρόποι τῶν ἀρετῶν συνεστήκασιν, ἀναβαίνομεν πρὸς τῆς σοφίας τὸ τέλος, τὴν σύνεσιν, ἤ τις οὐδὲν ἀφαίρεσίς τε τῆς ἀνεπιγνωμοσύνης, καὶ συγκατάθεσις πρὸς τοὺς τρόπους καὶ τοὺς λόγους τῶν ἀρετῶν· ἢ κυριώτερον εἰπεῖν, μεταποίησις καθ' ἣν πρὸς τοὺς τρόπους καὶ τοὺς λόγους τῶν ἐντολῶν, σύγκρασις γίνεται τῶν φυσικῶν δυνάμεων, τηρουσῶν τὰς ἐντολὰς οὐ διὰ τὰς ἀπειλὰς, ἢ διὰ τὰς ἐπαγγελίας, ἀλλὰ διὰ τὸ οἰκειοῦσθαι ταύτας, ὡς παναγάθους κατὰ διάθεσιν.

Σύνεσις δὲ ἀγαθὴ πᾶσι τοῖς ποιοῦσιν αὐτήν.

Ἤ τις σύνεσις καλὴ πάντως ἐστὶν ἅπασι τοῖς ταύτην ἐργαζομένοις, ἐν τῷ πράττειν ἐπιστημόνως πάντα τὰ θεῖα θελήματα, μεθ' ἣν προσεχεῖς αὐτῷ γινόμεθα τῷ Θεῷ· τῆς πρὸς αὐτὸν ἑνώσεως μόνην μεσιτεύουσαν ἔχοντες τὴν ἡμῶν μὲν πόρρω, Θεῷ δὲ προσεχῆ σοφίαν, ἤ τις ὑπάρχει τῆς μὲν ἀνοίας ἀναίρεσις, τῶν δὲ ἐν ταῖς ἐντολαῖς πνευματικωτέρων λόγων ἀνάλυσις πρὸς τὴν αἰτίαν καὶ ἕνωσις· ἀναβαίνοντες γὰρ διὰ τῶν εἰρημένων ἑτέρων πνευματικῶν χαρισμάτων, συναγόμεθα πρὸς τὴν θείαν τῆς σοφίας μονάδα· τὴν γεγενημένην δι' ἡμᾶς τῶν χαρισμάτων διαίρεσιν, πρὸς τὴν τούτων αἰτίαν συνάγοντες· ἐπειδὴ ἡ σοφία μονάς ἐστι, τὰς ἐξ αὐτῆς διαφόροις ἀρεταῖς ἀτμή-

τως ἐνθεωρουμένη· καὶ μονοειδῶς ταῖς τῶν ὅλων ἀρετῶν ἐνερ- I.
γείαις ἐπινοουμένη, ταῖς πρὸς αὐτὴν τῶν ἐξ αὐτῆς ἀρετῶν ἀποκαταστάσεσιν, ὅταν ἡμεῖς δι' οὓς κατὰ τὴν ἑκάστης ἀρετῆς γένεσιν ποιεῖται τὴν πρόοδον, ἀνατατικῶς δι' ἑκάστης πρὸς αὐτὴν συναγόμεθα· καθ' ἣν σοφίαν, ἀγνώστως τοὺς ἐν θεῷ κατὰ τὸ θεμιτὸν ἀνθρώποις ἁπλῶς μυούμενοι, τῶν ὄντων λόγους πολλοὺς καὶ ποικίλους ἐκ τῆς τῶν αἰσθητῶν τὲ καὶ νοητῶν οὐσιῶν σοφῆς θεωρίας, εὐσεβεῖς περὶ τῆς ὅλης ἀληθείας ἀποδώσωμεν λόγους· ποικίλως ταύτης ὡς ἔκ τινος βλαστανούσης πηγῆς τῆς καρδίας, τοῖς ἄλλοις ἀνθρώποις προσφέροντες.

Εὐσέβεια δὲ εἰς θεὸν, ἀρχὴ αἰσθήσεως.

Εὐσέβεια δὲ εἰς θεὸν, ἥ ἐστι τὸ τοῦτον ἔργοις δικαιοσύνης τιμᾷν, ἀρχὴ ὑπάρχει αἰσθήσεως, ἥ ἐστι κατὰ πεῖραν γνῶσις τῶν παναγάθων θελημάτων αὐτοῦ· ἡ γὰρ πρᾶξις τῶν τοῦ θεοῦ ἐντολῶν, ἐπίβασις τῆς θεωρίας τούτων ἐστὶν, ἱστορηθέντων μὲν λόγῳ διδασκαλικῷ πρὸ τῆς πράξεως, γνωσθέντων δὲ μετὰ τὴν πρᾶξιν κατ' αὐτοψίαν τελεώτερον.

Σοφίαν δὲ καὶ παιδείαν ἀσεβεῖς ἐξουθενήσουσιν.

Σοφίαν δὲ, ἣ φωτισμός ἐστι τῆς ψυχῆς, καὶ κατὰ θεὸν τελείωσις· καὶ παιδείαν, ἣ ὠφέλιμος ταύτῃ ἐστιν ἀγωγὴ, ἐπιπόνως τῶν ἀπὸ κακίας κηλίδων αὐτὴν ἐκκαθαίρουσα, οἱ ἔργοις δικαιοσύνης μὴ τιμῶντες θεὸν, ἀντ' οὐδενὸς λογίσονται, ὡς μήτε φόβῳ τῶν τούτου ἀπειλῶν, μήτε πόθῳ τῶν τούτου ἐπαγγελιῶν, μήτε ἀγάπῃ τῇ πρὸς αὐτὸν, ὡς κατὰ χάριν πατέρα, τὰ τοῖς δούλοις, ἢ τοῖς μισθίοις, ἢ τοῖς υἱοῖς ἁρμόζοντα ἐργαζόμενοι.

Ἄκουε υἱὲ νόμους πατρός σου· καὶ μὴ ἀπώσῃ θεσμοὺς μη- 8.
τρός σου· στέφανον γὰρ χαρίτων δέξῃ τῇ κορυφῇ, καὶ κλοιὸν 9.
χρύσεον περὶ σῷ τραχήλῳ.

Σὺ δὲ ὁ ἔτι νηπιάζων τὴν κατὰ ψυχὴν ἡλικίαν, μάνθανε τὰς ἐντολὰς τοῦ κατὰ χάριν σε υἱοθετοῦντος θεοῦ, διὰ τῆς πρὸς βοήθειαν τῇ φύσει δοθείσης γραφῆς· καὶ τοὺς τεθέντας ἐν

I. τῇ τῶν ὅλων φύσει, παρὰ τῆς πάντων αἰτίας σοφίας λόγους,
οἱ αὐτά εἰσι τὰ θεῖα θελήματα, καθ᾽ ἃ τὰ πάντα γεγόνασι,
μὴ ἀποπέμψῃ, παραχρώμενος ταῖς πρὸς ἐνέργειαν τοῦ καλοῦ δο-
θείσαις σοι δυνάμεσιν· ἐπαγγέλλομαι γάρ σοι, ἐκ τοῦ μανθά-
νειν σε καὶ τηρεῖν τὰς θείας ἐντολὰς, προσγενήσεσθαι τῷ μὲν
ἡγεμόνι σου νῷ, οἷά τινα στέφανον ἐκ διαφόρων πεπλεγμένον
ἀνθέων, τὴν ἐκ τῆς τῶν ὅλων φύσεως συλλεγομένην γνῶσιν τῆς
ἀληθείας· τῷ δὲ συνάπτοντι τὴν αἴσθησιν τῷ νοΐ, ὡς ὁ τρά-
χηλος τῇ κεφαλῇ τὸ λοιπὸν σῶμα λογιστικῷ σου, οἷά τινα κό-
σμον περιτραχήλιον τὸν λαμπρὸν κατ᾽ ἀρετὴν βίον.

10. Υἱὲ, μή σε πλανήσωσιν ἄνδρες ἀσεβεῖς· μηδὲ βουληθῇς, ἐὰν
11. παρακαλέσωσί σε λέγοντες· ἐλθὲ μεθ᾽ ἡμῶν, κοινώνησον αἵματος·
12. κρύψωμεν δὲ εἰς γῆν ἄνδρα δίκαιον, ἀδίκως· καταπίωμεν δὲ αὐ-
τὸν ὥσπερ ᾅδης ζῶντα, καὶ ἄρωμεν αὐτοῦ τὴν μνήμην ἀπὸ τῆς
13. γῆς· τὴν κτῆσιν αὐτοῦ τὴν πολυτελῆ καταλαβώμεθα· πλήσωμεν
14. δὲ οἴκους ἡμετέρους σκύλων· τὸν δὲ σὸν κλῆρον βάλε ἐν ἡμῖν, κοι-
νὸν δὲ βαλάντιον κτησώμεθα πάντες, καὶ μαρσύπιον ἓν γενηθή-
τω ἡμῖν.

Μὴ οὖν ἀπατηθῇς τεκνίον ὑπ᾽ ἀνθρώπων δι᾽ ἔργων ἀγα-
θῶν θεὸν μὴ τιμώντων, καὶ πορευθῇς ἐς μιαιφόνων χορόν· μηδὲ
κατανεύσῃς ὅλως, ἐάν σοι μετὰ παρακλήσεως εἴπωσι, δεῦρο μεθ᾽
ἡμῶν συμμετάλαβε αἵματος φονικοῦ· καλύψωμεν ὑπὸ γῆν, πα-
ρὰ πάντα δίκαιον λόγον, ἄνθρωπον ἀμέμπτως πολιτευόμενον,
καὶ πρὸ τοῦ ἐπελθεῖν τούτῳ τὸν θάνατον φυσικῶς, ἡμεῖς ὥσ-
περ τις ᾅδης αὐτὸν ἀφανίσωμεν· καὶ λήθης βυθοῖς τὸ τούτου
παραδῶμεν μνημόσυνον· τήν τε πολύτιμον αὐτοῦ περιουσίαν κα-
τάσχωμεν, καὶ τὰς οἰκίας ἡμῶν λαφύρων πληρώσωμεν· τὴν δ᾽ ἐκ
τῶν τοιούτων μερίδα σου, κοινὴν ἡμῖν ποίησον, καὶ ἓν κιβώ-
τιον ἕξομεν ἅπαντες· καὶ χρημάτων δοχεῖον ἓν γενέσθω ἡμῖν.

15. Υἱέ μου, μὴ πορευθῇς ἐν ὁδῷ μετ᾽ αὐτῶν· ἔκκλινον δὲ τὸν
16. πόδα σου ἐκ τῶν τρίβων αὐτῶν· οἱ γὰρ πόδες αὐτῶν εἰς κα-
17. κίαν τρέχουσι, καὶ ταχινοί εἰσι τοῦ ἐκχέαι αἷμα· οὐ γὰρ ἀδί-

κως ἐντείνεται δίκτυα πτερωτοῖς· αὐτοὶ γὰρ οἱ φόνῳ μετέχον- I.
τες, θησαυρίζουσιν ἑαυτοῖς κακά· ἡ δὲ καταστροφὴ ἀνδρῶν πα- 18.
ρανόμων, κακή· αὗται αἱ ὁδοὶ εἰσι πάντων συντελούντων τὰ ἀνό- 19.
μα· τῇ γὰρ ἀσεβείᾳ τὴν ἑαυτῶν ψυχὴν ἀφαιροῦνται.

Τέκνον μου πνευματικὸν, μὴ συνυπαχθῇς τοῖς τοιούτοις ἀν-
δράσιν, ἐν τῇ οἷά τινι ὁδῷ φερούσῃ ἐπ' ἀπώλειαν, πονηρᾷ συμ-
βουλίᾳ αὐτῶν· μετάθες σου δὲ τὴν ἐπιθυμίαν ἀπὸ τῶν προσ-
δοποιουσῶν σοι τὴν ἁμαρτίαν πονηρῶν συμβουλιῶν αὐτῶν· τὸ γὰρ
ἐπιθυμητικὸν αὐτῶν, καὶ τὸ θυμικὸν, οἷά τινες πόδες, ὀξύρ-
ῥοπον πρὸς κακίαν ποιοῦνται τὴν κίνησιν· ὅθεν οὗτοι καὶ τα-
χεῖς εἰς τὸ ἐργάσασθαι φονον ὑπάρχουσι· μεταθεῖναι δέ σου
τὴν ἐπιθυμίαν ἀπὸ τῶν πονηρῶν συμβουλιῶν παραινῶ· ὅτι περ
τοῖς δυναμένοις μὲν διὰ νοὸς καὶ λόγου, ὡς διά τινων πτε-
ρύγων, τὰ γήϊνα κατὰ γνῶσιν καὶ ἀρετὴν ὑπερίπτασθαι, καὶ
πρὸς τὰ οὐράνια φέρεσθαι, ἑκουσίως δὲ δι' ἐπιθυμίας ἀλόγου
καὶ θυμοῦ, ὡς διά τινων ποδῶν στρεφομένοις περὶ τὴν τῶν γεί-
νων σχέσιν, δικαίως ὑφαπλοῦνται ψυχῆς παγίδος εἰς ὄλεθρον·
αὐτοὶ γὰρ οἱ τοῖς φονεῦσι συμβούλοις χρώμενοι, τὰ ταῖς ἑαυ-
τῶν ψυχαῖς λυμαινόμενα, ἑαυτοῖς ἀποταμιεύονται· τὸ δὲ τέλος
τῶν παραβαινόντων τὰς τοῦ θεοῦ ἐντολὰς, εἰς κακὸν αὐτοῖς
καταντᾷ, εἰσπραττομένοις δίκας ὧν ἡμαρτήκασιν· αὗται τῆς παρ-
ούσης ζωῆς αἱ διέξοδοι, πάντων τῶν τὰ παράλογα συνεργα-
ζομένων· ἐν γὰρ τῷ μὴ τιμᾷν δι' ἔργων ἀγαθῶν τὸν θεὸν, ἀπο-
στεροῦσιν ἑαυτοὺς τῆς οἰκείας τούτοις ὡς λογικοῖς κατὰ πνεῦ-
μα ζωῆς· καὶ τὰ μὲν τῆς παιδείας, τοιαῦτα.

Σοφία ἐν ἐξόδοις ὑμνεῖται. 20.

Ὁ δὲ περὶ τῆς σοφίας λόγος, πολύς ἐστι πανταχοῦ· ἔν τε
γὰρ ταῖς ἀπὸ τῆς κατὰ νοῦν ἐνδότητος διὰ ῥημάτων καὶ ἔρ-
γων ἐξελεύσεσι ταύτης πρὸς ἔκφανσιν, μεγαλύνεται παρὰ πᾶσι
τοῖς ἀκούουσι καὶ ὁρῶσιν αὐτὰ, τὸ ὄντως ὑποδεικνύοντα ἀγαθόν.

Ἐν δὲ πλατείαις παῤῥησίαν ἄγει.

Καὶ ἐν τῷ πλάτει τῆς ἐν πνεύματι φυσικῆς θεωρίας τὴν τῆς

I. ἐν ὅλοις ἀληθείας παῤῥησίαν φέρει, τὴν ταύτης ἐνεργοῦσα γνῶσιν διὰ τῶν ἐν πάσῃ τῇ κτίσει συμβούλων αὐτῆς.

21. Ἐπ᾽ ἄκρων δὲ τειχέων κηρύσσεται.

Ἐν δὲ τῇ ἀρχῇ καὶ τῷ τέλει τῶν δίκην τειχέων φυλακτικῶν τῆς ψυχῆς ἀρετῶν διαγινώσκεται· προκαταβαλλεμένη μὲν τῆς πράξεως τῷ φοβῳ τῶν ἀρετῶν, καταλαμβανομένη δὲ μετὰ τὴν πρᾶξιν, πάντων ἐπέκεινα τῶν μετὰ Θεὸν, τῇ περὶ τούτων τοῦ νοός προσεδρείᾳ.

Ἐπὶ δὲ πύλαις δυναστῶν παρεδρεύει.

Καὶ ἐπὶ τοῖς, οἱονεί τισι πύλαις ἀναπεταννυμένοις στόμασιν, εἰς διέξοδον τοῦ κατὰ προφορὰν λόγου τῶν ἀνδρικῶς τὰ πάθη καταγωνισαμένων, καὶ δυναμένων καὶ ἑτέρυς ἐξ αὐτῶν ῥύεσθαι, διδασκαλικῶς παρακάθηται.

Ἐπὶ δὲ ταῖς πρὸς κατανόησιν τῶν ἐν τοῖς οὖσι λόγων, εἰσαγωγοῖς τῆς τῶν ὁρατῶν φαντασίας αἰσθήσεσι της ψυχῆς, ἐν ᾗ ὁ λόγος τὸ πολίτευμα κέκτηται, πεπαῤῥησιασμένως διδάσκει.

22. Ὅσον ἂν χρόνον ἄκακοι ἔχονται τῆς δικαιοσύνης, οὐκ αἰσχυνθήσονται.

Ὅτι ἕως ἂν οἱ περὶ τὰ αἰσθητὰ κατ᾽ αἴσθησιν ἐνεργείας, κακίας ἀμέθεκτοι, προκρίνουσι δικαίοις τῶν προσκαίρων τὰ μόνιμα τῇ ἐπὶ τοῖς ἔργοις τῆς ἀτιμίας αἰσχύνῃ, οὐχ ὑποπεσοῦνται.

Οἱ δὲ ἄφρονες, τῆς ὕβρεως ὄντες ἐπιθυμηταὶ, ἀσεβεῖς γενό-
23. μενοι, ἐμίσησαν αἴσθησιν, καὶ ὑπεύθυνοι ἐγένοντο ἐλέγχοις·

Οἱ δὲ Θεὸν ἐν καρδίᾳ μὴ περιφέροντες, τῆς ἐκ τῶν διαβεβλημένων παθῶν ὕβρεως ὀρεγόμενοι, τὴν κατὰ λόγον τοῦ καλοῦ καὶ τοῦ κακοῦ διάκρισιν ἀπεςράφησαν· τιμᾷν τὸν Θεὸν δι᾽ ἀγαθῶν ἔργων μὴ θελήσαντες· κἀντεῦθεν ἔνοχοι τοῖς παρὰ σοφίας ἐπὶ ταῖς παραλόγοις πράξεσιν ἐλέγχοις τοῦ συνειδότος ἐγένοντο, τοιάδε πρὸς αὐτοὺς κατὰ νοῦν διεξιούσης.

Ἰδοὺ προήσομαι ἐμῆς πνοῆς ῥῆσιν.

Ἰδοὺ προβαλοῦμαι τοῦ ἐμοῦ πνεύματος ῥῆμα.

Διδάξω δὲ ὑμᾶς τὸν ἐμὸν λόγον.

Διὰ τούτου δὲ καταγγελῶ ὑμῖν ἐκδηλότερον τὸν πνευματι- I.
κὸν τῆς ἐμῆς διδασκαλίας νόμον ὃν ἡ φύσις καὶ ἡ γραφὴ συμ-
βολικῶς ὑπαινίττεται.

Ἐπειδὴ ἐκάλουν, καὶ οὐχ ὑπηκούσατε. 24.

Ἐπειδὴ προσεκαλούμην ὑμᾶς διὰ τοῦ φυσικοῦ νόμȣ καὶ τοῖς
ἐμοῖς θελήμασι, καθ᾽ ἃ τὰ πάντα γεγόνασιν, οὐχ ὑπείξατε.

Καὶ ἐξέτεινον λόγους, καὶ οὐ προσείχετε.

Ταῦτα δὲ καὶ διὰ τοῦ γραπτοῦ νόμου ὑμῖν ἀπαγγέλλουσα,
μακροτέραν ἐποιούμην πρὸς ὑμᾶς τὴν τούτων διδασκαλίαν· ὑμεῖς
δὲ οὐδὲ τοιούτου νόμου ἐπακοῦσαι ἠθελήσατε.

Ἀλλὰ ἀκύρους ἐποιεῖτε ἐμὰς βουλάς· τοῖς δὲ ἐμοῖς ἐλέγχοις 25.
οὐ προσείχετε.

Ἀλλ᾽ ἀπράκτους ἐποιεῖτε τὰς ἐμὰς ἐντολάς· ἐμοῦ δ᾽ ἐλεγ-
χούσης ὑμᾶς διὰ προφητῶν, προαγορευόντων τὰ ἐξ ἀπειθείας
ἐπαχθησόμενα ὑμῖν βλαβερὰ, οὐδὲ τούτων ἐν συναισθήσει γε-
γόνατε.

Τοιγαροῦν κἀγὼ τῇ ὑμετέρᾳ ἀπωλείᾳ ἐπιγελάσομαι. 26.

Διὰ τοῦτο κἀγὼ, τῷ ἐπενεχθησομένῳ ὑμῖν ἀφανισμῷ ἐπα-
γαλλιάσομαι, ὡς παύοντι τὴν κακουργίαν ὑμῶν.

Ἐπιχαροῦμαι δὲ ἡνίκα ἐὰν ἔρχηται ὑμῖν ὄλεθρος, καὶ ὡς ἂν 27.
ἀφίκηται ὑμῖν θόρυβος· ἡ δὲ καταστροφὴ ὁμοίως καταιγίδι πα-
ρῇ· ἢ ὅταν ἔρχηται ὑμῖν θλίψις καὶ πολιορκία.

Ἐπευφρανθήσομαι δὲ ὅταν ὁ ἔξω ἄνθρωπος ὑμῶν, φθείρη-
ται, διὰ τὸ ἀνακαινοῦσθαι τὸν ἔσωθεν· καὶ ὅτε πειρασμὸς ὑμῖν
ἀπροσδόκητος καὶ καταστροφὴ τῆς σωματικῆς εὐπραγίας ὑμῶν,
αἰφνίδιος ἐπιγίνηται, οἷά τις λύπη ὑμῖν ἐπέρχηται, καὶ πολε-
μίων τινῶν προσεδρεία· μνημονεύειν μου καὶ ἄκοντας πείθουσα
τοὺς ἑκουσίως τοῦτο ποιεῖν μὴ θελήσαντας.

Ἔσται γὰρ ὅταν ἐπικαλέσησθέ με, ἐγὼ δὲ οὐκ εἰσακούσο- 28.
μαι ὑμῶν.

Ὑπάρξει γὰρ καιρὸς, καθ᾽ ὃν δεηθήσεσθέ μου, εἰς ἀπαλ-
λαγὴν τῶν ἐπικειμένων ὑμῖν θλιβερῶν· αὐτὴν δὲ τὴν αἴτησιν ὑμῶν
ὡς ἀσύμφορον ὑμῖν οὐ παραδέξομαι.

I. Ζητήσουσί με κακοὶ, καὶ οὐχ εὑρήσουσιν.

Δεηθήσονται γάρ μου κακοποιοὶ, ὅταν τὰ ἀνιαρὰ καταλάβῃ αὐτοὺς, πρὸς ἀπαλλαγὴν τῶν τοιούτων, καὶ οὐκ ἐπιτυχεῖς μου γενήσονται.

29. Ἐμίσησαν γὰρ σοφίαν· τὸν δὲ φόβον κυρίου οὐ προείχον-
30. το· οὐδὲ ἤθελον ἐμαῖς προσέχειν βουλαῖς· ἐμυκτήρισαν δὲ ἐμοὺς
ἐλέγχους.

Ὅτι περ ἐμὲ τὴν σοφίαν τὰ δέοντα ὑποτιθεμένην αὐτοῖς ἀπεστράφησαν· καὶ τὸν θεῖον φόβον, ὃν ὁ κτησάμενος τῆς πρός με φερούσης ὁδοῦ ἀπέρχεται, οὐ τῶν ἄλλων πάντων προέκριναν· οὐδὲ ὑπείκειν ἠβούλοντο ταῖς ἐμαῖς παραινέσεσι, καὶ τοὺς ἐπὶ τοῖς ἁμαρτήμασιν αὐτῶν ἐμοὺς ἐλέγχους διέπαιξαν.

31. Τοιγαροῦν, ἔδονται τῆς ἑαυτῶν ὁδοῦ τοὺς καρποὺς· καὶ τῆς ἑαυτῶν ἐπιθυμίας πλησθήσονται.

Διόπερ φάγονται τῆς ἑαυτῶν ἐργασίας τὰς ἐπικαρπίας· καὶ τῆς κακῆς ὀρέξεως ἑαυτῶν κόρον λήψονται, ὅταν τὰ τούτων ἐπίχειρα καταλάβῃ αὐτούς.

32. Ἀνθ᾽ ὧν γὰρ ἠδίκουν νηπίους, φονευθήσονται· καὶ ἐξετασμὸν ὀλέσει ἀσεβεῖς.

Ὑπὲρ οὗ γὰρ τοῖς τελείοις μὲν τῷ φρονήματι, τῇ δὲ κακίᾳ νηπιάζουσιν ἀδίκους χεῖρας ἐπέβαλον, ἄωρον δώσουσι θάνατον· καὶ ἡ κατὰ τὸ παρὸν ἐξέτασις τῶν ἔργων τῆς ἀδικίας, τοὺς μὴ δι᾽ ἀγαθοεργίας τὸν θεὸν τιμῶντας ἀπολέσει, στερήσασα τῆς ζωῆς πρὸ καιροῦ· ἄνδρες γὰρ αἱμάτων καὶ δολιότητος, οὐ μὴ ἡμισεύσουσι τὰς ἡμέρας αὐτῶν.

33. Ὁ δὲ ἐμοῦ ἀκούων, κατασκηνώσει ἐπ᾽ ἐλπίδι· καὶ ἡσυχάσει ἀφόβως ἀπὸ παντὸς κακοῦ.

Ὁ δ᾽ ἐμοὶ πειθόμενος, καὶ τὰς θείας ἐντολὰς ἐργαζόμενος, τα μέλλοντα ἀγαθὰ ταῖς ἐλπίσιν ἤδη καρπώσεται ἐν τούτοις κατὰ προαίρεσιν τὴν κατοικίαν πηξάμενος· καὶ ἀπὸ πάσης κακίας συσταλήσεται· οὐχὶ δουλικῶς τῷ τῶν κολάσεων φόβῳ, ἀλλὰ υἱικῶς τῇ πρὸς τὸ κρεῖττον στοργῇ· ἔνθέν τοι.

CAP. II.

Υἱὲ, ἐὰν δεξάμενος ῥῆσιν ἐμῆς ἐντολῆς, κρύψῃς παρὰ σεαυτῷ. v. 1.

Ὁ υἱοθετούμενός μοι διὰ τῆς ἐν πνεύματι διδασκαλίας, ἐὰν παραδεξάμενος λόγον ἀπαιτοῦντά σε τὸ ἐμὸν βουλητὸν, φυλάξῃς τοῦτον ἐν τῷ τῆς ψυχῆς σου μνημονευτικῷ ἀνεπίληστον.

Ἐπακούσεται σοφίας τὸ οὖς σου. 2.

Ὑπείξει κατὰ πρᾶξιν τῷ τῆς αἰτίας ἀπαγγελτικῷ ἔμφρονι λόγῳ, τὸ τούτῳ εἰς δικαιοσύνην ἐπιπειθές σου, φημὶ δὲ τὸ ἐπιθυμητικὸν, καὶ τὸ θυμικόν· τὸ μὲν σωφρόνως ἀπὸ τῶν κατ' αἴσθησιν ἡδέων ἐγκρατευόμενον· τὸ δὲ ἀνδρείως τὰ κατὰ σῶμα θλιβερὰ ὑπομένον.

Καὶ παραβαλεῖς καρδίαν σου εἰς σύνεσιν· παραβαλεῖς δὲ αὐτὴν εἰς νουθέτησιν τῷ υἱῷ σου.

Καὶ ἀπαλλαγὲν τῆς ἐμπαθοῦς ζωῆς τὸ δίκην καρδίας, τῆς ἐν πνεύματι ζωῆς, μεταδοτικὸν τοῖς λοιποῖς τῆς ψυχῆς μέρεσι νοερόν σου, ἐμβαλεῖς κατὰ θεωρίαν εἰς τὴν τῆς ἀληθείας ἐπίγνωσιν· ἐμβαλεῖς δὲ τοῦτο πρὸς διδασκαλίαν πνευματικὴν τοῦ δι' αὐτῆς υἱοθετουμένου σοι.

Ἐὰν γὰρ τὴν σοφίαν ἐπικαλέσῃ, καὶ τῇ συνέσει δῷς φωνήν σου, τὴν δὲ αἴσθησιν ζητήσῃς μεγάλῃ τῇ φωνῇ. 3.

Εἰ γὰρ αἰτήσεις παρὰ θεοῦ, τὴν ἀνοίας μὲν ἀναιρετικὴν, τῶν δὲ ἐν ταῖς ἐντολαῖς πνευματικωτέρων λόγων ἀναληπτικὴν τε καὶ ἑνωτικὴν πρὸς τὴν αἰτίαν σοφίαν, καθ' ἣν ἀγνώστως τοὺς ἐν θεῷ ἁπλοῦς τῶν ὄντων λόγους κατὰ τὸ θεμιτὸν ἀνθρώποις, μυούμεθα· καὶ τῇ συνέσει, ἥ ἐστι σοφίας ἐνδιάθετος μελέτη, αὐτὴν παράσχῃς τὴν τῆς ψυχῆς σου διάθεσιν, ἧς οἷα φωνῆς ἀκούει θεός· τὴν δὲ διάκρισιν, καθ' ἣν σὺν λόγῳ τὰς θείας πράττομεν ἐντολὰς, καὶ τοῦ ἀγαθοῦ πενταδικῶς τὸ κακὸν διακρίνομεν, ὡς ἀπὸ μὴ ἠργμένου ἠργμένον· καὶ ὀφείλοντος νοεῖσθαι, μὴ ὀφεῖλον νοεῖσθαι· καὶ ὀφείλοντος λαλεῖσθαι, μὴ ὀφεῖλον λα-

II. λεῖσθαι· καὶ ὀφείλοντος γίνεσθαι, μὴ ὀφεῖλον γίνεσθαι· καὶ ἀφθάρτου φθαρτὸν, ἐπεκτάσασθαι σπεύσεις ψυχῆς αὖθις ἐπιτεταμένῃ διαθέσει.

4. Καὶ ἐὰν ζητήσῃς αὐτὴν ὡς ἀργύριον, καὶ ὡς θησαυρὸν ἐξερευνήσῃς αὐτήν.

Καὶ ἐὰν ποθήσῃς τὸ κατὰ πρᾶξιν τῆς τοιαύτης διακρίσεως ἀμίαντον καὶ καθαρὸν ὡς ἀργύριον, καὶ ἐξετάσῃς τὸ κατὰ θεωρίαν βάθος τοῦ πνευματικοῦ πλούτου αὐτῆς, οἷά τινας θησαυροὺς κεκρυμμένους.

5. Τότε συνήσεις φόβον κυρίου, καὶ ἐπίγνωσιν θεοῦ εὑρήσεις.

Τότε μαθήσῃ τὸν ἐκκαθαίροντα παντὸς ῥύπου ἁμαρτιῶν θεῖον φόβον, καὶ καταλάβῃς τὸν κεκρυμμένον τῆς θείας ἐπιγνώσεως πλοῦτον· ἐξ οὗ ἐστι τῇ ψυχῇ ἡ τῶν ἀγαθῶν ἄφθονος χορηγία.

6. Ὅτι κύριος δίδωσι σοφίαν.

Διότι ὁ δεσπότης τῶν ὅλων θεὸς, δωρεῖται τὸ τελειοποιὸν χάρισμα τοῦ παναγίου πνεύματος, τὴν σοφίαν, τοῖς πόθῳ ἐπιτεταμένῳ ζητοῦσιν αὐτήν.

Καὶ ἀπὸ προσώπου αὐτοῦ γνῶσις καὶ σύνεσις.

Καὶ τοῖς ἐντεῦθεν τὴν τούτου εἰκόνα, ὡς υἱοθετηθεῖσιν αὐτῷ, φορέσασιν, ὑπάρχει ἐκ μὲν τοῦ τηρεῖν τὸ κατ᾽ εἰκόνα, γνῶσις· τῆς μὲν ἀγνοίας τῶν καθ᾽ ἡμῶν νοημάτων τοῦ νοητοῦ ἡμῶν ἐχθροῦ ἀναιρετική· τῶν δ᾽ ἐν ταῖς ἐντολαῖς λόγων, καθ᾽ οὓς οἱ τρόποι τῶν ἀρετῶν συνεστήκασι, περιληπτική· ἐκ δὲ τοῦ ἐργάζεσθαι καθ᾽ ὁμοίωσιν αὐτοῦ τὰ πανάγαθα τούτου θελήματα, σύνεσις· τῆς μὲν ἀνεπιγνωμοσύνης ἀναιρετικὴ, πρὸς δὲ τοὺς λόγους καὶ τοὺς τρόπους τῶν ἀρετῶν μεταποιητική.

7. Καὶ θησαυρίζει τοῖς κατορθοῦσι σωτηρίας.

Καὶ τοιουτοτρόπως ἀποταμιεύεται ὁ κύριος, διὰ τῶν τοῦ παναγίου πνεύματος χαρισμάτων, τῆς σοφίας, τῆς συνέσεως, καὶ τῆς γνώσεως, τοῖς μήτ᾽ εἰς τὰ ἀριστερὰ μήτ᾽ εἰς δεξιὰ, τὰ κατ᾽ ἔλλειψιν δηλαδὴ τῆς ἀρετῆς, καὶ τὰ καθ᾽ ὑπερβολὴν πάθη ἐκκλίνουσιν, ἀνελλιπῆ φυλακὴν, δηλονότι κατὰ νοῦν καὶ ψυχὴν καὶ σάρκα ἀπό τε ἀθείας ἀγνοίας καὶ κακίας.

Ὑπερασπιεῖ δὲ τὴν πορείαν αὐτῶν, τοῦ φυλάξαι ὁδοὺς δι- II.
καιωμάτων, καὶ ὁδὸν εὐλαβουμένων αὐτὸν διαφυλάξει. 8.

Καὶ βοηθήσει τῷ κατ' ἀρετὴν δρόμῳ αὐτῶν, ὥστε τηρῆσαι ἀπαρεγκλίτως τὰς ἐργασίας τῶν ἁγίων αὐτοῦ ἐντολῶν· καὶ τὴν πρὸς αὐτὸν φέρουσαν ὁδὸν τῶν φοβουμένων αὐτὸν, διατηρήσει ἀνεπιβούλευτον τῷ νοητῷ ἐχθρῷ.

Τότε συνήσεις δικαιοσύνην καὶ κρίμα, καὶ κατορθώσεις πάν- 9.
τας ἄξονας ἀγαθούς.

Ὅταν δὲ τούτων ἐπιτυχὴς γένῃ τῶν ἀγαθῶν, ὁ ἀκούσας τῆς ἐμῆς παραινέσεως, τότε ἐπιγνώσῃ τὴν ἀπονεμητικὴν ἑκάστῳ τοῦ κατ' ἀξίαν δικαιοσύνην, καὶ τὴν τοῦ καλοῦ ἀπαρέγκλιτον κρίσιν, πληρώσεις τὰς εἰς ἅπαν ἀγαθὸν ἀγούσας ἐντολὰς τοῦ Θεοῦ.

Ἐὰν γὰρ ἔλθῃ ἡ σοφία εἰς τὴν διάνοιαν. 10.

Ἐὰν γὰρ παραγένηται κατὰ θεωρίαν ἡ ἀληθὴς περὶ Θεοῦ ἔννοια εἰς τὸ διανοητικόν σου.

Ἡ δὲ αἴσθησις τῇ σῇ ψυχῇ καλὴ εἶναι δόξῃ.

Ἡ δὲ πενταδικὴ τοῦ κακοῦ διάκρισις, ἀρετή σοι κατὰ ψυχὴν φανήσεται, μὴ δι' ἀπερίσκεπτον φαντασίαν ἀλόγως ἐπιθυμοῦντι τινός.

Βουλὴ καλὴ φυλάξει σε. 11.

Αὕτη μὲν ἡ τῶν πραγμάτων ἀρίστη περίσκεψις, ἀπὸ πάσης παραλόγου περιφυλάξει σε πράξεως.

Ἔννοια δὲ ὁσία τηρήσει σε.

Ἡ δὲ πάσης ἄλλης ἐννοίας ὑπερκειμένη ἀληθὴς περὶ Θεοῦ ἔννοια, διατηρήσει σε ἀπὸ πάσης ἐννοίας ἀπατηλῆς καὶ διασπώσης ἀπὸ Θεοῦ.

Ἵνα ῥύσηταί σε ἀπὸ ὁδοῦ κακῆς. 12.

Ὅπως ἐξελεῖταί σε ἡ μὲν ἀρίστη τῶν πραγμάτων περίσκεψις ἀπὸ τῆς ἐμπαθοῦς βιοτῆς.

Καὶ ἀπὸ ἀνδρὸς λαλοῦντος μηδὲν πιστόν.

Ἡ δὲ ἀληθὴς περὶ Θεοῦ ἔννοια, ἀπὸ τοῦ διαβάλλοντος τὴν ἀλήθειαν, καὶ διασπᾷν ἐπιχειροῦντος τὴν ψυχήν σου ἀπὸ τοῦ

11. νυμφίου αὐτῆς Θεοῦ λόγου, καὶ ἑαυτῷ προσκολλᾷν, φθορέως τῶν ἡμετέρων ψυχῶν δαίμονος.

13. Ὦ οἱ ἐγκαταλίποντες ὁδοὺς εὐθείας, τοῦ πορευθῆναι ἐν ὁδοῖς σκότους.

Λοιπὸν, φεῦ οἱ καταλιμπάνοντες τὰς πρὸς κακίαν μὲν ἀπαρεγκλίτους, πρὸς Θεὸν δὲ κατ᾽ ἀρετὴν φερούσας ὁδοὺς, ὥστε ὁδεῦσαι ἐν ταῖς ἀγούσαις εἰς κρημνοὺς κακίας, καὶ βάραθρα τοῦ σκότους τῆς ἀγνοίας ὁδοῖς.

14. Ὦ οἱ εὐφραινόμενοι ἐπὶ κακοῖς, καὶ χαίροντες ἐπὶ διαστροφῇ κακῇ.

Φεῦ οἱ ἐπαγαλλόμενοι τοῖς ἑτέρων κακοῖς, καὶ ἐπευφραινόμενοι τῇ τούτων ἐκ τοῦ ἀγαθοῦ εἰς τὸ ἐναντίον περιτροπῇ.

15. Ὧν αἱ τρίβοι σκολιαὶ, καὶ καμπύλαι αἱ τροχιαὶ αὐτῶν, τοῦ
16. μακρὰν σε ποιῆσαι ἀπὸ ὁδοῦ εὐθείας, καὶ ἀλλότριον τῆς δικαίας γνώμης.

Ὧν τά τε ἐπιτηδεύματα καὶ αἱ δίκην τροχιῶν, τὸ μὲν ἀνάῤῥοπον τοῦ ἀγαθοῦ φεύγουσαι, τὸ δὲ κατωφερὲς τῆς κακίας διώκουσαι διαθέσεις, διεστραμμέναι εἰσίν· ὡς ἐπιτεχνωμένων πόῤῥωσε ποιῆσαι τῆς κατ᾽ ἀρετὴν πρὸς Θεὸν φερούσης εὐθείας ὁδὸν, καὶ ξένον παντάπασιν ἀπεργάσασθαι τῆς κατὰ λόγον διακρινούσης ἀπὸ τοῦ κρείττονος τὸ χεῖρον, καὶ καταψηφιζομένης τούτου σχολὴν παντελῆ προαιρέσεως· ἔνθεν τοι

17. Υἱὲ, μή σε καταλάβῃ βουλὴ κακὴ, ἡ ἀπολείπουσα διδασκαλίαν νεότητος, καὶ διαθήκην θείαν ἐπιλελησμένη.

Τέκνον πνευματικὸν, φεῦγε τὴν πονηρὰν τοῦ νοητοῦ ὄφεως συμβουλὴν, δι᾽ ἐγκρατείας τῶν ἡδέων, καὶ ὑπομονῆς τῶν θλιβερῶν, μή σε καταφθάσῃ ῥαθύμως περὶ τὸ ἀγαθὸν διακείμενον· ἥ τις συμβουλὴ ἔπεισε τὸν πρωτόπλαστον καταλιπεῖν τὴν ὡς ἔτι νεάζοντι τὴν πνευματικὴν ἡλικίαν, δοθεῖσαν αὐτῷ θείαν ἐντολὴν, καὶ ἐπιλαθέσθαι ταύτης, διατιθεμένης τὰ καθ᾽ ἡμᾶς περὶ τὸ ἀγαθὸν, καθ᾽ ὁμοίωσιν Θεοῦ.

18. Ἔθετο γὰρ παρὰ τῷ θανάτῳ τὸν οἶκον αὐτῆς, καὶ παρὰ τῷ ᾅδῃ τῶν γεγενῶν, τοὺς ἄξονας αὐτῆς.

Ἡ γὰρ συμβουλὴ αὕτη, ἐκ τοῦ ἀρχεκάκου ἐχθροῦ προχωρήσασα, καὶ τὸν παραδεξάμενον ταύτης Ἀδὰμ, καὶ πάντας τοὺς ἐξ αὐτοῦ ἀπεργασαμένη θνητοὺς, ἐποιήσατο ἐν μὲν τῇ τούτων θνητότητι τὴν κατοικίαν ἑαυτῆς, ὡς τυραννουμένων φόβῳ θανάτου καὶ παρὰ γνώμην διὰ τὸ ζῆν, ἀντέχεσθαι τῶν καθ' ἡδονὴν παθῶν διὰ παντὸς, οἷα συνιστώσης τῆς τῶν αἰσθητῶν μεταλήψεως, καθ' ἣν τὸ ἡδυπαθὲς, τὴν φαινομένην σωματικὴν φύσιν ἡμῶν· ἐν δὲ τῇ κατὰ τὴν φθορὰν ἀφανείᾳ, μετ' αὐτῶν τῶν ἐκ τῆς ἐσχηκότων τὴν γένεσιν, τὰ τῶν ὁρατῶν κάλλη· οἷς διὰ τὸ ἀπατηλὸν, ἄγει τούτους πρὸς τὴν τῆς θείας ἐντολῆς παράβασιν· ἐποιήσατο δὲ, ὡς εἴρηται, ἐν τῇ ἀφανείᾳ μετὰ τῶν γηγενῶν τὰ τῶν ὁρατῶν κάλλη· συμφθείρουσα τούτοις αὐτὰ, διὰ τὴν ἐξ ἀρχῆς τῆς θείας ἐντολῆς παράβασιν. II.

Πάντες οἱ πορευόμενοι ἐν αὐτῇ, οὐκ ἀναστρέψουσιν οὐδ' οὐ 19.
μὴ καταλάβωσι τρίβους εὐθείας.

Ἅπαντες οὖν οἱ κατ' ἐνέργειαν διεξερχόμενοι τὴν τοιαύτην πονηρὰν συμβουλὴν, οὐκ ἐπιστρέψουσι μετὰ τὸν θάνατον εἰς ὑπακοὴν τῶν τοῦ θεοῦ ἐντολῶν· οὔτ' ἐπιγνώσονται τὰς ἀπαρεγκλίτως εἰς θεὸν ἀγούσας ἐργασίας αὐτῶν.

Οὐ γὰρ καταλαμβάνεται ὑπὸ ἐνιαυτῶν ζωῆς.

Ἐπειδὴ μεταστάντες τῆς πρὸς ἐργασίαν τῶν ἐντολῶν τοῦ θεοῦ δοθείσης ἡμῖν προσκαίρου ζωῆς, οὐκέτι ὑπὸ τῶν ταύτης ἐτῶν φθάνονται, ὥστε στῆναι τῆς πρὸς ἀπώλειαν φερούσης αὐτοὺς ὁδοῦ τῆς κακίας, διὰ τὸ ἤδη εἰς αὐτὴν καταντῆσαι τὴν ἀπώλειαν.

Εἰ γὰρ ἐπορεύοντο τρίβους ἀγαθὰς, εὕροσαν ἂν τρίβους δι- 20.
καιοσύνης λείας.

Εἰ γὰρ διεξήρχοντο κατὰ τὴν παροῦσαν ζωὴν τὰς τῶν θείων ἐντολῶν ἐργασίας, εὗρον ἂν κατὰ πεῖραν αὐτὰς τῆς δικαιοσύνης ὁδοὺς εὐμαρεῖς· οἷα τῆς τῶν παθῶν συρφετώδους ἰλύος ἀπηλλαγμένας.

Χρηστοὶ ἔσονται οἰκήτορες γῆς· ἄκακοι δὲ ὑπολειφθήσονται 21.
ἐν αὐτῇ.

11. Οἱ ἀγαθοὶ τοίνυν κατὰ προαίρεσιν, καὶ μὴ πρὸς τὰ παρὰ φύσιν κατ᾽ ἐπιθυμίαν κινούμενοι, κατοικήσουσιν εἰς τὴν παγίαν ἕξιν τῶν ἀρετῶν· οἱ δὲ κατὰ θυμὸν τὰ θλιβερὰ ὑπομένοντες, καὶ τοὺς λυποῦντας μὴ ἀμυνόμενοι, οὐ μεταναστεύσουσι ταύτης· κᾂν πόνοις ἀκουσίοις τοῦτο παθεῖν ἐκβιάζωνται.

Ὅτι εὐθεῖς κατασκηνώσουσι γῆν· καὶ ὅσιοι ὑπολειφθήσονται ἐν αὐτῇ.

Διότι οἱ τὸ ἀληθῶς αἱρούμενοι ἀγαθὸν, τὴν εἰρημένην τῶν ἀρετῶν ἕξιν οἰκήσουσι κατ᾽ ἐνέργειαν· ταύτης δὲ ἀμετακίνητοι ἔσονται, οἱ καὶ αὐτῆς διὰ θεὸν καταπεφρονηκότες τῆς φύσεως, διὰ τὸ εἶναι παρ᾽ αὐτῇ κατὰ τὴν σωματικὴν ἀσθένειαν, τὰς τῶν κακῶς ἀφορμάς.

22. Ὁδοὶ ἀσεβῶν, ἐκ γῆς ὀλοῦνται.

Λοιπὸν αἱ ἐργασίαι τῶν μήτε φόβῳ τῶν ἀπειλῶν, μήτε πόθῳ τῶν ἐπαγγελιῶν τιμώντων θεὸν, ἀφανισθήσονται τῆς κατ᾽ ἀρετὴν ἕξεως· ἐν τῷ μήτε διὰ τὰς αἰωνίους κολάσεις, τῶν ἡδέων αὐτοὺς ἐγκρατεύεσθαι, μήτε διὰ τὴν μέλλουσαν μισθαποδοσίαν, τὰ ὀδυνηρὰ ὑπομένειν· ἀλλὰ μεταπίπτειν ἀπὸ τοῦ δι᾽ ἀγάπην τὸν πλησίον εὐεργετεῖν, πρὸς τὸ διὰ μῖσος τοῦτον ἀντιλυπεῖν.

Οἱ δὲ παράνομοι ἐξωσθήσονται ἀπ᾽ αὐτῆς.

Οἱ ἐντεῦθεν τὰ θεῖα προστάγματα παραβαίνοντες, τῆς τῶν πρᾳέων ἀπελαθήσονται γῆς· ἥ ἐστιν ἐπιθυμίας καὶ θυμοῦ παντελὴς πρὸς τὰ παρὰ φύσιν ἀκινησία.

CAP. III.

v. 1. Υἱὲ, ἐμῶν νομίμων μὴ ἐπιλανθάνου.

Σὺ δὲ τέκνον πνευματικὸν, τῶν προτρεπόντων σε ἐφ᾽ ἃ δεῖ ποιεῖν, καὶ ἀποτρεπόντων ἀφ᾽ ὧν δεῖ μὴ ποιεῖν, ἐμῶν παραγγελμάτων, καθ᾽ ἕξιν μνημόνευε.

Τὰ δὲ ῥήματά μου τηρείτω σὴ καρδία.

Τὰ δὲ μισθὸν μὲν ἐπὶ τοῖς κατορθώμασιν ἐπαγγελλόμενα,

τιμωρίαν δὲ ἐπὶ τοῖς ἁμαρτήμασιν ἀπειλοῦντά σοι ἐμὰ λόγια, ἡ III.
σὴ κατ' ἐνέργειαν φυλαττέτω ψυχή.

Μῆκος γὰρ βίου, καὶ ἔτη ζωῆς, καὶ εἰρήνην προσθήσουσί σοι. 2.

Τούτων γὰρ ἡ καθ' ἕξιν μνήμη, καὶ ἡ κατ' ἐνέργειαν φυλακὴ, αὐξήσουσι μέν σου τὴν βιοτὴν· διὰ τῆς κατὰ τὸ παρὸν ἐργασίας τῶν τὴν ψυχὴν κακίας ἀπαλλαττουσῶν θείων ἐντολῶν, πρὸς τὴν διαιωνίζουσαν εὐφροσύνην σε παραπέμπουσαι· τὰ δὲ μέτρα σοι τῆς κατὰ ταύτην τὴν πρᾶξιν τῶν ἐντολῶν πνευματικῆς ζωῆς ἀπεκτεινοῦσι, διὰ τῆς καθαρεούσης πάσης αἰσθητῆς φαντασίας ἀΰλου τῶν νοητῶν γνώσεως δι' ἧς ἐπαυξήσουσί σοι καὶ τὴν πάσης κακίας ἀπηλλαγμένην εἰρηναίαν τῆς ψυχῆς κατάστασιν, τῇ καὶ τῆς ἀγνοίας ἀπαλλαγῇ· λοιπὸν καὶ αὐτῶν μου κατὰ μέρος τῶν παραγγελμάτων ἄκουε.

Ἐλεημοσύναι καὶ πίστεις μὴ ἐκλειπέτωσάν σε. 3.

Συμπάθειαι μὲν πρὸς τοὺς ὁμοφυεῖς ἐπὶ ταῖς κατ' αὐτῶν ἀκουσίοις ἐπιφοραῖς τῶν πειρασμῶν, εὐπείθειαι δὲ πρὸς Θεὸν ἐπὶ ταῖς αὐτοῦ ἐντολαῖς, μὴ ἀπολυμπανέτωσάν σε.

Ἄφαψαι δὲ αὐτὰς περὶ σῷ τραχήλῳ.

Ἐκκρέμασον δὲ ταύτας κατὰ προαίρεσιν, ἐν τῷ δίκην τραχήλου ὑποπίπτοντι ταύταις, ὡς τινι θείῳ ζυγῷ πρακτικῷ τῆς ψυχῆς σου.

Γράψον δὲ αὐτὰς ἐπὶ πλακὸς καρδίας σου, καὶ εὑρήσεις χάριν.

Ἐγκόλαψον δὲ ταύτας κατὰ διάθεσιν τῷ παθητικῷ τῆς ψυχῆς σου, καὶ ἐπιτύχῃς τῆς τοῦ παναγίου πνεύματος χάριτος.

Προνοοῦ καλὰ ἐνώπιον Θεοῦ καὶ ἀνθρώπων. 4.

Πρὸ πάσης ἄλλης ἐννοίας, διανοοῦ ἔμπροσθεν μὲν Θεοῦ τὸ πρὸς αὐτὸν εὐσεβὲς, ἔμπροσθεν δὲ ἀνθρώπων τὸ πρὸς αὐτοὺς εὐεργετικόν.

Ἴσθι πεποιθὼς ἐν ὅλῃ καρδίᾳ ἐπὶ κύριον· ἐπὶ δὲ σοφίᾳ μὴ 5.
ἐπαίρου.

Ἔλπιζε ἐπὶ τὸν τοῦ παντὸς δεσπότην Θεὸν, ἐξ ὅλης ψυ-

III. χῆς· ἐπὶ δὲ τῇ παρ᾽ αὐτοῦ δοθείσῃ σοι κατὰ χάριν σοφίᾳ μὴ μέγα φρόνει.

6. Ἐν πάσαις ταῖς ὁδοῖς σου γνώριζε αὐτὴν, ἵνα ὀρθοτομῇ τὰς ὁδούς σου, ὁ δὲ πούς σου οὐ μὴ προσκόπτῃ.

Ἀλλ᾽ ἐν πᾶσι τοῖς ἔργοις σου ἐπιγίνωσκε αὐτὴν ὁδηγὸν, ὅπως διευθύνῃ αὐτὰ τοῦ ἀγαθοῦ ἀπαρέγκλιτα· καὶ τὸ διανοητικόν σου, ᾧ τινι κατὰ ψυχὴν ὡς ποδὶ δεήσεις, καὶ διαστηματικῶς ἐνεργεῖς, λίθοις ἀγνοίας οὐ μὴ προσκρούῃ.

7. Μὴ ἴσθι φρόνιμος παρα σεαυτῷ.

Μὴ ἔσο τῶν πραγμάτων ἐπιστήμων ἀφ᾽ ἑαυτοῦ· κατὰ μόνην αἴσθησιν ἀλογίστως κρίνων αὐτὰ, καὶ δοκῶν καλὸν μὲν, πᾶν τὸ κατ᾽ αὐτὴν ἡδὺ· κακὸν δὲ, πᾶν τὸ κατ᾽ αὐτὴν ἀηδές· κἀντεῦθεν ἀποτυγχάνων μὲν τοῦ ὄντως καλοῦ· περιπίπτων δὲ εἰς τὸ ἀληθῶς κακόν.

Φοβοῦ δὲ τὸν κύριον, καὶ ἔκκλινον ἀπὸ παντὸς κακοῦ.

Ἀλλὰ φόβον ἔχε θεοῦ, καὶ πάσης ἁμαρτίας ἀπόστηθι.

8. Τότε ἴασις ἔσται τῷ σώματί σου, καὶ ἐπιμέλεια τοῖς ὀστέοις σου.

Τηνικαῦτα γὰρ ὑπάρξει θεραπεία μὲν τῇ σαρκὶ σου, ἀπὸ τῆς κατ᾽ ἐνέργειαν φοροποιοῦ κακίας· περιποίησις δὲ ταῖς δίκην ὀστέων τονωτικαῖς τῆς ψυχῆς σου δυνάμεσιν, ὥστε μὴ τοῦ δέοντος παραθραύεσθαι.

9. Τίμα τὸν κύριον ἀπὸ σῶν δικαίων πόνων.

Πρόσφερε δὲ τῷ θεῷ, ὡς δεσπότῃ δοῦλος, ἀφ᾽ ὧν αὐτὸς περὶ τὴν σωματικὴν καὶ τὴν πνευματικὴν ἐργασίαν πεπόνηκας· ἐκ μὲν τῆς σωματικῆς, τὰ μὴ ἐκ βλάβης τῶν πέλας ἐπικτηθέντά σοι· ἐκ δὲ τῆς πνευματικῆς, παρθενίαν, ἀκτημοσύνην, καὶ τὰ ὅμοια· ἅπερ καὶ μὴ ἀπαιτηθεὶς παρ᾽ αὐτοῦ, δικαίως ἐφύλαξας, ὥστε δῶρα προσαγαγεῖν αὐτῷ ταῦτα, ἀνθ᾽ ὧν ἐτήρησας ἐντολῶν αὐτοῦ.

Καὶ ἀπάρχου αὐτῷ ἀπὸ σῶν καρπῶν δικαιοσύνης.

Καὶ ὥς τινας ἀπαρχὰς πρόσαγε τούτῳ, τῶν μὲν μὴ ἀπὸ ἁρπαγῆς ἀλλ᾽ ἀπὸ τῆς σῆς ἀρούρης καρπῶν, κατὰ τὸν μακάριον

Ἄβελ, τοὺς τῶν ἄλλων τιμιωτέρυς καὶ κρείττονας· τῶν δὲ κατ' III.
ἀρετὴν ἔργων σου, τὰς αἰτίας· ποιῶν ἅπαντα ταῦτα διὰ Θεόν.

Ἵνα πιμπλῶνται τὰ ταμεῖα σου πλησμονῆς σίτου, οἴνῳ δὲ 10.
αἱ ληνοί σου ὑπερβλύζωσιν.

Ἵνα σὺ τῆς παρὰ θεοῦ τυγχάνοντος εὐλογίας, αἱ μὲν ἀποθῆκαι καὶ αἱ ληνοὶ πλήρεις ὑπάρχωσι τῶν τῷ σώματι χρειωδῶν· ἡ δὲ πρακτική σου ἕξις πεπληρωμένη εἴη τῶν ὡς ἔκ τινος σπόρου τῶν θείων ἐντολῶν, γεωργυμένων κατὰ πρᾶξιν ἀρετῶν, οἷά τινων καρπῶν· καὶ ἡ θεωρητικὴ πληρουμένη τῶν κατὰ γνῶσιν λόγων· προχεομένων, ὡς ἔκ τινων βοτρύων, τῶν θείων δογμάτων, ὑπερεκχέῃ διδασκαλικῶς ποτίζουσα τὰς τῶν ἄλλων ψυχάς, τὸν ταύτας εὐφραίνοντα νοητὸν οἶνον.

Υἱὲ μὴ ὀλιγώρει παιδείας κυρίου, μηδὲ ἐκλύου ὑπ' αὐτοῦ 11.
ἐλεγχόμενος.

Τέκνον πνευματικόν, γενναίως φέρε τὰ κρίσει Θεοῦ ἀκυσίως σοι ἐπερχόμενα θλιβερά· καὶ μὴ κατάπιπτε, παρὰ τούτυ ὑπομιμνησκόμενός σου τὰ ἁμαρτήματα, δηλοποιοῦντος σοι ταῦτα διὰ τῆς τῶν δυσχερῶν ἐπαγωγῆς.

Ὃν γὰρ ἀγαπᾷ κύριος, παιδεύει. 12.

Τὸν γὰρ ἐπιγινώσκοντα τὴν τούτου πρὸς αὐτὸν ἀγάπην, παιδεύει ὁ κύριος διὰ τῶν ὀδυνηρῶν πρὸς διόρθωσιν· ἐπειδὴ τῷ μὴ ταύτην ἐπιγινώσκοντι, οὐ παιδεία· τιμωρία δὲ, μὴ διορθουμένῳ ἀλλὰ βλασφημοῦντι, ὑπάρχει τὰ λυπηρά.

Μαστιγοῖ δὲ πάντα υἱὸν, ὃν παραδέχεται.

Πληγὰς δ' ἐπιφέρει παντὶ κατ' ἀρετὴν μὲν καὶ γνῶσιν υἱοθετυμένῳ αὐτῷ, μεγαλαυχοῦντι δὲ ἐφ' οἷς κατορθοῖ· ὅπως πείσῃ αὐτὸν μετριοφρονεῖν ἐπὶ τούτοις· καὶ ὁλοτελῶς ἀλλὰ μὴ ἐκ μέρυς αὐτῷ προσέρχεσθαι· ὃν παρὰ μέρος δέχεταί τε καὶ ἀποπέμπεται· τὸ μὲν, διὰ τὸν ἐνάρετον βίον· τὸ δὲ, διὰ τὸ μὴ φρονεῖν ταπεινά.

Μακάριος ἄνθρωπος, ὃς εὗρε σοφίαν· καὶ θνητὸς, ὃς εἶδε 13.
φρόνησιν.

III. Λοιπὸν ἀείμνηστος, ὁ κατὰ μὲν τὸ νοούμενον ἀνθρώπῳ ὁρῶν, καθ᾽ ὃ καὶ κέκληται ἄνθρωπος· κἀντεῦθεν ψηλαφήσας τῇ ἐν πνεύματι φυσικῇ θεωρίᾳ τῶν ὄντων, τὸν τούτων αἴτιον θεόν· καὶ τούτῳ ἐπιτυχὼν γνωστικῶς ἐκ τῶν ποιημάτων, ὡς ἐντεῦθεν τῆς περὶ τὰ πρόσκαιρα ἀπάτης, οἷά τινος ἀχλύος σκεδαννυμένης, αὐτόπτης κατὰ πεῖραν πρακτικὴν γενόμενος τῆς ἀντιπάλου τῇ τε ἀνοίᾳ καὶ τῇ ὑπερνοίᾳ ἕξεως, ἥ ἐστι φρόνησις· ἀντίκειται γὰρ αὕτη, τῇ μὲν ἀνοίᾳ ἐν τῷ ἐμποιεῖν ἡμῖν τῶν προσκαίρων κατάγνωσιν, καὶ τῶν αἰωνίων ὄρεξιν· τῇ δὲ ὑπερνοίᾳ ἐν τῷ ἐμποιεῖν αὖθις ἡμῖν τῆς οἰκείας ἀσθενείας ἐπίγνωσιν.

14. Κρεῖσσον γὰρ αὐτὴν ἐμπορεύεσθαι, ἢ χρυσίου καὶ ἀργυρίου θησαυρούς.

Ἐπειδὴ κάλλιόν ἐστι τὴν αἰτίαν τῆς φρονήσεως σοφίας, ὤνιον ποιεῖσθαι ἡμᾶς διὰ πάντων τῶν καθ᾽ ἡμᾶς· ἐν μὲν πειρασμοῖς ἀνενδότους, κατὰ δὲ βίον λαμπρούς, χαρίζεται ἡμῖν τό τε τοῦ χρυσοῦ ἐν καμίνῳ ἀμείωτον, καὶ τὸ τοῦ ἀργυρίου καθαρόν, ἢ αὐτοῦ χρυσίου καὶ ἀργυρίου κτᾶσθαι πολλοὺς θησαυρούς.

15. Τιμιωτέρα δέ ἐστι λίθων πολυτελῶν.

Πολυτιμωτέρα δ᾽ αὕτη ἐστὶ λίθων πολυτιμήτων· ὅτι εἰς μὲν τὴν τούτων ἐμπόρευσιν, ἅτε ῥευστῆς οὔσης ὕλης, ἄψυχος πάλιν ὕλη, χρυσὸς ἁδρός, ἢ ἄργυρος καταβάλλεται· εἰς δέ γε τὴν τῆς σοφίας, ἡμεῖς αὐτοὶ τὸ τιμιώτατον θεοῦ κτῆμα καὶ οἰκειότερον.

Οὐκ ἀντιτάσσεται αὐτῇ οὐδὲν πονηρόν.

Οὐκ ἀνθίσταται αὐτῇ οὐδεμία κακία· ἐκλάμψασα γὰρ ἡμῖν κατά τε γνῶσιν καὶ ἀρετήν, πάσας ἀγνοίας καὶ κακίας μακρὰν ἡμῶν ἀπελαύνει σκοτόμαιναν.

Εὔγνωστός ἐστι πᾶσι τοῖς ὀργίζουσιν αὐτῇ.

Εὔληπτος οὖν ἐστὶ τοῖς ταύτῃ κατὰ μίμησιν πλησιάζουσιν· οἷα τῷ κατ᾽ εἰκόνα λόγῳ, καὶ τῷ καθ᾽ ὁμοίωσιν τρόπῳ θεωρουμένη ὡς ἀρχέτυπον.

Πᾶν δὲ τίμιον, οὐκ ἄξιον αὐτῆς ἐστιν.

Οὐδὲν δὲ τῶν παρ᾽ ἡμῖν τιμιωτάτων, ταύτης ὑπάρχει ἀντά-

ξιον· ὅτι ὑπὲρ πάντα ἐστί κατ᾽ οὐσίαν, κἂν ἐν πᾶσιν ἐστὶ κατ᾽ III.
ἐνέργειαν· διόπερ ταύτης κατὰ χάριν μεταλαμβάνομεν, μηδὲν ἄξιον
αὐτῆς ἀντεισφέροντες.

Μῆκος γὰρ βίου, καί ἔτη ζωῆς ἐν τῇ δεξιᾷ αὐτῆς. 16.

Παρὰ δὲ τῇ ὡς δεξιᾷ, τελειοτέρα ταύτης ἐνεργείᾳ, ἤ τίς ἐστιν ἡ τῶν θείων ἐπιστήμη, ὑπάρχει τό τε μέγεθος τῆς κατὰ τὸν νόμον τὸν πνευματικὸν ἐναρέτου πολιτείας, πάντως ἡ τὴν κατὰ τὸν φυσικὸν καὶ τὸν γραπτὸν νόμον δικαιοσύνην ὑπερβαίνουσα ὁσιότης, καί μέτρα τῆς καθαρᾶς πάσης αἰσθητῆς φαντασίας, ἀΰλου ἐν πνεύματι γνώσεως.

Ἐν δὲ τῇ ἀριστερᾷ αὐτῆς πλοῦτος καί δόξα.

Παρὰ δὲ τῇ ὡς ἀριστερᾷ, ἀτελεστέρα ταύτης ἐνεργείᾳ, ἤ τις ἐστὶν ἡ τῶν ἀνθρωπίνων ἐπιστήμη, ὑπάρχει ὅ τε κατὰ τὸν φυσικὸν καί τὸν γραπτὸν νόμον πλοῦτος τῶν ἀρετῶν, καὶ ἡ κατὰ τὴν φυσικὴν θεωρίαν εὐσεβὴς τῶν θείων χρημάτων ἀνάληψις, ἡ ἀληθὴς δηλαδὴ περὶ ὁρατῶν δόξα.

Ἐκ τοῦ στόματος αὐτῆς ἐκπορεύεται δικαιοσύνη· νόμον δὲ καὶ ἔλεον ἐπὶ γλώσσης φορεῖ.

Καὶ ἐκ τῆς ἀληθεστάτης διδασκαλίας αὐτῆς, ὡς ἐκ στόματος, πρόεισι κανὼν ἀρετῆς· τηρῶν ἀπαρέγκλιτον, πρός τε τὰ κατ᾽ ἔλλειψιν ταύτης καὶ τὰ καθ᾽ ὑπερβολὴν πάθη, τὸ τριμερὲς τῆς ψυχῆς· ἀποτροπὴν δὲ παντός πονηροῦ πράγματος, καὶ συμπάθειαν πρὸς πάντας ἀνθρώπους, περιβέβληται αὐτὸς ὁ διδασκαλικὸς λόγος αὐτῆς· ᾧ τινι οἷα γλώττῃ, ῥυθμίζει πρὸς ἀρετὴν τὸν ἀνθρώπινον βίον.

Αἱ ὁδοὶ αὐτῆς, ὁδοὶ καλαί. 17.

Οἱ δὲ κατ᾽ ἀρετήν τε καί γνῶσιν διάφοροι θεσμοί, καί τὰ δόγματα, οἷς αὕτη ὥς τισιν ὁδοῖς ἐμπεριπατοῦσα, τὸν ἐν ἑκάστῳ ποιεῖται τῆς σωτηρίας δρόμον, εὐμαρῆ εἰσι τοῖς κατὰ ταῦτα τὴν οἰκείαν διεξερχομένοις ζωήν.

Καὶ πᾶσαι αἱ τρίβοι αὐτῆς μετ᾽ εἰρήνης.

Καὶ οἱ τρόποι τῶν ἀρετῶν, οἷς διαφόρως ἄγει πρὸς σωτη-

III. ρίαν τοὺς ἑπομένους αὐτῇ, ἐνεργοῦνται μετὰ πάσης ἀπαλλαγῆς παθῶν παρὰ τούτων· ὡς μήτε δόξης ἕνεκεν, μήτε χάριν ἀνθρωπαρεσκείας καὶ ἐπιδείξεως, τὴν ἀρετὴν ἢ τὴν μελέτην τῶν θείων λόγων μετερχομένων.

18. Ξύλον ζωῆς ἐςὶ πᾶσι τοῖς ἀντεχομένοις αὐτῆς, καὶ τοῖς ἐπερειδομένοις ἐπ' αὐτὴν, ὡς ἐπὶ κύριον, ἀσφαλής.

Φυτὸν γάρ ἐστι καρποφοροῦν τὴν ἐν πνεύματι ζωὴν, ἅπασι τοῖς κατὰ διάθεσιν ἀντιποιουμένοις αὐτῆς, καὶ τοῖς ἐπὶ ταύτῃ κατὰ πίςιν ἐστηριγμένοις, ὡς ἐπὶ παντοκράτορι θεῷ λόγῳ, φυλακτικὴ ἀπὸ παντὸς ὑπάρχει κακοῦ.

19. Ὁ θεὸς, τῇ σοφίᾳ ἐθεμελίωσε τὴν γῆν· ἡτοίμασε δὲ οὐρα-
20. νὸν ἐν φρονήσει· ἐν αἰσθήσει αὐτοῦ ἄβυσσοι ἐῤῥάγησαν, νέφη δὲ ἐῤῥύη δρόσον.

Μετὰ πάντων δὲ τῶν εἰρημένων τῆς σοφίας κατορθωμάτων, καὶ αὐτὸς ὁ θεὸς καὶ πατὴρ, ταύτῃ ὡς ἐνυποςάτῳ δυνάμει αὐτοῦ, ἐπήξατο ἐπὶ τῆς ῥυτῆς τῶν ὑδάτων φύσεως τὴν ξηρὰν γῆν· παρήγαγε δὲ οὐρανοὺς τῇ ἰδίᾳ βουλῇ· καὶ τῇ κρίσει αὐτοῦ διῃρέθη τὰ ὕδατα ἄνω καὶ κάτω τοῦ ςερεώματος· ὑρδεύειν δὲ τὴν γῆν ὑετῷ τὰ νέφη ἐτάχθησαν.

21. Υἱὲ, μὴ παραῤῥυῇς.

Διὸ τέκνον μαθὸν ὅτι τῷ λόγῳ κυρίου ὑπέστη τόδε τὸ πᾶν, μὴ παρατραπῇς διὰ τοῦ μεγέθους καὶ τῆς καλονῆς τῶν κτισμάτων, εἰς τὸ ταῦτα θεοποιῆσαι, καὶ τὸν γενεσιουργὸν πάντων θεὸν ἀγνοῆσαι.

Τήρησον δὲ ἐμὴν βουλὴν καὶ ἔννοιαν.

Φύλαξον δὲ τὴν ἐμὴν ἐν μὲν τοῖς πρακτέοις παραίνεσιν τὸ δέον ὑποτιθεμένην σοι, ἐν δὲ τοῖς θεωρητέοις τὴν εὐσεβῆ περὶ θεοῦ ἔννοιαν.

22. Ἵνα ζήσῃ ἡ ψυχή σου.

Ὅπως τῆς δι' ἄγνοιαν τοῦ ὄντως καλοῦ ἐκ τῶν παθῶν νεκρώσεως ἀπαλλαγεῖσα σου ἡ ψυχὴ, τῆς ἐν πνεύματι ἀπαθεστάτης γνωστικῶς ἀξιωθείη ζωῆς.

Καὶ χάρις ᾖ περὶ σῷ τραχήλῳ.

Καὶ οἷα δικαιοσύνης ζυγὸς, ἡ λαμπρότης τῶν ἐντολῶν τοῦ III.
Θεοῦ, ἐνυπάρχῃ ὥς τινι τραχήλῳ τῷ σῷ προαιρετικῷ πρακτικῶς.

Ἔσαι δὲ ἴασις σαρξί σου, καὶ ἐπιμέλεια τοῖς ὀςέοις σου.

Ὑπάρξει δὲ θεραπεία τῶν τῇ ἡδυπαθείᾳ κατατριβομένων τοῦ σώματός σου μελῶν, ἡ σωφροσύνη· καὶ περιποίησις τῶν δίκην ὀςέων τονωτικῶν τῆς ψυχῆς σου δυνάμεων, εἰς τὸ μὴ τοῦ ἁρμόζοντος παραθραύεσθαι, ἡ εὐσεβὴς περὶ Θεοῦ ἔννοια.

Ἵνα πορεύῃ πεποιθὼς ἐν εἰρήνῃ πάσας τὰς ὁδούς σου, ὁ δὲ 23.
πούς σου οὐ μὴ προσκόπτῃ.

Ὡς ἂν πρακτικῶς διεξέρχῃ θαῤῥῶν, ἐν ἀπαθεςάτῃ ἕξει καὶ ἀταράχῳ, πάσας τὰς εἰς Θεὸν φερούσας τούτου ἐντολάς· καὶ τὸ ἀπὸ προτάσεων ἀρχόμενον, καὶ μέχρι συμπερασμάτων διῆκον διανοητικόν σου, οὐ μὴ προσκρούῃ δόξαις ψευδέσιν.

Ἐὰν γὰρ κάθῃ, ἄφοβος ἔσῃ· ἐὰν δὲ καθεύδῃς, ἡδέως ὑπνώσεις. 24.

Εἴτε γὰρ τοῦ πόνου τῆς ἀρετῆς μικρὸν τὴν σάρκα διαναπαύεις, οὐ φοβηθήσῃ τὰς ἐφόδους τῶν πνευμάτων τῆς πονηρίας· ὡς ἀεὶ τὸν νοῦν ἔχων προσηλωμένον Θεῷ· εἴθ' ὑπνοῖς τὸν τίμιον ἐναντίον κυρίου θάνατον τῶν ὁσίων αὐτοῦ, τῇ ἐλπίδι τῆς ἀναςάσεως καὶ τῶν ἐπηγγελμένων παρὰ θεοῦ ἀγαθῶν, ἔσῃ ἐπευφραινόμενος.

Καὶ οὐ φοβηθήσῃ πτόησιν ἐπελθοῦσαν, οὐδὲ ὁρμὰς ἀσεβῶν 25.
ἐπερχομένας.

Καὶ οὐ πτοηθήσῃ διὰ συνειδὸς ἀκατάγνωςον, ἐκδειμάτωσίν τινα δαιμονιώδη, παραγενομένην σοι μετὰ τὴν ἔξοδον τῆς παρούσης ζωῆς, ὥςε διακόψαι σε τῆς πρὸς Θεὸν ἐλπίδος· οὔτε καταδρομὰς τῶν ἀποςάντων τούτου, καὶ μὴ τιμώντων αὐτὸν πνευμάτων τῆς πονηρίας, ἐπιούσας σοι ἐν ζωῇ, ὥςε τῶν θείων ἐντολῶν παραβάτην ἀποδεικνύειν σε.

Ὁ γὰρ κύριος ἔςαι ἐπὶ πασῶν ὁδῶν σου, καὶ ἐρείσει σὸν 26.
πόδα, ἵνα μὴ σαλευθῇ.

Αὐτὸς γὰρ ὁ τῶν ὅλων δεσπότης Θεὸς, ἔσεται ἐν πάσαις ταῖς ἐν ζωῇ κατ' ἀρετὴν πορείαις σου, ὁδηγῶν σε πρὸς σωτηρίαν,

III. διὰ τῶν ἁγίων αὐτοῦ ἐντολῶν· ἀλλὰ καὶ μετὰ τὴν ἔξοδον τῆς παρούσης ζωῆς, στηρίξει ἐν ἑαυτῷ τὴν ἐλπίδα σου, ὥς τινα πόδα, ἐν ἀσφαλεῖ τόπῳ· ἵνα μὴ αὐτοῦ ἀποστῇ· ἡ δὲ τὰ πρακτέα σοι ὑποτιθεμένη ἐμὴ παραίνεσις, αὕτη ἐστίν.

27. Μὴ ἀπόσχῃ εὖ ποιεῖν ἐνδεᾶ, ἡνίκα ἂν ἔχῃ ἡ χείρ σου βοηθεῖν.

Μὴ παύσῃ εὐεργετεῖν τὸν ἔχοντα χρείαν εὐεργετεῖσθαι· ἕως ἄν σοι εἰς τὸ ἐπαρκεῖν αὐτῷ, περιουσία ἐστίν.

28. Μὴ εἴπῃς ἐπανελθὼν ἐπάνηκε, καὶ αὔριον δώσω, δυνατοῦ σου ὄντος εὖ ποιεῖν· οὐ γὰρ οἶδας τί τέξεται ἡ ἐπιοῦσα.

Μὴ παραπέμψῃς αὐτὸν εἰς τὴν ἐπιοῦσαν ἡμέραν, εἰπὼν ὅτι τὴν σήμερον μὲν ὑποχώρησον, τὴν δ' αὔριον ἐλθὲ, καὶ οὗ χρείαν ἔχεις παράσχω σοι, ἰσχύος προσούσης σοι παραυτίκα τοῦτον εὐεργετεῖν· ἀγνοεῖς γὰρ τί ἐπαγάγει ἡ αὔριον.

29. Μὴ τέκταινε ἐπὶ σὸν φίλον κακὰ, παροικοῦντα καὶ πεποιθότα ἐπὶ σοί.

Μὴ κατασκεύαζε, εἴτε ἐν τῷ διὰ τὴν ὁμοφυίαν ἀγαπᾶσθαι σοι ὀφείλοντι ἀνθρώπῳ, τὰ κατά τε σῶμα καὶ ψυχὴν βλαβερὰ, γειτνιάζοντί σοι καὶ μετὰ θεὸν ἐπὶ σοὶ τὰς ἐλπίδας σαλεύοντι, ὡς δυναμένῳ βοηθεῖν αὐτῷ ἐν οἷς ἄν σου πρὸς τὰ σώματι καὶ ψυχῇ σωστικὰ δέηται· εἴτ' ἐν τῷ φιλουμένῳ παρὰ σοῦ σαρκίῳ διὰ τὴν πρὸς αὐτὸν σχέσιν, τὰ κατ' ἔλλειψιν τῆς ἀρετῆς πάθη, ἢ τὰ καθ' ὑπερβολὴν· προσκαίρως καὶ οὐ μονίμως τῇ σῇ ψυχῇ παραμένοντι ὡς θνητῷ, καὶ ἀπὸ τοῦ ταύτης λογιστικοῦ φυσικῶς τὸ ἑαυτοῦ ἀπεκδεχομένῳ προνοητικόν· ἀλλὰ καὶ ἀμφοτέρων προνοοῦ· τοῦ μὲν ὁμοφυοῦς, τάγε πρὸς χρείαν· τοῦ δὲ συγγενοῦς σαρκίου, τὰ πρὸς σύστασιν· ἵν' ἔχῃς αὐτὸ συνεργὸν πρὸς τὰ κάλλιστα, καὶ οὐχὶ τὰ πρὸς ἡδυπάθειαν· ὅπως μὴ ἐντεῦθεν ἀποθησαυρίσῃς σεαυτῷ ὕλην τοῦ αἰωνίου πυρός.

30. Μὴ φιλεχθρήσῃς πρὸς ἄνθρωπον μάτην, μή τι εἰς σὲ ἐργάσηται κακόν.

Μὴ ἀγαπήσῃς, εἴτε τὴν πρός τινα ἄνθρωπον ἔχθραν, ὅπως μὴ βλάβην τινὰ δηλαδὴ ψυχικὴν ἢ σωματικὴν ἐπαγάγῃ σοι· ἐπεὶ

οὐδεμία ὑπάρχειν σοι δύναται εὔλογος ἀφορμὴ πρὸς μῖσος αὐ- III.
τοῦ· εἴτε τὴν πρὸς τὸ σῶμα ἀνονήτως, διὰ τὸ κατ᾽ αὐτὸ τῆς ἀνθρωπίνης φύσεως ἀσθενὲς, καὶ περὶ τοὺς ἀκουσίους φόνους εὐέμπτωτον μήποτε ἀποτελέσῃ εἰς σὲ ψυχικὴν ἀπώλειαν, τὸ τῶν κακῶν χείριστον, δι᾽ ὀλιγωρίαν τυχὸν, τὸν τούτῳ ἐπινοήσαντα ὄλεθρον·

Μὴ κτήσῃ κακῶν ἀνδρῶν ὀνείδη· 31.

Μὴ ἐπισπάσῃ μέμψεις ἃς ὑφίστανται οἱ παράνομοι·

Μηδὲ ζηλώσῃς τὰς ὁδοὺς αὐτῶν·

Μηδὲ γένῃ τῶν ἔργων αὐτῶν μιμητής·

Ἀκάθαρτος γὰρ παρὰ κυρίου πᾶς παράνομος· 32.

Μεμολυσμένος γάρ ἐστιν ἐνώπιον Θεοῦ, κἂν λανθάνειν ἀνθρώπους ἐπιχειρῇ, ἅπας παραβάτης τῶν αὐτοῦ ἐντολῶν.

Ἐν δὲ δικαίοις οὐ συνεδριάζει·

Μετὰ δὲ τῶν τηρούντων αὐτὰς οὐ συγκάθηται, ὡς μὴ συναναπαυόμενος τούτοις κατὰ γνώμην ἐπὶ τῷ ἀγαθῷ·

Κατάρα κυρίου ἐν οἴκοις ἀσεβῶν· 33.

Διὸ κατάκρισις ὑπάρχει ἀπ᾽ αὐτοῦ τοῦ τῶν ὅλων δεσπότου Θεοῦ, τοῖς σώμασιν, ὧν ἀντέχονται, οἷά τινων μονίμων κατοικιῶντες φιλοσώματοι, αἱ ψυχαὶ τῶν μὴ δι᾽ ἀγαθῶν ἔργων τιμώντων αὐτόν· κρινομένων τῶν τοιούτων ἀνθρώπων κατ᾽ ἀνθρώπους σαρκὶ, ἵνα ζῶσι κατὰ Θεὸν πνεύματι·

Ἐπαύλεις δὲ δικαίων εὐλογοῦνται·

Τὰ δὲ σώματα ἐν οἷς αὐλίζονται, ὡς προσκαίροις τισὶ παροικίαις, αἱ ψυχαὶ τῶν προκρινόντων τὰ αἰώνια τῶν προσκαίρων, ἐνάγονται πρὸς τὸ ἀγαθὸν ταῖς τῶν θείων αὐτοῦ ἐντολῶν ἐργασίαις·

Κύριος ὑπερηφάνοις ἀντιτάσσεται, ταπεινοῖς δὲ δίδωσι χάριν. 34.

Ἀλλὰ καὶ τοῖς ἀγνοοῦσι τὴν οἰκείαν ἀσθένειαν, καὶ ἑαυτοῖς καὶ οὐ Θεῷ τὰ κατορθώματα ἐπιγράφουσιν, ἀντικαθίσταται αὐτὸς ὁ πάντων δεσπότης, ἡ ἐνυπόστατος τοῦ Θεοῦ παντοκρατορικὴ δύναμις, σφάλλων αὐτόν· ὅπως τὴν οἰκείαν ἐπιγνόντες ἀσθε-

III. νειαν, μὴ ἐπαίρωνται ἐφ' οἷς χωρὶς αὐτοῦ οὐ δύνανται ποιεῖν οὐδὲν, καὶ τῆς ἀληθείας ἀποπλανῶνται· τοὺς δὲ ἐπιγνώμονας τῆς οἰκείας ἀσθενείας, καὶ ταπεινόφρονας, τῆς τοῦ παναγίου πνεύματος ἀξιοῖ χάριτος, καθαίρων μὲν τούτους ἀπὸ πάσης κακίας τῷ φόβῳ, φωτίζων δὲ τῇ τῶν θείων ἐντολῶν κατὰ πεῖραν συνέσει· καὶ τελειῶν τῇ δι' ἀγάπης ἑνούσῃ τούτους αὐτῷ, τελειοποιῷ σοφίᾳ·

35. Δόξαν σοφοὶ κληρονομήσουσιν.

Ἧς σοφίας οἱ ἀξιωθέντες, ὡς ἔργοις δικαιοσύνης τιμήσαντες τὸν ἐν οὐρανοῖς κατὰ χάριν πατέρα, τῆς τούτου βασιλείας κληρονόμοι γενήσονται.

Οἱ δὲ ἀσεβεῖς ὕψωσαν ἀτιμίαν.

Οἱ δὲ μὴ δι' ἀγαθῶν ἔργων τιμῶντες αὐτὸν, τὴν ἑαυτῶν ἀτιμοποιὸν κακίαν περιφανεστέραν ἐποίησαν, τὰς ἀμυθήτους τῶν παραλόγων παθῶν γενέσεις ἐπινοήσαντες·

CAP. IV.

v. 1. Ἀκούσατε παῖδες παιδείαν πατρὸς, καὶ προσέχετε γνῶναι ἔννοιαν·

Ἔνθεν τοι τεκνία πνευματικὰ, ταῖς μὲν ἐπιπειθέσι λόγῳ ὀρεκτικαῖς τῶν ψυχῶν ἡμῶν δυνάμεσιν, ὑπακούσατε τῆς κατὰ πρᾶξιν ἐπιπόνως τῶν ἀπὸ κακίας κηλίδων ἐκκαθαιρούσης ὑμᾶς παραινέσεως, τοῦ κατὰ χάριν υἱοθετοῦντος ἡμᾶς θεοῦ· ταῖς δὲ θεωρητικαῖς, σκοπεῖτε καταλαβεῖν γνωστικῶς τὴν ταύτης διάνοιαν·

2. Δῶρον γὰρ ἀγαθὸν δωροῦμαι ὑμῖν· τὸν ἐμὸν νόμον μὴ ἐγκαταλίπητε·

Μηδὲν γὰρ προεισενεγκοῦσι, παρέχω ὑμῖν εὐεργεσίαν σωτήριον, τοῦ ἀποτρέποντος τῶν μὴ δεόντων, καὶ προτρέποντος τὰ δέοντα θείου νόμου, ᾧ καὶ αὐτὸς ὑπόκειμαι, μὴ ἀπόσχησθε·

3. Υἱὸς γὰρ ἐγενόμην κἀγὼ πατρὶ ὑπήκοος, καὶ ἀγαπώμενος ἐν προσώπῳ μητρός.

Παῖς γὰρ κατὰ χάριν γέγονα καὶ αὐτὸς, τῷ οὐρανίῳ ἡμῶν πατρὶ πειθήνιος, καὶ φιλούμενος παρ' αὐτοῦ ἐν τῷ χαρακτηριστικῷ τῆς ἐκθρεψαμένης με διδασκαλίας αὐτοῦ πολιτεύματι. IV.

Οἳ ἐδίδασκόν με, καὶ ἔλεγον· 4.

Οἳ, ὁ διδάσκων πάντως, καὶ ἡ τούτου διδασκαλία, ἐνουθέτουν με, λέγοντες.

Ἐρειδέτω ὁ ἡμέτερος λόγος εἰς τὴν καρδίαν·

Ποιείτω ἐν τῇ σῇ διανοίᾳ ἡ παραίνεσις ἡμῶν στηριγμὸν, ἑδραιοῦσα ταύτην ἐν τῷ ἀγαθῷ·

Φύλασσε ἐντολάς μου, καὶ ζήσῃ·

Τήρει ἐμὰ τοῦ υἱοθετησαμένου σε παραγγέλματα, καὶ τῆς ἐν πνεύματι μακαρίας μετάσχῃς ζωῆς.

Κτῆσαι σοφίαν, κτῆσαι σύνεσιν. 5.

Προσλαβοῦ τὴν τε πάσης ἀγνοίας ἀφανιστικὴν σοφίαν, καὶ τὴν πασῶν μου τῶν ἐντολῶν ποιητικὴν σύνεσιν.

Μὴ ἐπιλάθῃ, μηδὲ παρίδῃς ῥῆσιν ἐμοῦ στόματος.

Μὴ ἀμνήμων μήτε παρόπτης τῆς ἐμῆς γένῃ διδασκαλίας.

Μὴ ἐγκαταλείπῃς αὐτὴν, καὶ ἀνθέξεταί σου. 6.

Μὴ ἀποστῇς ταύτης, καὶ ἀντιλήψεταί σου ἐν ταῖς κατὰ τῶν νοητῶν ἐχθρῶν ἀντιπαρατάξεσιν.

Ἐράσθητι αὐτῆς, καὶ τηρήσει σε.

Ἀγάπησον αὐτὴν, καὶ φυλάξει σε τῆς ἐξ αὐτῆς βλάβης ἀνεπιβούλευτον.

Ἀρχὴ σοφίας, κτῆσαι σοφίαν. 7.

Ἀπαρξάμενος δὲ τῆς σοφίας διὰ πίστεως, ἐν τῷ καθαρτικῷ τοῦ ῥύπου τῶν ἁμαρτημάτων σου φόβῳ τῶν ἀπειλῶν μου, ἐπείχθητι μετὰ πολλῆς τῆς σπουδῆς ὅλην προσλαβέσθαι αὐτὴν, διὰ τῆς τῶν ἐπαγγελιῶν μου ἐλπίδος, καὶ τῆς πρός με ἀγάπης.

Καὶ ἐν πάσῃ κτήσει σου, κτῆσαι σύνεσιν.

Καὶ διὰ πασῶν ὧν κέκτησαι δυνάμεων, σπεῦσον ἐπικτήσασθαι τὴν ποιητικὴν τῶν ἐμῶν ἐντολῶν σύνεσιν.

Περιχαράκωσον αὐτὴν, καὶ ὑψώσει σε. 8.

IV. Κατασφάλισαι σεαυτῷ τὴν σοφίαν, ταῖς ὥσπερ τάφοις ἀποτρεπτικαῖς τῶν ἐπιβυλευόντων ταύτῃ νοητῶν ἐχθρῶν, ἐμαῖς ἐντολαῖς, καὶ ἀναγάγῃ σε ἀπὸ τῶν σαρκικῶν καὶ γεΐνων, πρὸς τὰ πνευματικὰ καὶ οὐράνια.

Τίμησον αὐτὴν, ἵνά σε περιλάβῃ.

Δόξασον αὐτὴν ἐν ἀγαθοεργίαις, ἵνά τε ὅλον σε περισχῇ, πείσασα τὴν σάρκα τῷ νοῒ μὴ ἀντιστρατεύεσθαι· ἀλλὰ συνεργεῖν αὐτῷ πρὸς τὴν τῶν κρειττόνων ὑπηρεσίαν.

9. Ἵνα δῷ τῇ σῇ κεφαλῇ στέφανον χαρίτων.

Καὶ παράσχῃ μὲν τῷ ἡγεμόνι σου νοῒ πεποικιλμένον ταῖς τῶν ἐντολῶν χάρισι στέφανον τῆς κατὰ τῶν ἑκουσίων παθῶν νίκης.

Στεφάνῳ δὲ τρυφῆς ὑπερασπίσει σου.

Ὑπεραγωνίσεται δέ σου καὶ κατὰ τῶν ἀκουσίων, τῷ ἐλπιζομένῳ ἐπάθλῳ κατὰ τὴν πνευματικὴν ἐν τῷ παραδείσῳ τρυφήν.

10. Ἄκουε υἱὲ, καὶ δέξαι ἐμοὺς λόγους.

Λοιπὸν μάνθανε τέκνον μου πνευματικὸν, ἃ καὶ αὐτὸς παρὰ θεοῦ ἐδιδάχθην, καὶ προσδέχου κατὰ διάθεσιν τὰς ἐμὰς παραινέσεις.

Καὶ πληθυνθήσονται ἔτη ζωῆς σου.

Καὶ αὐξηθήσονταί σου τὰ τῆς πνευματικῆς ζωῆς μέτρα.

Ἵνά σοι γένωνται πολλαὶ ὁδοὶ βίου.

Ὅπως ἔσωνταί σοι πολλαὶ μέθοδοι πολιτείας πνευματικῆς, ἀμεταρεπτὶ διὰ πάντων τῶν κατὰ τὸν βίον συναντημάτων, πρὸς τὴν ἄνω χορείαν ὁδεύοντι.

11. Ὁδοὺς γὰρ σοφίας διδάσκω σε.

Τὰ γὰρ πρὸς σωτηρίαν σε ἄγοντα θελήματα τοῦ θεοῦ, ἅπερ διεξέρχεται ὁ μονογενὴς τούτου υἱὸς καὶ λόγος, ἡ ἐνυπόστατος αὐτοῦ δύναμις καὶ σοφία, ἐκκαλύπτων ἀπαραλείπτως αὐτὰ διά τε τοῦ φυσικοῦ νόμου καὶ τοῦ γραπτοῦ, ὑποδεικνύω σοι κατὰ θεωρίαν.

Ἐμβιβάζω δέ σε τροχιαῖς ὀρθαῖς.

Ἐνάγω δέ σε κατὰ πρᾶξιν εἰς τὰς πρὸς πάσας κακίας ἀπαρ- IV.
εγκλίτους δρόμους τῶν ἀρετῶν.

Ἐὰν γὰρ πορεύῃ, οὐ συγκλεισθήσεται τὰ διαβήματά σου. 12.

Τὰ γὰρ θεῖα θελήματα, εἰ μὲν κατὰ θεωρίαν διέρχῃ, πέ-
ρας οὐχ ἕξουσί σου τὰ διανοήματα, τῇ θείᾳ ἀπειρίᾳ συμπαρ-
εκτεινόμενα.

Ἐὰν δὲ τρέχῃς, οὐ κοπιάσῃς.

Εἰ δὲ κατὰ πρᾶξιν προθύμως διεξέρχῃ, χρηστὸς ὁ ζυγός·
καὶ ἐλαφρὸν τὸ φορτίον τῶν θείων ἐντολῶν σοι φανήσεται, κου-
φιζομένῳ τῇ ἐλπίδι τῶν μελλόντων ἀγαθῶν τοῦ πόνου τῆς ἀρετῆς.

Ἐπιλαβοῦ ἐμῆς παιδείας, μὴ ἀφῇς, ἀλλὰ φύλαξον αὐτὴν σε- 13.
αυτῷ εἰς ζωήν σου.

Διὸ προσλαβοῦ κατὰ διάθεσιν τὴν ἐμὴν παραίνεσιν, καὶ μὴ
καταλείψῃς, ἀλλὰ τήρησον ταύτην παρὰ σεαυτῷ ἀνεπίληστον·
ὥστε ζῆν καθὼς αὕτη σοι ὑποτίθησι.

Ὁδοὺς ἀσεβῶν μὴ ἐπέλθῃς· μηδὲ ζηλώσῃς ὁδοὺς παρανόμων. 14.

Τοῖς ἴχνεσι τῶν ἀπιστούντων θεῷ, μὴ τιμώντων δι᾽ ἀγα-
θῶν ἔργων αὐτὸν, μὴ ἀκολουθήσῃς· μήτε μιμήσῃ τὰ ἔργα τῶν
παραβαινόντων τὰς αὐτοῦ ἐντολάς.

Ἐν ᾧ δ᾽ ἂν τόπῳ στρατοπεδεύσωσι, μὴ ἐπέλθῃς ἐκεῖ· ἔκ- 15.
κλινον δ᾽ ἀπ᾽ αὐτῶν, καὶ παράλλαξον.

Ἔνθα δ᾽ ἂν οὗτοι πρὸς βλάβην ἀνθρώπων ἀθροισθῶσιν, αὐ-
τὸς μὴ ἀπέλθῃς· μακρὰν δὲ τούτων ὡς μισοθέων ἅμα καὶ μισ-
ανθρώπων γενοῦ· καὶ ἄλλην ἤπερ οὗτοι βίωσον βιοτὴν, φιλό-
θεον ὁμοῦ καὶ φιλάνθρωπον.

Οὐ γὰρ μὴ ὑπνώσωσιν, ἐὰν μὴ κακοποιήσωσιν· ἀφῄρηται ὁ 16.
ὕπνος ἀπ᾽ αὐτῶν, καὶ οὐ κοιμῶνται.

Οὐ γὰρ ὕπνου οὗτοι μετάσχωσι, μέχρις ἂν τινα βλάψαι
ἰσχύσωσι· διότι περιῄρηται ἐκ τούτων ὁ ὕπνος, καὶ οὐχ ὑπνώτ-
τουσι, τῇ πρὸς βλάβην τοῦ πέλας μερίμνῃ ἀπαγρυπνοῦντες διη-
νεκῶς.

Οἵδε γὰρ σιτοῦνται σῖτα ἀσεβείας· οἴνῳ δὲ παρανόμῳ με- 17.
θύσκονται.

IV. Οὗτοι γὰρ, ἔργοις μὲν ἀτιμίας τρέφονται, τούτοις πρὸς κακίαν αὐξάνοντες· παραλόγῳ δὲ σαρκὸς φρονήματι, ὥς τινι οἴνῳ, ἐξίστανται τοῦ σώζοντος καθεστηκότα τὸν νοῦν πνευματικοῦ φρονήματος.

18. Αἱ δὲ ὁδοὶ τῶν δικαίων ὁμοίως φωτὶ λάμπουσι· προπορεύονται καὶ φωτίζουσιν ἕως κατορθώσει ἡ ἡμέρα.

Τὰ δὲ ἔργα τῶν κατὰ τοὺς θείους νόμους πολιτευομένων, τὰς τῶν ἀφορώντων εἰς ταῦτα ψυχὰς καταυγάζουσι, παραπλησίως τοῖς ἔργοις τοῦ τῆς δικαιοσύνης ἡλίου· προηγοῦνται δὲ τούτων, καὶ πυρσεύουσι ταύταις, μέχρις ἂν αὐτὸς ὁ τῆς δικαιοσύνης ἥλιος φαιδρῶς ἐπ᾽ αὐταῖς διαλάμψῃ.

19. Αἱ δὲ ὁδοὶ τῶν ἀσεβῶν, σκοτειναί· οὐκ οἴδασι πῶς προσκόπτουσι.

20. Τὰ δὲ ἔργα ἀπιστούντων Θεῷ, καὶ μὴ δι᾽ ἀγαθοεργίας τιμώντων αὐτὸν, σκότος ἀγνοίας ὑπάρχουσιν· ἐπειδὴ οὗτοι ἀγνοοῦσιν ὅπως τῷ ἀγαθῷ προσπταίουσιν.

Υἱὲ, ἐμῇ ῥήσει πρόσεχε.

Ἔνθέν τοι τέκνον πνευματικὸν, τῇ ἐμῇ διδασκαλίᾳ τῆς ψυχῆς σου θεωρητικὸν ἀπασχόλει, κατανοῶν γνωστικῶς ἅπερ αὕτη σοι ὑποτίθησι.

Τοῖς δ᾽ ἐμοῖς λόγοις παράβαλε σὸν οὖς.

Ταῖς δ᾽ ἐμαῖς ὑποθήκαις παρατίθει τὸ ἐπιπειθὲς λόγῳ ἐπιθυμητικόν σου καὶ θυμικὸν, ὑπακούων αὐταῖς ὀρεκτικῶς κατὰ πρᾶξιν.

21. Ὅπως μὴ λείπωσί σε αἱ πηγαὶ τῆς ζωῆς.

Ὅπως ἀεί σοι βλυστάνωσι κατ᾽ ἔμπρακτον γνῶσιν, ὥς τινες ἀέναοι πηγαὶ, τὴν πρέπουσάν σοι ὡς λογικῷ πνευματικὴν ζωὴν, αἱ τοῦ Θεοῦ ἐντολαὶ ἃς δή σοι καὶ ὑποτίθημι.

Φύλασσε αὐτὰς ἐν σῇ καρδίᾳ.

Τήρει κατὰ διάνοιαν ταύτας διὰ παντός.

22. Ζωὴ γάρ ἐστι τοῖς εὑρίσκουσιν αὐτὰς, καὶ πάσῃ σαρκὶ ἴασις.

Γνῶσις γὰρ ὑπάρχει πνευματικὴ τοῖς ἐντυγχάνουσιν αὐ-

ταῖς, καὶ ἅπασι τοῖς τῆς σαρκὸς αὐτῶν μέλεσι, τῶν κατ' ἐνέργειαν παθῶν ἀπαλλαγή. IV.

Πάσῃ φυλακῇ τήρει σὴν καρδίαν· ἐκ γὰρ τούτων ἔξοδοι ζωῆς. 23.

Διὰ πασῶν τούτων τὴν σὴν κατασφαλίζου διάνοιαν· ἐξ αὐτῶν γὰρ ἡ ἐν πνεύματι κεκρυμμένη ζωὴ πρόεισιν ἐφ' ἑκάστῃ δυνάμει τῆς ψυχῆς κατ' ἐνέργειαν.

Περίελε σεαυτοῦ σκολιὸν στόμα. 24.

Περίκοψον ἀπὸ σοῦ τὴν ὑποτιθεμένην σοι τὰς ἐπιτάσεις τῶν ἀρετῶν διὰ τὴν παρ' ἀνθρώποις δόξαν, πονηρὰν τοῦ δαίμονος συμβουλήν.

Καὶ ἄδικα χείλη μακρὰν ἀπὸ σοῦ ἄπωσαι.

Καὶ τὰς παρανόμους ὑποθήκας αὐτοῦ, αἵ σοι τὰς ἐλλείψεις τῶν ἀρετῶν ὑπαγορεύουσι, πόῤῥω ἐκ σοῦ ἀποδίωξον.

Οἱ ὀφθαλμοί σου ὀρθὰ βλεπέτωσαν. 25.

Αἱ θεωρητικαὶ τῆς ψυχῆς σου δυνάμεις, ἀπαρεγκλίτως τῆς πρὸς ἑκάτερα τὰ εἰρημένα ῥοπῆς, πρὸς μόνον τὸ εὐάρεστον θεῷ ἀποσκοπείτωσαν.

Τὰ δὲ βλέφαρά σου νευέτω δίκαια.

Αἱ δὲ ὀρεκτικαὶ, τῇ ἐπὶ τοῖς κατὰ λόγον κρινομένοις ἀγαθοῖς (ῥοπῇ) συγκατανευέτωσαν· τοῦ ὄντος μὲν ἀγαθοῦ ὀρεγόμεναι, τὸ δὲ κακὸν ἀποστρεφόμεναι.

Ὀρθὰς τροχιὰς ποίει σοῖς ποσίν. 26.

Ἰθυτενεῖς πρὸς τὴν ἀλήθειαν καὶ τὸ ἀγαθὸν, τοὺς κατὰ θεωρίαν καὶ πρᾶξιν δρόμους σου ἀπεργάζου, ταῖς κατὰ νοῦν τε καὶ λόγον τῆς ψυχῆς σου κινήσεσι.

Καὶ τὰς ὁδούς σου κατεύθυνε.

Κἀντεῦθεν τὰς κατὰ γνῶσιν καὶ ἀρετὴν φερούσας σε πρὸς θεὸν ὡς ἀλάθητον γνωστὸν, καὶ ἔσχατον ὀρεκτὸν, ἐντολὰς αὐτοῦ ἀπλανῶς πορεύθητι.

Μὴ ἐκκλίνῃς εἰς τὰ δεξιὰ, μηδὲ εἰς τὰ ἀριστερά· 27.

Μὴ παρατράπῃς εἰς τὰ καθ' ὑπερβολὴν τῆς ἀρετῆς πάθη, μηδὲ εἰς τὰ κατ' ἔλλειψιν.

IV. Ἀπόστρεψον δὲ σὸν πόδα ἀπὸ ὁδοῦ κακῆς καὶ σκολιᾶς.

Εἴ πȣ δέ τι τοιοῦτον συμβῇ περὶ σὲ, κινȣμένης πρὸς ταῦτα τῆς διανοίας σου, μετένεγκε ταύτην ἑτοίμως, ἀπό τε τῆς κατ' ἔλλειψιν τῆς ἀρετῆς πρὸς κακίαν φθορᾶς, καὶ τῆς καθ' ὑπερβολὴν πρὸς πονηρίαν, ἢ ἐςι τὸ μόνȣ πόνȣ ἐρᾷν, ἐν ὅσῳ τις μὴ διὰ Θεὸν, ἀλλὰ δι' ἀνθρώπων ἀρέσκειαν, ἐπιτηδεύει τὸ ἀγαθόν.

Ὁδοὺς γὰρ τὰς ἐκ δεξιῶν οἶδεν ὁ Θεός.

Αἱ γὰρ μὴ διὰ Θεὸν, ἀλλὰ διὰ τὴν παρ' ἀνθρώπων δόξαν ἐπιτάσεις τῶν ἀρετῶν, ȣ λελέθασι τὸν ὀφθαλμὸν τοῦ Θεȣ· διόπερ οὗτος οὐ παρέχει τινὰ ὑπὲρ τούτων μισθόν.

Διεστραμμέναι δέ εἰσιν αἱ εὐώνυμοι.

Αἱ δὲ τῆς κακίας ἐργασίαι, ἐκτετραμμέναι εἰσὶ τοῦ ἀγαθοῦ, ὡς κατὰ πάντα αὐτῷ ἀντικείμεναι, καὶ μηδὲ καθ' ὑπόκρισιν τούτου μετέχουσαι.

Αὐτὸς δὲ ὀρθὰς ποιήσει τὰς τροχιάς σου.

Αὐτὸς δὲ ὁ Θεὸς, ἐν οἷς σφάλλει τὰ δι' ἀνθρωπαρέσκειας ὑποκρινόμενα τὸ ἀγαθὸν, ἔργα σου, καὶ ὑπὸ μέμψιν τίθησι, κατευθυνεῖ τοὺς κατὰ θεωρίαν δρόμους σου· ὥστε σε τὴν ἀλήθειαν μόνην κατὰ γνῶσιν ζητεῖν.

Τὰς δὲ πορείας σου ἐν εἰρήνῃ προάξει.

Τὰς δὲ κατὰ διάθεσιν προαιρετικὰς τοῦ ἀγαθοῦ κινήσεις σȣ, ἐν ἀταραξίᾳ πάσῃ, καὶ βαθείᾳ παθῶν γαλήνῃ εἰς ἔργον προαγάγῃ.

CAP. V.

v. 1. Υἱὲ, ἐμῇ σοφίᾳ πρόσεχε.

Τέκνον πνευματικὸν, τῇ ἐμῇ περὶ Θεοῦ ἐννοίᾳ πρόσκεισο, πρὸς δόξαν ψευδῆ μὴ παρασυρόμενος.

Τοῖς δ' ἐμοῖς λόγοις παράβαλε σὸν οὖς.

Ταῖς δ' ἐμαῖς διδασκαλίαις παρατίθει πρὸς ὑπακοὴν, τὸ ἐπιπειθὲς λόγῳ ἐπιθυμητικὸν τῆς ψυχῆς σου καὶ θυμικόν.

2. Ἵνα φυλάξῃς ἔννοιαν ἀγαθήν.

Ὅπως εἰς τὸ διηνεκὲς τηρήσῃς κατὰ διάθεσιν τὴν ἀληθῆ περὶ V.
τοῦ ὄντος ἀγαθοῦ δόξαν.

Αἴσθησιν δὲ ἐμῶν χειλέων ἐντέλλομαί σοι.

Τὴν κατὰ πρᾶξιν δὲ πεῖραν τῶν ἐμῶν διδαγμάτων σε κατ᾽ ἐντολὴν ἀπαιτῶ, καὶ οὐχὶ τὴν ψιλὴν τούτων ἀκρόασιν·

Μὴ πρόσεχε φαύλῃ γυναικί. 3.

Μὴ πρόσκεισο τῇ ὡς κατὰ προαίρεσιν ἀλογίστῳ ψεκτῇ αἰσθήσει·

Μέλι γὰρ ἀποστάζει ἀπὸ χειλέων γυναικὸς πόρνης.

Νομιζομένη γάρ τις ἡδονὴ ἀποῤῥέει ἐκ τῆς πρὸς τα αἰσθητὰ φιλίας τῆς τοῦ λογου πόῤῥω νευούσης αἰσθήσεως.

Ἡ πρὸς καιρὸν λεπαίνει σὸν φάρυγγα· ὕςερον μέν τοι πι- 4.
κρότερον χολῆς εὑρήσεις, καὶ ἠκονημένον μᾶλλον μαχαίρας διστόμου·

Ἡ τις δι᾽ ἡδονῆς τρέφει σοι τὸ ἡδυπαθὲς πρὸς μικρόν· μετὰ τοῦτο δ᾽ ἐντύχῃς αὐτῇ, πράγματι ἀηδεστέρῳ τε πάσης πικρίας· οἷα τῆς καθ᾽ αἴσθησιν ἡδονῆς τέλος τὴν ὀδύνην ἐχούσης· καὶ ἐπιτηδειοτέρῳ πρὸς πλῆξιν τοῦ συνειδότος σου, ὑπὲρ ξίφος τέμνον ἀμφοτέροις τοῖς μέρεσιν.

Τῆς γὰρ ἀφροσύνης οἱ πόδες κατάγουσι τοὺς χρωμένους αὐ- 5.
τῇ, μετὰ θάνατον εἰς τὸν ᾅδην.

Τῆς γὰρ ἀλογίας αἱ ὁρμαὶ, μετ᾽ αὐτοῦ τοῦ καθ᾽ ἁμαρτίας ψυχικοῦ θανάτου, κατασπῶσι τοὺς μετερχομένους αὐτὴν εἰς τὴν κατὰ τὴν σωματικὴν φθορὰν ἀφάνειαν.

Τὰ δὲ ἴχνη αὐτῆς οὐκ ἐρείδεται.

Τὰ δὲ ἔργα ταύτης, ἐπειδὴ μὴ περὶ τὰ μόνιμα καταγίνονται, οὐκ εἰσὶν ἀσφαλῆ.

Ὁδοὺς γὰρ ζωῆς οὐκ ἐπέρχεται. 6.

Αὕτη γὰρ, τὰς εἰς τὴν ἀΐδιον καὶ μακαρίαν ἐν πνεύματι ζωὴν φερούσας θείας ἐντολὰς, κατὰ πρᾶξιν οὐ διέρχεται·

Σφαλεραὶ δὲ αἱ τροχιαὶ αὐτῆς, καὶ οὐκ εὔγνωστοι.

Σφάλλονται δὲ περὶ τὴν τοῦ καλοῦ κρίσιν, οἱ κατὰ θιω-

V. ρίας δρόμοι αὐτῆς· ὡς μὴ πρὸς τὸ τῇ ἀληθείᾳ, ἀλλὰ τῇ ψευδεῖ ὑπολήψει καλὸν ἀποβλέποντες· καὶ οὐκ εὐκόλως οὕτως ἔχειν καταλαμβάνονται, διὰ τὸ τῶν προσκαίρων ἡδέων ἀπατηλόν.

7. Νῦν οὖν ὦ υἱὲ, ἄκουέ μου, καὶ μὴ ἀκύρȣς ποιήσῃς ἐμοὺς λόγους.

Κατὰ γοῦν τὸν παρόντα πάντα αἰῶνα τεκνίον ὑπήκοος ἔσο μοι, καὶ μὴ ἀπράκτους τὰς ἐμὰς ἐργάσῃ διδασκαλίας· ὅπως ταύταις ὥς τισιν ὁδοῖς ἀμέμπτως ὁδεύσῃς πρὸς τὸν μέλλοντα.

8. Μακρὰν ποίησον ἀπ' αὐτῆς σὴν ὁδόν.

Πόῤῥω τῆς ὡς εἴρηται ἀλογίστȣ αἰσθήσεως, τὴν σὴν ἀπέργασαι βιοτήν.

Μὴ ἐγγίσῃς προθύροις οἴκων αὐτῆς.

Καὶ διαβαίνων κατὰ νοῦν πρὸς τοὺς λόγους τῶν ὄντων, ἀπόφυγε τὰς ἐπιφανείας αὐτῶν αἳ πρόκεινται τοῖς δίκην θυρῶν εἰσαγωγοῖς αἰσθητηρίοις τῆς φαντασίας τῶν αἰσθητῶν· οἷς ὥς τισιν οἰκήμασι, παραμένει ἐμφιλοχωροῦσα ἡ αἴσθησις.

9. Ἵνα μὴ πρόῃ ἄλλοις ζωήν σου, καὶ σὸν βίον ἀνελεήμοσιν.

Ὅπως μὴ προδῷς τήν τε θεόθεν σοι χορηγουμένην ζωὴν, ἑτέροις παρὰ τὰ θεῖα θελήματα, καθ' ἃ τὰ πάντα γεγόνασι σαρκικοῖς θελήμασι διεξάγεσθαι, καὶ ἅπαν σου τὸ σπούδασμα ταῖς τιμωρητικαῖς δυνάμεσιν.

10. Ἵνα μὴ πλησθῶσιν ἀλλότριοι σῆς ἰσχύος.

Καὶ ἐμφορηθῶσιν οἱ ἀπηλλοτριωμένοι θεοῦ δαίμονες, ἧς κέκτησαι δυνάμεως πρὸς ἐργασίας τοῦ ἀγαθοῦ· ὑπȣργούσης τούτοις κατὰ σὴν προαίρεσιν, εἰς πᾶσαν πρᾶξιν ἀθέμιτον.

11. Οἱ δὲ σοὶ πόνοι, εἰς οἴκους ἀλλοτρίους εἰσέλθωσι, καὶ μεταμεληθῇς ἐπ' ἐσχάτων σου.

Οἱ δὲ σοὶ μόχθοι εἰς τὰς ἡτοιμασμένας αὐτοῖς τοῖς δαίμοσι μονὰς τῶν κολάσεων εἰσαχθῶσιν· ὕλη σοι τοῦ αἰωνίου πυρὸς χρηματίσαντες, καὶ μεταγνῷς ἐς ὕστερον.

12. Ἡνίκα ἂν κατατριβῶσιν σάρκες σώματός σȣ, καὶ ἐρεῖς· πῶς ἐμίσησα παιδείας, καὶ ἐλέγχους ἐξέκλινεν ἡ καρδία μου;

Ὁπηνίκα τὰ τῆς σαρκός σου μέλη τῷ χρόνῳ καταδαπα- V.
νηθῇ, καὶ πρὸς ἐργασίαν τοῦ ἀγαθοῦ διὰ τὸ γῆρας ἐξατονή-
σῃς, καὶ εἴπῃς ἑαυτὸν ταλανίζων, ἵνα τί τὴν τὸ ἀγαθὸν ὑπο-
τιθεμένην μοι διδασκαλίαν ἐβδελυξάμην, καὶ λόγοις τὴν κακίαν
μου διελέγχουσιν οὐ προσέσχε μου ἡ διάνοια;

Οὐκ ἤκουον φωνῆς παιδεύοντός με· καὶ διδάσκοντί με οὐ 13.
παρέβαλον τὸ οὖς μου.

Οὐχ ὑπήκουον τῷ τῶν μὴ δεόντων με ἀναστέλλοντι· καὶ τῷ
τὰ δέοντα ὑποτιθεμένῳ μοι, οὐ παρετίθουν τὰ ὦτα πρὸς ἀκρόασιν.

Παρ' ὀλίγον ἐγενόμην ἐν παντὶ κακῷ, ἐν μέσῳ ἐκκλησίας 14.
καὶ συναγωγῆς.

Παρὰ βραχὺ πᾶσαν ἁμαρτίαν κατὰ ψυχὴν καὶ σῶμα διεπρα-
ξάμην ἐνώπιον τοῦ τε τὰς ψυχὰς ναοποιοῦντος πνευματικοῦ νό-
μου, ἐν τῷ ταύτας καθαίρειν κατὰ διάνοιαν· καὶ τοῦ τῶν κατ'
ἐνέργειαν ἁμαρτημάτων καθαίροντος γραπτοῦ, καὶ συνάγοντος
τοὺς εἰς πολλὰς καὶ ἀντιθέτους μοίρας κατατμηθέντας, πρὸς
τὸν ἕνα λόγον τῆς φύσεως, ἐν τῷ διακελεύεσθαι ἕκαστον ἀγα-
πᾷν τὸν πλησίον ὡς ἑαυτόν.

Πίνε ὕδατα ἀπὸ σῶν ἀγγείων, καὶ ἀπὸ σῶν φρεάτων πηγῶν. 15.

Ἀρύου δόγματα, μὴ τὰ ἀφ' ὧν ἀγγείων καὶ ἡ ἄλογος φύ-
σις τὴν καθ' ἡδονὴν καὶ ὀδύνην τῶν αἰσθητῶν γνῶσιν κομίζε-
ται· ἅπερ πάντως ἀγγεῖα ἡ αἴσθησις καὶ ἡ φαντασία ἐστί· μήτ'
ἀπὸ τῶν τῆς ἐκκλησίας ξένων ἑλληνικῶν μαθημάτων, τῶν οἷα
φρεάτων ἐπιχορηγούντων τοῖς περὶ ταῦτα ἀσχολουμένοις, τὰς
περὶ τῶν ὄντων ψευδεῖς δόξας, ἀλλ' ἀπὸ τῶν ἰδιαιτάτως σῶν,
τοῦ τε νοῦ καὶ τῆς διανοίας· ἐξ ὧν, ὡς ἔκ τινων ἀγγείων, αἱ τοῦ
ὄντος ἀγαθοῦ, καὶ τοῦ μὴ τοιούτου, λογικαὶ δόξαι ἀρύονται,
καὶ τῶν εἰς βοήθειαν δοθεισῶν τούτοις θεοπνεύστων γραφῶν· ἐξ
ὧν ὡς φρεάτων τινῶν βάθος ἐχουσῶν ἀνεξάντλητον ὕδατος ζῶν-
τος, βλύζοντος ἀεννάως ὡς ἐκ τῆς πηγῆς τῆς τοῦ παναγίου πνεύ-
ματος ἐπιχορηγεῖται αὐτοῖς, τῷ νῷ φημὶ καὶ τῇ διανοίᾳ, ἡ γνῶ-
σις τῆς ἀληθείας.

V. Ὑπερεκχύσθω σοι τὰ ὕδατα ἐκ τῆς σῆς πηγῆς.

16. Ὑπερβλυζέτω σου τῷ νοῒ καθ' ὑπεροχὴν γνώσεως ἐκ τῆς θεογνωσίας νάματα, γινώσκοντι τὸν κατ' αἰτίαν ἐν πᾶσι θεὸν, ὑπὲρ πάντα κατ' οὐσίαν ὑπάρχοντα.

Εἰς δὲ σὰς πλατείας διαπορευέσθω τὰ σὰ ὕδατα.

Ἐν δὲ ταῖς χωρητικαῖς τοῦ πλάτους τῆς φυσικῆς τῶν ὁρατῶν θεωρίας αἰσθήσεσί σου τοῦ λογικοῦ, οἱ χωρητοί σου κατὰ διάνοιαν λόγοι τούτων διεξερχέσθωσαν, συλλέγοντός σου αὐτὸν ἐν πνεύματι γνωστικῶς.

17. Ἔστω σοὶ μόνῳ ὑπάρχοντα.

Ὑπαρχέτωσαν ἅπαντα διὰ σὲ γεγονότα, σοῦ μόνου τοῦ ἀνθρώπου πλοῦτος, κατὰ λόγον χρωμένου αὐτοῖς.

Καὶ μηδεὶς ἀλλότριος μετασχέτω σοι.

Καὶ μή τις τῶν ἀλλοτριωθεισῶν θεοῦ ἀποστατικῶν δυνάμεων, τοῦ τοιούτου πλούτου συμμεταλαμβανέτω σοι, παραχρωμένῳ τούτῳ κατὰ τὸ αὐταῖς βουλητόν.

18. Ἡ πηγή σου τοῦ ὕδατος ἔστω σοι ἰδία.

Τῆς θείας χάριτος ἡ βρύσις, ἐξ ἧς ἀρύῃ τὰ μυστικὰ νάματα, σοὶ μόνῳ τῷ πιστῷ φυλαττέσθω, εἰς μετάληψιν τῶν μυστηρίων τοῦ πνεύματος, τοῖς ἀπίστοις ἀπαρεγχείρητος.

Καὶ συνευφραίνου μετὰ γυναικὸς τῆς ἐκ νεότητός σου.

Καὶ συναγάλλου μετὰ τῆς συναρμοσθείσης σοι σοφίας, ἐξ αὐτῆς τῆς κατὰ τὴν πρώτην πλάσιν ἀρχῆς, τιμηθέντι λόγῳ, καὶ γενομένῳ κατ' εἰκόνα θεοῦ καὶ ὁμοίωσιν.

19. Ἔλαφος φιλίας, καὶ πῶλος σῶν χαρίτων ὁμιλείτω σοι.

Ἡ τῶν, ὥσπέρ τινα θανατηφόρον ἰὸν, τῷ τῶν ἀνθρώπων γένει τὴν κακίαν ἐναπεμεσάντων νοητῶν ὄφεων ἀναιρετικὴ, ἐν τῷ πάσας ταύτην ἐξαφανίζειν ἀγάπη, μετὰ τῆς ἀεὶ νεαζούσης διὰ πάντων τῶν ἐν σοὶ λοιπῶν τοῦ καινοποιοῦ πνεύματος χαρισμάτων σοφίας, συνδιαγέτω σοι πρὸς πᾶσαν εὐφροσύνην πνευματικήν.

Ἡ δὲ ἰδία ἡγείσθω σου· καὶ συνέστω σοι ἐν παντὶ καιρῷ.

Ἡ δὲ διὰ τὸ ἐκ τῆς πρώτης παραβάσεως παθητὸν τῆς σαρκὸς, οἰκεία σοι ταπεινοφροσύνη, προηγείσθω σου παντὸς κατορθώματος, καὶ πρὸς φυλακὴν τούτων διόλου συνυπαρχέτω σοι. V.

Ἐν γὰρ τῇ ταύτης φιλίᾳ συμπεριφερόμενος, πολλοστὸς ἔσῃ.

Τῇ γὰρ περὶ ταύτην σχέσει πρὸς ἑαυτὸν ὑψωθήσεται.

Μὴ πολὺς ἴσθι πρὸς ἀλλοτρίαν. 20.

Μὴ ἀκρατὴς ἔσο ὁ λογικὸς, πρὸς τὴν ἠλλοτριωμένην λόγȣ, κατ' αἴσθησιν ἡδονήν· ἀλλὰ κἂν ποτοῦ κἂν ὕπνου μεταλαμβάνῃς, διὰ τὴν σώματος σύστασιν, κἂν διὰ παιδοποιίαν νομίμῳ γυναικὶ ὁμιλῇς, οἷς φυσικῶς ἕπεται ἡδονὴ, πᾶσι τοῖς τοιούτοις χρῶ ἐγκρατῶς.

Μηδὲ συνέχου ἀγκάλαις ταῖς μὴ ἰδίαις.

Μηδὲ ταῖς τῶν αἰσθητῶν κατ' αἴσθησιν περιλήψεσιν, αἳ κοιναί σοί τε τῷ λογικῷ, καὶ τοῖς ἀλόγοις ὑπάρχουσι, συμπεριγράφȣ, κατὰ τὸ ἐναπομένειν ταῖς ἐπιφανείαις τῶν ὁρατῶν, καὶ μὴ διαβαίνειν κατὰ νοῦν πρὸς τοὺς λόγος αὐτῶν.

Ἐνώπιον γάρ εἰσι τῶν τοῦ Θεοῦ ὀφθαλμῶν, ὁδοὶ ἀνδρός. 21.

Οὐδὲν γὰρ τῶν κατὰ γνώμην τοῦ ἀνθρώπȣ κινημάτων, τοὺς παντεφόρους τοῦ Θεοῦ λέληθεν ὀφθαλμούς.

Εἰς δὲ πάσας τὰς τροχιὰς αὐτοῦ σκοπεύει.

Ἐπὶ πάντας δὲ τοὺς κατά τε θεωρίαν καὶ πρᾶξιν δρόμος αὐτοῦ ἐφορᾷ, εἰ κατὰ τὴν τούτου προβαίνουσι βούλησιν.

Παρανομίαι ἄνδρα ἀγρεύουσι. 22.

Ἡδοναὶ παράλογοι παγιδεύουσιν ἄνθρωπον, μὴ συγχωροῦσαι τοῦτον τὴν ὁδὸν τῶν θείων ἐντολῶν διεξέρχεσθαι.

Σειραῖς δὲ τῶν ἑαυτοῦ ἁμαρτιῶν ἕκαστος σφίγγεται· οὗτος 23.
τελευτᾷ μετὰ ἀπαιδεύτων.

Οἷα δὲ τισι δεσμοῖς ἀφύκτοις, ταῖς ἐκ μακρᾶς συνηθείας τῶν οἰκείων πταισμάτων πλεκτάναις, συνέχεται πᾶς δυσαποσπάστως ἔχων τῆς ἁμαρτίας· ὃς ἐὰν μείνῃ ἀμετανόητος, καταντᾷ εἰς ἀπώλειαν μετὰ τῶν μηδόλως δεξαμένων νουθεσίαν κυρίου.

Ἐκ δὲ πλήθους τῆς αὐτοῦ βιοτῆς ἐξερρίφη, καὶ ἀπώλετο δι' ἀφροσύνην.

V. Ἀπὸ δὲ τῆς οἰκειοτάτης αὐτῷ, ὡς γενομένῳ κατ' εἰκόνα Θεοῦ καὶ ὁμοίωσιν, ἀτελευτήτου καὶ μακαρίας ἐν πνεύματι ζωῆς, κατ' οἰκείαν γνώμην ἀπέῤῥιπται· καὶ τῆς ἑαυτοῦ σωτηρίας ἐστέρηται, διὰ προαίρεσιν ἀλόγιστον.

CAP. VI.

v. 1. Υἱὲ, ἐὰν ἐγγυήσῃ σὸν φίλον, παραδώσεις χεῖρα ἐχθρῷ.

Τέκνον πνευματικὸν, εἰ εἰς τὴν αὔριον ἐπιδείξασθαι τὸ προσφιλές σοι σῶμα μετανοίας ἔργα Θεῷ ἐπαγγέλλῃ, καὶ τὴν σήμερον τὰς κατ' ἐπιθυμίας καὶ θυμὸν σαρκικὰς πληροῦν ὀρέξεις βουλόμενος, παρέξεις τὴν πρακτικὴν σου δύναμιν τῷ κοινῷ πολεμίῳ τῶν ἡμετέρων ψυχῶν, εἰς τὸ ἐργάζεσθαι ἅ σοι πρὸς ἀπώλειαν ὑποτίθησιν.

2. Παγὶς γὰρ ἰσχυρὰ ἀνδρὶ τὰ ἴδια χείλη.

Θήρατρον γὰρ δυσέφικτον ἀνθρώπῳ, ἥ τε ἐπιθυμία, καὶ ὁ θυμὸς, ἃ δίκην χειλέων κεχηνότα κατὰ σχέσιν πρὸς τὰ αἰσθητὰ, τοῦ κατ' ἀρετὴν δρόμου τὸν λόγον κωλύουσι· καὶ πάθεσι μὲν δουλεύειν τὴν σήμερον, τὴν δὲ κάθαρσιν εἰς τὴν αὔριον ὑπερτίθεσθαι τοῦτο ἀνδραποδίζουσιν.

Καὶ ἁλίσκεται χείλεσιν ἰδίου στόματος.

Καὶ κρατεῖται ὁ ἄνθρωπος ταῖς ἀλογίστοις σχέσεσι τοῦ οἰκείου προαιρετικοῦ· δι' οὗ ὡς διά τινος στόματος, ἀρετῆς ἢ κακίας μεταλαμβάνει κατὰ ψυχήν.

3. Ποίει υἱὲ, ἃ ἐγώ σοι ἐντέλλομαι, καὶ σώζου.

Ἐργάζου, τέκνον πνευματικὸν, ἅπερ σοι αὐτὸς ὑποτίθημι, καὶ ἀπὸ τῶν παραλόγων φυλάττου παθῶν.

Ἥκεις γὰρ εἰς χεῖρας κακῶν διὰ σὸν φίλον.

Συνελαύνῃ γὰρ εἰς τὸ τοῖς τοιούτοις ὀλεθρίοις ἁλῶναι πάθεσι, διὰ τὸ προσφιλές σοι σῶμα.

Ἴσθι μὴ ἐκλυόμενος.

Ἔσο μὴ τὸν τῆς ψυχῆς σου τόνον χαυνούμενος.

Παρόξυνε δὲ καὶ τὸν φίλον σου ὃν ἐγγυήσω. VI.

Παράθηγε δὲ μᾶλλον καὶ αὐτὸ τὸ φιλούμενόν σοι σαρκίον· διεγείρων τοῦτο πρὸς ἐργασίαν τοῦ ἀγαθοῦ, ὁ δικαιοσύνης ἔργα ἐνδείξασθαι καθυπέσχου θεῷ.

Μὴ δῷς ὕπνον σοῖς ὄμμασιν. 4.

Μὴ παράσχε κατὰ γνώμην ὕπνον ῥᾳθυμίας ταῖς θεωρητικαῖς σου δυνάμεσι, πρὸς τὴν τῆς ἀληθείας κατάληψιν.

Μηδὲ ἐπινυστάξῃς σοῖς βλεφάροις.

Μήτ' ἐπὶ ταῖς κατ' αἴσθησιν καὶ φαντασίαν ἀλόγοις δόξαις συγκατανεύσῃς ταῖς ὀρεκτικαῖς, μὴ γρηγορούσαις πρὸς τὴν ἐπιτυχίαν τοῦ ὄντος ἀγαθοῦ, διὰ τὸ τῆς τούτου ἐργασίας ἐπίπονον· αἵπερ ἀναπετάννυνται μὲν πρὸς τοῦτο, οἷά τινα βλέφαρα, γρηγορουσῶν τῶν θεωρητικῶν πρὸς τὴν τῆς ἀληθείας κατάληψιν· μύουσι δὲ πρὸς αὐτὸ, ῥᾳθυμουσῶν πρὸς αὐτήν· κἀντεῦθεν τὸ φῶς τοῦ τῆς δικαιοσύνης ἡλίε ταύταις διατειχίζησιν.

Ἵνα σώζῃ ὥσπερ δορκὰς ἐκ βρόχων· καὶ ὥσπερ ὄρνεον ἐκ παγίδος. 5.

Οὕτω δέ σε διακεῖσθαι διακελεύομαι, ὅπως φυλάττῃ τῶν ποικιλοτρόπων ἀγρευτηρίων τοῦ ἀρχεκάκου ἐχθροῦ· οἷα μέν τις ὀξυδρόμος καὶ ἁλτικωτάτη δορκὰς, ὑπερπηδῶν ταῦτα κατ' ἀρετήν· οἷα δέ τι ἀεροπόρον καὶ ὑψιπετὲς πτηνὸν, ὑπεριπτάμενος αὐτὰ κατὰ γνῶσιν.

Ἴσθι πρὸς τὸν μύρμηκα ὦ ὀκνηρέ· καὶ ζήλωσον τὰς ὁδοὺς 6. αὐτοῦ.

Ἀπόβλεπε πρὸς τὸ εὐτελέστατον ζῶον, τὸν μύρμηκα ὦ ῥάθυμε· καὶ γινώσκων τὰς φυσικὰς ἐργασίας αὐτοῦ, μίμησαι ταύτας κατὰ προαίρεσιν.

Καὶ γενοῦ ἐκείνου σοφώτερος.

Καὶ οἷα λογικὸς, νίκησον τὴν περὶ τὰ σωματικὰ σοφίαν αὐτοῦ, ἐν τοῖς πνευματικοῖς ἐπιδεικνύμενος τὸ σοφόν.

Ἐκεῖνος γὰρ γεωργίου μὴ ὑπάρχοντος. 7.

Ὁ τοιοῦτος γὰρ μὴ εὐπορῶν τινὸς γεωργίου, ἐκ σπόρου προκαταβεβλημένου τῇ γῇ παρ' αὐτοῦ.

VI. Μηδὲ τὸν ἀναγκάζοντα ἔχων.

Μήτ' ἔχων τὸν πρὸς ἐργασίαν αὐτὸν κατεπείγοντα.

8. Μηδὲ ὑπὸ δεσπότην ὤν, ἑτοιμάζεται θέρους τὴν τροφήν.

Μηδὲ δουλείας ζυγῷ ὑποκείμενος, εὐτρεπίζει κατά τινα φυσικὴν κίνησιν, ἐν τῷ θερινῷ καιρῷ, τὴν χρειώδη κατὰ τὸν χειμῶνα τροφήν.

Πολλήν τε ἐν τῷ ἀμητῷ ποιεῖται τὴν παράθεσιν.

Αὐτάρκη τὲ ἐν τῷ καιρῷ τῆς τῶν ἀσταχύων συγκομιδῆς τὴν ταύτης ποιεῖται ἀπόθεσιν· ὃν μιμούμενος ὁ καὶ λόγον ἔχων τὸν ἐπαναγκάζοντά σε ἐπιμελεῖσθαι τοῦ ἀγαθοῦ, καὶ ὑποκείμενος τῷ χρηστῷ ζυγῷ τῶν ἐντολῶν τοῦ θεοῦ, ἐν παντὶ τῷ τῆς κατὰ τὴν ζωήν σου ἐργασίας χρόνῳ, συλλέγειν σπεῦδε τὰς ἀρετάς, καὶ ἀποθησαυρίζειν αὐτὰς τῇ ψυχῇ· ἵνα ὅταν αὐτὴ τῇ ἀπὸ τοῦ σώματος διαστάσει χειμάζηται, τρέφηται δι' αὐτῶν τῇ ἐλπίδι τῶν μελλόντων ἀγαθῶν, ἱκανῶς· εἰ δὲ καὶ παρόψει τὸν μύρμηκα,

Πορεύθητι πρὸς τὴν μέλισσαν.

Ἀλλά γε πρὸς τὴν μέλισσαν ἄπελθε, τὰ ταύτης ἔργα κατανοῶν.

Καὶ μάθε, ὡς ἐργάτις ἐστὶ, τήν τε ἐργασίαν ὡς σεμνὴν ποιεῖται.

Καὶ γνῶθι ὅτι καὶ αὕτη ἐργάζεται, καὶ τὸ ἔργον αὐτῆς ἀποτελεῖ ἐντιμώτατον.

Ἧς τοὺς πόνους, βασιλεῖς τε καὶ ἰδιῶται πρὸς ὑγείαν προσφέρονται.

Τοῖς δὲ κατὰ φύσιν ἐμμελεστάτοις ἔργοις αὐτῆς, ἔνδοξοί τε καὶ ἄδοξοι πρὸς ἴασιν χρῶνται νοσημάτων παντοδαπῶν.

Ποθεινή τέ ἐστι πᾶσι καὶ ἐπίδοξος.

Ὑπὸ πάντων τὲ ἀγαπᾶται ὁμοῦ, καὶ διὰ θαύματος ἄγεται.

Καίπερ οὖσα τῇ ῥώμῃ ἀσθενὴς, τὴν σοφίαν τιμήσασα προήχθη.

Καὶ εἰ τῇ δυνάμει ἐστὶν ἀδρανὴς, ἀλλ' ὅτι παρὰ τοῦ πάντων δεσπότου θεοῦ φύσει τὸ σοφὸν ἐκληρώσατο, προτιμητέα τῶν

πολλὴν ῥώμην κεκτημένων ζώων ἐγένετο· ἣν μέμησαι προαιρετικῶς, VI.
ἔργον τιμιώτατον τὸ κατ᾽ ἀρετὴν ἐργαζόμενος· καὶ τὰ ἔργά σου εἰς θεραπείαν πολλῶν ψυχικήν τε ἅμα καὶ σωματικὴν ἔστωσαν, ἀσπαζομένων τε ταῦτα, καὶ διὰ θαύματος ἀγόντων· καὶ κἂν μὴ πολλή σοι ὑπάρχῃ ἰσχὺς ἐκ περιουσίας χρημάτων ἢ ἀξιωμάτων ὕψους, ἀλλ᾽ ὅτι τὴν παρὰ θεοῦ χάριν πεπλούτηκας, καὶ πολὺς γέγονας κατὰ γνῶσιν καὶ ἀρετήν, προτιμητέος ἔσῃ τῶν πολλῇ τῇ κατὰ κόσμον δόξῃ εὐθηνουμένων καὶ τοῖς χρήμασιν.

Ἕως τίνος ὀκνηρὲ κατάκεισαι; 9.

Μέχρι τίνος ὦ ῥᾴθυμε καταπεπτωκὼς ὑπάρχεις τῇ φιλίᾳ τοῦ σώματος;

Πότε δὲ ἐξ ὕπνου ἐγερθήσῃ;

Καὶ πότε ὡς ἀπὸ ὕπνου τῆς πολλῆς περὶ τὸ ὄντως ἀγαθὸν ῥᾳθυμίας ἐξαναστῇς; εἰ οὖν μηδὲ παρὰ τῆς ἀλόγου φύσεως παιδεύῃ, ὃν ἔδει τῷ λόγῳ ἐνάγεσθαι πρὸς τὸ ἀγαθόν, κἂν ἐξ αὐτῆς τῆς πείρας τῶν πραγμάτων μάνθανε, ὅτι καὶ τοὺς πρὸς τὰ σωματικὰ ῥᾳθυμοῦντας ἔργα, καὶ τὸν περὶ ταῦτα πόνον φορτικὸν ἡγουμένους, πενία καταλαμβάνει δεινή· οὓς μιμούμενος ἐν τῷ πάντων καταρᾳθυμεῖν τῶν τῆς δικαιοσύνης ἔργων.

Ὀλίγον μὲν ὑπνοῖς. 10.

Ποτὲ μὲν ὕπνῳ ῥᾳθυμίας δουλεύεις.

Ὀλίγον δὲ κάθῃ.

Ποτὲ δὲ τῇ σαρκὶ χαρίζῃ ἀνάπαυσιν.

Μικρὸν δὲ νυστάζεις.

Καὶ ἄλλοτε νυσταγμῷ ἀκηδίας ὑπόκεισαι.

Ὀλίγον δὲ ἐναγκαλίζῃ χερσὶ στήθη.

Ποτὲ δ᾽ αὖθις δεσμεῖς περὶ τὸ στῆθος τὰς χεῖράς σου, μόνος ψιλοὺς διαλογισμοὺς κατέχων ἐπὶ καρδίας σου, καὶ τούτους μὴ βεβαιῶν διὰ πράξεως.

Εἶτα παραγίνεταί σοι ὥσπερ κακὸς ὁδοιπόρος ἡ πενία. 11.

Ἐπέρχεται δέ σοι μετὰ ταῦτα, ὥς τις βλαπτικὸς συνοδίτης, ἥ τε τοῦ κατ᾽ ἀρετὴν πνευματικοῦ πλούτου παντελὴς ἀπο-

VI. ρία· ἐπὶ τῷ συνεῖναι σοι διαπαντὸς, καὶ συνδιεξιέναι τὴν παροῦσαν ζωήν.

Καὶ ἡ ἔνδεια ὥσπερ ἀγαθὸς δρομεύς.

Καὶ καθάπέρ τις περὶ δρόμον ὀξὺς, ἡ τῆς γνώσεως οὐκ εἰς τὸ παντελὲς ἀπορία, διὰ τὸν τοῦ συνειδότος ἐπὶ τοῖς κακοῖς ἔλεγχον, ἔνδεια· διὰ τὸ μὴ γεύσασθαι κατὰ πρᾶξιν καὶ γνῶναι τὸ χρηστὸν τοῦ ζυγοῦ, καὶ τὸ ἐλαφρὸν τοῦ φορτίου τῶν τοῦ θεοῦ ἐντολῶν.

Ἐὰν δὲ ἄοκνος ᾖς, ἥξει ὥσπερ πηγὴ ὁ ἀμητός σου.

Εἰ δέ ποτε τὴν ῥαθυμίαν ἀποτιναξάμενος, διεγηγερμένος ὑπάρχεις περὶ τὴν ἐργασίαν τοῦ ἀγαθοῦ, ἐλεύσεται δαψιλὴς οἷα πηγὴ ἄφθονα προχέουσα νάματα, ἡ τοῦ καρποῦ τῶν τῆς δικαιοσύνης ἔργων συγκομιδή.

Ἡ δὲ ἔνδειά σου ὥσπερ κακὸς δρομεὺς ἀπαυτομολήσει.

Τὸ δὲ διὰ τὸ ἐκ ψιλῆς ἀκοῆς, καὶ μὴ κατὰ πεῖραν πρακτικὴν εἰδέναι σε τὸ ὄντως ἀγαθὸν, προσὸν σοι πρώην περὶ τὴν τούτου γνῶσιν ἐνδεὲς, φεύξεται ἀπὸ σοῦ· οὐκ ὀξέως ὥσπερ τῇ ἀπραξίᾳ τοῦ καλοῦ παραγέγονεν, ἀλλὰ σχολαιότερον ταῖς κατὰ μέρος ἐργασίαις τῶν ἐντολῶν, ὡς ἄτονός τις δρομεὺς, διὰ τὸ τῆς κτήσεως τοῦ ἀγαθοῦ πρόσαντες.

12. Ἀνὴρ ἄφρων καὶ παράνομος, πορεύεται ὁδοὺς οὐκ ἀγαθάς.

Ἄνθρωπος ἀγνοῶν τὸ ὄντως καλὸν, καὶ τὰ παράλογα πράττων, ἐν σκότει ἀγνοίας καὶ προσκόμμασι κακίας, τὴν ἑαυτοῦ ζωὴν διεξέρχεται.

13. Ὁ δ᾽ αὐτὸς ἐννεύει ὀφθαλμῷ, σημαίνει δὲ ποδὶ, διδάσκει δὲ νεύμασι δακτύλων.

Ὁ αὐτὸς δὲ ἅτε τὰ προσήκοντα τοῖς λόγοις ἀγαθὰ, καὶ ἄξια γλώττῃ προφέρεσθαι, καὶ ὠσὶν ἀκούεσθαι, μὴ διαλογιζόμενος, δέδοικε ῥήμασι προφέρειν τὸ τῶν αὐτοῦ ἐνθυμημάτων πεπανουργευμένον καὶ δολερόν· πάλιν δὴ κοινωνούς τινας ἔχειν τῶν πονηρῶν αὐτοῦ διανοημάτων, οἴκοθεν βιαζόμενος, ὀφθαλμοῦ τε καὶ ποδὸς καὶ δακτύλων χειρὸς, πονηρῶς ἐσχηματισμένοις κινήμασι, μηνύει τὸ βουλητὸν αὐτῷ τοῖς ὁμοτρόποις αὐτοῦ.

Διεστραμμένη δὲ καρδίᾳ τεκταίνεται κακά. VI.

Παρεγκεκλιμένη δὲ τοῦ εὐθέος διανοίᾳ, τὰ παράλογα δια- 14.
πράττεται.

Ἐν παντὶ καιρῷ ὁ τοιοῦτος ταραχὰς συνίστησι πόλει.

Οὗτος κατὰ πάντα καιρὸν εὐπραγίας ἢ δυσπραγίας, τάραχον παθῶν κατὰ γνώμην ὑφιστᾷ τῇ ἰδίᾳ ψυχῇ· ἐν ᾗ σερικολεῖ κατὰ διάθεσιν ἡ τριὰς τῶν ταύτης δυνάμεων· στάσεις ἐγείρων τοῦ τε ἐπιθυμητικοῦ καὶ τοῦ θυμικοῦ κατὰ τοῦ λογιστικοῦ, ἐν τῷ μήτε κατ' ἐπιθυμίαν τῶν ἡδέων ἐγκρατεύεσθαι, μήτε κατὰ θυμὸν ὑπομένειν τὰ θλιβερά.

Διὰ τοῦτο ἐξαπίνης ἔρχεται ἡ ἀπώλεια αὐτοῦ, διακοπὴ καὶ 15.
συντριβὴ ἀνίατος, ὅτι χαίρει ἐπὶ πᾶσιν οἷς μισεῖ ὁ κύριος. 16.

Ἔνθεν τοι αἰφνιδίως ἐπέρχεται τούτῳ ἡ αὐτοῦ ἐξολόθρευσις, ὑπάρχουσα χωρισμός τε ψυχῆς ἀπὸ σώματος, καὶ κόλασις τέλος οὐκ ἔχουσα· διότι ἐπευφραίνεται πᾶσιν οἷς μισεῖ ὁ πάντων δεσπότης θεὸς, καὶ ἀποστρέφεται.

Συντριβήσεται δὲ δι' ἀκαθαρσίαν ψυχῆς.

Κολασθήσεται δ' ὡς εἴρηται, διὰ τὸν ἐκ τοῦ βορβόρου τῶν παθῶν μολυσμὸν τῆς ψυχῆς ἑαυτοῦ.

Ὀφθαλμὸς ὑβριστοῦ. 17.

Βλέμμα μεμψιμοίρου.

Χεῖρες ἐκχέουσαι αἷμα δίκαιον.

Πράξεις μιαιφόνοι κατὰ δικαίου ἀνδρός.

Καρδία τεκταινομένη λογισμοὺς κακούς. 18.

Διάνοια ἐπιτεχνωμένη πονηρὰς ἐνθυμήσεις.

Καὶ πόδες ἐπισπεύδοντες κακοποιεῖν.

Καὶ ὁρμαὶ εἰς βλάβην τοῦ πέλας ἐπιταχύνουσαι.

Ἐξολοθρευθήσονται.

Χωρήσουσιν εἰς ἀπώλειαν παντελῆ, ὡς θεῷ καὶ ἀνθρώποις μισούμενα.

Ἐκκαίει δὲ ψευδῆ μάρτυς ἄδικος. 19.

Ὑπανάπτει δὲ ὑπονοίας οὐκ ἀληθεῖς ὁ ἐπιβεβαιούμενός τινος τὰς παρὰ τὴν ὀρθὴν κρίσιν περὶ τοῦ πέλας ὑπολήψεις.

VI. **Καὶ ἐπιπέμπει κρίσεις ἀνὰ μέσον ἀδελφῶν.**

Καὶ ἐπαφίησιν ἐντεῦθεν ἔριδας μεταξὺ τῶν πρὸς ἀλλήλως ὁμονοούντων ὁμογενῶν.

20. **Υἱὲ, φύλασσε νόμους πατρός σου.**

Τέκνον, ὁ τοῖς θείοις κατὰ ψυχὴν ἐκτρέφω διδάγμασι, τήρει τὰς ἐν τῇ γραφῇ ἐντολὰς τοῦ διὰ τούτων σε κατὰ χάριν υἱοθετοῦντος Θεοῦ.

Καὶ μὴ ἀπώσῃ θεσμοὺς μητρός σου.

Καὶ μὴ ἀποπέμψῃ τοὺς τεθέντας ἐν τῇ φύσει τῶν ὅλων παρὰ τῆς πάντων αἰτίας σοφίας λόγους, οἵ εἰσιν αὐτὰ τα θεῖα θελήματα, καθ᾽ ἃ τὰ πάντα γεγόνασι, ταῖς πρὸς ἐργασίαν τοῦ καλοῦ δοθείσαις σοι δυνάμεσι παραχρώμενος.

21. **Ἄφαψαι δὲ αὐτοὺς ἐπὶ σῇ ψυχῇ διαπαντός.**

Ἐκκρέμασον δὲ τούτους τοὺς ἐν ὅλῃ τῇ γραφῇ καὶ τῇ φύσει λόγους, καθ᾽ ἕξιν ἐν τῇ ψυχῇ σου παρ᾽ ὅλην σου τὴν ζωὴν ἀνέχων αὐτοὺς τῷ ὕψει τῆς ἐν πνεύματι θεωρίας.

Καὶ ἐγκλοίωσαι περὶ σῷ τραχήλῳ.

Καὶ περίθες αὐτοὺς κατ᾽ ἐνέργειαν ὥς τινα κλοιὸν, τῷ συνάπτοντι τὴν αἴσθησιν τῷ νοΐ, ὡς τράχηλος τῇ κεφαλῇ τὸ λοιπὸν σῶμα λογιστικῷ σου· κατασφαλιζόμενος τούτοις αὐτὸ, ὥστε μὴ διαφεύγειν τὴν ἀρετὴν κατ᾽ ἔλλειψιν ἢ καθ᾽ ὑπερβολήν.

22. **Ἡνίκα ἂν περιπατῇς, ἐπάγου αὐτὴν, καὶ μετὰ σοῦ ἔστω.**

Ὁπόταν κινῇ κατ᾽ ἐνέργειαν, ἐπιφόρου ταύτην τὴν ἐν ὅλῃ τῇ θείᾳ γραφῇ καὶ τῇ φύσει κατεσπαρμένην νομοθεσίαν, ἐκεῖνα ποιῶν ἅπερ αὕτη σοι ὑποτίθησι· καὶ συνέςω σοι διὰ παντὸς, ἀποτρέπουσα μὲν σε ἀπὸ τῶν λυμαινομένων σου τῇ ψυχῇ, προτρέπουσα δὲ πρὸς τὰ ταύτης σωτήρια.

Ὡς δ᾽ ἂν καθεύδῃς, φυλασσέτω σε, ἵνα ἐγειρομένῳ συλλαλῇ σοι.

Ἕως δ᾽ ἂν ἀπρακτῇς, τηρήτω σε ἀπὸ πάσης ἀπατηλῆς θεωρίας καὶ παραλόγου ὀρέξεως· ὅπως καὶ πρὸς ἐργασίαν διανιςαμένῳ ὑποτιθῇ σοι τὰ χρήσιμα, τὴν περὶ ταῦτα τῆς ψυχῆς σου κεκρυμμένην διάθεσιν, τρόποις πρακτικοῖς ἀπαγγέλλοντι.

Ὅτι λύχνος ἐντολὴ νόμου. VI.
Διότι τὸ διάταγμα τῆς ἐν ὅλῃ τῇ γραφῇ καὶ τῇ φύσει θείας 23.
νομοθεσίας, οἷα μέν τις λυχνία λύει τὴν νυκτερινὴν ἀχλὺν τῶν παθῶν.

Καὶ φῶς, καὶ ὁδὸς ζωῆς.

Οἷα δὲ φῶς τοῦ τῆς δικαιοσύνης ἡλίου, τὴν ἀληθῆ τῶν ὄντων γνῶσιν χαρίζεται· καὶ ὡς εὐθεῖα ὁδὸς, ἄγει κατ' ἀρετὴν καὶ γνῶσιν, εἰς τὴν κατὰ νοῦν καὶ λόγον ἐν πνεύματι θείαν ζωήν.

Ἔλεγχος καὶ παιδεία τοῦ διαφυλάσσειν σε ἀπὸ διαβολῆς 24.
γλώσσης ἀλλοτρίας.

Φανέρωσίς τε τῶν πονηρῶν ἔργων ἐστὶ, καὶ ἐπίπονος δι' ἐγκρατείας πρὸς τὸ ἀγαθὸν ἀγωγή· ὥστε διατηρεῖν σε ἀπό τε τοῦ βαρυτάτου τῆς μοιχείας ἐγκλήματος, καὶ ἀπὸ παντὸς ψόγου ἑτεροδόξου ἀνδρὸς, ἐπιτηροῦντος πᾶν ἔργον σου, ἵνα τὶ εὕρῃ διαβολῆς ἄξιον, καὶ διαβάλλῃ ἐκ τούτου καὶ τὴν ἀμώμητον πίστιν σου.

Υἱὲ μή σε νικήσῃ κάλλους ἐπιθυμία. 25.

Λοιπὸν ἐν κυρίῳ τέκνον, μή σε ἡττήσῃ κάλλους χρόνῳ μαραινομένου ἀλόγιστος ἔφεσις.

Μηδὲ ἀγρευθῇς σοῖς ὀφθαλμοῖς.

Μηδὲ παγιδευθῇς ἀπὸ τῶν σῶν ὀφθαλμῶν, ὥραν γυναικὸς περιέργως ὁρώντων.

Μηδὲ συναρπασθῇς ἀπὸ τῶν αὐτῆς βλεφάρων.

Μηδὲ διὰ τῶν προσκαλουμένων σου πρὸς μῖξιν αἰσχρὰν βλεφάρων αὐτῆς, συνελκυσθῇς ταχέως, καὶ τοῦ σώφρονος καὶ καθεστηκότος ἐκστῇς λογισμοῦ.

Τιμὴ γὰρ πόρνης, ὡσεὶ καὶ ἑνὸς ἄρτου. 26.

Μίσθωμα γὰρ γυναικὸς πόρνης, ἐλάχιστον· ὡσεὶ τίμημα ἄρτου ἑνὸς, ἡδονὴ πρόσκαιρος ὑπάρχον σαρκὸς, τῷ ταύτης ἡδυπαθεῖ ἐπαρκοῦσα ἐπὶ βραχύ.

Γυνὴ δὲ ἀνδρῶν τιμίων ψυχὰς ἀγρεύει.

VI. Ἀνδρῶν δ᾽ ἡ τοιαύτη γυνὴ παγιδεύει ψυχὰς, ὧν ὅλος ὁ παρὼν κόσμος οὐκ ἔστιν ἀντάξιος.

27. Ἀποδήσει τὶς πῦρ ἐν κόλπῳ, τὰ δὲ ἱμάτια οὐ κατακαύ-
28. σει; ἢ περιπατήσει τὶς ἐπ᾽ ἀνθράκων πυρὸς, τοὺς δὲ πόδας
29. οὐ κατακαύσει; οὕτως ὁ εἰσελθὼν πρὸς γυναῖκα ὕπανδρον, οὐκ
ἀθωωθήσεται, οὐδὲ πᾶς ὁ ἁπτόμενος αὐτῆς.

Ὥσπερ γὰρ ὁ μὲν ἐγκολπωσάμενος πῦρ, κατακαύσει τὰ ἱμάτια, ὁ δ᾽ ἐπ᾽ ἀνθράκων βαδίσας, τοὺς πόδας, τὸν αὐτὸν τρόπον ὅ τε παρεμβαλὼν ἑαυτὸν δι᾽ αἰσχρᾶς πράξεως, πρὸς γυναῖκα συνεζευγμένην ἀνδρὶ, τὰς ἐπὶ τῷ τοιούτῳ ἐγκλήματι οὐκ ἐκφεύξεται δίκας, καὶ ὁ ἐπ᾽ αὐτῇ κατὰ διάνοιαν τὴν ἁμαρτίαν ἀποτελῶν· ὁ μὲν γὰρ τὸ δίκην πυρὸς ὑπανάπτων, τὸν σατανικὸν ἔρωτα, εἴδωλα τῆς αἰσχρᾶς πράξεως ἀποθεὶς τῇ ψυχῇ, ἀποτεφρώσει τὰς ἀρετὰς, ἃς αὕτη κατὰ προαίρεσιν ὡς ἄμφιά τινα περιβεβλημένη, ὑπὸ τοῦ χειμῶνος φυλάττεται τῶν παθῶν· ὁ δὲ τῇ κατὰ διάνοιαν μελέτῃ ἐπ᾽ αὐτῶν βαδίζων τῶν τῆς ἁμαρτίας ἐμπαθῶν λογισμῶν, οὓς τὸ πῦρ ἐπανῆψε τῆς παραλόγου ὀρέξεως, διαφθερεῖ τὰ ἀγαθὰ διανοήματα τῆς ψυχῆς· δι᾽ ὧν ὥς τινων ποδῶν, πρὸς τὴν μακαρίαν τῆς ἀπαθείας λῆξιν αὕτη πέφυκε φέρεσθαι.

30. Οὐ θαυμαστὸν ἐὰν ἁλῷ τὶς κλέπτων.

Καὶ ξένον μὲν οὐδὲν ἐστιν, ἐάν τις ἐπὶ κλοπῇ κρατηθῇ.

Κλέπτει γὰρ τὰ ἀλλότρια, ἵνα ὧν ἔχει ἐνδεῶς κορεσθῇ.

31. Ἐὰν δὲ ἁλῷ, ἀποτίσει ἑπταπλασίως.

Φωραθεὶς δὲ καὶ κατασχεθεὶς, ἀποδώσει ἑπταπλασίως ὃ ἀφείλετο.

Καὶ πάντα τα ὑπάρχοντα αὐτοῦ δοὺς, ῥύσεται ἑαυτόν.

Καὶ πᾶσαν τὴν προσοῦσαν αὐτῷ περιουσίαν παρασχὼν, ἀπολυθήσεται τοῦ τοιούτου ἐγκλήματος.

32. Ὁ δὲ μοιχὸς, δι᾽ ἔνδειαν φρενῶν, ἀπώλειαν τῇ ἑαυτοῦ ψυχῇ περιποιεῖται.

Ὁ δὲ περιπεπτωκὼς τῷ τῆς μοιχείας ἐγκλήματι, οὐ μόνον

δι' ἀφροσύνην, τὴν ἰδίαν ἀπόλλει ψυχὴν κατὰ διάνοιαν καὶ κα- VI.
τὰ πρᾶξιν, ὡς εἴρηται.

Ὀδύνας τὲ καὶ ἀτιμίαν ὑποφέρει. 33.

Ἀλλὰ καὶ αἰκισμοὺς σαρκὸς, καὶ ὕβρεις ὑφίσταται.

Τὸ δὲ ὄνειδος αὐτοῦ οὐκ ἐξαλειφθήσεται εἰς τὸν αἰῶνα.

Καὶ ὑπὸ μεγίστην μέμψιν ἐστὶ παρὰ πᾶσαν αὐτοῦ τὴν ζωήν.

Μεστὸς γὰρ ζυγὸς τῆς μοιχευθείσης αὐτῷ γυναικὸς, μῖσος 34.
τρέφει κατ' αὐτοῦ, πλῆρες ζηλοτυπίας.

Οὐ φείσεται ἐν ἡμέρᾳ κρίσεως.

Οὐκ οἰκτειρήσει αὐτὸν ὅταν κρίνηται μετ' αὐτοῦ.

Οὐκ ἀνταλλάσσεται οὐδενὸς λύτρου τὴν ἔχθραν. 35.

Οὐδὲ σπείσεται τούτῳ διά τινος τρόπου.

Οὐδὲ μὲ διαλυθῇ πολλῶν δώρων.

Οὐδὲ καταλλαγήσεται μετ' αὐτοῦ, κἂν πάνυ πολλὰ δῶρα παρέχῃ αὐτῷ.

CAP. VII.

Υἱὲ, φύλασσε ἐμοὺς λόγους. v. 1.

Τέκνον τὰς ἐμὰς τήρει διδασκαλίας.

Τὰς δὲ ἐμὰς ἐντολὰς κρύψον παρὰ σεαυτῷ.

Τὰ δ' ἐμὰ παραγγέλματα τῇ σῇ ψυχῇ ἐναποταμίευσον· ὁλικῶς περὶ ταῦτα διατεθεὶς, καὶ μὴ ἐπιπολαίως μόνοις ὠσὶν αὐτῶν ἀκροώμενος.

Υἱὲ τίμα τὸν κύριον, καὶ ἰσχύσεις.

Τέκνον, σέβου καλῶς τὸν πάντων δεσπότην θεὸν, κἀντεῦθεν δυναμωθήσῃ κατὰ τοῦ κοινοῦ ἐχθροῦ τῶν ἡμετέρων ψυχῶν, ἀνώτερος διατηρούμενος τῶν τούτου ἐπιβουλῶν.

Πλὴν δὲ αὐτοῦ, μὴ φοβοῦ ἄλλον.

Ἐκτὸς δὲ τοῦ θεοῦ, ἕτερον μὴ φοβοῦ· ἄλλος γὰρ οὐδεὶς εἰς γέενναν κατακρίναι δεδύνηται.

Φύλασσε ἐμὰς ἐντολὰς, καὶ βιώσεις. 2.

VII. Τήρησον τὰ ὑποτιθέμενά σοι τὰ πρακτέα, ἐμὰ παραγγέλματα, καὶ ἀκινδύνως κατὰ ψυχὴν διεξέλθῃς τὴν παροῦσαν ζωήν.

Τοὺς δ' ἐμοὺς λόγους, ὥσπερ κόρας ὀμμάτων.

Τὰ δ' ἐμὰ ῥήματα, οἷς ὑπάρχει σοι τὸ ὁρᾷν τὴν ἀλήθειαν κατὰ γνῶσιν, φύλασσε οἷά περ ὀφθαλμῶν κόρας.

3. Περίθου δὲ αὐτοὺς σοῖς δακτύλοις.

Καὶ περίαψαι αὐτὰ, κατὰ πρᾶξιν ταῖς πρακτικαῖς τῆς ψυχῆς σου δυνάμεσιν· ὅπως κινούμεναι κατ' αὐτὰ δίκην δακτύλων, πᾶν ἔργον ἐπιστημόνως πρὸς πέρας αἴσιον μεθοδεύωσιν.

Ἐπίγραψον δὲ ἐπὶ τὸ πλάτος τῆς καρδίας σου.

Ἐπίθες δὲ τῇ τούτων ψιλῇ γνώσει τὴν κατὰ πεῖραν τελειοτέραν· ἐγκολάψας ταῦτα κατὰ διάθεσιν τῷ πλάτει τῆς διανοίας σου.

4. Εἶπον τὴν σοφίαν, σὴν ἀδελφὴν εἶναι.

Ἐπικάλεσαι ὁλικῇ ἀγάπῃ τὸν μονογενῆ τοῦ θεοῦ καὶ πατρὸς υἱὸν καὶ λόγον, τὴν ἐνυπόστατον δύναμιν καὶ σοφίαν, σὸν ἀδελφὸν ὑπάρχειν, διὰ τῆς ἐν πνεύματι γνώσεως αὐτοῦ τοῦ κατὰ φύσιν υἱοῦ τοῦ θεοῦ καὶ πατρός· τούτου τοῦ πατρὸς χρηματίζων κατὰ χάριν υἱός.

Τὴν δὲ φρόνησιν, γνώριμον περιποίησον σεαυτῷ.

Αὐτὴν δὲ τὴν περὶ τὴν σοφίαν ἀγάπην, ἥ τις ὄρεξίς τέ ἐστι θεωρητικὴ τῶν τῇ σοφίᾳ περιεχομένων λογικῶν καὶ γνωστικῶν μαθημάτων, καὶ φρόνησις ὀνομάζεται, ὡς τῷ κεκτημένῳ αὐτὴν, φέρουσα ταύτην τὴν ἀκριβῆ πάντων νόησιν σοφίας, γνωστήν σοι ποίησον, διὰ τῆς πασῶν τῶν πρακτικῶν ἀρετῶν γενικωτάτης ἀγάπης· δι' ἧς ἡ πρὸς τὸν θεὸν λόγον ἀγάπη γνωρίζεται.

5. Ἵνα σε τηρήσῃ ἀπὸ γυναικὸς ἀλλοτρίας καὶ πονηρᾶς.

Ὅπως σε φυλάξῃ ἀπὸ ἐπιθυμίας τῆς κατ' ἔλλειψιν μὲν τῆς σωφροσύνης, ἐώσης τὴν ἀπόλαυσιν τοῦ συναρμοσθέντος αὐτῇ λόγου κατὰ τὸν νόμον τῆς ἀνθρωπίνης φύσεως, καὶ ἐρώσης ἀπολαύειν ἀκολάστως τῆς πολυειδοῦς κατ' αἴσθησιν προσκαίρου ἡδονῆς· καθ' ὑπερβολὴν δὲ πόνους ἐρώσης τοῦ κατὰ ἀπὸ τῶν ἡδέων ἠλιθιώδη ἐγκράτειαν, ὡς μωραίνουσαν ἐν τῷ μὴ εἶναι διὰ θεὸν, ἀλλὰ ἐπιδείκνυσθαι δι' ἀνθρώπων ἀρέσκειαν.

Ἐάν σε λόγοις τοῖς πρὸς χάριν ἐμβάληται. VII.

Εἴπέρ σε ἡ τοιαύτη ἐπιθυμία λογισμοῖς τοῖς πρὸς τέρψιν, ἢ τοῖς πρὸς ἔπαινον ἐμβιβάσειεν.

Ἀπὸ γὰρ θυρίδος ἐκ τοῦ οἴκου αὐτῆς, εἰς τὰς πλατείας 6.
παρακύπτουσα.

Ἀπὸ γάρ τινος αἰσθητηρίου ὥς τινος θυρίδος, ἐκ τῆς αἰσθήσεως, ᾗ ὡς ἐν οἰκίᾳ τινὶ ἐνδιατρίβει, προκύπτουσα εἰς τὰς εἰς ἀπώλειαν ἀγούσας εὐρυχώρους τῆς ἀκολασίας ὁδούς. 7.

Ὃν ἂν ἴδῃ τῶν ἀφρόνων τέκνων, νεανίαν ἐνδεῆ φρενῶν.

Ὧ τινι ἂν ἐντύχῃ τῶν ἀλογίστως βιούντων τῆς ἀπωλείας υἱῶν, τῇ ἡλικίᾳ νεάζοντι καὶ ταῖς φρεσὶν ἀτελεῖ.

Παραπορευόμενον * παρὰ γωνίαν ἐν διόδοις οἴκου αὐτῆς. 8.

* cod. ἐνη.

Μὴ ἰθυτενῶς, παρὰ τὸν λόγον δὲ τῆς ἀνθρωπίνης φύσεως τὸν ὥσπερ γωνίαν συναπτικὸν τῆς τε νοητῆς καὶ τῆς αἰσθητῆς φύσεως, τὴν γνῶσιν τῶν αἰσθητῶν υἱῶν διεξερχομένων ἐν ταῖς ἐνεργείαις ταῖς κατὰ τὰ αἰσθητήρια· ἅ τινά εἰσι πρὸς τὰ αἰσθητὰ ὁδοὶ τῶν αἰσθήσεων· αἷς ὡς ἔν τισιν οἴκοις αὕτη ἐνδιατρίβει.

Καὶ λαλοῦντα ἐν σκότει ἑσπερινῷ. 9.

Καὶ ᾧ τινι διαλογιζομένῳ ἐν σκότει ἀγνοίας, μεθ᾽ ὃ ἂν ὑπὸ τὴν γήϊνον σάρκα κρυβῶσι κατὰ τὴν περὶ ταύτην σχέσιν αὐτοῦ, αἱ διαυγάζουσαι τούτῳ τὴν ὁδὸν τῆς δικαιοσύνης θεῖαι ἐντολαί, ὥσπερ ὑπὸ γῆν ἀκτῖνες ἡλιακαί.

Ἡνίκα ἂν ἡσυχία νυκτερινὴ ᾖ καὶ ζοφώδης.

Ὁπηνίκα μὴ διαλογίζεταί τι χρηστὸν, δι᾽ ἀγνωσίαν καὶ ἀορασίαν τοῦ ὄντως καλοῦ.

Ἡ δὲ γυνὴ συναντᾷ αὐτῷ, εἶδος ἔχουσα πορνικόν. 10.

Ἡ τοιαύτη ἐπιθυμία ὑπαντᾷ αὐτῷ, ὁρμῶντι πρὸς αὐτὴν κατὰ γνώμην, εἴδωλον περιφέρουσα ἁμαρτίας, ἐκ τοῦ πόῤῥω νεῦσαι τοῦ σώφρονος λογισμοῦ.

Ἡ ποιεῖ νέων ἐξίπτασθαι καρδίας.

VII. Ἡ τις ἐπιθυμία παρασκευάζει μὲν τὰς διανοίας τῶν μὴ βεβηκότων τὰς φρένας, ὀξέως φέρεσθαι πρὸς ἁμαρτίας.

11. Ἀνεπτερωμένη δέ ἐστι καὶ ἄσωτος.

Ὑπάρχει δὲ πρὸς μὲν ταύτην ὀργῶσα, τοῦ δὲ κατὰ ψυχὴν πλούτου δαπανητική.

Ἐν οἴκῳ δὲ οὐχ ἡσυχάζουσιν οἱ πόδες αὐτῆς.

Ἐν ᾗ δὲ ὡς ἐν οἴκῳ τινὶ διατρίβει αἰσθήσει, οὐ μένουσιν αἱ κινήσεις αὐτῆς ἀμετάβατοι.

12. Χρόνον γάρ τινα ἔξω ῥέμβεται.

Ποτὲ μὲν γὰρ ἐν τοῖς φαινομένοις περιπλανᾶται κατὰ διάνοιαν.

Χρόνον δὲ ἐν πλατείαις παρὰ πᾶσας γωνίας ἐνεδρεύει.

Ποτὲ δὲ ἐν ταῖς εὐρυχώροις ὁδοῖς τῆς ἁμαρτίας, παρὰ πάντα λόγον, τὸν κατὰ τὴν ἑκάστου πράγματος εὔλογον χρῆσιν, δίκην γωνίας συνδεκτικὸν τοῦ φαινομένου πρὸς τὸ νοούμενον, λαθραίως τῷ λείῳ τῆς ἡδονῆς ἐπιβουλεύει ταῖς τῶν ἀφρόνων ψυχαῖς.

13. Εἶτα ἐπιλαβομένη ἐφίλησεν αὐτόν·

Μετὰ ταῦτα δὲ κατασχοῦσα τοῦτον καθ' ἕξιν, προσφιλῆ ἑαυτῇ ἀπειργάσατο.

Ἀναιδεῖ δὲ προσώπῳ προσεῖπεν αὐτῷ.

Ἀνυποστόλως δὲ προσωμίλησε τούτῳ· τάδε οἱονεὶ προσδιαλεξαμένη αὐτῷ.

14. Θυσία εἰρηνική μοι ἐστί.

Προσαγωγὴ καταλλάττουσα πρὸς τὰ παρόντα, τοὺς διὰ τὴν κατὰ τὴν φθορὰν ὀδύνην, ἀπεχθῶς πρὸς ταῦτα διακειμένους, ὑπάρχει παρ' ἐμοὶ πάντως ἡ κατὰ τὴν γένεσιν ἡδονή.

Σήμερον ἀποδίδωμι τὰς εὐχάς μου.

Φύσει τοῦ κυρίως ἀγαθοῦ κατὰ τὸ μέλλον ἀπολαύειν ἐφιεμένη, κατὰ τὸ παρὸν τὸ δοκήσει μοι ἀγαθὸν, παρὰ φύσιν γνωμικῶς ἐκτελῶ.

15. Ἕνεκα τούτου, ἐξῆλθον εἰς συνάντησίν σου.

Τούτου χάριν καταλείψασα τὰ νοούμενα, ἐξῆλθον πρὸς τὰ φαινόμενα, ὑπαντῆσαι σοι τῷ κατολιγωροῦντι τῶν μελλόντων διὰ τὰ ἐνεστῶτα. VII.

Ποθοῦσα τὸ σὸν πρόσωπον, εὕρηκά σε.

Ζητοῦσα σε τὸν κατὰ γνώμην τὰ παρόντα τῶν μελλόντων προαιρούμενον, ἐνέτυχόν σοι.

Κερίαις τέταχα τὴν κλίνην μου. 16.

Ταῖς ψυχικαῖς σχέσεσι τὴν σάρκα κατεδέσμησα, ὥστέ με ταύτῃ ταῖς ποικιλοτρόποις τῶν ἡδονῶν ἀπολαύσεσιν, οἷά τινι κλίνῃ ἐπαναπαύεσθαι.

Ἀμφιτάποις δὲ ἔστρωσα τοῖς ἀπ᾿ Αἰγύπτου.

Ταῖς δ᾿ ἐκ τῆς ἁμαρτίας λειότησι τῆς ἡδονῆς, ταύτην ἡτοίμασα, τὸ τραχὺ τοῦ κατὰ Θεὸν βίου παρωσαμένη.

Διέῤῥαγκα τὴν κοίτην μου κρόκῳ, τὸν δὲ οἶκον μου κιναμώμῳ. 17.

Κατέῤῥανον τὴν μὲν σάρκα, ἐν ᾗ ὡς ἐν κραβάτῳ ἀπολαυστικῶς ἀναπέπαυμαι, τῇ κρόκου δίκην, ἀμέτρως διαχεούσῃ τὴν ψυχὴν ἀπολαύσει τῶν ὑλικῶν· τὴν δὲ αἴσθησιν, ἐν ᾗ ὡς ἔν τινι παραμένω οἰκητηρίῳ, τῇ οἷάπερ κινάμωμον ἡδυνούσῃ καθ᾿ ἡδονὴν, καὶ δακνούσῃ κατ᾿ ὀδύνην διακρίσει τῶν αἰσθητῶν· κατέῤῥανον δὲ ταύτας, τοῦ ἐκ τῆς ἁμαρτίας μολυσμοῦ, καὶ ἀμφοτέρας πληρώσασα.

Ἐλθὲ καὶ ἀπολαύσωμεν φιλίας ἕως ὄρθρου. 18.

Παραγενοῦ λοιπὸν, καὶ τῶν διὰ δόξαν ἄλογον ποθουμένων ἡμῖν συναπολαύσωμεν, ἕως ἂν τὸ φῶς τοῦ τῆς δικαιοσύνης ἡλίου ἐν ἡμῖν διαυγάσειε· καὶ τὸ τῆς ἀγνοίας σκότος διασκεδάσαν τὸ ὄντως καλὸν ὑποδείξειεν.

Δεῦρο καὶ ἐγκυλισθῶμεν ἔρωτι.

Ἐλθὲ, καὶ τῷ τῶν προσκαίρων πόθῳ καταχρανθῶμεν, τῇ κατὰ πρᾶξιν ἀπολαύσει αὐτῶν μολυνόμενοι.

Οὐ γὰρ πάρεστιν ὁ ἀνήρ μου ἐν οἴκῳ. 19.

Ἄπεστι γὰρ ὁ κατὰ τῆς ἀνθρωπίνης φύσεως νόμον συναρμοσθείς μοι λόγος τοῦ νοεροῦ οἰκητηρίου αὐτοῦ.

VII. Πεπόρευται ὁδὸν μακράν.

Ἀπῆλθε τούτου μακρὰν, τῇ κατ' αἴσθησιν ἀπάτῃ ἐμφιλοχωρῶν, καὶ τοὺς τῆς κακίας ποικίλους τρόπους ἐπινοῶν.

20. Ἔνδεσμον ἀργυρίου λαβὼν ἐν χερσὶν αὐτοῦ.

Τὴν γὰρ δίκην ἀργυρίȣ λελαμπρυσμένην τῷ τῆς θείας ὡραιότητος κάλλει, ψυχὴν λαβὼν κατὰ τὸ αὐτεξούσιον, ὡς ἔν τισι χερσὶ, ταῖς προαιρεταῖς ἐνεργείαις αὐτοῦ, πρὸς πρόνοιαν τῆς ζωτικῆς ταύτης δυνάμεως, μετὰ τοῦ δεσμοῦ τῆς σαρκὸς κατησφαλισμένην· ἵν' ὅταν αὕτη διὰ τὴν ἀξίαν ἐπαίρηται, διὰ τὸν χοῦν συστέλληται· καὶ μὴ συλᾶται παρὰ τοῦ λαθραίως ταύτῃ διὰ τῶν καθ' ὑπερβολὴν τῆς ἀρετῆς παθῶν ἐπιβουλεύοντος δαίμονος· ἐναπομένων δὲ τῇ κατ' αἴσθησιν ἀπάτῃ τῶν ὑλικῶν, δια τὴν πρὸς τὴν σάρκα τῆς ψυχῆς σχέσιν, καὶ τοὺς τρόπους ἐπινοῶν τῶν κατ' ἔλλειψιν τῆς ἀρετῆς παθῶν.

Δι' ἡμερῶν πολλῶν ἐπανήξει εἰς τὸν οἶκον αὐτοῦ.

Οὐ διὰ βραχέος καιροῦ ἐπανελεύσεται εἰς τὸ κατὰ νοῦν αὐτοῦ οἰκητήριον, ταῖς διὰ τῆς ἐν πνεύματι φυσικῆς θεωρίας, κατὰ μέρος τῆς ψυχῆς ἀπὸ τῶν κατ' αἴσθησιν τύπων πρὸς τὴν ἀλήθειαν ἀναβάσεσιν.

21. Ἀπεπλάνησε δὲ αὐτὸν πολλῇ ὁμιλίᾳ.

Ἐξηπάτησε τοίνυν τῇ μακρᾷ ἐντυχίᾳ, συγκαταθέσθαι αὐτῇ τοῦτον παρασκευάσασα.

Βρόχοις τε τοῖς ἀπὸ τῶν χειλέων ἐξώκειλεν αὐτόν.

Δεσμοῖς τε τοῖς ἐκ τῶν πρὸς τὰ αἰσθητὰ σχέσεων τῶν αἰσθήσεων, δι' ὧν ὥς τινων χειλέων ταῦτα ἀσπάζεται, ἐξέστησεν αὐτὸν τοῦ βεβηκότος πάντως φρονήματος.

22. Ὁ δὲ ἐπηκολούθησεν αὐτῇ κεπφωθείς.

Ὁ τοιοῦτος δ' ὑπετάγη αὐτῇ τῷ πόθῳ τῶν κατ' αἴσθησιν ἡδέων δελεασθείς.

Ὥσπερ δὲ βοῦς ἐπὶ σφαγὴν ἄγεται.

Καθάπερ δὲ βοῦς ἀποκαμὼν περὶ τὸ τῆς ἐργασίας φερέπονον, φέρεται πρὸς σφαγὴν, οὕτω δὴ καὶ αὐτὸς, ἀποκαμὼν τῷ ἐπιπόνῳ τῆς ἀρετῆς, πρὸς τὴν νεκροποιὸν ἄγεται ἁμαρτίαν.

Καὶ ὥσπερ κύων ἐπὶ δεσμούς. VII.

Καὶ καθώσπερ κύων ἑλκόμενος πρὸς δεσμοὺς σχολάζει τοῦ φυλάττειν ἀπὸ τῶν ἐπιβουλευόντων, οὕτω καὶ οὗτος, ἐπειγόμενος δεσμηθῆναι τῇ κατ' ἐνέργειαν ἁμαρτίᾳ, παύεται τοῦ φυλάττειν ἑαυτὸν ἀπὸ τῶν ἐπιβουλευόντων δαιμόνων κατα ψυχήν.

Ἢ ὡς ἔλαφος τοξεύματι πεπληγὼς εἰς τὸ ἧπαρ. 23.

Ἢ ὥσπερ τις ἔλαφος τοῖς ὑψηλοτάτοις ὄρεσιν ἐμφιλοχωρῶν, τὸ ἧπαρ βέλει πληγεὶς, νεκρὸς ὑπὸ τῶν ἀγρευτῶν ἄγεται, τὸν αὐτὸν τρόπον καὶ οὗτος τρωθεὶς κατ' ἐπιθυμίαν τῶν προσκαίρων τῷ βέλει τοῦ τῶν ἡμετέρων ψυχῶν θηρευτοῦ, ἐστερημένος τῆς πνευματικῆς ζωῆς, πρὸς πᾶσαν κακίαν ἄγεται ὑπ' αὐτοῦ, τῆς οὐρανίου σχολάσας διαγωγῆς.

Σπεύδει δὲ ὥσπερ ὄρνεον εἰς παγίδα.

Καθάπερ δέ τι πτηνὸν ὀξέως φέρεται πρὸς τὴν ἄγραν δελεασθὲν, οὕτω καὶ οὗτος, ἀθρόον τῇ ἁμαρτίᾳ διὰ τῆς φαντασίας κατὰ διάθεσιν ἐφιστάμενος, σπουδάζει ὑπὸ τοῦ εἰρημένου θηρευτοῦ ἀγρευθῆναι.

Οὐκ εἰδὼς ὅτι περὶ ψυχῆς τρέχει.

Ἀγνοῶν ὅτι πρὸς ἀπώλειαν σπεύδει τῆς ἰδίας ψυχῆς.

Νῦν οὖν ὦ υἱὲ ἄκουέ μου. 24.

Ἄρτι τοίνυν τεκνίον μου πείθου μοι.

Καὶ πρόσιχε ῥήμασι στόματός μου.

Καὶ ἐπιμελῶς διάκεισο περὶ τὰ ἐμὰ παραγγέλματα.

Μὴ ἐκκλινάτω εἰς τὰς ὁδοὺς αὐτῆς ἡ καρδία σου. 25.

Μὴ ἐκτραπείτω σου ἡ διάνοια εἰς τὰς οἷά τινας ὁδοὺς πρὸς αὐτὴν τὴν ἄλογον ἐπιθυμίαν φερούσας ἀπρεπεῖς ἐνθυμήσεις.

Καὶ μὴ πλανηθῇς ἐν ἀτραποῖς αὐτῆς.

Μήτε μὴν ἀπατηθῇς ταῖς τῶν προσκαίρως εὐφραινόντων διεξόδοις αὐτῆς.

Πολλοὺς γὰρ τρώσασα καταβέβληκεν. 26.

Πλείστους γὰρ τῷ κέντρῳ τῆς ἡδονῆς, κατὰ ψυχὴν πλήξασα, ἐλεεινὸν πτῶμα πεσεῖν παρεσκεύασε.

VII. Καὶ ἀναρίθμητοί εἰσιν, οὓς πεφόνευκεν.

Καὶ οὐδεὶς ἀνθρώπων ἀριθμῆσαι δυνήσεται, οὓς τῇ ἁμαρτίᾳ ἐνέκρωσεν.

26. Ὁδοὶ ᾅδου ὁ οἶκος αὐτῆς, κατάγουσαι εἰς ταμιεῖα θανάτου.

Ἡ γὰρ αἴσθησις, ᾗ τινι αὕτη ὡς οἴκῳ ἐμφιλοχωρεῖ, διαφορουμένη τῇ διὰ τῶν αἰσθητηρίων ποικιλοτρόπῳ ἀντιλήψει τῶν αἰσθητῶν, ὑπάρχει οἷά τινες ἀπωλείας ὁδοὶ, καταφέρουσαι εἰς τὰς ἀποταμιεύσεις τοῦ καθ᾽ ἁμαρτίαν ὀλέθρου τῆς ψυχῆς· αὕτη γὰρ διὰ τῶν αἰσθήσεων, ἐν σχέσει γενομένη τῶν αἰσθητῶν, περιφυλάττει καθ᾽ ἕξιν τὸν ἴδιον ὄλεθρον, μέχρις ἂν προσφόρου δραξαμένη καιροῦ, ἐνδείξηται αὐτὸν κατ᾽ ἐνέργειαν.

C A P. VIII.

v. 1. Διὸ σὺ τὴν σοφίαν κήρυξον.

Διὰ τοῦτο αὐτὸς τὸν τοῦ θεοῦ μονογενῆ υἱὸν καὶ λόγον, τὴν ἐνυπόστατον αὐτοῦ δύναμιν καὶ σοφίαν, ὑποτιθέμενόν σοι τὰ αὐτοῦ θελήματα μεγάλυνον· ταῦτα τῶν σῶν σαρκικῶν προτιμῶν θελημάτων.

2. Ἵνα φρόνησίς σοι ὑπακούσῃ· ἐπὶ γὰρ τῶν ὑψηλῶν ἄκρων ἐστίν.

Ὅπως ἡ φέρουσα ὄνησιν κατὰ λόγον ἐνέργεια τῆς ψυχῆς, ὑπείξῃ σοι, πρὸς τὸ τὴν ἄλογον ἐπιθυμίαν δι᾽ ἐγκρατείας ἀναχαιτίζειν· ὁ γὰρ τοῦ θεοῦ ἐνυπόστατος λόγος, πέρας ὢν τῶν γνωστῶν ὡς ἀλήθεια, ὑπάρχει δι᾽. ἑαυτὸν ἐπέκεινα τῶν τῆς γνωστικῆς θεωρίας ὑψηλοτάτων ἀκροτήτων· αἵπερ εἰσιν οἱ λόγοι τῶν ὄντων· καθ᾽ οὓς γεγόνασί τε τὰ πάντα, καὶ αὐτὸς διὰ τὰ πάντα ἐν τοῖς πᾶσιν ἐστίν.

Ἀνὰ μέσον δὲ τρίβων ἕστηκε.

Μέσον δὲ τῶν κατ᾽ ἔλλειψιν τῆς ἀρετῆς, καὶ ὑπερβολὴν κατ᾽ ἐνέργειαν κακιῶν ἵσταται, ὡς ἔσχατον ὀρεκτὸν· κοινὸν ἀγαθὸν ὑπάρχων ψυχῇ τε καὶ σώματι· οἷα τῆς ἐξ ἀμφοτέρων λύμης ἀπαλ-

λάττων ἀμφότερα· τὰ μὲν γὰρ κατ᾿ ἔλλειψιν τῆς ἀρετῆς πάθη, VIII.
τὸ μὲν ἦθος τῆς ψυχῆς διαφθείρουσι, τὴν δὲ σάρκα μολύνου-
σι· τὰ δὲ καθ᾿ ὑπερβολὴν, σκοτίζουσι μὲν τὴν ψυχὴν, διὰ θεὸν
ἐπιτηδεύουσαν τὸ ἀγαθόν· φθείρουσι δὲ τὴν σάρκα, ἀποστεροῦν-
τα ταύτην τῆς παρὰ τῆς ψυχῆς πρὸς σύστασιν ὀφειλομένης προ-
νοίας αὐτῆς *. * αὐτῇ?

Παρὰ γὰρ πύλαις δυναστῶν παρεδρεύει. 3.

Παρὰ γὰρ ταῖς τῶν φαινομένων μὲν ἀντιληπτικαῖς, τούτου
δὲ τοῦ νοουμένου τούτων αἰτίου λόγου, δίκην πυλῶν κατὰ θεω-
ρίαν εἰσαγωγοῖς * πρὸς τὸ ἐπιγνωσθῆναι αὐτὸν κατὰ νοῦν τῇ ψυ- * cod. εἰσ-
χῇ, διατρίβει αἰσθήσεσι τῶν μὴ ἡττημένων τῇ ἀπάτῃ τῆς ἐπι- αγωγῆς.
φανείας τῶν ὁρατῶν.

Ἐν δὲ εἰσόδοις ὑμνεῖται.

Ἐν δὲ ταῖς τοιαύταις αὐτοῦ πρὸς νοῦν εἰσελεύσεσι, μεγα-
λύνεται διὰ τῶν κατὰ μίμησιν αὐτοῦ ἀγαθῶν ἔργων ὡς τῶν
ὁρώντων αὐτὰ δοξαζόντων τοῦτον τὸν τοῦ παντὸς αἴτιον ἀγα-
θοῦ· καὶ ταῦτα μὲν τὰ τῆς σοφίας.

Ὑμᾶς δὲ ὦ ἄνθρωποι παρακαλῶ. 4.

Ὑμᾶς δὲ τοὺς τῶν τῆς ἀνθρωπίνης φύσεως λόγον σῶον φυ-
λάττοντας, καὶ τοῖς μὲν παρὰ φύσιν πάθεσι μὴ ὑποπίπτον-
τας, φύσεως δ᾿ αὐτῆς καταφρονεῖν μήπω δεδυνημένους, οὐ κατ᾿
ἐντολὴν τὴν ταύτης καταφρόνησιν ἀπαιτῶ, φόβον τινὰ ἐπισείων
ὑμῖν, ἀλλ᾿ ἐν τῷ ἀναδιδάσκειν τὰς τοῦ ὑπὲρ φύσιν λόγου χά-
ριτας, πρὸς πόθον ἐφέλκομαι τῆς τελειοτέρας διαγωγῆς.

Καὶ προΐεμαι ἐμὴν φωνὴν υἱοῖς ἀνθρώπων.

Προφέρω δὲ τὴν ἐμὴν διδασκαλίαν, καὶ τοῖς διὰ τὸ μόνα
φρονεῖν τὰ τῆς κάτω γνώσεως ἀνθρώπων, καὶ οὐ θεοῦ χρη-
ματίζουσι.

Νοήσατε ἄκακοι πανουργίαν. 5.

Γνῶτε οἱ πάσης κακίας καθαρεύοντες, τὴν παντὸς ἀγαθοῦ
ἐμμέθοδον ἐνέργειαν· ἐπιγνόντες κατὰ πρᾶξιν τὰς τοῦ θεοῦ ἐν-
τολάς· καὶ εἰς φωτισμὸν ἐντεῦθεν ἀπὸ τῆς εἰσαγωγικῆς καθάρ-
σεως προκόψαντες.

VIII. Οἱ δὲ ἀπαίδευτοι, ἔνθεσθε καρδίαν.

Οἱ δὲ μήπω τυχόντες πατρικῆς παιδείας πρὸς κάθαρσιν, ἐμβάλλετε εἰς τὰς ἰδίας ψυχὰς τὴν ζωογόνον περὶ θεοῦ ἔννοιαν· ἤ τις διὰ τὸν ἐῤῥυπωμένον βίον φόβῳ αὐτοῦ, πάσης ἐκκαθαίρει κηλῖδος.

6. Εἰσακούσατέ μου, σεμνὰ γὰρ ἐρῶ· καὶ ἐνοίσω ἀπὸ χειλέων ὀρθά.

Πείσθητέ μοι· τίμια γὰρ φθέγξομαι· καὶ προάξω ἐκ στόματός μου εὐθῆ λόγια.

7. Ὅτι ἀλήθειαν μελετήσει ὁ φάρυγξ μου.

Διότι μοι ὁ δίκην φάρυγγος δεκτικὸς νοῦς, τοῦ ψυχὰς στηρίζοντος οὐρανίου ἄρτου, φροντίσει πάντως διδάξαι ὑμᾶς τὴν ἐν ὅλοις ἀλήθειαν· τοῦτον δηλαδὴ τὸν ὑπὸ πάσης τῆς κτίσεως κηρυττόμενον ἐνυπόστατον τοῦ θεοῦ λόγον.

Ἐβδελυγμένα δὲ ἐναντίον ἐμοῦ χείλη ψευδῆ.

Βδελυκτοὶ δὲ ἐναντίον ἐμοῦ, οἱ τὸ ἀληθὲς μὴ ἀπαγγέλλοντες λόγοι.

8. Μετὰ δικαιοσύνης πάντα τὰ ῥήματα τοῦ στόματός μου.

Μετὰ κρίσεως ἀῤῥεποῦς πάντα τὰ ἐμὰ παραγγέλματα.

Οὐδὲν ἐν αὐτοῖς σκολιὸν, οὐδὲ στραγγαλιῶδες.

Οὐδὲν ἐν αὐτοῖς ψεῦδος ὑποκρινόμενον τὴν ἀλήθειαν, οὔτε μὴν τοῦ εὐθέος ἐκτετραμμένον.

9. Πάντα ἐνώπια τοῖς συνιοῦσι.

Ἅπαντα φανερὰ τοῖς συννεύουσι πρὸς τὸ ἀγαθὸν, καὶ διὰ τῆς κατὰ πρᾶξιν πείρας, τῶν ἐντολῶν τὴν ἐπιστήμην κτησαμένοις.

Καὶ ὀρθὰ τοῖς εὑρίσκουσι γνῶσιν.

Καὶ εὐθύτατα τοῖς ἐξετάζουσι καὶ καταλαμβάνουσι γνωστικῶς τὸ ἀληθές.

10. Λάβετε παιδείαν καὶ μὴ ἀργύριον.

Κτήσασθε ὑπὲρ μὲν ἀργύριον καθαρὸν, τὴν ἐπιπόνως τῶν ἀπὸ κακίας κηλίδων τὴν ψυχὴν ἐκκαθαίρουσαν ὠφέλιμον κατὰ πρᾶξιν τῶν ἀρετῶν ἀγωγήν.

Καὶ γνῶσιν ὑπὲρ χρυσίον δεδοκιμασμένον. VIII.

Ὑπὲρ δὲ χρυσίον δοκιμασθὲν ἐν πυρὶ, φῶς γνώσεως, τῇ καμίνῳ τῶν ἀκουσίων πειρασμῶν μηδαμῶς ἐλαττούμενον.

Ἀνταιρεῖσθε δὲ αἰσθήσει, χρυσίου καθαροῦ.

Ἀντὶ τοῦ στηρίζεσθαι ἐλπίδι τοῦ τεθησαυρισμένου ὑμῖν ἀκιβδήλου χρυσίου, τῇ ἐκ τοῦ ἀγαθοῦ, τοῦ ἐναντίου διακρίσει, στηρίζεσθε· ὥστε μὴ καταπίπτειν ἐξ ἀγνοίας, εἰς κρημνοὺς κακίας καὶ βάραθρα.

Κρείσσων γὰρ σοφία λίθων πολυτελῶν. 11.

Κάλλιον γὰρ ὁ τὸ χεῖρον ἀποδιαιρῶν τοῦ κρείττονος λόγος, καὶ τῶν πολυτίμων λίθων αὐτῶν.

Πᾶν δὲ τίμιον, οὐκ ἄξιον αὐτῆς ἐστιν.

Ὅτι τούτῳ οὐδὲν τῶν παρ᾽ ὑμῖν τιμίων ἀντάξιον, ὃς τάδε διδάσκει δι᾽ ὅλης τῆς γραφῆς καὶ τῆς φύσεως.

Ἐγὼ ἡ σοφία κατεσκήνωσα βουλήν. 12.

Ἐγὼ ὁ τοῦ θεοῦ λόγος ἐν ταῖς τῶν πιστευόντων μοι ψυχαῖς ἐπηξάμην τὴν ὥς τινα σκηνὴν φυλάττουσαν αὐτὰς ἀνωτέρας τῆς ἐκ τοῦ φλογμοῦ τῶν παθῶν μελανώσεως, ἀρετῆς καὶ κακίας διάκρισιν.

Καὶ γνῶσιν καὶ ἔννοιαν ἐγὼ ἐπεκαλεσάμην.

Καὶ τὴν τῶν ὄντων γνῶσιν, ᾗ ὄντα εἰσὶ, καὶ τὴν ἐξ αὐτῶν περὶ ἐμοῦ τοῦ πάντων αἰτίου θεοῦ, ἔννοιαν ἐφειλκυσάμην αὐταῖς πιστευθεὶς ὑπ᾽ αὐτῶν, καὶ εἰς ἠθικὴν καὶ φυσικὴν καὶ θεολογικὴν φιλοσοφίαν ταύτας ἐναγαγών.

Φόβος κυρίου, μισεῖ ἀδικίαν, ὕβριν τε ὑπερηφανίαν, καὶ 13.
ὁδοὺς πονηρῶν, καὶ στόμα ἄπιστον.

Ὁ φόβος δὲ τούτου, τοῦ τῶν ὅλων δεσπότου, ἅπαν παράλογον ἀποστρέφεται· φημὶ δὴ τήν τε κατ᾽ ἔλλειψιν τῆς ἀρετῆς, ἀτιμοποιὸν τῆς λογικῆς φύσεως κακίαν· καὶ τὴν καθ᾽ ὑπερβολὴν ταύτης, φυσίωσιν καὶ τὰς περὶ τῶν ὄντων ἀλογίστους δόξας· δι᾽ ὧν τὰ τῆς πονηρίας πνεύματα ἐν ταῖς τῶν ἀνθρώπων ψυχαῖς ποιούμενα τὴν πάροδον, τὰ κατ᾽ ἔλλειψιν τῆς ἀρε-

VIII. τῆς πάθη ταύταις ὑποτιθέασι· καὶ τὴν περὶ ἀθείας διδασκαλίαν αὐτῶν ἣν ταῦτα ποιοῦνται πρὸς τοὺς μὴ Θεῷ, ἀλλ᾽ ἑαυτοῖς τὰ κατορθώματα ἐπιγράφοντας· διόπερ ταῦτα αὐτὸς ὁ τοῦ Θεοῦ λόγος, διὰ τοῦ πρὸς αὐτὸν φόβου ἀπαγορεύων, οἱονεὶ λέγει.

Μεμίσηκα δὲ ἐγὼ διεστραμμένας ὁδοὺς κακῶν.

Ἐβδελυξάμην δὲ, αὐτὸς ἀρετῆς ὑπάρχων κανὼν, τὰς τῆς κατὰ ταύτην εὐθύτητος ἐκτετραμμένας, κατ᾽ ἔλλειψιν αὐτῆς καὶ ὑπερβολὴν, ἐν ταῖς τῶν ἀνθρώπων ψυχαῖς διατριβὰς τῶν ἐφευρετῶν τῆς κακίας δαιμόνων.

14. Ἐμὴ βουλὴ καὶ ἀσφάλεια.

Παρ᾽ ἐμοῦ, τοῦ τῆς δικαιοσύνης ἡλίου, ἀνθρώποις παρέχεται, ὡς μὲν τὸ νοερὸν τῆς ψυχῆς ὄμμα φωτίζοντος, ἡ μετὰ περισκέψεως τῶν ἐναντίων διάκρισις· ὡς δὲ τὸν χειμῶνα τῶν παθῶν ἀποκρουομένε τῇ θέρμῃ τοῦ πνεύματος, ἡ ἐκ τούτων φυλακή.

Ἐμὴ φρόνησις, ἐμὴ δὲ ἰσχύς.

Παρ᾽ ἐμοῦ ἐστι τούτοις, ὡς ἐσχάτου ὀρεκτοῦ, ἡ φέρουσα ὄνησιν ὄρεξις τοῦ ἀγαθοῦ· παρ᾽ ἐμοῦ τε πρὸς τὴν τούτου ἐργασίαν τούτοις δίδοται δύναμις, ὡς ἐνυποστάτου δυνάμεως τοῦ Θεοῦ καὶ πατρός.

15. Δι᾽ ἐμοῦ βασιλεῖς βασιλεύουσι·

Δι᾽ ἐμοῦ, ὡς Θεοῦ λόγου, οἱ τῶν παθῶν αὐτοκράτορες ἐννόμως ἐπιστατοῦσι τῇ ἐπιθυμίᾳ καὶ τῷ θυμῷ.

Καὶ οἱ δυνάσται γράφουσι δικαιοσύνην.

Καὶ οἱ καθυποτάσσοντες τὴν σάρκα τῷ πνεύματι, τὸν χοῦν κατὰ πρᾶξιν ἠθικῶς διαπλάττοντες, διὰ τούτε σημειοῦνται ὡς διὰ μέλανος, τὴν τῆς ψυχῆς ἀῤῥεπῆ κρίσιν πρὸς τὰ κατ᾽ ἔλλειψιν τῆς ἀρετῆς καὶ ὑπερβολὴν πάθη ἐμοῦ τὸν λόγον τῆς ἀρετῆς τούτοις ὑπαγορεύοντος.

16. Δι᾽ ἐμοῦ μεγιστάνες μεγαλοῦνται.

Δι᾽ ἐμοῦ, ὡς ἀλαθήτου γνωςοῦ, καὶ ἐσχάτε ὀρεκτοῦ, οἱ κατὰ γνῶσιν καὶ ἀρετὴν προὔχοντες, κατὰ ταύτας περιφανεῖς καὶ ἐπίδοξοι γίνονται.

Καὶ τύραννοι δι' ἐμοῦ κρατοῦσι γῆς. VIII.

Καὶ οἱ τὴν γήϊνον σάρκα παραβιαζόμενοι, (πρὸς) τὸ ταύτης
ἀπονεκρῶσαι φρόνημα, δι' ἐμοῦ αὐτῆς κυριεύουσιν· ὡς τὸν πό-
θον πρὸς τὰ νοούμενα ἀπὸ τῶν φαινομένων μετάγοντος.

Ἐγὼ τοὺς ἐμὲ φιλοῦντας ἀγαπῶ. 17.

Αὐτὸς, διὰ τῶν ἐμῶν ἐντολῶν, τοὺς ἀγαπῶντάς με ἀπαλ-
λάττων τῶν παραλόγων παθῶν, γνώριμον τούτοις τὴν πρὸς αὐ-
τοὺς ἀγάπην μου καθιστῶ· κἂν πάντας ἀνθρώπους, ὡς πλάσμα
ἴδιον ἀγαπῶ, ἐπίσης θέλων πάντων τὴν σωτηρίαν.

Οἱ δὲ ἐμὲ ζητοῦντες, εὑρήσουσι χάριν.

Οἱ δὲ πρός με τὸ τέλος τῶν γνοιςῶν, τὴν ἀλήθειαν, κα-
τὰ νοῦν κινούμενοι μετ' ἐφέσεως, τῆς τοῦ ὁμοφυοῦς μοι πνεύ-
ματος ἐπιτεύξονται χάριτος· χαριζομένη τούτοις, ἐν τῷ εἰς πᾶ-
σαν τὴν ἀλήθειαν αὐτοὺς ὁδηγεῖν, ἐμοῦ τῆς σοφίας τὴν μέθεξιν.

Πλοῦτος καὶ δόξα ἐμοὶ ὑπάρχει, καὶ κτῆσις πολλῶν, καὶ 18.
δικαιοσύνη.

Ὁ γὰρ τῶν ἐν ἐπαγγελίαις ἀποκειμένων ἀκίνητος θησαυ-
ρὸς, καὶ ἡ ἀκήρατος εὔκλεια, τὰ ὑπὲρ φύσιν ἀγαθὰ, πρὸς δὲ
καὶ κατὰ φύσιν· ἥ τε καθ' ἕξιν γνῶσις τῶν διαφόρων λογων καθ'
οὓς γεγόνασί τε τὰ πάντα καὶ ἀκίνητα μένουσι, καὶ ἡ κατὰ τού-
τους πρὸς τὰ κατ' ἔλλειψιν τῆς ἀρετῆς καὶ ὑπερβολὴν πάθη,
ἀῤῥεπὴς κρίσις, ἐν ἐμοί ἐστιν, ὡς δοτῆρι μὲν τῶν ὑπὲρ φύσιν
ἀγαθῶν, αἰτίῳ δὲ τῶν κατὰ φύσιν.

Βέλτιον ἐμὲ καρπίζεσθαι, ὑπὲρ χρυσίον καὶ λίθον τίμιον 19.
πολύν.

Κρεῖττον λοιπὸν ὑπὲρ χρυσόν τε καὶ λίθους μὴ εὐαριθμή-
τους πολυτιμήτους, τὰ ἐν κόσμῳ τερπνὰ, ἐμὲ τὸν τῆς ἀθανα-
σίας καρπὸν, ὡς ἐν παραδείσῳ τῷ ὅλῳ κόσμῳ συλλέγειν· ἐν τῷ
αἱρεῖν με ἐκ πάντων, κατὰ τὴν ἐν πνεύματι φυσικὴν θεωρίαν
αὐτῶν, ὡς ὑπὲρ πάντα κατ' οὐσίαν ὑπάρχοντα.

Τὰ δὲ ἐμὰ γεννήματα κρεῖσσον ἀργυρίου ἐκλεκτοῦ.

Τὰ δὲ ἐμὰ θελήματα, οἷς διὰ τὰ πάντα πᾶσι πάντα γί-

VIII. νομαι κατ' ἐνέργειαν, κάλλιόν εἰσιν ὑπὲρ ἐπίλεκτον ἄργυρον, ὡς τούτου καθαρωτέρους καὶ λαμπροτέρους ἀποδεικνύοντα τοὺς ποιοῦντας αὐτά·

20. Ἐν ὁδοῖς δικαιοσύνης περιπατῶ.

Ταῦτα γὰρ οἷά τινας ὁδοὺς εἰς τὴν ἄμεμπτον ἄγοντα πολιτείαν, διδασκαλικῶς διεξέρχομαι.

Καὶ ἀνὰ μέσον τρίβων δικαιώματος ἀναστρέφομαι.

Καὶ μέσον τῶν ἐμοῦ τῆς ἀληθείας ἐξηρτημένων, καὶ μὴ δι' ἀνθρωπαρέσκειας ὑποκρινομένων τὸ ἀγαθὸν, ποιητικῶν τούτων τῶν θελημάτων μου τρόπων, περιπολῶ τῶν κατ' ἔλλειψιν τῆς ἀρετῆς καὶ ὑπερβολὴν ἁπάντων παθῶν.

21. Ἵνα μερίσω τοῖς ἐμὲ ἀγαπῶσιν ὕπαρξιν.

Ὅπως διανείμω τοῖς ἐμὲ ποθοῦσι, κατὰ τὸ μέλλον ἀναλόγως ἑκάστῳ, τὸν ἀδάπανον πλοῦτον τῆς κατὰ χάριν θεώσεως.

Καὶ τοὺς θησαυροὺς αὐτῶν ἐμπλήσω ἀγαθῶν.

Κἀντεῦθεν πληρώσω τὰς θεωρητικὰς καὶ ὀρεκτικὰς δυνάμεις, αἷς τὴν ἀρετὴν καὶ τὴν γνῶσιν ἐν ζωῇ αὐτῶν ἀπεθησαύρισαν,
* ποθεῖν ? τῶν ἐν ἐπαγγελίαις μου ἀγαθῶν, κατὰ τὸ καθεῖν * καὶ ἰδεῖν τὴν ἐμὴν λαμπρότητα, καὶ χορτασθῆναι ἐν τῷ ὀφθῆναι τούτοις τὴν δόξαν μου.

Ἐὰν ἀναγγείλω ὑμῖν τὰ καθ' ἡμέραν γινόμενα, μνημονεύσω τὰ ἐξ αἰῶνος ἀριθμηθέντα.

Ἐπεὶ ἐὰν διδάξω ὑμᾶς τὰ κατὰ τὴν ἐν σαρκὶ ἀνατολήν μου τοῦ τῆς δικαιοσύνης ἡλίου, ἐπὶ σωτηρίᾳ τῶν ἀνθρώπων τελούμενα, ἀναμνήσω τοῦ διεξελθεῖν τὰ παρὰ τῇ τοῦ πατρός μου βουλῇ ἀϊδίως ὑπάρχοντα περὶ ἐμοῦ μυστήρια.

22. Κύριος ἔκτισέ με ἀρχὴν ὁδῶν αὐτοῦ, εἰς ἔργα αὐτοῦ.

Γίνωσκε τοίνυν ὅτι ὁ ἐμὸς πατὴρ, καὶ τῶν ὅλων δεσπότης Θεὸς, εὐδόκησε κτιστὸν σαρκί με γενέσθαι τὸν ἄκτιστον· ὡς ἂν οἱ πρὸς αὐτὸν διὰ τῶν αὐτοῦ ἐντολῶν ὁδεύειν βουλόμενοι, ἐμοὶ οἷά περ ἀρχηγῷ τῆς σωτηρίας αὐτῶν ἕπωνται, πρώτῳ ταύτας ἀνθρωποπρεπῶς ὁδεύοντι· καὶ ἔχωσί με ὑπογραμμὸν εἰς τὸ κα-

τὰ μίμησιν ἐμὴν τὰ θεῖα τῆς δικαιοσύνης ἔργα ἐργάζεσθαι· καὶ VIII.
οὕτω μὲν ἔκτισέ με τὸν ἄκτιστον.

Πρὸ τοῦ αἰῶνος ἐθεμελίωσέ με 23.

Πρὸ δὲ παντὸς αἰῶνος εἶχε τὴν περὶ τῆς ἐνσάρκου οἰκονομίας μου ὑπεράγαθον βουλὴν, ὥς τινα προϋποτεθειμένον ταύτης θεμέλιον.

Ἐν ἀρχῇ, πρὸ τοῦ τὴν γῆν ποιῆσαι, καὶ πρὸ τοῦ τὰς ἀβύσ- 24.
σους ποιῆσαι· πρὸ τοῦ προελθεῖν τὰς πηγὰς τῶν ὑδάτων· πρὸ 25.
τοῦ ὄρη ἑδρασθῆναι.

Κατ᾽ ἀρχὰς πρὶν ἢ τὴν γῆν παραγαγεῖν, καὶ τὰς τῶν ὑδάτων ἀβύσσους, καὶ πρὶν ἢ τὰς τούτων ἀναβλῦσαι πηγὰς, καὶ πρὸ τοῦ τὰ ὄρη πῆξιν λαβεῖν.

Πρὸ δὲ πάντων βουνῶν γεννᾷ με.

Πρὸ δὲ τῆς παραγωγῆς καὶ αὐτῶν πασῶν τῶν ἀγγελικῶν τάξεων, αἳ καθάπερ βουνοί τινες, παντὸς ἄλσους ὑψιλωμένοι, πάντων τῶν αἰσθητῶν κτισμάτων ὑπέρκεινται, καὶ πάσης ὕλης ἀπηλλοτρίωνται, φυσικῶς καὶ ἀϊδίως γεννᾷ με.

Κύριος ἐποίησε χώρας, καὶ ἀοικήτους, καὶ ἄκρα οἰκούμενα 26.
τῆς ὑπ᾽ οὐρανόν.

Καὶ γὰρ ὁ ἐμὸς πατὴρ, καὶ τῶν ὅλων δεσπότης, ἐκ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι παρήγαγε τὰ τοῦ περιγείου τοῦδε μέρη, καὶ τμήματα· τό τε πολλῶν οἰκητόρων καὶ ἐθνῶν ὅλων χωρητικὸν, καὶ τὸ μὴ ὅλως οἰκούμενον, καὶ εἴτι πέρας εἴη τῆς γῆς, καὶ οἰκήτοράς τινας κέκτηται.

Ἡνίκα ἡτοίμαζε τὸν οὐρανὸν, συμπαρήμην αὐτῷ. 27.

Ὅταν δὲ εὐτρέπιζε τὸν οὐρανὸν ἡλίῳ καὶ σελήνῃ καὶ ἄστροις καθωραΐζων αὐτὸν, συνυπῆρχον αὐτῷ καὶ συνήργουν, ὁμοούσιος αὐτῷ ὑπάρχων καὶ ἐνυπόστατος δύναμις καὶ σοφίας.

Καὶ ὅτε ἀφώριζε τὸν ἑαυτοῦ θρόνον ἐπ᾽ ἀνέμων.

Καὶ ὅτε τῆς οὐσιωδῶς ὑφεστώσης αὐτοῦ βασιλείας, τοῦ ἐξ αὐτοῦ ἐκπορευομένου, καὶ ἐν ἐμοὶ ὁμοουσίως ἀναπαυομένου, παναγίου πνεύματος ἀφιέρου τὴν χάριν, ἐπαναπαύεσθαι τοῖς ἀγγε-

VIII. λικοῖς πνεύμασι καὶ οὐρανίοις, τὴν πρὸς αὐτὸ τούτοις χαριζόμενος οἰκειότητα.

28. Ἡνίκα ἰσχυρὰ ἐποίει τὰ ἄνω νέφη, καὶ ἀσφαλεῖς ἐτίθει πηγὰς τῆς ὑπ᾽ οὐρανόν.

Καὶ ὁπόταν εἰργάζετο ἀῤῥαγεῖς τὰς ὑπὲρ γῆν νεφέλας, καὶ οἷά τινας φυλακτικὰς ὑδάτων πηγὰς, ἐποίει ταῦτα εἰς τὸ ἀρδεύειν τὴν γῆν.

29. Ἐν τῷ τιθέναι αὐτὸν τῇ θαλάσσῃ ἀκριβασμὸν αὐτοῦ.

Καὶ ὅταν προσέτασσε τῇ θαλάσσῃ μὴ ὑπερβαίνειν τὰ ἑαυτῆς ὅρια· διὸ καὶ οὐ παραδράμωσι τὰ ταύτης ὕδατος, τὸ αὐτοῦ πρόςαγμα, ἀλλ᾽ ἐν αὐτῇ τὰ κύματα αὐτῆς συντριβήσονται.

Καὶ ἰσχυρὰ ἐποίει τὰ θεμέλια τῆς γῆς.

Πρὸς δὲ καὶ ἡδραίυ τὴν ῥυτὴν τούτων φύσιν, τὴν ξηρὰν καὶ κατωφερῆ γῆν θεμελιῶν ἐπὶ τῶν ὑδάτων.

30. Ἤμην παρ᾽ αὐτῷ ἁρμόζουσα.

Συναϊδίως ὑπῆρχον ὁμοϐσιότητι παρ᾽ αὐτῷ, συναρμόζων τὰς τῶν ὄντων οὐσίας τοῖς ἐπὶ ταύταις προαιωνίοις τούτου θελήμασιν, ἐν τῷ κατὰ ταῦτα ἅπαντα ὑφιστᾷν.

Ἐγὼ ἤμην ᾗ προσέχαιρε καθ᾽ ἡμέραν.

Αὐτὸς ὑπῆρχον ᾧ καθ᾽ ἑκάστην τῶν τῆς δημιουργίας ἑπτὰ ἡμερῶν, ἐνηγάλλητο συμπληροῦντι κατὰ τὸ αὐτῷ βουλητὸν τὰ καθ᾽ ἕκαστα, καὶ διὰ τούτων ὡς συμβόλων θεωρουμένῳ.

31. Εὐφραινόμην δὲ ἐν προσώπῳ αὐτοῦ, ἐν παντὶ καιρῷ ὅτε εὐφραίνετο τὴν οἰκϐμένην συντελέσας, καὶ εὐφραίνετο ἐν υἱοῖς ἀνθρώπων.

Ὁμοθελὴς δ᾽ ὑπάρχων αὐτῷ, ὡς καὶ ὁμοούσιος, ἠγαλλιώμην καὶ αὐτὸς ἐνώπιον τούτου διὰ παντὸς, ὁπόταν ἠγαλλίνετο, ἀπαρτίσας τῇ ἐν πνεύματι τελειώσει τότε τὸ πᾶν· καὶ ἔχαιρεν ἐπὶ τῇ τοῦ γένους τῶν ἀνθρώπων παραγωγῇ, ἀποτελεσθέντος κατ᾽ εἰκόνα ἡμετέραν, καὶ καθ᾽ ὁμοίωσιν.

32. Νῦν οὖν υἱὲ (ἄκουέ) μου, καὶ μακάριοι οἳ ὁδούς μου φυλάξουσιν.

Ἄρτι τοίνυν ἐμὸν θρέμμα καὶ παίδευμα, πείθου μοι· καὶ γὰρ VIII.
ἀξιέπαινοι, οἱ πεισθέντες μοι, τηρήσουσι τὰς ἐμὰς ἐντολὰς λοιπόν.

Ἀκούσατε παιδείαν, καὶ σοφίσθητε, καὶ μὴ ἀποφραγῆτε. 33.

Παιδεύθητε ταύτας ἅπαντες, καὶ μετάσχετέ μου, καὶ τὰς ἐμὰς εἰσόδους μὴ ἀποφράξητε.

Μακάριος ἀνὴρ, ὃς εἰσακούσεταί μου. 34.

Ἀξιέπαινος ὃς κατὰ τῶν παθῶν ἀνδρισάμενος, πεισθήσεταί μοι, μὴ ὑποπίπτειν αὐτοῖς παραινοῦντι αὐτῷ.

Καὶ ἄνθρωπος ὃς τὰς ἐμὰς ὁδοὺς φυλάξει.

Καὶ ὃς ἄνω βλέπων, τηρήσει τὰς ἐμὰς ἐντολάς.

Ἀγρυπνῶν ἐπ' ἐμαῖς θύραις καθ' ἡμέραν.

Γρηγορῶν κατὰ πᾶσαν τὴν παροῦσαν ζωὴν, ἐπὶ τοῖς δίκην θυρῶν ἀναπεπταμένοις πρὸς θεωρίαν τῶν ὄντων αἰσθητηρίοις.

Τηρῶν σταθμοὺς ἐμῶν εἰσόδων.

Φυλάσσων τὴν κατὰ νοῦν θεωρητικὴν ἕξιν, καὶ τὴν κατὰ λόγον πρακτικὴν ἐνέργειαν τῆς ψυχῆς τὰς φυλακτικὰς παραστάτιδας τῶν πρὸς αὐτὴν εἰσόδων μου· πέρατος ὄντος, τῶν μὲν γνωστῶν, ὡς ἀληθείας· τῶν δὲ πρακτικῶν, ὡς ἀγαθοῦ· εἰς τὸ μὴ συνέρχεσθαι λεληθότως τὸν πονηρὸν τῇ ἐπιφανείᾳ τῶν αἰσθητῶν, καὶ τῇ τούτων σχέσει δεσμεῖν τὸν νοῦν, καὶ μὴ συγχωρεῖν πρὸς τοὺς αὐτῶν διαβαίνειν λόγους, κἀντεῦθεν ὑποδέχεσθαί με.

Αἱ γὰρ ἔξοδοί μου, ἔξοδοι ζωῆς. 35.

Αἱ γὰρ παρὰ τοῦ θεοῦ καὶ πατρὸς, προνοητικαὶ κατά τε τὸν φυσικὸν καὶ τὸν γραπτὸν καὶ τὸν πνευματικὸν νόμον ἐξελεύσεις μου, τοῦ παναγίου μου πνεύματος, κατὰ χάριν μεταδόσεις τοῖς μέλλουσι κληρονομεῖν βασιλείαν εἰσί.

Καὶ ἑτοιμάζεται θέλησις παρὰ κυρίου.

Καὶ εὐτρεπίζεται ἐν ὑμῖν, διὰ τῶν εἰρημένων τριῶν νόμων, παρ' ἐμοῦ τοῦ τῶν ὅλων δεσπότου, ὄρεξις φυσική τε καὶ λογικὴ, καὶ πάντων τῶν οὐσιωδῶς τῇ φύσει προσόντων ἰδιωμάτων συνεκτική.

Οἱ δὲ εἰς ἐμὲ ἁμαρτάνοντες, ἀσεβοῦσιν εἰς τὰς ἑαυτῶν ψυχάς. 36.

VIII. Οἱ δ' ἐμοῦ τοῦ Θεοῦ λόγου, διὰ τὴν τῶν παθῶν ἄλογον ὄρεξιν ἀποτυγχάνοντες, τὰς ἑαυτῶν ψυχὰς τῆς κατὰ μέθεξίν μου στεροῦσι τιμῆς· οἵαπερ ἀποβαλόμενοι τὸ καθ' ὁμοίωσιν Θεοῦ, καὶ παρασυμβληθέντες τοῖς κτήνεσι τοῖς ἀνοήτοις, καὶ ὁμοιωθέντες αὐτοῖς.

Καὶ οἱ μισοῦντές με, ἀγαπῶσιν θάνατον.

Καὶ οἱ ἀποστρεφόμενοί με τὸν τὴν ἀνώλεθρον πνευματικὴν ζωὴν τοῖς θέλουσι χαριζόμενον, ἀσπάζονται τὸν καθ' ἁμαρτίαν ψυχικὸν ἑαυτῶν ὄλεθρον· ταῦτα διὰ πάσης τῆς γραφῆς διδάσκουσα.

CAP. IX.

v. 1. Ἡ σοφία ᾠκοδόμησεν ἑαυτῇ οἶκον.

Ἡ ἐνυπόστατος τοῦ Θεοῦ καὶ πατρὸς δύναμις, ἴδιον κατεσκεύασεν οἰκητήριον, τόν τε ὅλον κόσμον, ἐν ᾧ οἰκεῖ κατ' ἐνέργειαν, καὶ αὐτὸν τὸν κατ' εἰκόνα Θεοῦ καὶ ὁμοίωσιν, ἐξ ὁρατῆς καὶ ἀοράτου φύσεως κτισθέντα ἄνθρωπον.

Καὶ ὑπήρεισε στύλους ἑπτά.

Καὶ τῇ μὲν ὅλῃ αἰσθητῇ φύσει ὑπέθετο πρὸς ὕπαρξιν, τὴν ἑβδομαδικὴν τοῦ χρόνου περίοδον, αὐτῷ δὲ τῷ ἀνθρώπῳ, μετὰ τὴν γένεσιν κατὰ Χριστὸν κτιζομένῳ, ἐν τῷ πιστεύειν αὐτῷ καὶ τὴν αὐτοῦ τηρεῖν ἐντολὴν, ὑπέθετο αὖθις τὰ ἑπτὰ τοῦ πνεύματος χαρίσματα· ἐν οἷς ψυχουμένης τῆς ἀρετῆς κατὰ γνῶσιν, καὶ τῆς γνώσεως αὖθις σωματουμένης κατ' ἀρετὴν, ὁ πνευματικὸς ἀπαρτίζεται ἄνθρωπος, τελειούμενος τῷ τῆς πίστεως τέλει, τῇ τῶν ὑπὲρ φύσιν μεθέξει· καὶ γὰρ τὴν μὲν κατὰ τὴν πρακτικὴν φιλοσοφίας κάθαρσιν ἐργάζονται, ὅ τε φόβος πείθων ἀπὸ τῶν παθῶν ἐγκρατεύεσθαι, καὶ ἡ ἐπιστήμη ὑποτιθεῖσα τοὺς τῆς καθάρσεως τρόπους, καὶ ἡ γνῶσις μὴ ἀγνοεῖν συγχωροῦσα τὰς ἐπιβουλὰς τοῦ ἐχθροῦ· τὸν δὲ κατὰ τὴν φυσικὴν ἐν πνεύματι φωτισμὸν κατορθοῦσιν, ἥ τε ἰσχὺς προθύμως ὁρμᾷν καὶ

κινεῖσθαι παρασκευάζουσα πρός τοὺς λόγους τῶν ὄντων τά θεῖα IX.
πάντως θελήματα, καθ᾽ ἃ τὰ πάντα γεγόνασι· καὶ ἡ βȣλὴ δια-
κρίνασα τὰ τοιαῦτα πανάγαθα τοῦ θεοῦ θελήματα, ὡς μὴ ἠρ-
γμένα καὶ ἄφθαρτα, καὶ ἐνδεχόμενα νοεῖσθαι καὶ λαλεῖσθαι καὶ
πράττεσθαι, ἀπὸ τῶν μὴ τοιούτων· καὶ ἡ σύνεσις, πρὸς ταῦτα,
καὶ μὴ πρός τὰ ἐναντία ποιοῦσα συννεύειν καὶ συνδιατίθεσθαι·
τὴν δὲ κατὰ τὴν μυςικὴν θεολογίαν τελείωσιν, ἡ θεία μόνη σο-
φία χαρίζεται, μέθεξιν τοῦ βίου παρεχομένη.

Ἔσφαξε τά ἑαυτῆς θύματα. 2.

Οὕτω τοῖς ἑπτὰ τοῦ παναγίου πνεύματος χαρίσμασιν ὁ τοῦ
θεοῦ λόγος οἰκητήριον ἑαυτῷ ἀπεργασάμενος τὸν ἄνθρωπον,
ἀπέκτεινεν ἐν αὐτῷ τῇ μαχαίρᾳ τῇ τοῦ πνεύματος, τῆς φαινο-
μένης κτίσεως τὴν κίνησιν καὶ τα σχήματα καὶ αὐτὴν τὴν τῶν
ὄντων οὐσίαν· νεκρώσας τὴν ἐμπαθῆ περὶ τὰ φαινόμενα διάθε-
σιν αὐτοῦ, καὶ τὴν ψευδῆ περὶ τῶν ὄντων δόξαν, καὶ τὴν πο-
λύθεον πλάνην.

Ἐκέρασεν εἰς κρατῆρα τὸν ἑαυτῆς οἶνον· καὶ ἡτοιμάσατο τὴν
ἑαυτῆς τράπεζαν.

Καὶ ἥνωσεν ἐν τῷ τοιούτῳ ἀνθρώπῳ, ἐν ᾧ ὥς τινι κρατῆρι
κιρνᾶται ἡ νοητὴ καὶ αἰσθητὴ φύσις, τῇ τῶν ὄντων γνώσει, τὴν
ἑαυτοῦ ὡς πάντων αἰτίȣ ἐπίγνωσιν, ᾗ τις πέφυκε τὸν νοῦν, πάν-
των τῶν μετὰ θεὸν δίκην οἴνου ἐξιστᾷν· καὶ οὕτω δι᾽ ἑαυτοῦ,
ἄρτου οὐρανίȣ τυγχάνοντος, ψυχὰς κατ᾽ ἀρετὴν τρέφοντος, κα-
τὰ γνῶσιν ταύτας ποτίζοντος καὶ εὐφραίνοντος, τόδε τὸ πᾶν
ὡς τινα πανδαισίαν εὐτρέπισεν εἰς πνευματικὴν εὐωχίαν τῶν βȣ-
λομένων μεταλαμβάνειν αὐτοῦ.

Ἀπέςειλε τοὺς ἑαυτῆς δούλȣς συγκαλοῦσα μετὰ ὑψηλοῦ κη- 3.
ρύγματος ἐπὶ κρατῆρα, λέγουσα.

Ἔπεμψέ τε τοὺς τῷ θείῳ αὐτοῦ θελήματι λειτȣργοῦντας ἀπο-
στόλȣς, μετὰ τοῦ εὐαγγελικοῦ κηρύγματος, τοῦ ὄντος ὑπὲρ τὸν
γραπτὸν καὶ φυσικὸν νόμον ὡς πνευματικοῦ, προσκαλούμενος
ἐφ᾽ ἑαυτὸν· ἐν ᾧ ὥς τινι κρατῆρι κατὰ τὸ τῆς οἰκονομίας μυ-

IX. ςήριον, ἡ παράδοξος κρᾶσις τῆς θείας φύσεως καὶ τῆς ἀνθρωπίνης ἀσυγχύτως καθ᾽ ὑπόστασιν γέγονε· τάδε οἱονεὶ δι᾽ αὐτῶν φάσκων.

4. Ὅς ἐστι ἄφρων, ἐκκλινάτω πρός με.

Ὅς ἐςιν ἄφρων, διὰ τὸ διαλογίζεσθαι ἐν καρδίᾳ αὐτοῦ μὴ εἶναι θεὸν, ἀφεὶς τὴν ἀθείαν, ἐγγισάτω μοι κατὰ πίστιν· καὶ γνώτω με δημιουργὸν τοῦ παντὸς καὶ δεσπότην.

5. Καὶ τοῖς ἐνδεέσι φρενῶν, εἶπεν· ἔλθετε φάγετε τὸν ἐμὸν ἄρτον, καὶ πίετε οἶνον ὃν κεκέρακα ὑμῖν.

Καὶ τοῖς ἔτι δεομένοις τῶν ἔργων τῆς πίςεως καὶ τοῖς ἐπ᾽ αὐτοῖς τελειοτέρας γνώσεως, ἔφη· δεῦτε φάγετε τὸ κατ᾽ ἀρετὴν, δίκην ἄρτου τρέφον ὑμᾶς σῶμα μου· καὶ πίετε τὸ κατὰ γνῶσιν, δίκην οἴνου εὐφραῖνον ὑμᾶς, καὶ πρὸς θέωσιν ἐξιςῶν αἷμα μȣ, ὃ τῇ θεότητι παραδόξως κεκέρακα, διὰ τὴν σωτηρίαν ὑμῶν.

6. Ἀπολίπετε ἀφροσύνην, καὶ ζήσεσθε.

Καταλίπετε ἀπιστίαν, καὶ τὴν πνευματικὴν ζωὴν καὶ ἀνώλεθρον ἕξετε.

Καὶ ζητήσατε φρόνησιν, ἵνα βιώσητε, καὶ κατορθώσητε σύνεσιν ἐν γνώσει·

Καὶ ποθήσατε τὴν τῆς πράξεως τοῦ ἀγαθοῦ αἰτίαν φρόνησιν· ὅπως πολιτείαν ἄμεμπτον κτήσησθε, καὶ ἀπαρτίσητε ἐν τῇ γνώσει τοῦ ὄντως καλοῦ, τὴν πρὸς αὐτὸ τοῦ τριμεροῦς τῆς ψυχῆς σύνεσιν, ἧς ἐκ πίστεως ἤρξασθε.

7. Ὁ παιδεύων κακοὺς, λήψεται ἑαυτῷ ἀτιμίαν.

Ὅτι δὲ ὁ πλήττων ῥήμασιν ἀληθείας τοὺς πρὸς κακίας ἀληθῶς ῥέποντας, καὶ διορθοῦσθαι μὴ θέλοντας, παροξύνων μᾶλλον αὐτοὺς, καὶ ἐπιτείνων τὴν κακίαν αὐτῶν, ὕβριν ἐπισπᾶται διὰ τοῦτο εἰς ἑαυτόν.

Ἐλέγχων δὲ τὸν ἀσεβῆ, μωμήσεται ἑαυτόν.

Φανερὰν δὲ ποιῶν τῷ μὴ ἔχοντι εἰς θεὸν τιμὴν, τὴν κακίαν αὐτοῦ, ὑπὸ μέμψιν καθίστησιν ἑαυτὸν, ὡς μὴ φειδόμενος τῆς βλάβης αὐτοῦ· πρὸς γὰρ τὸ μὴ ὠφελεῖν αὐτὸν, μᾶλλον καὶ βλάπτει, παρακινῶν αὐτὸν εἰς τὴν κατ᾽ αὐτοῦ τυραννίδα.

Οἱ γὰρ ἔλεγχοι τῷ ἀσεβεῖ, μώλωπες αὐτῷ. IX.

Τὰ γὰρ φανεροποιὰ τῆς κακίας τοῦ μὴ τιμῶντος Θεὸν λόγια, πληγαί εἰσι τῇ τούτου ψυχῇ, ἐμποιοῦντα αὐτῇ μίσους δυσεξάλειπτον πάθος.

Μὴ ἔλεγχε κακοὺς, ἵνα μὴ μισήσωσί σε. 8.

Μὴ φανεροποίει τοῖς μὴ θέλουσι τὴν ἰδίαν διόρθωσιν, τὰ τούτων κακά· ὅπως μὴ εἰς μῖσος τὸ κατὰ σοῦ ἐγείρῃς αὐτοὺς, κἀντεῦθεν ἀντὶ τοῦ περιελεῖν τὴν κακίαν αὐτῶν, μᾶλλον αὐξήσεις αὐτήν.

Ἔλεγχε σοφὸν, καὶ ἀγαπήσει σε.

Φανερὰ ποίει τὰ ἐλαττώματα τῷ μετέχοντι σοφίαν, ἐν τῷ ἔχειν αὐτὸν φόβον Θεοῦ, καὶ ὡς μὴ ἀγνοῶν ὁ τοιοῦτος τὴν ἐκ τῶν ἐλέγχων ἰδίαν ὠφέλειαν, ἐπὶ πλέον καλῶς διατεθήσεται περὶ σέ.

Δίδου σοφῷ ἀφορμὴν, καὶ σοφώτερος ἔσται. 9.

Πάρεχε τῷ ἔχοντι φόβον Θεοῦ, ἐσφαλμένων αὐτῷ διάγνωσιν διὰ καθάρσεως καὶ φωτισμοῦ πρὸς τελείωσιν.

Γνώριζε δικαίῳ, καὶ προσθήσει τοῦ δέχεσθαι.

Ἀνακάλυπτε τῷ διὰ τὸν φόβον αἰωνίων κολάσεων τηροῦντι τὰς τοῦ Θεοῦ ἐντολὰς, τὸ ἐν ταύταις ἀληθῶς ἀγαθὸν, καὶ ἀγαπήσας ὁ τοιοῦτος αὐτὸ, ὡς ἔσχατον ὀρεκτὸν, τὴν τούτου κατὰ διάθεσιν ἐπιτείνῃ παραδοχήν.

Ἀρχὴ σοφίας φόβος κυρίου. 10.

Ἀρχὴ γάρ ἐστι τῆς θείων πραγμάτων ἐπιστήμης ὁ φόβος τοῦ δεσπότου τῶν ὅλων Θεοῦ.

Καὶ βουλὴ ἁγίων, σύνεσις.

Καὶ τῶν κεκαθαρμένων ἀπὸ πάσης κακίας, καὶ δυναμένων ἐντεῦθεν ἀνεπικωλύτως κατανοεῖν τὸ ὄντως ἀγαθὸν, ἡ περὶ τούτου διάκρισις, σύνεσίς ἐστι τῶν τριῶν τῆς ψυχῆς δυνάμεων, πρὸς τοὺς κατ' ἐντολὴν λόγους τε καὶ τρόπους αὐτοῦ.

Τὸ δὲ γνῶναι νόμον, διανοίας ἐστὶν ἀγαθῆς.

Τὸ δὲ καταλαβεῖν, ὅτι οὐδὲν ἀδύνατον ἢ σκληρὸν, ἀπαιτεῖ

IX. ὁ πρὸς τὸ ὄντως ἀγαθὸν ὁδηγῶν ἡμᾶς νόμος τοῦ πνεύματος, νοός ἐστι διαλογιζομένου τε καὶ ζητοῦντος αὐτὸ τὸ ἀληθῶς ἀγαθόν.

11. Τούτῳ γὰρ τῷ τρόπῳ, πολὺν ζήσεις χρόνον.

Ἐν γὰρ τῷ ζητεῖν τὸ ἀγαθὸν, προσγενήσεταί σοι, ὅς τις ἂν καὶ εἴης, ἡ ἀπέραντος πνευματικὴ καὶ θεία ζωή.

Καὶ προστεθήσεταί σοι ἔτη ζωῆς.

Καὶ ἐπεκλαθήσεταί σοι τὰ τῆς ζωῆς μέτρα, προσεπικτησαμένῳ τῇ παρούσῃ ζωῇ, διὰ τῆς ἐν αὐτῇ θεαρέστου πολιτείας, καὶ τὴν μέλλουσαν.

12. Υἱὲ, ἐὰν σοφὸς γένῃ σεαυτῷ, σοφὸς ἔσῃ καὶ τοῖς πλησίον συ.

Τῆς ἐμῆς διδασκαλίας παίδευμα, εἰ σοφὸς ὑπάρξεις σεαυτῷ, φόβῳ θείῳ ἑαυτὸν καθάρας, καὶ συνέσει φωτίσας, καὶ σοφίᾳ τελειώσας, καὶ τοῖς ἔγγιστά σου, ζηλοῦσι σου τὸ σοφὸν, κἀντεῦθεν πειθομένοις τοῖς λόγοις συ, καὶ μιμουμένοις τοὺς τρόπους σου, ὑπάρξεις σοφός· ὡς καὶ αὐτοὺς φωτίζων, καὶ καθαίρων, καὶ τελειῶν.

Ἐὰν δὲ κακὸς ἀποβῇς, μόνος ἀντλήσεις τὰ κακά.

Εἰ δὲ ταῖς κατὰ μικρὸν ἀπάταις τοῦ πονηροῦ, κακίας μεστὸς ἀποτελεσθῇς, ἐν τῷ μηδὲν χρηστὸν φρονεῖν, ἢ λαλεῖν, αὐτὸς εἰς αὐτὸν ἐπισπάσῃ τὰ ταύτης ἐπίχειρα, καὶ μὴ τινός σοι ταῦτα ἐπαγόντος.

Ὃς ἐρείδεται ἐπὶ ψεύδεσιν, οὗτος ποιμανεῖ ἀνέμους.

Ὅς τις γὰρ πέποιθεν ἐπὶ τοῖς ἀπατηλοῖς τε καὶ ῥέουσιν, οὗτος κυβερνήσει τὰ ἱστάμενα, συναλλοιούμενος τοῖς ἀλλοιωτοῖς, ἐν τῷ μὴ δύνασθαι στῆσαι τὴν τούτων φορὰν, ὡς οὐδ᾽ ἀνέμων πνοήν.

Ὁ δ᾽ αὐτὸς διώξεται ὄρνεα πετόμενα.

Ὁ τοιοῦτος δὲ καταλαβεῖν ματαίως ἐπιχειρήσει τὰ δίκην πτηνῶν ὀξέως φερόμενα ἐκ γενέσεως εἰς φθοράν.

Ἀπέλιπε γὰρ ὁδοὺς τοῦ ἑαυτοῦ ἀμπελῶνος.

Κατέλιπε γὰρ τας κατ᾽ ἐπίγνωσιν φερούσας θείας ἐντολὰς εἰς τὸν εἰρηκότα, ὅτι ἐγώ εἰμι ἡ ἄμπελος, θεὸν λόγον, ἐν ᾧ

πεφυτευμένος ἐστὶ, κατὰ τὸν τῆς ἰδίας φύσεως λόγον ἄνθρωπος, ὥς τι κλῆμα· γεωργῶν τὴν δίκην οἴνου καρδίαν εὐφραίνουσαν γνῶσιν τῶν ὄντων. IX.

Τοὺς δὲ ἄξονας τοῦ ἰδίου γεωργίου πεπλάνηται.

Τὸν δὲ νοῦν καὶ τὸν λόγον, οἳ τὴν μετὰ γνώσεως ἀρετὴν οἰκεῖον γεώργιον ἄγουσιν, ἠπάτηται.

Διαπορεύεται δι' ἀνύδρου ἐρήμου, καὶ γῆν διατεταγμένην ἐν διψώδεσιν.

Καὶ διεξέρχεται ζωήν τε ἐστερημένην πνευματικῆς διδασκαλίας δίκην ὕδατος ἀρδευούσης ψυχὴν πρὸς καρποφορίαν τῶν ἀρετῶν, καὶ παγίαν ἕξιν κακίας ἐφηπλωμένην ἐν ψυχαῖς ἐνδείσι τῆς εἰρημένης θείας διδασκαλίας.

Συνάγει δὲ χερσὶν ἀκαρπίαν.*

Καὶ συλλέγει κατ' ἐνέργειαν ταῖς πρακτικαῖς τῆς ψυχῆς αὐτοῦ δυνάμεσιν ἁμαρτίαν, ἥ τίς (ἐστι) στέρησις τοῦ πνευματικοῦ καρποῦ τῶν ἀρετῶν.

Γυνὴ ἄφρων καὶ θρασεῖα, ἐνδεὴς ψωμοῦ γίνεται. 13.

Φαντασία γὰρ ἐστερημένη θείας ἐννοίας, καὶ προπετὴς, ὡς πρὸ τῆς κατὰ λόγον κρίσεως τὸ δοκοῦν αὐτῇ κρίνουσα, συναπτομένη ἀλογίστως τῷ ἠπατημένῳ παρ' αὐτῆς νῷ, ἐν τῷ τὴν μὲν σύνοικον σοφίαν ἀπολιπεῖν αὐτὸν, μετ' αὐτοῦ δὲ πονηροὺς ἀποτίκτειν λογισμοὺς, στερεῖται τοῦ δίκην ἄρτου τρέφοντος καὶ στηρίζοντος τὰς ψυχὰς λόγου.

Ἣ οὐκ ἐπίσταται αἰσχύνην.

Ἥ τις φαντασία, τῆς ἐκ τοῦ λόγου ἐπιφαινομένης αὐτῇ μέμψεως ἐπὶ τοῖς αἰσχροῖς ἐγχειρήμασιν, οὐκ αἰσθάνεται.

Ἐκάθισεν ἐπὶ θύραις τοῦ ἑαυτῆς οἴκου. 14.

Ἡδράσθη γὰρ ἡ τοιαύτη φαντασία ἐπὶ τοῖς δίκην θυρῶν εἰσάγουσι πρὸς αὐτὴν, κατ' αἴσθησιν, τὴν τῶν ὁρατῶν ἐπιφάνειαν αἰσθητηρίοις τοῦ κατὰ φύσιν οἰκητηρίου ταύτης σαρκίου.

Ἐπὶ δίφρου ἐμφανῶς ἐν πλατείαις.

Ὑποστρώσασα ἑαυτῇ κατ' ἐπιθυμίαν καὶ θυμὸν, τὸ διανοη-

IX. τικὸν, ὥς τινα ὑψολότατον θρόνον, ἐν ταῖς εὐρυχώροις καθ' ἡδυπάθειαν τῆς ἀπωλείας ὁδοῖς.

15. Προσκαλουμένη τοὺς παριόντας, καὶ κατευθύνοντας ἐν ταῖς ὁδοῖς αὐτῶν.

Ἐφελκομένη τοὺς τὴν παροδικὴν ταύτην διεξερχομένους ζωὴν, καὶ ἐν τοῖς κατὰ τὸν βίον ἐπιτηδεύμασιν αὐτῶν, μή τισιν ἀνιαροῖς ἐντυγχάνοντας συναντήμασι· καὶ ἐναντίως τῇ σοφίᾳ τάδε τούτοις διδάσκει.

16. Ὅς ἐστιν ὑμῶν ἀφρονέστατος ἐκκλινάτω πρός με.

Ὅς τις οὖν ἔννοιαν θεοῦ μηδ' ὁπωσοῦν ἐν τῇ αὐτοῦ περιφέρει ψυχῇ, ἐλθέτω πρός με, πολυθεΐαν διδαχθησόμενος.

Καὶ τοῖς ἐνδεέσι φρενῶν παρακελεύομαι, λέγουσα·

Καὶ τοῖς γινώσκουσι μὲν θεὸν, τὰς δ' ἐντολὰς αὐτοῦ μὴ τηροῦσι, παραινῶ φάσκουσα

17. Ἄρτων κρυφίων ἅψασθε.

Ἔργων τῶν τὴν ἕξιν τῆς κακίας τρεφόντων, οἷά τινων ἄρτων, καὶ λανθανόντων ὀφθαλμοὺς ἀνθρώπων, μεθ' ἡδονῆς γεύσασθε.

Καὶ ὕδατος κλοπῆς γλυκεροῦ πίετε.

Καὶ γνώσεως τῶν αἰσθητῶν, παραμυθουμένης οἷάπέρ τι ὕδωρ δίψης παραμύθιον, τὴν περὶ ταῦτα τῆς ψυχῆς ἄλογον ὄρεξιν, ἐκ τοῦ κλέπτεσθαι τὸν νοῦν τῷ λείῳ τῆς ἡδονῆς, εἰς κόρον μετάσχετε.

18. Ὁ δὲ οὐκ οἶδεν ὅτι γηγενεῖς παρ' αὐτῇ ὄλλυνται· καὶ ἐπὶ πέταυρον ᾅδου συναντᾷ.

Ὁ δὲ ταύτῃ πειθόμενος, ἀγνοεῖ ὅτι δι' αὐτῆς οἱ τὰ γήϊνα φρονοῦντες, ὄλεθρον ἐπισπῶνται ψυχῆς· καὶ διὰ τοῦτο καὶ αὐτὸς εἰς τὸ τῆς ἀπωλείας καταντᾷ βάραθρον· καὶ ταῦτα μὲν ἡ προπετὴς φαντασία· ἀλλὰ σὺ ταχέως ἀπ' αὐτῆς ὑψώθητι πρὸς λόγον κατὰ διάνοιαν.

Ἀλλ' ἀποπήδησον, μὴ χρονίσῃς ἐν τόπῳ αὐτῆς.

Μὴ ἐμβραδύνῃς τῇ τῶν αἰσθητῶν ἐπιφανείᾳ, ἣν ἡ φαντασία

περιφέρουσα μόνην, πρὸς δὲ τοὺς τούτων λόγους, διανοίας χωρὶς διαβῆναι μὴ δυναμένης, ἐν αὐτῇ περιγράφεται ὡς ἐν τόπῳ ἰδίῳ. IX.

Μηδὲ ἐπιστήσῃς σὸν ὄμμα πρὸς αὐτήν.

Μηδ' ἀπερισκέπτως τὸ νοερὸν ὄμμά σου, αὐτῇ προσερείσῃς τῇ φαντασίᾳ· δυνάμενος ταύτην κατὰ διάνοιαν περισκέπτεσθαι· καὶ τοὺς λόγους τῶν ὄντων ὁρᾷν· καὶ πρὸς τὴν ἐν ὅλοις διαβαίνειν ἀλήθειαν.

Οὕτω γὰρ διαβήσῃ ὕδωρ ἀλλότριον.

Κατὰ τοῦτον γὰρ τὸν τρόπον, ἀβρόχως διέλθῃς τὴν μὴ ἐξ ἀρχῆς συμπαραχθεῖσαν τῇ φύσει, ἀλλ' ἐπεγερθεῖσαν παθῶν ἀγριαίνουσαν θάλασσαν.

Καὶ ὑπερβήσῃ ποταμὸν ἀλλότριον.

Καὶ τὸ κατὰ τὸ φαινόμενον τῆς φύσεως ῥυτὸν καὶ παροδικόν, ὃ δὴ καὶ αὐτὸ μὴ κατ' ἀρχὰς συγκτισθὲν αὐτῇ, εἰς κατάκρισιν διὰ τὴν παράβασιν ἔλαβεν, ἀφεὶς κάτω, γνῶναι φθάσεις τὴν ἀναλλοίωτον αὐτῆς κατὰ τὸ νοούμενον διαμονήν.

Ἀπὸ δὲ ὕδατος ἀλλοτρίου ἀπόσχου.

Ἀπὸ δὲ τῆς θολερᾶς, καὶ κατὰ τὸν τῆς φύσεως λόγον ἀπὸ τῆς τῶν παθῶν ἅλμης, μὴ μετάσχῃς.

Καὶ ἀπὸ πηγῆς ἀλλοτρίας μὴ πίῃς.

Καὶ ἀπὸ τῆς ὁρατῶν κατὰ μόνην αἴσθησιν γνώσεως, βλυζανούσης οἷά τινος πηγῆς τὴν ῥευστὴν καὶ παροδικὴν καθ' ἡδονὴν καὶ ὀδύνην ζωὴν, καὶ ὡς οἰκείαν τῇ ἀλόγῳ φύσει ἀπεξενωμένης τῆς πεφυκυίας τὰ ὄντα κατὰ λόγον ἐπίστασθαι λογικῆς φύσεως, μὴ γεύσῃ.

Ἵνα πολὺν ζήσῃς χρόνον.

Ὅπως μόνιμον κατ' ἀρετὴν ζήσῃς ζωήν.

Καὶ προστεθήσεταί σοι ἔτη ζωῆς.

Ἐπεκταθήσεται δέ σοι τὰ τῆς προσκαίρου ζωῆς ἔτη, μεταστειλάμενά σε, διὰ τὴν ἐν τούτοις ἔνθεόν σου πολιτείαν, πρὸς τὴν μέλλουσαν ἀγήρω καὶ μακαρίαν ζωήν.

CAP. X.

v. 1. Υἱὸς σοφὸς, εὐφραίνει πατέρα.

Ἔνθέν τοι λογος τικτόμενος μὲν ἀπὸ νοὸς κατὰ διάνοιαν τῇ ψυχῇ, ἐπιστήμων δὲ τοῦ ὄντως καλοῦ, χαροποιεῖ πνευματικῶς διὰ τῆς ἀληθοῦς περὶ τῶν ὄντων δόξης, τὸν αἴτιον αὐτοῦ νοῦν ὡς κατὰ λόγον ταύτης ἐπιτυγχάνοντα, ἐν τῷ ζητεῖν αἰτίαν ἐν ἅπασι μετ' ἐφέσεως.

Υἱὸς δὲ ἄφρων, λύπη μητρί.

Λογισμὸς δὲ, τικτόμενος μὲν κατ' αἴσθησιν ἢ φαντασίαν τῇ ψυχῇ, ἀνεπιστήμων δὲ τοῦ ὄντως καλοῦ, λύπης αἴτιος ταύτῃ, διὰ τὴν ψευδῆ τῶν ὄντων δόξαν ἐξ ἀποτελέσματος γίνεται· ὀρεγομένῃ μὲν ἡδονῆς, περιτυγχανούσῃ δὲ ὀδύνῃ· ὅτι τέλος τῆς κατ' αἴσθησιν ἡδονῆς, ἡ ὀδύνη ἐστίν.

2. Οὐκ ὠφελήσουσι θησαυροὶ ἀνόμους.

Οὐδὲ γὰρ συμβαλοῦνται πρὸς ἀπαλλαγὴν τῶν ὀδυνηρῶν, ταμεῖα πλούτου, τοῖς μὴ κατὰ νόμους θείους κενοῦσι ταῦτα τοῖς δεομένοις.

Δικαιοσύνη δὲ ῥύεται ἐκ θανάτου.

Ἡ δὲ κατὰ τὰς θείας ἐντολὰς ἀπαρέγκλιτος τοῦ καλοῦ κρίσις, τοῦ καθ' ἁμαρτίαν τῆς ψυχῆς ἀπαλλάττει κινδύνου.

3. Οὐ λιμοκτονήσει κύριος ψυχὰς δικαίων.

Καὶ οὐ στερήσει ἡ παντοκρατορικὴ δύναμις τοῦ θεοῦ, ὁ τούτου ἐνυπόστατος λόγος, τῆς ἑαυτοῦ μεταλήψεως, ἄρτου ἐκ τοῦ οὐρανοῦ καταβαίνοντος, τὰς πειθομένας αὐτῷ, τῇ αὐτοδικαιοσύνῃ, ψυχὰς τῶν ἐντεῦθεν δικαίως πολιτευομένων κατὰ πρᾶξιν τῶν ἁγίων αὐτοῦ ἐντολῶν.

Ζωὴν δὲ ἀσεβῶν ἀνατρέψει.

Τὴν δὲ φιλόϋλον καὶ φιλήδονον ζωὴν τῶν μὴ πιστευόντων εἰς αὐτὸν, καὶ (μὴ) διὰ τῶν τῆς δικαιοσύνης ἔργων τιμώντων αὐτὸν, εἰς ὀδυνηρὰν πάντως περιτρέψει· ἐν τῷ ποτὲ καὶ τῶν παρόντων στερηθῆναι αὐτοὺς, καὶ τῶν μελλόντων μὴ ἐπιτυχεῖν.

Πενία ἄνδρα ταπεινοῖ. X.

Καὶ γὰρ ἡ ἐξ ἀμελείας ἀποτυχία τοῦ κατὰ γνῶσιν καὶ ἀρε- 4.
τὴν πνευματικοῦ πλούτου, τὸν ὑπάρχοντα ἄνδρα μὲν, ὡς φύ-
σει κεκτημένον κατ' εἰκόνα Θεοῦ δύναμιν δραστικήν τε καὶ αὐ-
τεξούσιον, οὐκ ἀνδρεῖον δὲ, ὡς προαιρέσει μὴ ἐπιδεικνύμενον
ἔργοις καθ' ὁμοίωσιν Θεοῦ τὸ τῆς εἰρημένης λογικῆς δυνάμεως
δραστικόν τε, καὶ ἐλευθέριον, κατάγει εἰς δυλείαν ἀλόγων πα-
θῶν, καὶ ἀτιμίαν· παρασυμβληθέντα τοῖς ἀνοήτοις, καὶ ὁμοιω-
θέντα αὐτοῖς.

Χεῖρες δὲ ἀνδρείων πλουτίζουσιν.

Αἱ δὲ πρακτικαὶ δυνάμεις τῶν ἔργοις ἐπιδεικνυμένων τὸ τῆς
λογικῆς δυνάμεως, τοῖς ἀλόγοις πάθεσιν ἀδούλωτον καὶ κατ' αὐ-
τῶν δραστικὸν, οὐ μόνον ἀβλαβεῖς τὰς τούτων διατηροῦσι ψυ-
χὰς, ἀλλὰ καὶ ἑτέροις τοῦ κατ' ἀρετὴν καὶ γνῶσιν πνευματι-
κοῦ πλούτου μεταδιδόασιν· ὡς τούτους, λόγῳ μὲν διδασκαλι-
κῷ, πρὸς μὲν τὸ ἀγαθὸν προτρεπόντων, τοῦ δὲ κακοῦ ἀπο-
τρεπόντων· ἔργοις δὲ βεβαιούντων τὸν λόγον, καὶ πειθόντων
τὰ τοῦ λόγου ποιεῖν, ἐν τῷ μιμεῖσθαι τα ἔργα· καὶ γὰρ

Υἱὸς πεπαιδευμένος, σοφὸς ἔσται. 5.

Ὁ μὲν υἱοθετηθεὶς Θεῷ, διὰ τῆς ἐκκαθαιρούσης τὴν ψυ-
χὴν τῶν ἀπὸ κακίας κηλίδων, ἐπιπόνου ἀγωγῆς, τῆς ἀπὸ τῶν
ἐπερχομένων αὐτῷ ἀβουλήτως ὠφελείας, εἰδήμων ἔσεται.

Τῷ δὲ ἄφρονι, διακόνῳ χρήσεται.

Τὸν δὲ μὴ περιφέροντα Θεὸν ἐν καρδίᾳ, θλίψεις αὐτῷ καὶ
ὀδύνας ἐπάγοντα, ὑπηρέτην ἕξει πρὸς σωτηρίαν ὡς τόν τε λυ-
ποῦντα αὐτὸν εὐεργέτην εἰδὼς, καὶ τῷ Θεῷ ἐπὶ πᾶσιν εὐχαρι-
στῶν· ὅτι περ

Διεσώθη ἀπὸ καύματος υἱὸς νοήμων.

Ἀκουσίων πειρασμῶν, ὁ εἰδήμων τοῦ ὑπὲρ τῆς ὑπομονῆς
τῶν πόνων μισθοῦ· καὶ οὕτω μὲν οὗτος ὡς ἐν ἅλωνι τῷ παρ-
όντι αἰῶνι, πόνοις σαρκὸς ὀξέσι βαλλόμενος, οἷά τις σῖτος τῶν
ἐκ γενέσεως παθῶν, ὥς τινων ἀχύρων ἀποκαθαίρεται· καὶ συν-

Χ. αγέται παρὰ τοῦ γεωργοῦ τῶν ἡμετέρων ψυχῶν, ὡς εἴς τινας ἀποθήκας, τὰς αἰωνίους μονάς.

Ἀνεμόφθορος δὲ γίνεται ἐν ἀμητῷ υἱὸς παρανόμος.

Ὑπὸ τῶν πνευμάτων δὲ τῆς πονηρίας ἐλαύνεται διὰ τῶν παραλόγων παθῶν εἰς ἀπώλειαν, ὡς ὑπὸ ἀνέμων ἄχυρον, τῷ πυρὶ παραπεμφθησόμενον ἐν τῷ τῆς συγκομιδῆς τῶν ἔργων καιρῷ, ὁ ἐπικαλούμενος μὲν πατέρα ἑαυτοῦ τὸν θεὸν διὰ τὴν εἰς αὐτὸν πίστιν, παραβαίνων δὲ τὰς ἁγίας αὐτοῦ ἐντολάς.

6. Εὐλογία κυρίου ἐπὶ κεφαλὴν δικαίου.

Καὶ γὰρ μετάδοσις μὲν ἁγιασμοῦ παρὰ τοῦ δεσπότου τῶν ὅλων θεοῦ, πρόσεισι κατὰ χάριν ἐπὶ τῷ ἡγεμόνι τοῦ ἀμέμπτως πολιτευομένου, ὅλον τοῦτον διὰ μέσου νοὸς ἁγιάζουσα.

Στόμα δὲ ἀσεβῶν, καλύψει πένθος ἄωρον.

Τὴν δὲ μεστὴν βλασφημίας διδασκαλίαν τῶν μὴ τιμώντων θεὸν πνευμάτων τῆς πονηρίας, συστείλῃ ἡ ἐπιγινομένη τοῖς ἁμαρτάνουσιν ἐκ μεταμελείας μὴ κατὰ τὸν ἐπιτήδειον καιρὸν πρὸς τὴν τῶν ἐσφαλμένων διόρθωσιν, ὅς ἐστιν ὁ παρὼν, ἀλλὰ κατὰ τὸ μέλλον διηνεκὴς καὶ ἀνόνητος λύπη.

7. Μνήμη δικαίου μετ' ἐγκωμίων.

Καὶ ἀνεπίληστος μὲν γνῶσις ἔσται παρὰ θεῷ τῶν ἀμέμπτως πολιτευομένων, μετ' ἐπαίνων παρεχόντων ἄρρητον εὐφροσύνην αὐτοῖς.

Ὄνομα δὲ ἀσεβῶν σβέννυται.

Ἡ ἀπ' αὐτοῦ δὲ θεοῦ προσηγορία τῶν μὴ τιμώντων αὐτὸν δι' ἔργων ἀγαθῶν ἀφανίζεται, διὰ τὰ τούτου ἀλλότρια πονηρὰ ἔργα αὐτῶν, ἀγνοουμένη αὐτῷ· κατὰ τὸ, οὐκ οἶδα ὑμᾶς λοιπόν.

8. Σοφὸς καρδίᾳ, δέξεται ἐντολάς.

Ὁ τὸν τοῦ θεοῦ λόγον ἐνδιαθέτως τῇ αὐτοῦ περιφέρων ψυχῇ, παραδέξεται καὶ οὐκ ἀποπέμψει κατὰ πρᾶξιν τὰ τούτου προστάγματα.

Ὁ δὲ ἄστεγος χείλεσι, σκολιάζων ὑποσκελισθήσεται.

Ὁ δὲ μὴ ἐμμένων διὰ τῶν τῆς δικαιοσύνης ἔργων, τῇ δι'

ὁμολογίας τιμῇ τοῦ Θεοῦ, ἐκκλίνων εἴς τε τὰ κατ' ἔλλειψιν τῆς X.
ἀρετῆς πάθη, ἐφ' οἷς τὰς θείας μὴ ποιεῖ ἐντολάς, καὶ εἰς τὰ καθ' ὑπερβολήν, ἐφ' οἷς ψιλοῖς ῥήμασιν ὁμολογῶν αὐτόν, μέγα φρονεῖ, παρατραπήσεται τῆς φερούσης εἰς τὴν αἰώνιον ζωὴν εὐθείας, κατ' ἀρετὴν ὁδοῦ· καὶ γὰρ

Ὃς πορεύεται ἁπλῶς, πορεύεται πεποιθώς. 9.

Ὃς μὲν διανύει τὴν κατ' ἀρετὴν ὁδὸν ἀνυποκρίτως διὰ Θεόν, καὶ μὴ παραμιγνύει αὐτὴν τῇ πονηρᾷ πρὸς τὴν τῶν πολλῶν ἀπάτην διανοίᾳ, διέρχεται τὴν τοιαύτην ὁδὸν μὴ πτοούμενος ἢ τοὺς κατὰ τὸ παρὸν ἢ τοὺς κατὰ τὸ μέλλον ἐλέγχους τῆς ὑποκρίσεως.

Ὁ δὲ διαστρέφων τὰς ὁδοὺς αὐτοῦ, γνωσθήσεται.

Ὁ δ' ἀπὸ ἀληθείας εἰς ψεῦδος τὰς ἑαυτοῦ πράξεις μεταστρέφων, ὡς εἴρηται, ἐλεγχθήσεται, κἂν μὴ ἐν τῷ παρόντι αἰῶνι, ἀλλά γε ἐν τῷ μέλλοντι ἀναμφιβόλως· διόπερ

Ὁ ἐννεύων ὀφθαλμοῖς μετὰ δόλου, συνάγει ἀνδράσι λύπας. 10.

Ὁ τὰς θεωρητικὰς δυνάμεις ἔχων ἀποβλεπούσας μὲν πρὸς κακίαν, κατανευούσας δὲ πρὸς ἐσχηματισμένον ἀρετῆς ἦθος, συλλέγει τῷ τε ἐντὸς ἀνθρώπῳ, καὶ τῷ ἐκτός, πόνους διακενεῖς· οἷα σώματι μὲν κατὰ τὸ παρὸν πονῶν περὶ τὴν ἀρετὴν μὴ διὰ Θεόν, ψυχῇ δὲ κατὰ τὸ μέλλον αἰωνίως πιεζόμενος, ἐνδείᾳ τῆς κατὰ διάθεσιν ἀρετῆς.

Ὁ δὲ ἐλέγχων μετὰ παῤῥησίας, εἰρηνοποιεῖ.

Ὁ δὲ φανεροποιῶν κατὰ τὸ συνειδὸς ἀνυποστόλως τῇ ψυχῇ, ἐν ἁγίῳ πνεύματι λόγος Θεοῦ, τὸ τῆς ὑποκρίσεως ὑπεύθυνον τὲ καὶ ἄκαρπον, ἀπαλλάττει αὐτὴν τῆς ἐχθραινούσης ταύτην, καὶ πρὸς Θεὸν καὶ πρὸς σάρκα πονηρᾶς διαθέσεως.

Πηγὴ ζωῆς ἐν χειρὶ δικαίου. 11.

Τὸ γὰρ χορηγὸν ζωῆς πνεῦμα ἅγιον, κατὰ φύσιν μὲν ἐπαναπαύεται ἐν τῇ παντοκρατορικῇ δυνάμει τοῦ δικαίου, καὶ δικαιοσύνας ἀγαπήσαντος δεσπότου τῶν ὅλων Θεοῦ· κατὰ χάριν δέ, ἐν τῷ πρακτικῷ τοῦ διαιροῦντος τὸ χεῖρον ἀπὸ τοῦ κρείττονος, καὶ περιαιροῦντος τὰ κατ' ἔλλειψιν τῆς ἀρετῆς καὶ τὰ

X. καθ' ὑπερβολὴν πάθη, καὶ εὖ ποιοῦντος ἀεί· ὁ μὲν ἔχων κατὰ φύσιν ἐν ἑαυτῷ ἀναπαυόμενον τὸ ζωῆς χορηγὸν πνεῦμα ἅγιον θεὸς λόγος, ζωὴν αἰώνιον δωρεῖται τοῖς πιστεύουσιν αὐτῷ.

Στόμα δὲ ἀσεβοῦς, καλύψει ἀπώλειαν.

Τὴν δ' ὄλεθρον ὑποθήκην τοῦ μὴ τιμῶντος θεὸν εὑρετοῦ τῆς κακίας, ἀφανίσει ἡ ἀπὸ τοῦ ὄντως καλοῦ ἡμῶν ἔκπτωσις, τῷ ἐλέγχῳ τοῦ συνειδότος· ἕως γὰρ ἂν ἡμεῖς τὴν πρόσκαιρον ἡδονὴν καὶ τὴν ἐπίκηρον δόξαν, ἀγαθὸν λογιζόμεθα, ἡ εἰρημένη ὑποθήκη οὐκ ἀμαυροῦται· τῇ ψευδεῖ ἡμῶν περὶ τοῦ ἀγαθοῦ δόξῃ, τὸ εὐεργὸν ἔχουσα· ἐκ δὲ τοῦ εὑρίσκειν τοὺς πειθομένους αὐτῇ τέλος τῆς μὲν κατ' αἴσθησιν ἡδονῆς τὴν ὀδύνην, τῆς δ' ἐπικήρου δόξης τὴν ἀτιμίαν· καὶ διὰ τὸ ἐντεῦθεν τοῦ ὄντως καλοῦ ἁμαρτάνειν, μηκέτι παραδέχεσθαι αὐτὴν, ἀφανίζεται ἡ τοιαύτη ὑποθήκη, μὴ ἔχουσα τοῦ λοιποῦ τὸ ἐνεργὸν, ἐν τοῖς μὴ παραδεχομένοις αὐτήν.

12. Μῖσος ἐγείρει νεῖκος.

Καὶ ἔχθραν μὲν τῆς ψυχῆς κατὰ τῆς σαρκὸς, ὡς ἐπιβούλου, διανίστησι τὸ ἀντιστρατεύεσθαι τῷ νόμῳ τοῦ νοὸς, καθ' ἡδονὴν καὶ ὀδύνην, τὸν τῆς σαρκὸς νόμον.

Πάντας δὲ τοὺς μὴ φιλονεικοῦντας καλύψει (φιλία).

Ἅπαντας δὲ τοὺς κατὰ λόγον ὑποτάσσοντας τῇ ψυχῇ τὴν σάρκα, καὶ περιποιουμένους ταύταις τὸ ἄμαχον, ἐν τῷ ἑκάτερου τὴν μὲν ψυχὴν συνεργεῖσθαι παρὰ τῆς σαρκὸς πρὸς τὰ κάλλιστα, τὴν δὲ σάρκα τῆς προσηκούσης ἀξιοῦσθαι παρὰ τῆς ψυχῆς προνοίας, θεία κρύψει ἀγάπη, κατὰ τὸ ζῆν αὐτοὺς τὴν ἐν Χριστῷ κεκρυμμένην ζωήν.

13. Ὃς ἐκ χειλέων προφέρει σοφίαν, ῥάβδῳ τύπτει ἄνδρα ἀκάρδιον.

Ἀφ' ὧν ὁ διὰ στόματος τὸν θεῖον λόγον καταγγέλλων, πλήττει δ' αὐτοῦ ὡς διά τινος ῥάβδου κατὰ τὸ συνειδὸς, τὸν μὴ περὶ τὸ ἀγαθὸν θέρμην ψυχῆς κεκτημένον.

14. Σοφοὶ κρύψουσιν αἴσθησιν.

Καὶ οἱ μὲν τὸν τοῦ θεοῦ λόγον ἐν ἁγίῳ πνεύματι κατὰ χά-

ριν κλησάμενοι ἔνοικον, συςέλλουσιν ἀπὸ τῶν αἰσθητῶν τὴν αἴ- X.
σθησιν· κατὰ διάνοιάν τε ἐμφυλοχωροῦντες τοῖς ὑπὲρ αἴσθησιν,
καὶ νοερὰν τούτων κατ᾽ ἔμπρακτον γνῶσιν λαμβάνοντες αἴσθησιν.

Στόμα δὲ προπετοῦς ἐγγίζει συντριβῇ.

Διδασκαλία δὲ τοῦ ἀγαθοῦ, πρὸ τῆς τούτȣ πράξεως, πλησιάζει διαφθορᾷ· οἷα τῶν ἔργων ἀντικαθιςαμένων τοῖς λόγοις, τούτους ἀνατρέπειν ἐπιχειρούντων.

Κτῆσις πλουσίων, πόλις ὀχυρά. 15.

Καὶ περιουσία μὲν τῶν κτησαμένων πλοῦτον πνευματικὸν κατὰ γνῶσιν, ψυχὴ ἐςιν ἀνενδεής τε τοῦ ταύτης ςηρίζοντος οὐρανίου ἄρτου, καὶ φύλαξ τῶν τηρȣσῶν αὐτὴν ἐντολῶν αὐτοῦ, ἀνάλωτον τοῖς νοητοῖς ἐχθροῖς, καὶ περιπεφραγμένη ταῖς ἀρεταῖς.

Συντριβὴ δὲ ἀσεβῶν, πενία.

Τιμωρία δέ ἐστι τῶν μὴ τιμώντων θεὸν, στέρησις παντελὴς τῆς κατὰ θεωρίαν πνευματικῆς τοῦ λόγȣ βρώσεως, καὶ τῆς περιβολῆς τῶν ἀρετῶν· ἣ τις δίκην ἱματίων περιφυλάττει ἀπὸ τοῦ χειμῶνος τῶν παθῶν τὰς ψυχάς.

Ἔργα δικαίων, ζωὴν ποιεῖ. 16.

Ὅτι περ αἱ μὲν πράξεις τῶν προκρινόντων τοῦ δοκοῦντος, τὸ ὄντως καλὸν, ἀπαλλάττȣσαι τὰς ψυχὰς τοῦ καθ᾽ ἁμαρτίαν θανάτου, τὴν ἐν πνεύματι μακαρίαν ζωὴν προξενοῦσιν αὐταῖς.

Καρποὶ δὲ ἀσεβῶν, ἁμαρτίαι.

Τὰ δ᾽ ἀποτελέσματα τῶν μὴ τιμώντων θεὸν, τοῦ ὄντως καλοῦ ἀποτυχίαι εἰσιν.

Ὁδοὺς ζωῆς φυλάσσει παιδεία. 17.

Καὶ τὰς μὲν φερούσας θείας ἐντολὰς εἰς ζωὴν αἰώνιον τὰς ψυχὰς τηρεῖ ἐπίπονος κατ᾽ ἀρετὴν ἀγωγή· αὕτη δὲ

Παιδεία δὲ ἀνεξέλεγκτος πλανᾶται.

Ἡ κατ᾽ ἀρετὴν ἐπίπονος ἀγωγὴ, εἰ μὴ δοκιμασθῇ δι᾽ ἀκȣσίων πειρασμῶν, καὶ καθ᾽ ἕξιν τῇ ψυχῇ πεπαγιωμένη φανῇ· ἐκτρέπεται τῆς ἀληθείας, ἐν προσχήματι ἐναρέτου πολιτείας, εἰς κενοδοξίαν ἐμπίπτουσα· ἐπεὶ δὲ καὶ δι᾽ ἀνθρώπων οἱ πρὸς δο-

X. κιμασίαν ἀκούσιοι πειρασμοὶ ἐπισυμβαίνουσι, μὴ φυλαττόντων τινῶν τὴν ἀκραιότητα τῆς ψυχῆς, καὶ εἰς μῖσος ἐμπιπτόντων.

18. Καλύπτουσιν ἔχθραν χείλη δίκαια.

Κρύπτουσι μὲν τὸ μῖσος, ὅπερ ἐξ ὀλιγωρίας παρανομήσασα κατὰ διάθεσιν ἡ ψυχὴ ἐκτήσατο, λόγοι θείῳ νόμῳ δουλεύοντες, καὶ εἰς λοιδορίας μὴ ἐκτρεπόμενοι.

Οἱ δὲ ἐμφέροντες λοιδορίας, ἀφρονέστατοί εἰσιν.

Οἱ δὲ ἐκφανεροῦντες τὸ ἑαυτῶν μῖσος ταῖς τῶν μισȣμένων διαβολαῖς ἄνθρωποι, λίαν ὑπάρχουσιν ἄφρονες ὡς τοὺς κακοποιοῦντας αὐτοὺς ἐπὶ πλέον καθ' ἑαυτῶν διεγείροντες, ἐν τῷ ψόγοις βάλλειν αὐτοὺς λοιπόν.

19. Ἐκ πολυλογίας, οὐκ ἐκφεύξῃ ἁμαρτίαν.

Ἀπὸ μὲν τοῦ μακρηγορεῖν, οὐ διαφύγῃς τὸ πταῖσαι πρὸς θεὸν, ἢ πρὸς ἀνθρώπȣς· καὶ γὰρ μὴ προμελετῶν τὰ παρὰ σοῦ λεγόμενα, παροργίσεις, ἢ θεὸν ἐν τῷ ψεύδεσθαι, ἢ ἀνθρώπȣς ἐν τῷ φθέγγεσθαί τι ἐξ ἀπροσεξίας πρὸς βλάβην αὐτῶν.

Φειδόμενος δὲ χειλέων, νοήμων ἔσῃ.

Ἐγκρατευόμενος δὲ ἐν λόγοις, γνῶσιν ἕξεις τῶν δεόντων λεχθῆναι, ὡς πρότερον ἐξετάσας ταῦτα κατὰ διάνοιαν, καὶ καταλαβὼν μήτε πρὸς θεὸν μήτε πρὸς ἀνθρώπȣς προσκρούοντα· εἶθ' οὕτως ἀνεπισφαλῶς προφέρων αὐτά.

20. Ἄργυρος πεπυρωμένος γλῶσσα δικαίου.

Καὶ γὰρ οἷα μέν τις ἄργυρος πυρὶ δεδοκιμασμένος, ἐστὶν ὁ λόγος τȣ̃ μετὰ κρίσεως ἀμέμπτως αὐτὸν προφέροντος· ὡς πρότερον τῇ κατὰ διάνοιαν βασάνῳ ἐξεταζόμενος, καὶ πᾶν εἴ τι κίβδηλον ἀποβαλλόμενος, καὶ εἰλικρινὴς προφερόμενος.

Καρδία δὲ ἀσεβοῦς ἐκλείψει.

Ψυχὴ δὲ, ἐξ ἧς τῷ σώματι ἡ ζωὴ τοῦ μὴ ἀγαθοποιοῖς λόγοις ἀληθείας τιμῶντος θεὸν, ἀτονήσει πρὸς τὴν τῆς ἀληθείας ἀπάντησιν, ἐλεγχθεῖσα ὑπ' αὐτῆς ψευδομένη.

21. Χείλη δικαίων ἐπίστανται ὑψηλά.

Καὶ οἱ μὲν διδασκαλικοὶ θεῖοι λόγοι τῶν ἐκ πρακτικῆς πεί-

ρας μετὰ κρίσεως ἀνεπιλήπτως προφερόντων αὐτοὺς, τὴν γνῶσιν ἐπιφέρονται τῶν θελημάτων τοῦ θεοῦ τοῦ ὑπερουρανίου. X.

Οἱ δὲ ἄφρονες, ἐν ἐνδείᾳ τελευτῶσιν.

Οἱ δ' ἐν καρδίᾳ θεὸν μὴ περιφέροντες ἄνθρωποι, ἐν στερήσει τοῦ κατ' ἀρετὴν καὶ γνῶσιν πνευματικοῦ πλούτου τὴν ἰδίαν ζωὴν καταλύουσιν.

Εὐλογία κυρίου ἐπὶ κεφαλὴν δικαίου. 22.

Ἡ γὰρ πανάγαθος διδασκαλία τοῦ δεσπότου τῶν ὅλων θεοῦ, πρόεισιν ἐπὶ τὸν ἡγεμόνα νοῦν, τοῦ κατὰ πρᾶξιν τῶν θείων ἐντολῶν ἀμέμπτως πολιτευομένου, ὡς τὴν πρᾶξιν ποιουμένου θεωρίας ἐπίβασιν.

Αὕτη πλουτίζει.

Ἡ τοιαύτη διδασκαλία, ἀνενδεῆ ποιεῖ τοῦ κατ' ἀρετὴν καὶ γνῶσιν πνευματικοῦ πλούτου, τὸν ταύτῃ πειθόμενον.

Καὶ οὐ μὴ προστεθῇ αὐτῇ λύπη ἐν καρδίᾳ.

Καὶ εἰ ὁ τοιοῦτος πονεῖ κατὰ σῶμα περὶ τὴν ἀρετὴν, ἀλλ' οὐ δέξεται προσθήκην λύπης διδασκαλίας ἐν τῇ αὐτοῦ ψυχῇ, τῇ ἐλπίδι τῆς μελλούσης μισθαποδοσίας ἐπευφραινόμενος.

Ἐν γέλωτι ἄφρων πράσσει κακά. 23.

Καὶ μετ' εὐφροσύνης μὲν, ὁ θεὸν ἐν καρδίᾳ μὴ περιφέρων, ποιεῖ ἁμαρτίας ὅτι μηδὲ στυγνάζει τῷ φόβῳ τῶν αὐτοῦ ἀπειλῶν, ἐφ' οἷς πλημμελεῖ.

Ἡ δὲ σοφία, ἀνδρὶ τίκτει φρόνησιν.

Ὁ δὲ θεῖος λόγος, τῷ κατὰ τῶν παθῶν ἀνδριζομένῳ ἀποτίκτει τὴν ἐν τοῖς πρακτέοις εὐβουλίαν· καὶ γὰρ

Ἐν ἀπωλείᾳ ἀσεβὴς περιφέρεται. 24.

Ἐν ἀποτυχίᾳ θεοῦ, ὁ μὴ τιμῶν αὐτὸν, κατὰ θεωρίαν μὲν ὡς ἀλήθειαν, κατὰ πρᾶξιν δὲ ὡς ἀγαθὸν, τοῖς κατ' ἔλλειψιν τῆς ἀρετῆς καὶ ὑπερβολὴν πάθεσι περιτρέπεται.

Ἐπιθυμία δὲ δικαίου δεκτή.

Ἡ ἔφεσις δὲ τοῦ δι' ἐναρέτου πολιτείας τιμῶντος θεὸν, δηλαδὴ ὁ πρὸ τῶν λοιπῶν πάντων πρὸς αὐτὸν πόθος, εὐπρόσδεκτος τούτῳ ἐστίν.

X. Παραπορευομένης καταιγίδος, ἀφανίζεται ἀσεβής.

25. Καὶ μερικοῦ μὲν πειρασμοῦ εἴθ' ἑκουσίου εἴτ' ἀκουσίου, ἀπροσδοκήτως ἐπερχομένου ὑπὸ τοῦ τῆς πονηρίας πνεύματος, ἀπόλλυται ὁ μὴ δι' ἐγκρατείας καὶ ὑπομονῆς τιμῶν τὸν Θεόν.

Δίκαιος δὲ ἐκκλίνας, σώζεται εἰς τὸν αἰῶνα.

Ὁ δ' ἐγκρατευόμενος μὲν τῶν καθ' ἡδονὴν ἑκουσίων παθῶν, ὑπομένων δὲ τὰ κατ' ὀδύνην ἀκούσια, τὸν κατὰ ψυχὴν διαφυγὼν κίνδυνον, ῥύεται τῆς αἰωνίου κολάσεως.

26. Ὥσπερ ὄμφαξ ὀδοῦσι βλαβερὸν, καὶ καπνὸς ὄμμασιν, οὕτε παρανομία τοῖς χρωμένοις αὐτῇ.

Καὶ ὥσπερ καρπὸς μὲν ἄωρος τῇ τῶν ὀδόντων ἐνεργείᾳ λυμαίνεται, καπνὸς δὲ τῇ τῶν ὀφθαλμῶν, οὕτω τῶν τῆς ψυχῆς πρακτικῶν καὶ θεωρητικῶν δυνάμεων, ἡ παράλογος περὶ τὰ πρόσκαιρα χρῆσις, τοῖς περὶ ταύτην καταγινομένοις· ὡς τὰς μὲν πρακτικὰς τούτων δυνάμεις, οἷά πέρ τινας ὀδόντας αἱμωδιᾷν ποιοῦσα, πρὸς τὴν κατὰ καιρὸν τοῦ ὄντως καλοῦ ἀπόλαυσιν, διὰ τὴν παρὰ καιρὸν τοῦ δοκοῦντος· ταῖς δὲ θεωρητικαῖς δίκην καπνοῦ ἐπισκοτοῦσα, καὶ πρὸ τοῦ ἀπελαθῆναι αὐτὴν διὰ τῆς ἐν πνεύματι γνώσεως, μὴ συγχωροῦσαν ταύταις καθορᾷν τὰς τῆς ἀληθείας αὐγάς.

27. Φόβος Θεοῦ προστίθησιν ἡμέρας.

Καὶ φόβος μὲν θεῖος, ἀπαλλάττων τοῦ καθ' ἁμαρτίαν τῆς ψυχῆς θανάτου, ἐπεκτείνει τῆς παρούσης ζωῆς τοῦ προσηλωμένου αὐτῷ τὰς ἡμέρας· μεταβιβάζων τοῦτον πρὸς τὴν ἐκεῖσε ἄληκτον καὶ μακαρίαν ζωήν.

Ἔτη δὲ ἀσεβῶν ὀλιγωθήσονται.

Οἱ δὲ χρόνοι τῆς ζωῆς τῶν μὴ ἐμπράκτῳ γνώσει τιμώντων Θεὸν, ἐλαττωθήσονται, τῆς πνευματικῆς διαμαρτώντων ζωῆς· ἄνδρες γὰρ αἱμάτων καὶ δολιότητος, οὐ μὴ ἡμισεύσωσι τὰς ἡμέρας αὐτῶν.

28. Ἐγχρονίζει δικαίοις εὐφροσύνη.

Καὶ παραμένει μὲν τοῖς ἀμέμπτως πολιτευομένοις, πνευμα-

τικὴ ἀγαλλίασις ὡς μὴ καταπίπτουσι τοῖς προσπίπτουσιν, ἀλλὰ πάντοτε τῇ ἐλπίδι τῶν ἐπηγγελμένων ἀγαθῶν χαίρουσιν. X.

Ἐλπὶς δὲ ἀσεβῶν ὄλλυται.

Ἡ δ' ἐπὶ τοῖς προσκαίροις πεποίθησις τῶν μὴ κατ' ἔμπρακτον γνῶσιν τιμώντων Θεὸν, ἀπόλλυται μὴ ἱσταμένοις ἀλλὰ ταχέως παρερχομένοις.

Ὀχύρωμα ὁσίου φόβος κυρίου. 29.

Καὶ γὰρ φυλακὴ μὲν ὑπάρχει τῷ ὑπερβάντι τὴν κατὰ τὸν φυσικὸν νόμον δικαιοσύνην, καὶ πολιτευομένῳ κατὰ τὸν πνευματικὸν, ὁ ἁγνὸς καὶ διαμένων εἰς αἰῶνα αἰῶνος θεῖος φόβος, εἰς τὸ μηδέποτε ἐκπεσεῖν αὐτὸν τῆς θείας ἀγάπης, περιπεσόντα εἰς καταφρόνησιν.

Συντριβὴ δὲ τοῖς ἐργαζομένοις κακά.

Θλίψεις δὲ καὶ κατάνυξις πρὸς σωτηρίαν ἐκ μεταμέλου τοῖς πράττουσιν ἁμαρτίας.

Δίκαιος εἰς τὸν αἰῶνα οὐκ ἐνδώσει. 30.

Καὶ ὁ μὲν προκρίνων τῶν προσκαίρων τὰ αἰώνια, οὐκ ἀμελήσει τῆς ἑαυτοῦ σωτηρίας, ἀλλὰ μέχρι παντὸς ἀμεταστρεπτὶ πρὸς Θεὸν ὁδεύσει κατ' ἀρετὴν ὑπομένων εὐχαρίστως πάντα τὰ ἐπερχόμενα αὐτῷ κατὰ τὴν παροῦσαν ζωήν.

Ἀσεβεῖς δὲ οὐκ οἰκήσουσι γῆν.

Οἱ δὲ μὴ Θεὸν προτιμῶντες πάντων τῶν δι' αὐτοῦ γεγονότων, οὐ ποιήσονται διαμονὴν κατὰ διάθεσιν, ἐν τῇ παγίᾳ ἕξει τῶν ἀρετῶν· ὡς τοῖς κατ' ἔλλειψιν τούτων, καὶ ὑπερβολὴν ἀεὶ περιπλανώμενοι πάθεσιν.

Στόμα δικαίου ἀποστάζει σοφίαν. 31.

Καὶ ἡ μὲν ἠρέμα προφερομένη διδασκαλία τοῦ προκρίνοντος τῶν προσκαίρων τὰ αἰώνια, μεταδίδωσι δίκην σταγόνος, κατὰ βραχὺ, τελειότητος τοῖς ταύτης μεταλαμβάνουσι, πρὸς τὸ εὐπαράδεκτον εἶναι ταύτην αὐτοῖς.

Γλῶσσα δὲ ἀδίκου ἐξολεῖται.

X. Ἡ δὲ γλωσσολογία τῶν τὰ πρόσκαιρα τῶν αἰωνίων προαιρουμένων, ἐξαφανισθήσεται, εἰς τὸ μηδὲν χωρήσασα· καὶ γὰρ

32. Χείλη ἀνδρῶν δικαίων ἀποστάζει χάριτας.

Οἱ μὲν λόγοι τῶν κατὰ τῶν παθῶν ἀνδριζομένων, καὶ προκρινόντων τὸ ὄντως ἀγαθὸν τοῦ δοκοῦντος, διὰ τῶν κατὰ μέρος πρὸς τελειότητα ἀναβάσεων, τὰς κατὰ Χριστὸν χαρίζονται προκοπάς· πρῶτον καθαίροντες, εἶτα φωτίζοντες, καὶ οὕτω τελειοῦντες τοὺς πειθομένους αὐτοῖς.

Στόμα δὲ ἀσεβῶν ἀποστρέφεται.

Ἡ δὲ φλυαρία τῶν μὴ δι' ἐμπράκτου γνώσεως τιμώντων θεὸν, μισητία ἐστὶ παρ' αὐτῷ.

CAP. XI.

v. 1. Ζυγοὶ δόλιοι βδέλυγμα ἐνώπιον κυρίου.

Καὶ αἱ μὲν πρὸς τὰς ἐλλείψεις τῶν ἀρετῶν καὶ τὰς ὑπερβολὰς, ἑτεροῤῥεπεῖς τῆς ψυχῆς διαθέσεις, μεμισημέναι εἰσὶν ἔμπροσθεν τοῦ ἐντελλομένου μὴ ἐκκλίνειν ἡμᾶς μήτ' εἰς τὰ δεξιὰ μήτ' εἰς τ' ἀριστερὰ, δεσπότου τῶν ὅλων θεοῦ, ὡς τοῦ ὄντως καλοῦ καὶ ἀμφοτέρωθεν ἁμαρτάνουσαι.

Στάθμιον δὲ δίκαιον, δεκτὸν αὐτῷ.

Ἡ ἐν τῇ μεσότητι δὲ τῆς ἀρετῆς θεωρημένη ἀῤῥεπὴς πρὸς τὰ κατ' ἔλλειψιν ταύτης καὶ ὑπερβολὴν πάθη διάθεσις τῆς ψυχῆς, εὐπρόσδεκτος ὑπάρχει αὐτῷ ὡς τοῦ ὄντως ὀρεγομένη καλοῦ.

2. Οὗ ἐὰν εἰσέλθῃ ὕβρις, ἐκεῖ καὶ ἀτιμία.

Καὶ ἐφ' ὃν μὲν ἂν εἰσελεύσεται ἐξ ὑπερηφανίας μῶμος κατὰ τοῦ πέλας, πάθη ἀτιμίας κατὰ συγχώρησιν θείαν καταλαμβάνει αὐτὸν, ἵν' ἐκπαιδευθῇ ταπεινοφρονεῖν.

Στόμα δὲ ταπεινῶν μελετᾷ σοφίαν.

Ἡ δὲ διάνοια τῶν ἐπιμεμφομένων ἑαυτοῖς ἐπὶ τοῖς παραπτώμασι, μανθάνει σοφίαν· ἀρχὴν ταύτης τὸν τοῦ κυρίου φόβον ποιουμένη.

Ἀποθανὼν δίκαιος ἔλιπε μεταμελον. XI.

Καὶ φονευθεὶς μὲν ὁ ἀμέμπτως πολιτευόμενος, κατέλιπε τοῖς 4.
αὐτὸν θανατώσασιν, ἐφ' οἷς εἰς αὐτὸν πεπλημμελήκασι, μεταμέλειαν, τὴν κατὰ τὸ παρὸν μὲν τὸ συνειδὸς πλήττουσαν, κατὰ τὸ μέλλον δὲ διηνεκῶς κολάζουσα.

Πρόχειρος δὲ γίνεται καὶ ἐπίχαρτος ἀσεβῶν ἀπώλεια.

Ἀκώλυτος δὲ γίνεται καὶ εὐφρόσυνος, ὁ τῶν κακοποιῶν, καὶ διὰ τοῦτο μὴ τιμώντων θεὸν, ὄλεθρος· ὅτι τε τὰς δίκας οὗτοι τῶν αὐτοῖς κακῶς πεπραγμένων, κατὰ τὸ παρὸν ἀπέδωκαν, καὶ οἱ παρ' αὐτῶν κακούμενοι, τῶν παρ' αὐτῶν κακώσεων ἀπηλλάγησαν.

Δικαιοσύνη ἀμώμου, ὀρθοτομεῖ ὁδούς. 5.

Καὶ γὰρ ἡ ἀῤῥεπὴς ἐπὶ τοῖς πρακτέοις κρίσις τοῦ ἀμέμπτως πολιτευομένου, ἀπαρεγκλίτους πρὸς τὰ κατ' ἔλλειψιν τῆς ἀρετῆς καὶ ὑπερβολὴν πάθη ποιεῖ τὰς κατ' ἀρετὴν τρίβους αὐτοῦ· ἃς οἱ ἑπομένως τούτῳ ὁδεύοντες, σωτηρίας ἀξιοῦνται.

Ἀσεβείᾳ δὲ περιπίπτει ἄνομος.

Εἰς ἀτιμίαν δὲ θεοῦ, διὰ τῶν τῆς κακίας ἔργων, ἐμπίπτει ὁ ἀθετῶν τὸν νόμον τῶν τοῦ θεοῦ ἐντολῶν· καὶ γὰρ

Δικαιοσύνη ἀνδρῶν ὀρθῶν ῥύσεται αὐτούς. 6.

Ἡ μὲν ἄμεμπτος πολιτεία τῶν κατὰ τῶν παθῶν ἀνδριζομένων, καὶ ἀπαρέγκλιτον πρὸς κακίαν ποιουμένων τὸν δρόμον τῆς ἀρετῆς, ἐξελεῖται τούτους τοῦ κατὰ ψυχὴν, διὰ τῶν κατ' ἔλλειψιν τῆς ἀρετῆς καὶ ὑπερβολὴν παθῶν, κινδύνου.

Τῇ δὲ ἀσεβείᾳ αὐτῶν ἁλίσκονται παράνομοι.

Τῇ δὲ μὴ θεὸν τιμώσῃ κατὰ ψυχὴν διαθέσει ἑαυτῶν, κατέχονται οἱ τὸν νόμον τῶν θείων ἐντολῶν ἀθετοῦντες.

Τελευτήσαντος ἀνδρὸς δικαίου, οὐκ ὄλλυται ἐλπίς. 7.

Καὶ ἀποθανόντος μὲν τοῦ κατὰ τῶν παθῶν γενναίως ἀνδρισαμένου, καὶ πρὸς τὸ τῆς ἀρετῆς ἐπίπονον ἀνενδότου, καὶ τῶν προσκαίρων προκρίναντος τὰ αἰώνια, διαμένει ἡ ἐπὶ τοῖς αἰωνίοις ἀγαθοῖς τούτου ἐλπὶς, ἀπεκδεχομένου τὸν ὑπὲρ τῆς ὑπομονῆς τῶν πόνων μισθόν.

XI. Τὸ δὲ καύχημα τῶν ἀσεβῶν ὄλλυται.

Τὸ δὲ ἐπί τε τῇ διακένῳ δόξῃ καὶ τῷ φθειρομένῳ πλούτῳ φρύαγμα τῶν μὴ δι' ἀγαθοεργίας τιμώντων Θεὸν, εἰς τὸ μηδὲν περιίσταται, ὡς τούτων ταχέως διαλυομένων, καὶ εἰς τὸ μηδὲν περιισταμένων.

8. Δίκαιος ἐκ θήρας ἐκδύνει.

Καὶ ὁ μὲν ἀπονέμων τῇ ἑαυτοῦ ψυχῇ ἀρετὰς, καὶ τῇ σαρκὶ αὐτάρκεις τροφὰς καὶ σκεπάσματα, τὰς κατ' ἔλλειψιν τῆς ἀρετῆς καὶ ὑπερβολὴν παγίδας τοῦ θηρευτοῦ τῶν ἡμετέρων ψυχῶν διαδιδράσκει.

Ἀντ' αὐτοῦ δὲ παραδίδοται ἀσεβής.

Ἀντὶ τούτου δὲ ὃν σπεύδει θηρεύειν ὁ πονηρὸς, ἐμπίπτει κατὰ προαίρεσιν εἰς τὰς προειρημένας παγίδας, ὁ μὴ δι' ἐμπράκτου γνώσεως τιμῶν τὸν Θεόν.

9. Ἐν στόματι ἀσεβῶν, παγὶς πολίταις.

Καὶ γὰρ ἐν μὲν τῇ ἀπατηλῇ ὑποθήκῃ τῶν μὴ Θεὸν τιμώντων, ἀλλὰ τὴν πρόνοιαν αὐτοῦ διαβαλλόντων πνευμάτων τῆς πονηρίας, ἀπιστίας τε καὶ ἀνελπιστίας βρόχος κατασκευάζεται τοῖς μὴ ἐν τῷ οὐρανῷ, ἀλλ' ἐν τῇ γῇ τὸ πολίτευμα κεκτημένοις ἀνθρώποις· ὡς ἂν τῷ τοιούτῳ τῶν κολάσεων φόβῳ μήτε ἐκφυγεῖν, μήτε πρὸς τὰ ἄνω βραβεῖα, τῷ πρὸς αὐτὰ πόθῳ δραμεῖν κατ' ἀρετὴν δύναιντο.

Αἴσθησις δὲ δικαίων εὔοδος.

Ἡ δὲ γνῶσις τῶν ἐναρέτων ἀνδρῶν, ἀπλανής ἐστιν, ὡς τὴν πρᾶξιν ποιουμένων θεωρίας ἐπίβασιν.

10. Ἐν ἀγαθοῖς δικαίων, κατώρθωσε πόλιν.

Καὶ τοῖς καλοῖς μὲν ἔργοις καὶ λόγοις τῶν τοιούτων ἀνδρῶν, ἀπήρτισε τὴν ἑαυτῆς σωτηρίαν ψυχὴ ἐν ᾗ πλεῖστοι ἐνδιατρίβουσι λογισμοί.

Καὶ ἐν ἀπωλείᾳ ἀσεβῶν, ἀγαλλίαμα.

Ἐν δὲ τῷ ἀπ' αὐτῆς ἀφανισμῷ τῶν μὴ τιμώντων Θεὸν πονηρῶν λογισμῶν, προσγέγονεν αὐτῇ εὐφροσύνη πνευματική.

Ἐν εὐλογίᾳ εὐθέων, ὑψωθήσεται πόλις. XI. 11.

Καὶ γὰρ ἐν μὲν τῇ ἀγαθῇ διδασκαλίᾳ τῶν ἁπλανῶς διδασκόντων τὸν λόγον τῆς ἀληθείας, ἀρθήσεται τῇ φυσικῇ ἐν πνεύματι θεωρίᾳ, εἰς τὴν ἄπταιστον γνῶσιν τῶν ὑπὸ φύσιν καὶ χρόνον, ψυχὴ ἐν ᾗ διάφοροι περιπολοῦσι λογισμοί.

Στόμα δὲ ἀσεβῶν, κατασκαφήσεται.

Ἐν δὲ ταῖς ἀπατηλαῖς ὑποθήκαις τῶν μὴ τιμώντων Θεὸν πνευμάτων τῆς πονηρίας, εἰς ἀλογίστους ἐπιθυμίας κατενεχθήσεται.

Μυκτηρίζει πολίτας ἐνδεὴς φρενῶν· 12.

Καὶ διαπαίζει μὲν κατακρίνων τοὺς ἐν τῷ παρόντι κόσμῳ μὴ ὀρθῶς πολιτευομένους ἀνθρώπους, ὁ ἐν τῷ μὴ ἐπιγινώσκειν τὴν οἰκείαν ἀσθένειαν, ἐλλιπὴς φρονήσεως.

Ἀνὴρ δὲ φρόνιμος, ἡσυχίαν ἄγει.

Ὁ δὲ ἐν τῷ ταύτην ἐπιγινώσκειν τέλειος ταῖς φρεσὶ, προσέχων ἑαυτῷ, σχολάζει· μόνα τὰ οἰκεῖα σφάλματα ἐξετάζων καὶ διορθούμενος.

Ἀνὴρ δίγλωσσος, ἀποκαλύπτει βουλὰς ἐν συνεδρίῳ. 13.

Καὶ ἄνθρωπος μὲν πρὸς ἀπάτην πολλῶν, λόγους ἀντικειμένους ἀλλήλοις φθεγγόμενος, ἀνακαλύπτει τὰ ἐμπιστευθέντα αὐτῷ παρά τινος σκέμματα ἐν συνελεύσει λαοῦ· κἀντεῦθεν τὰ ἐπὶ λυσιτελείᾳ πολλῶν, κἂν τούτοις μὴ οὕτως ἔχειν δοκῇ, ποιεῖ ἄπρακτα.

Πιστὸς δὲ πνοῇ κρύπτει πράγματα.

Ὁ δὲ τηρῶν ταῦτα τῇ ἑαυτοῦ ψυχῇ, καὶ μὴ ἀθετῶν τὸ παράγγελμα τοῦ ἐμπιστεύσαντος αὐτῷ τὰ ἴδια μυστήρια, συγκαλύπτει ὅσα φανερούμενα, βλάβην ἀποτελεῖ· καὶ

Οἷς μὴ ὑπάρχει κυβέρνησις, πίπτουσιν ὥσπερ φύλλα. 14.

Οἷς μὲν μὴ ἐστὶ προεστὼς, καλῶς διεξάγων τὰ κατ' αὐτοὺς, πνεύσαντός τινος ἐπ' αὐτοὺς πειρασμοῦ, ὑπὸ τοῦ τῆς πονηρίας πνεύματος καταβάλλονται δίκην φύλλων ῥιπτουμένων εὐχερῶς ὑπ' ἀνέμου· μὴ δυνάμενοι πρὸς τὰς μεθοδείας τοῦ ἐχθροῦ ἀντισχεῖν, ἐν τῷ τοῦ στηρίζοντος ἀποστερεῖσθαι.

XI. Σωτηρία δὲ ὑπάρχει ἐν πολλῇ βουλῇ.

Σώματος * δὲ φυλακὴ ἐστιν ἐν τῇ πλείςῃ παρὰ σοφῷ ἀνδρὶ ἐξερευνήσει τοῦ συνοίσοντος· καὶ γὰρ .

* cod. σῶμα.

15. Πονηρὸς κακοποιεῖ, ὅταν συμμίξῃ δικαίωμα.

Ὁ πολυμήχανος ἐχθρὸς τῶν ἡμετέρων ψυχῶν καὶ πολέμιος τὰ μὲν πρὸς βλάβην τῶν ἀγωνιζομένων οὐκ ἄλλοτε ἀποτελεῖ, εἰ μὴ ὁπόταν ὑπαγορεύων τὴν ἐπίτασιν τῶν ἀρετῶν, τὴν εἰσάγησαν τὸ παρ' ἀνθρώπων δικαίωμα, δηλονότι τὸν ἔπαινον, παραμίξῃ αὐτὴν τῇ ἀπὸ δεξιᾶς συσκευαζομένῃ παρ' αὐτοῦ κατὰ τούτων ἐπιβουλῇ.

Μισεῖ δὲ ἦχον ἀσφαλείας.

Ἀποςρέφεται δὲ, καὶ οὐ θέλει προσφέρεσθαι λόγον προερχόμενόν τε ἐκ ψυχῆς πεφυλαγμένης, τῇ πολυπειρίᾳ τῶν αὐτοῦ μηχανῶν, καὶ ἐμποιοῦντα τὴν αὐτὴν φυλακὴν, ταῖς αὐτῷ ὑπακουούσαις ψυχαῖς.

16. Γυνὴ εὔχρηςτος, ἐγείρει ἀνδρὶ δόξαν.

Καὶ ἡ μὲν βοηθὸς τῷ νῷ πρὸς κατανόησιν τῶν ἐν τοῖς οὖσι λόγων αἴσθησις, καλῶς παρὰ τούτῳ χρωμένῳ, ὡς ὄργανον αὐτοῦ, ἀνιστᾷ αὐτῷ κατὰ διάνοιαν, γενναίως κατὰ τῶν παθῶν ἀγωνιζομένῳ, τὴν λογικὴν περὶ τῶν ὄντων δόξαν· καθ' ἣν ὁ νοῦς τὴν ἰδίαν ἀπολαμβάνει τιμὴν, ἐπιγινώσκων ἐκ τῶν ὄντων τὴν ἀξίαν τῶν ὄντων.

Θρόνος δὲ ἀτιμίας, γυνὴ μισοῦσα δίκαια.

Ἵδρυσις δὲ αὐτῷ ὕβρεως, ἡ πρὸς μὲν κακίαν συνεργοῦσα τῷ νῷ διὰ τῆς ἀλόγου τῶν προσκαίρων ὀρέξεως, τὰς δ' ἀρετὰς ἀποστρεφομένη διὰ τὸ τούτων ἐπίπονον, αἴσθησις· ὁ γὰρ ταύτῃ πειθόμενος νοῦς, τῇ ἐφυβρίστῳ ἕξει τῆς κακίας ἐγκάθηται, ἀλογίστως αὐτῇ ἐπαναπαυόμενος.

Πλούτου ὀκνηροὶ, ἐνδεεῖς γίνονται.

Καὶ τοῦ μὲν κατὰ γνῶσιν πνευματικοῦ πλούτου, οἱ ῥᾳθυμοῦντες, καὶ μὴ διανιςάμενοι πρὸς τὴν ἐργασίαν τῶν ἀρετῶν, στέρησιν ὑπομένουσιν·

Οἱ δὲ ἀνδρεῖοι, ἐρείδονται πλούτῳ. XI.

Οἱ δὲ κατὰ ψυχὴν γενναῖοι, ἐπ' αὐτῷ τῷ τῆς γνώσεως πνευματικῷ πλούτῳ στηρίζονται, ἀνδριζόμενοι τὸ ἐπίπονον.

Τῇ ψυχῇ αὐτοῦ ἀγαθοποιεῖ ἀνὴρ ἐλεήμων. 17.

Καὶ τὴν μὲν ἰδίαν ψυχὴν εὐεργετεῖ, ἐπανασώζων δι' ἀγαθοεργίας αὐτῇ ὡς Θεοῦ εἰκόνι τὸ καθ' ὁμοίωσιν, ὁ κατὰ τῶν παθῶν ἀνδριζόμενος, καὶ τοὺς περιπίπτοντας ποικίλοις πειρασμοῖς καὶ δεομένους παντοίας χειραγωγίας οἰκτείρων, καὶ χεῖρα βοηθείας αὐτοῖς κατὰ τὸ δυνατὸν ὀρέγων.

Ἐξόλλυσι δὲ τὸ ἑαυτοῦ σῶμα ὁ ἀνελεήμων.

Διαφθείρει δὲ τὸ ἴδιον σῶμα, ἴδιον γὰρ καὶ τὸ ἑκάστου, ὅτι ἐκ τοῦ αὐτοῦ ἐσμὲν πάντες πηλοῦ τε καὶ κράματος, ὁ μὴ δι' οἶκτον τινὶ ἐπικαμπτόμενος, καὶ ὡς δυνατὸν βοηθῶν, ἀλλ' ἐῶν τοῦτον τοῖς συνέχουσιν αὐτὸν κακοῖς φθείρεσθαι· ὅτι κλείει ὁ τοιοῦτος, τοῦ τε Θεοῦ τὸν περὶ αὐτὸν ἔλεον, καὶ τὰ τῶν πολλῶν σπλάγχνα· καὶ κατακρίνει αὐτὸς ἑαυτῷ ἐκ τῆς περὶ τὸν πλησίον ἀσπλαγχνίας τὸν ἀνεπιμέλητον, μὴ ἐλεούμενος ἐπειδὴ μὴ ἐλέησεν.

Ἀσεβὴς ποιεῖ ἔργα ἄδικα. 18.

Καὶ ὁ μὲν μὴ τιμῶν τὸν Θεὸν ὡς αὐτοαλήθειαν, διαπράττεται τὰ παρὰ τὸν νόμον τῶν ἁγίων αὐτοῦ ἐντολῶν ἔργα.

Σπέρμα δὲ δικαίων, μισθὸς ἀληθείας.

Ὁ δὲ δίκην σπέρματος, εἰς τὰς ψυχὰς τῶν προκρινόντων τὰ αἰώνια τῶν προσκαίρων, πίπτων καὶ καρποφορῶν τὸ ἀγαθὸν, εἰς τριάκοντα καὶ εἰς ἑξήκοντα καὶ ἑκατὸν, θεῖος λόγος, μισθαποδοσία ὑπάρχει τοῦ τῶν γνωστῶν πέρατος τῆς ἀληθείας πιστευομένης βεβαίως· ὁ γὰρ προσάγων Θεῷ βεβαίαν τὴν εἰς αὐτὸν πίστιν, ἀντιλαμβάνει παρ' αὐτοῦ τὸν λόγον τῆς ἀληθείας καθαίροντα αὐτὸν καὶ τελειοῦντα κατὰ χάριν, τῇ τῶν ὑπὲρ φύσιν ἀγαθῶν μεθέξει.

Υἱὸς δίκαιος, γεννᾶται εἰς ζωήν. 19.

Καὶ γὰρ ὁ μὲν Θεῷ υἱοθετηθεὶς διὰ πίστεως, καὶ ἀμέμπτως

XI. πολιτευόμενος, πρὸς τὴν πνευματικὴν καὶ ἀνώλεθρον τίκτεται ζωὴν, λαμβάνων ἀρχὴν μὲν ταύτης τὴν διὰ πίστεως θεογνωσίαν· προκοπὴν δὲ, τὸ κατ' ἀρετὴν ἦθος.

Διωγμὸς δὲ ἀσεβοῦς, εἰς θάνατον.

Ἡ πᾶσα δὲ σπουδὴ τοῦ μὴ δι' ἐμπράκτου γνώσεως τιμῶντος Θεὸν, τελευτᾷ εἰς φθορὰν, ὡς καταγινομένη περὶ τὰ πρόσκαιρα.

20. Βδέλυγμα κυρίῳ, ὁδοὶ διεστραμμέναι.

Ὅτι μεμισημένα εἰσὶ παρὰ Θεῷ ἔργα παρεγκεκλιμένα τῆς κατ' ἀρετὴν εὐθείας ὁδοῦ, πρὸς τὰ κατ' ἔλλειψιν ταύτης καὶ ὑπερβολὴν πάθη.

Προσδεκτοὶ δὲ αὐτῷ πάντες ἄμωμοι ἐν ὁδῷ.

Ἀποδεκτοὶ δὲ αὐτῷ, ὅσοι παντὸς μώμου ἀπηλλαγμένην τὴν ὁδὸν τῆς παρούσης ζωῆς διεξέρχονται.

21. Χειρὶ χεῖρας ἐμβαλὼν ἀδίκως, οὐκ ἀτιμώρητος ἔσται κακῶν.

Καὶ ὁ μὲν τοῖς πόνοις τῆς οἰκείας χειρὸς, τοὺς τῶν ἀλλοτρίων χειρῶν πόνους, παρὰ πάντα δίκαιον λόγον προσμίξας, οὐκ ἐκτὸς κολάσεως ἔσεται, ὑπὲρ ὧν ἐνεδείξατο λυπηρῶν εἰς τοὺς πλεονεκτηθέντας παρ' αὐτοῦ.

Ὁ δὲ σπείρων δικαιοσύνην, λήψεται μισθὸν πιστόν.

Ὁ δὲ σκορπίζων εἰς τὰς τῶν δεομένων γαστέρας, καὶ τῶν ἑαυτοῦ χειρῶν πόνους, ἀναλόγως τῇ χρείᾳ ἑκάστου λάβῃ παρὰ τοῦ μισθαποδότου Θεοῦ ἀντιμισθίαν βεβαίαν, τὴν ἐς ἀεὶ διαμένουσαν.

22. Ὥσπερ ἐνώτιον χρυσοῦν ἐν ῥινὶ ὑὸς, οὕτω γυναικὶ κακόφρονι κάλλος.

Καὶ καθάπερ ἐνώτιος κόσμος, ἐνηρτημένος χοίρου ῥινὶ, τῷ βορβόρῳ ῥυπαίνεται, οὕτω καὶ αἰσθήσει ἀλογίστως φερομένη, τὸ πρὸς ἐνώτισιν τῆς δόξης τοῦ πεποιηκότος κάλλος τῶν αἰσθητῶν, τῷ βορβόρῳ τῶν ἡδονῶν κατ' ἐπιθυμίαν μολύνεται· καὶ γὰρ

23. Ἐπιθυμία δικαίου πᾶσα ἀγαθή.

Ἡ μὲν ἔφεσις τοῦ προκρίνοντος τῶν φαινομένων, ὡς προσκαίρων, τὰ ὑπὲρ τὸ φαινόμενον ἀγαθὰ, ὡς αἰώνια, ἅπασα ὑπάρχει καλὴ, ὡς σωτήριος. XI.

Ἐλπὶς δὲ ἀσεβῶν ἀπολεῖται.

Ἡ δ᾽ ἐπὶ τοῖς προσκαίροις πεποίθησις τῶν μὴ δι᾽ ἐμπράκτȣ γνώσεως τιμώντων θεὸν, ἀφανισθήσεται, εἰς τὸ μηδὲν χωρήσασα ἐν τῷ φθαρῆναι αὐτά.

Εἰσὶν οἱ τὰ ἴδια σπείροντες, οἳ πλείονα ποιοῦσιν. 24.

Καὶ ὑπάρχȣσι μὲν οἱ πρὸς τοὺς δεομένους, εἴτε τὰ οἰκεῖα χρήματα σκορπίζοντες, εἴτ᾽ ἀρετῶν μεταδόσεις ποιούμενοι, οἵ τινες ἑκατονταπλασίονα ἑαυτοῖς ἢ τὸν σωματικὸν ἢ τὸν πνευματικὸν πλοῦτον περιποιοῦνται.

Εἰσὶ δὲ καὶ οἱ συναγόντες τὰ ἀλλότρια, οἳ ἐλαττονοῦνται.

Ὑπάρχȣσι δ᾽ αὖθις τινὲς, οἳ καὶ τὰ τῶν ἄλλων εἴτ᾽ ἀνθρώπων ἁρπάζοντες χρήματα, εἴτε δαιμονων κακίας μεταλαμβάνοντες, οἵ τινες σμικρύνουσιν ἑαυτοὺς, κατὰ μὲν τὸν σωματικὸν πλοῦτον, δίκας εἰσπραττόμενοι, ὑπὲρ ὧν κακῶς ἐτελώνησαν· κατὰ δὲ τὸν ψυχικὸν, ὡς τὴν κατ᾽ ἀρετὴν τιμὴν ἀποβαλλόμενοι, καὶ τῆς κακίας ἀτιμίαν ἐπικτησάμενοι.

Ψυχὴ εὐλογουμένη, πᾶσα ἁπλῆ. 25.

Ψυχὴ γὰρ ἐπαινȣμένη παρὰ Θεῷ καὶ ἀνθρώποις ἐστὶ, πᾶσα ἡ διαμένουσα αὐτὴ ἐπὶ τοῖς οὐκ αὐτοῖς δι᾽ ἀπάθειαν, καὶ μὴ στασιάζουσα τοῖς συμπίπτουσιν, εἴτε ἡδέα εἶεν, εἴτε καὶ ἀλγεινά· κἀντεῦθεν τὴν ἐκ παθῶν λαμβάνȣσα σύνθεσιν, ἀλλ᾽ ἁπλοῦν τὸν τῆς ἰδίας φύσεως διαφυλάττουσα λόγον.

Ἀνὴρ δὲ θυμώδης, οὐκ εὐσχήμων.

Ὁ δὲ πρὸς τοὺς λυποῦντας αὐτὸν ὀργιζόμενος, ἀσχημονεῖ, τὴν τῆς εἰρήνης καὶ τῆς κατὰ ψυχὴν γαλήνης εὐκοσμίαν ἀποβαλλόμενος. 26.

Ὁ συνέχων σῖτον, ὑπολίποιτο αὐτὸν τοῖς ἔθνεσιν.

Καὶ ὁ μὲν μὴ καταβάλλων τὸν δίκην σίτου καρποφόρον τῆς ἀρετῆς ἔμφυτον λόγον σαρκὶ κατὰ πρᾶξιν, καταλείψειε τοῦτον

XI. καταναλίσκεσθαι τοῖς πολεμίοις τῶν ἡμετέρων ψυχῶν δαίμοσι, ταῖς ἐπινοίαις τῶν ἀλόγων παθῶν.

Εὐλογία δὲ εἰς κεφαλὴν τοῦ μεταδιδόντος.

Ἐπ' ἀγαθοῖς δὲ ἔςαι ἡ χρῆσις αὐτοῦ τοῦ ἐμφύτου λόγου, παρὰ τῷ ἡγημόνι νῷ, τοῦ μεταδιδόντος τούτῳ σαρκὶ πρὸς καρποφορίαν πνευματικήν.

27. Τεκταινόμενος ἀγαθὰ, ζητεῖ χάριν ἀγαθήν.

Καὶ ὁ μὲν ἐργαζόμενος τὰς παναγάθους τοῦ Θεοῦ ἐντολὰς, σπεύδει λαβεῖν τοῦ παναγίου πνεύματος δωρεὰν, τὴν παντὸς ὀφλήματος ἀπαλλάττουσαν, καὶ τῆς μεθέξεως τῶν ὑπὲρ φύσιν ἀγαθῶν ἀξιοῦσαν.

Ἐκζητοῦντα δὲ κακὰ, καταλήψεται αὐτόν.

Τὸν δὲ σπεύδοντα κακοποιεῖν, καταλάβῃ δικαίως τὸ πάσχειν κακῶς, εἴτε κατὰ τὸ παρὸν πρὸς διόρθωσιν, εἴτε κατὰ τὸ μέλλον πρὸς τιμωρίαν.

28. Ὁ πεποιθὼς ἐπὶ πλούτῳ αὐτοῦ, οὗτος πεσεῖται.

Καὶ ὁ μὲν θαῤῥῶν ἐπὶ ἰδίοις εἴτε χρήμασιν εἴτε κατορθώμασι, καὶ μὴ ἐπὶ τῷ Θεῷ, ὁ τοιοῦτος κατενεχθήσεται ἐκ θείας ἐγκαταλείψεως, εἴτε τῶν χρημάτων διαῤῥυέντων, εἴτε τούτου σφαλέντος κατὰ λόγον ἢ πρᾶξιν.

Ὁ δὲ ἀντιλαμβανόμενος δικαίων, οὗτος ἀνατελεῖ.

Ὁ δὲ ἀντιποιούμενος καθ' ἕξιν τε καὶ ἐνέργειαν, τῶν ἀποτρεπουσῶν μὲν τοῦ κακοῦ, προτρεπουσῶν δὲ εἰς τὸ ἀγαθὸν θείων ἐντολῶν, καὶ ὡς τὴν οἰκείαν ἐπιγινώσκων ἀσθένειαν, εἰς μόνον ἐλπίζων Θεὸν, ὁ τοιοῦτος διαφανὴς γενήσεται κατ' ἀρετὴν, καὶ λαμπρός.

29. Ὁ μὴ συμπεριφερόμενος τῷ ἑαυτοῦ οἴκῳ, κληρονομήσει ἄνεμους.

Καὶ ὁ μὴ ταῖς ἀσθενείαις τῶν ἐν τῷ ἰδίῳ οἴκῳ συγγνωμονῶν, καὶ βαστάζων ταύτας ὡς δυνατὸν, τὸ ἄςατον τῆς τούτων γνώμης κερδήσει, καὶ οὐχὶ τούτους εἰς τὸ ὑπακούειν αὐτοῦ.

Δουλεύσει δὲ ἄφρων φρονίμῳ.

Ὑπηρετήσει δὲ τῷ ἐχέφρονι ὁ μὴ ἐχέφρων, μετερχομένῳ τοῦτον εὐφυῶς, καὶ ἄγοντι εἰς τὸ πρὸς τὸ ἑαυτῷ βουλητόν.

Ἐκ καρποῦ δικαιοσύνης, φύεται δένδρον ζωῆς. XI.
Καὶ ἐξ ἀρετῆς μὲν καρπευομένης παρὰ τῆς κατὰ νόμους θείας 30.
πολιτείας, βλαστάνει ἐν τῇ ψυχῇ ὁ ταύτην συντηρῶν λόγος τῆς
διακρίσεως, καθ᾽ ὃν φυλάττεται ἀπὸ τοῦ καθ᾽ ἁμαρτίαν θανά-
του· ὡς μὲν καλῶν τῶν μονίμων ἀντεχομένη, ὡς δὲ κακοῦ τῆς
περὶ τὰ πρόσκαιρα σχέσεως ἀπεχομένη.

Ἀφαιροῦνται δὲ ἄωροι ψυχαὶ παρανόμων.

Ἀφαρπάζονται δὲ τῆς προσκαίρου ζωῆς πρὸ καιροῦ, ψυχαὶ
τῶν μὴ τηρούντων τὰς τοῦ θεοῦ ἐντολὰς, τῶν ἡμερῶν τῆς κα-
κίας αὐτῶν κολοβουμένων, διὰ τοὺς ἐκλεκτούς.

Εἰ ὁ μὲν δίκαιος μόλις σώζεται, ὁ ἀσεβὴς καὶ ἁμαρτωλὸς 31.
ποῦ φανεῖται;

Εἰ γὰρ καὶ αὐτὸς ὁ τὰς θείας τηρῶν ἐντολὰς διὰ πολλῶν
σώζεται μαθημάτων, τῶν μὲν καθ᾽ ἡδονὴν ἑκουσίων παθῶν ἐγ-
κρατευόμενος, τοὺς δὲ κατ᾽ ὀδύνην πειρασμοὺς εὐχαρίστως ὑπο-
μένων· ὅτι βιαστή ἐστιν ἡ βασιλεία τῶν οὐρανῶν, καὶ βιασταὶ
ἁρπάζουσιν αὐτήν· ὁ μὴ δι᾽ ἔργων δικαιοσύνης τιμῶν τὸν θεὸν,
καὶ ἀποτυγχάνων τούτου κατὰ διάθεσιν, ἢ οὐδαμῶς εὑρεθήσε-
ται, κατακριθεὶς τὴν ἀπὸ τοῦ θεοῦ τοῦ πανταχοῦ παρόντος καὶ
τὰ πάντα πληροῦντος, ἔκπτωσιν· ὡς μηδαμῶς κατὰ τὸ εὖ εἶναι
ἀπολαύων αὐτοῦ, ἤπου ἐν μόνῳ πάντως τῷ εἶναι· ὡς κατὰ τοῦ-
το μόνον μετέχων αὐτοῦ, διὰ τὸ ἀνταλλάξασθαι κατὰ γνώμην,
τοῦ εὖ εἶναι ἀεὶ, τὸ φεῦ εἶναι ἀεί.

CAP. XII.

Ὁ ἀγαπῶν παιδείαν, ἀγαπᾷ αἴσθησιν. v. 1.
Καὶ γὰρ ὁ ἐρῶν τῆς πρὸς σωτηρίαν δι᾽ ἐγκρατείας καὶ ὑπο-
μονῆς ἐπιπόνου τῇ ψυχῇ ἀγωγῆς, ἐρᾷ διακρίσεως τῆς τὸ ὄντως
ἀγαθὸν καὶ τὸ κακὸν πενταδικῶς διαιρούσης· τὸ μὲν, ὡς μὴ ἠργ-
μένον· τὸ δὲ, ὡς ἠργμένον· καὶ τὸ μὲν, ὡς ἐνδεχόμενον νοεῖ-
σθαι· τὸ δὲ, ὡς μὴ ἐνδεχόμενον νοεῖσθαι· καὶ τὸ μὲν, ὡς ἐν-

XII. δεχόμενον λαλεῖσθαι· τὸ δὲ, ὡς μὴ ἐνδεχόμενον λαλεῖσθαι· καὶ τὸ μὲν, ὡς ἐνδεχόμενον γίνεσθαι· τὸ δὲ, ὡς μὴ ἐνδεχόμενον γίνεσθαι· καὶ τὸ μὲν, ὡς ἄφθαρτον· τὸ δὲ, ὡς φθαρτόν· ὅτι περ ἡ μὲν κατὰ ἄλογον τοῦ ὄντος ἀγαθοῦ καὶ τοῦ κακοῦ διάκρισις, ἐμμελεστάτη ἐστὶ καὶ ἐπίπονος, ὡς προαιρετική· ἡ δὲ κατ' αἴσθησιν τοῦ δοκοῦντος, ἤγουν τῆς σωματικῆς ἡδονῆς καὶ τῆς ὀδύνης, προχειροτάτη καὶ ἄπονος, ὡς φυσική.

Ὁ δὲ μισῶν ἐλέγχους, ἄφρων.

Ὁ δὲ ἀποςρεφόμενος τὰς φανερώσεις τῶν αὐτοῦ ἁμαρτιῶν, ἐστέρηται φρενῶν· οἷα μὴ θέλων ποτὲ εἰς ἐπίγνωσιν ἀληθείας ἐλθεῖν.

2. Κρείσσων ὁ εὑρὼν χάριν παρὰ κυρίῳ.

Καὶ ἐκλελεγμένος μὲν ἐςὶ παρὰ τῷ δεσπότῃ τῶν ὅλων θεῷ, ὁ τῷ ἑαυτοῦ πόθῳ ἐπιτυχὼν παρ' αὐτοῦ κατα δωρεὰν, της τε τῶν οἰκείων ἁμαρτημάτων ἀφέσεως, καὶ τῆς αὐτοῦ ἀπολαύσεως.

Ἀνὴρ δὲ παράνομος, παρασιωπηθήσεται.

Ὁ δὲ τὴν ποιητικὴν μὲν τῶν καθηκόντων κεκτημένος δύναμιν, χρώμενος δ' αὐτῇ παρὰ τὸ καθῆκον κατὰ προαίρεσιν, οὐ κατὰ πάντα τοῦ παρὰ θεῷ ἀπαξιωθήσεται λόγου· ἀλλὰ κατὰ μὲν τὸ ἀεὶ εἶναι, τούτου ἐν τῇ ἀναςάσει ἀξιωθήσεται, διὰ τὴν περὶ πάντας τοῦ θεοῦ ἀγαθότητα· κατὰ δὲ τὸ εὖ εἶναι ἀεὶ, ἀπαξιωθήσεται αὐτοῦ, διά τε τὸ τῆς οἰκείας γνώμης παράλογον, καὶ τὸ τοῦ θεοῦ δίκαιον.

3. Οὐ κατορθώσει ἄνθρωπος ἐξ ἀνόμου.

Καὶ γὰρ οὐχ ἕξει τὶ χρηςὸν ἀποτέλεσμα ἄνθρωπος ἐξ ἀλόγου προαιρέσεως, ὡς πάσης αὐτῷ τῆς σπουδῆς εἰς φθορὰν τελευτώσης.

Αἱ δὲ ῥίζαι τῶν δικαίων, οὐκ ἐξαρθήσονται.

Αἱ δὲ πάγιοι περὶ τὸ ἀγαθὸν ἕξεις τῶν ἀμέμπτως πολιτευομένων, μενοῦσιν ἐν ταὐτῷ ἀναπόσπαςοι ἐς ἀεὶ, ὡς ἀναλλοιώτων κατὰ διάθεσιν.

4. Γυνὴ ἀνδρεία, ςέφανος τῷ ἀνδρὶ αὐτῆς.

Καὶ ἡ μὲν φερίπονος αἴσθησις, δόξης ἀληθοῦς πρόξενος γίνεται νοΐ, τῷ χρωμένῳ ταύτῃ κατὰ λόγον βοηθῷ πρὸς τὴν ἄπταιστον θεωρίαν τῶν ὄντων. XII.

Ὥσπερ δὲ ἐν ξύλῳ σκώληξ, οὕτως ἄνδρα ἀπόλλυσι γυνὴ κακοποιός.

Καθάπερ δὲ σκώληξ διαφθείρει ξύλον, διαβιβρώσκων αὐτὸ, οὕτω τὸν νοῦν διασκεδάζει αἴσθησις, ἡ ἐλυσπωμένη τῇ σήψει τῶν ἡδονῶν, καὶ ἀποπλανῶσα τοῦτον τῆς περί τε θεοῦ τοῦ πάντων αἰτίου, καὶ τῶν ὑπ' αὐτοῦ γενομένων κτισμάτων ἀληθοῦς δόξης.

Λογισμοὶ δικαίων, κρίματα. 5.

Καὶ οἱ μὲν διαλογισμοὶ τῶν μήτε εἰς τὰ κατ' ἔλλειψιν τῆς ἀρετῆς πάθη, μήτ' εἰς τὰ καθ' ὑπερβολὴν παρεκκλινόντων, οὐδὲν ἄλλο εἰσὶν ἢ τοῦ μὲν ἀληθῶς ἀγαθοῦ αἵρεσις, τοῦ δ' ὡσαύτως κακοῦ ἀποφυγή.

Κυβερνῶσι δὲ ἀσεβεῖς, δόλους.

Διεξάγουσι δὲ οἱ τὴν ἀλήθειαν μὴ τιμῶντες καθ' ὑπόκρισιν ἀρετῆς, ἀγαθοῦ καὶ κακοῦ παραμιξίας· διὰ τὸ ἀνθρώποις ἐν ἀπάτῃ, καὶ οὐ θεῷ ἐν ἀληθείᾳ, σπουδάζειν ἀρέσκειν.

Λόγοι ἀσεβῶν, δόλοι εἰς αἷμα. 6.

Καὶ γὰρ τὰ δοκοῦντα τοῖς ἀκροωμένοις εὐνοϊκὰ ῥήματα τῶν τὴν ἀλήθειαν μὴ τιμώντων, πλάττονται παρὰ τούτων πρὸς φόνον τῶν παρ' αὐτῶν ἢ φθονουμένων ἢ ἄλλως πως μισουμένων, καὶ δια τοῦτο διαβαλλομένων· ὥςε ἔχειν συλλήπτορας τοῦ τοιούτου ἀνοσίου ἐπιχειρήματος, τοὺς αὐτῶν ἀκροωμένους.

Στόμα δὲ εὐθέων, ῥύεται αὐτούς.

Λόγος δὲ τῶν ἀγαθῶν ἀνθρώπων, καὶ μηδὲν τῆς ἀληθείας προτιμώντων, ἐλεγκτικὸς μὲν τῶν διαβαλλόντων, ὑπεραπολογητικὸς δὲ τῶν διαβαλλομένων, λυτροῦται τούτους τῆς ἐπιβουλῆς.

Καὶ οὗ ἐὰν στραφῇ ἀσεβὴς, ἀφανίζεται. 7.

Ἔνθα μὲν ἂν ἐκτραπῇ τῆς κατ' ἀρετὴν ὁδοῦ, ὁ μὴ τιμῶν τὴν ἀλήθειαν, εἴτ' εἰς τὰ δεξιὰ τὸ ἀγαθὸν ὑποκρινόμενος, εἴτ'

XII. εἰς τὰ ἀριστερὰ τούτου ἀμελῶν, ἀπόλλυται, διαμαρτάνων τοῦ ἐς ἀεὶ διαμένοντος ἀγαθοῦ· ὡς μὴ ἔχων τὸν Θεὸν ἐπιβλέποντα εἰς τὰ ἔργα αὐτοῦ.

Οἶκοι δὲ δικαίων παραμένουσιν.

Αἱ δὲ παγίαι κατὰ γνῶσιν καὶ ἀρετὴν ἕξεις, τῶν ἀμέμπτως πολιτευομένων, φυλάττονται παρ᾽ αὐτοῖς ἐς ἀεὶ ζωήν· οἷά τινες οἶκοι σώζουσαι τούτους, κατὰ μὲν τὸ παρὸν ἀπὸ τοῦ χειμῶνος καὶ τοῦ καύσωνος τῶν ἑκουσίων καὶ ἀκουσίων παθῶν· κατὰ δὲ τὸ μέλλον, ἀπὸ τῆς αἰωνίου κολάσεως.

8. Στόμα συνετοῦ, ἐγκωμιάζεται ὑπὸ ἀνδρός.

Καὶ ἡ μὲν παραίνεσις τοῦ πρός τοὺς τρόπους καὶ τοὺς λόγους τῶν ἐντολῶν, τὴν ἑαυτοῦ ψυχὴν κατὰ διάθεσιν μεταποιήσαντος, ἐπαινεῖται ὑπὸ τοῦ κατὰ πάντων τῶν παθῶν ἀνδριζομένου· κατὰ τὸ ἐγκρατεύεσθαι μὲν τῶν ἑκουσίων, ὑπομένειν δὲ τὰ ἀκούσια· ὡς τὴν αὐτοῦ ψυχὴν καταυγάζουσα φωτὶ γνώσεως, καὶ ἀπροσκόπτως τῶν δυσχερῶν διεξάγουσα.

Νωθροκάρδιος δὲ μυκτηρίζεται.

Ὁ δὲ δυσκίνητος κατὰ ψυχὴν, πρὸς ἐργασίαν τῶν τοῦ Θεοῦ ἐντολῶν, ἐμπαίζεται ὑπὸ τῶν δαιμόνων τοῖς τῆς ἀτιμίας πάθεσι· καὶ

9. Κρείσσων ἀνὴρ ἐν ἀτιμίᾳ δουλεύων ἑαυτῷ, ἢ ὅτι μὴν ἑαυτῷ περιτιθεὶς, καὶ προσδεόμενος ἄρτου.

Ὥσπερ βελτίων ὁ ἐν ἀδοξίᾳ βίου ὑπάρχων, καὶ πρὸς τὰ ἀναγκαῖα ἑαυτῷ ἐπαρκῶν, ἤ περ ὁ μὴ ἀνεχόμενος διὰ κενοδοξίαν ταῖς ἰδικαῖς χερσὶν ἐργάζεσθαι, κἀντεῦθεν ἀναγκαίας τροφῆς στερούμενος· οὕτω βελτίων καὶ ὁ ἀνδριζόμενος κατα τῶν παθῶν ἐνυποταγῇ, καὶ περιποιούμενος ἑαυτῷ κατὰ πρᾶξιν τὰς ἀρετὰς, ἤ περ ὁ ἑαυτὸν καθηγητὴν καταστήσας, καὶ ἐνδεὴς ὑπάρχων τοῦ ψυχὰς τρέφοντος ἐμπράκτου λόγου.

10. Δίκαιος οἰκτείρει ψυχὰς κτηνῶν αὐτοῦ.

Ὁ γὰρ κατ᾽ ἀρετὴν τέλειος, ἐλεεῖ ψυχὰς τῶν τῆς αὐτοῦ ποίμνης, ἑλομένας τὴν ἄλογον βιοτήν· ἐπιμελούμενος παντὶ τρόπῳ τῆς σωτηρίας αὐτῶν.

Τὰ δὲ σπλάγχνα τῶν ἀσεβῶν, ἀνελεήμονα. XII.

Αἱ δὲ διαθέσεις τῶν μὴ δι' ἔργων δικαιοσύνης τιμώντων Θεὸν ἀσυμπαθεῖς, ὡς ἀδιάκριτοι πρὸς τοὺς ἀσθενεστέρους εἰσίν.

Ὁ ἐργαζόμενος τὴν ἑαυτοῦ γῆν, ἐμπλησθήσεται ἄρτων. 11.

Καὶ ὁ μὲν φιλοπονῶν κατὰ πρᾶξιν περὶ τὴν ἑαυτοῦ χοϊκὴν σάρκα, ἀνακαθαίρων τοὺς ἐξ αὐτῆς φυομένους ἐμπαθεῖς λογισμοὺς, ὡς τινας τριβόλους, τῷ τοῦ λόγου ἀρότρῳ, ἔμπλεως γενήσεται τῶν δίκην ἄρτων τρεφουσῶν τὴν ψυχὴν ἀρετῶν.

Οἱ δὲ διώκοντες μάταια, ἐνδεεῖς φρενῶν.

Οἱ δὲ σπουδάζοντες περὶ τὰς τῶν προσκαίρων ἀνονήτους σχέσεις, ἐλλιπεῖς εἰσιν ἕξεων ἀντιπάλου ἀνοίας καὶ ὑπερνοίας· ὅτι ἡ μὲν φρόνησις, ἕξις ἐστὶν ἀνοίας καὶ ὑπερνοίας ἀντίπαλος· ἡ δὲ ταύτης ἔνδεια, ἔλλειψις αὐτῆς ἐστὶ κατὰ ἄνοιαν.

Ὅς ἐστιν ἡδὺς ἐν οἴνων διατριβαῖς, ἐν τοῖς ἑαυτοῦ ὀχυρώμασι καταλείψει ἀτιμίαν.

Καὶ γὰρ ὅς τις ἐστὶν ἐπευφραινόμενος ἐν ταῖς περὶ τὰς τῶν ὁρατῶν ἐπιφανείας ἀπασχολήσεσι, τὰς δίκην οἴνων ἐξιστώσας τῆς ἀληθείας τὸν ταύταις ἐναπομένοντα νοῦν, καὶ μὴ πρὸς τοὺς τῶν ὄντων διαβαίνοντα λόγους, ἐν ταῖς δυνάμεσι τῆς ἑαυτοῦ ψυχῆς· αἷσπερ αὕτη παρὰ τοῦ δημιουργοῦ κατησφαλίσθη ὥς τισιν ὀχυρώμασι, πρὸς τὸ μὴ φοβεῖσθαι τοὺς κατὰ τὴν φύσιν τῶν ὁρωμένων λῃστεύοντας δαίμονας, καὶ αἰχμαλωτίζοντας τὸν νοῦν πρὸς ἄγνοιαν διὰ τῆς αἰσθήσεως· ὁ τοιοῦτος ἐάσει διὰ τὸ ἑαυτοῦ κατὰ γνώμην ἀνεπιμέλητον, τὴν στέρησιν τῶν ταῖς τοιαύταις δυνάμεσι περιποιουμένων τιμὴν ἀρετῶν· ἤ τις στέρησις, κατ' ἔλλειψιν σωφροσύνης ἀνδρείας φρονήσεως καὶ δικαιοσύνης, ἔστι περὶ μὲν τὴν ἐπιθυμητικὴν δύναμιν, ἀκολασία· περὶ δὲ τὴν θυμικὴν, δειλία· περὶ δὲ τὴν λογικὴν, ἄνοια· καὶ περὶ τὰς εἰρημένας τρεῖς, μειονεξία.

Ἐπιθυμίαι ἀσεβῶν, κακαί. 12.

Ἐπειδὴ αἱ ἄλογοι κατ' ἐπιθυμίαν καὶ θυμὸν ὀρέξεις, τῶν μὴ τιμώντων δι' ἐμπράκτου γνώσεως τὸν Θεὸν, βλαβεραί· ὡς τὰς ἕξεις τῶν ἀρετῶν λυμαινόμεναι.

XII. Αἱ δὲ ῥίζαι τῶν εὐσεβῶν, ἐν ὀχυρώμασι.

Αἱ δὲ πάγιαι ἕξεις τῶν κατ᾽ ἔμπρακτον γνῶσιν τιμώντων Θεὸν, ἐν ταῖς τούτων κατὰ ψυχὴν φυλακτικαῖς δυνάμεσι μονίμως πεπηγυῖαι εἰσίν.

13. Δι᾽ ἁμαρτίας χειλέων, ἐμπίπτει εἰς παγίδας ἁμαρτωλός.

Καὶ γὰρ διὰ μὲν τὰς τοῦ ὄντως ἀγαθοῦ ἀποτυχίας τῶν τῆς ψυχῆς ὀρεκτικῶν δυνάμεων, αἷς ὡς ἐν χείλεσι φιλήματα, αἱ περὶ τὰ μάταια παρυφίσανται σχέσεις, ἁλίσκεται τοῖς τοῦ διαβόλου θηράτροις, ὁ τῆς τῶν θείων ἐντολῶν ἀποτυγχάνων ὁδοῦ.

Ἐκφεύγει δὲ ἐξ αὐτῶν δίκαιος.

Διαδιδράσκει δὲ τὰ τοῦ πονηροῦ θήρατρα, ὁ κατὰ νόμους θείους πολιτευόμενος.

Ὁ βλέπων λεῖα, ἐλεηθήσεται.

Καὶ ὁ μὲν ἀποσκοπῶν κατὰ νοῦν πρὸς τὸν ἐπίσης ἐν πᾶσιν ἀνθρώποις θεωρούμενον ἕνα λόγον τῆς αὐτῶν φύσεως, καὶ μὴ κρίνων ἐκ τοῦ φαινομένου, τοὺς μὲν, ταπεινούς· τοὺς δὲ, ὑψηλοὺς, τῆς παρὰ Θεοῦ συμπαθείας ἀξιωθήσεται· μὴ κριθησόμενος ἐπὶ τοῖς ἑαυτοῦ παραπτώμασιν, ἐπεὶ μηδ᾽ αὐτὸς τὰ τῶν ἄλλων ἔκρινεν· ἀλλὰ πάντας ἀνθρώπους ἐξ ἴσου ἠγάπησε, διὰ τὸν ἕνα λόγον τῆς αὐτῶν φύσεως.

Ὁ δὲ συναντῶν ἐν πύλαις, ἐκθλίψει ψυχάς.

Ὁ δὲ ταῖς τῶν πολλῶν, κατὰ τὸ φαινόμενον, ἀνισότησι κατ᾽ αἴσθησιν ὑπαντῶν, ἐν τοῖς δίκην πυλῶν πεφυκόσιν εἰσάγειν πρὸς ψυχὴν τὰς τῶν ὁρατῶν ἐπιφανείας αἰσθητηρίοις, καὶ παρὰ τῶν τοιούτων ἀνισοτήτων ἐμποδιζόμενος διαβῆναι κατὰ νοῦν πρὸς τὸν ἕνα τῆς τῶν ἀνθρώπων φύσεως λόγον, ἐκπιέσει ψυχὰς, ἀκουσίοις πόνοις ἀποσμήχων αὐτὰς, κατὰ συμβεβηκὸς, τοῦ ῥύπου τῶν ἡμαρτημένων αὐταῖς· ἀκόλουθον δὲ πάντως κριθῆναι καὶ τοῦτον, ἐπειδὴ ἔκρινε· καὶ πιεῖν τῶν τοῦ Θεοῦ κριμάτων τὸ ἀψίνθιον, πρὸς κάθαρσιν τῶν ἡμαρτημένων αὐτῷ.

14. Ἀπὸ καρπῶν στόματος, ψυχὴ ἀνδρὸς πλησθήσεται ἀγαθῶν.

Καὶ ἐκ μὲν τῶν τροφίμων κατὰ ψυχὴν λόγων τῆς διδασκα-

λίας τοῦ τὰ θεῖα πάντως θελήματα καταγγέλλοντος, ἡ ψυχὴ τοῦ XII.
κατὰ τῶν παθῶν ἀνδριζομένου, πληρωθήσεται ἀρετῶν.

Ἀνταπόδομα δὲ χειλέων αὐτοῦ δοθήσεται αὐτῷ.

Ἀντιμισθία δὲ τῆς ἀγαθῆς τούτου διδασκαλίας παρασχεθήσεται αὐτῷ παρὰ τοῦ μισθαποδότου θεοῦ, ὅτι ἐξάγει ἄξιον ἐξ ἀναξίου.

Ὁδοὶ ἀφρόνων ὀρθαὶ ἐνώπιον αὐτῶν. 15.

Καὶ τὰ μὲν ἔργα τῶν ἐστερημένων φρονήσεως, ἀπαρέγκλιτα τοῦ ἀγαθοῦ δοκοῦσιν αὐτοῖς· ὡς ἑαυτοῖς πιστεύουσι, καὶ μὴ ἀνατιθεμένοις τὰ ἑαυτῶν ἑτέροις ἐχέφροσι, μηδ' ὑπακούουσιν αὐτοῖς.

Εἰσακούει δὲ συμβουλίας σοφός.

Ὑπακούει δὲ ἀγαθαῖς ὑποθήκαις, ὁ εἰδὼς ὅτι φυσικῶς πρόσκειται πᾶς τοῖς οἰκείοις, κἂν μὴ ὦσι καλά· κἀντεῦθεν ἑτέρους καθιστῶν τῶν οἰκείων βουλευμάτων ἐξεταστὰς, μήπως εἰς κενὸν τρέχῃ ἢ ἔδραμεν.

Ἄφρων, αὐθημερὸν ἐξαγγέλλει ὀργὴν αὐτοῦ. 16.

Καὶ ὁ μὲν μὴ λόγῳ κρατῶν τοῦ θυμοῦ, ἅμα τῷ τοῦτον εἰς ὀργὴν κινηθῆναι, ἐκφαίνει αὐτὸν, εἰ δύναται ἔργοις, εἴτ' οὖν λόγοις.

Κρύπτει δὲ τὴν ἑαυτοῦ ἀτιμίαν πανοῦργος.

Οὐκ ἐᾷ δὲ οὔτε ἔργοις οὔτε μὴν λόγοις φανερωθῆναι τὰ ἀτιμοποιὰ πάθη, φημὶ δὴ τὴν ἐπιθυμίαν καὶ τὸν ἔκδικον ταύτης θυμὸν, ὁ πάντα πράττων μετὰ περισκέψεως· λόγῳ τούτων κρατῶν ἕως ἂν νεκρώσῃ αὐτά.

Ἐπιδεικνυμένην πίστιν ἀναγγέλλει δίκαιος. 17.

Καὶ φανερουμένην μὲν δι' ἔργων τὴν εἰς θεὸν αὐτοῦ πίστιν, ἀνακηρύττει ὁ ἀμέμπτως πολιτευόμενος, ὡς καὶ οὐ νεκρὰν, ἀλλὰ ζῶσαν κεκτημένος αὐτήν.

Ὁ δὲ μάρτυς τῶν ἀδίκων δόλιος.

Ὁ δὲ βεβαιῶν ἔργοις τὰ παρὰ τὴν ὀρθὴν κρίσιν ἑαυτοῦ βουλεύματα, τὸ καθαρὸν τῆς πίστεως καταῤῥυπαίνει τοῖς πάθεσιν.

XII. Εἰσὶν οἱ λέγοντες τιτρώσκουσιν ὡς μάχαιραι.

18. Καὶ ὑπάρχουσι μὲν οἵ τινες ὁμιλοῦντες μηδὲν εἰρηνικὸν, πλήττουσι τοὺς ἀκούοντας διὰ τῶν οἰκείων ῥημάτων, ὡς δι' ὅπλων ἐν μάχῃ αἰρομένων πρὸς ἄμυναν ἀντιπάλων· πλήττουσι δὲ αὐτοὺς, ἐκταράσσοντες τὰς τούτων ψυχὰς, ἐν τῷ μὴ εἰδέναι ποίου εἰσὶ πνεύματος.

Γλῶσσαι σοφῶν ἰῶνται.

Οἱ δὲ λόγοι τῶν εἰδότων ὅτι τοῦ εἰρηνικοῦ τυγχάνουσι πνεύματος ἐκ τοῦ πεπλουτηκέναι τὴν χάριν αὐτοῦ, καὶ τὰς τεταραγμένας ψυχὰς ῥήμασιν εἰρηνικοῖς καταπραοῦντες, θεραπείας ἀξιοῦσι τῆς προσηκούσης αὐταῖς.

19. Χείλη ἀληθινὰ κατορθοῖ μαρτυρίαν.

Καὶ γὰρ λόγοι φρονήματος ἀληθοῦς, καὶ μὴ ὑποκρινομένου τὴν ἀλήθειαν, ἐν κρίσει οἰκονομούμενοι, ἐς πέρας * ἄγουσι τὴν τῆς ἀληθείας βεβαίωσιν, εὐμεθόδως τὰς τῶν ἀκροωμένων ψυχὰς εἰς πληροφορίαν τῆς ἀληθείας ἄγοντες.

* cod. ἑσπέρας.

Μάρτυς δὲ ταχὺς γλῶσσαν ἔχει ἄδικον.

Ὁ δὲ ἀπαγγέλλων τὴν ἀλήθειαν, πρὸ τοῦ οἰκονομῆσαι ἐν κρίσει τοὺς ἑαυτοῦ λόγους πρὸς παραδοχὴν καὶ ὠφέλειαν τῶν ἀκροωμένων, ὡς τὰ τοῦ θεοῦ μὴ φρονῶν διὰ τὸ πρὸς τοὺς ἀδελφοὺς ἀσυμπαθὲς, ἀλλὰ φανητιῶν ἵνα παρ' ἀνθρώποις δίκαιος νομισθῇ, λόγου προφορὰν κέκτηται λυμαντικὴν τοῖς ἀκούουσι.

20. Δόλος ἐν καρδίᾳ τεκταινομένου κακά.

Καὶ παραμιξία μὲν παθῶν ἐν τῇ ψυχῇ τοῦ ἐργαζομένου τὰς ὑποθήκας τοῦ πονηροῦ· τὸ ταύτης κατ' εἰκόνα θεοῦ καθαρὸν κιβδηλεύουσα.

Οἱ δὲ βουλευόμενοι εἰρήνην, εὐφρανθήσονται.

Οἱ δὲ μελετῶντες ἐλευθεριάσαι ἀπὸ παθῶν, χαρίσονται τοῦ κατὰ ψυχὴν κινδύνου ῥυσθέντες, καὶ σωτηρίας τυχόντες· ὁ γὰρ ζητῶν, εὑρίσκει· καὶ τῷ κρούοντι, ἀνοιγήσεται.

21. Οὐκ ἀρέσκει τῷ δικαίῳ οὐδὲν ἄδικον.

Καὶ οὐ δόξει μὲν καλὸν τῷ κατὰ νόμους θείους πολιτευο-

μένῳ, οὐδὲ ἓν τῶν παρὰ τὴν θείαν ἐντολὴν ὑπὸ τοῦ πονηροῦ XII.
ὑποτιθεμένων αὐτῷ.

Οἱ δὲ ἀσεβεῖς, πλησθήσονται κακῶν.

Οἱ δὲ μὴ τιμῶντες δι' ἔργων δικαιοσύνης θεὸν, πληρωθήσονται ἀτιμίας παθῶν.

Βδέλυγμα κυρίῳ χείλη ψευδῆ. 22.

Καὶ ἀποςρέφεται μὲν ὁ τῶν ὅλων δεσπότης εἰς αὐτὸν ὁμολογίαν, μὴ δι' ἔργων δικαιοσύνης βεβαιουμένην, οἷα νεκράν.

Ὁ δὲ ποιῶν πίστιν, δεκτὸς παρ' αὐτῷ.

Ὁ δ' ἀποτελῶν τὴν εἰς θεὸν πίστιν διὰ πράξεων ζῶσαν, εὐπρόσδεκτος τούτῳ ἐστίν· οὐ γὰρ νεκρῶν ὁ θεὸς, ἀλλὰ ζώντων ἐστίν.

Ἀνὴρ συνετὸς, θρόνος αἰσθήσεως. 23.

Καὶ ὁ μὲν γενναίως κατὰ τῶν παθῶν ἀνθιστάμενος, καὶ πρὸς τὰς θείας ἐντολὰς συννεύων κατὰ διάθεσιν, ἵδρυσίς ἐστι διακρίσεως, ὡς καθ' ἕξιν ταύτης ἐνδιαθέτως, πάσης μὲν ἧς αὕτη ἀποτρέπει κακίας ἐκκλίνων· πᾶσαν δ' ἀρετὴν, πρὸς ἣν καὶ προτρέπει, ποιῶν.

Καρδία δὲ ἀφρόνων, συναντήσεται ἀραῖς.

Ἡ ψυχὴ δὲ τῶν μὴ θεὸν ἐν αὐτῇ περιφερόντων, τοιούτοις ὑπαντήσει κακοῖς, οἵοις ἄν τις ἐχθροῦ κατηύξατο· ὡς ἐντεῦθεν περιπεσοῦσα, ἑκουσίως μὲν τοῖς ἀτιμοποιοῖς πάθεσιν, ἀκουσίως δὲ τοῖς τιμωρητικοῖς.

Χεὶρ ἐκλεκτῶν, κρατήσει εὐχερῶς. 24.

Καὶ γὰρ ἡ μὲν ποιητικὴ δύναμις τῶν ἐκλεγομένων τὸ κρεῖττον τοῦ χείρονος, ἥ ἐστι τὸ λογικὸν, ὑποτάξει εὐκόλως τὰς αὐτῶν πάντως παθητικὰς καὶ ἀλόγους δυνάμεις, τὴν ἐπιθυμίαν καὶ τὸν θυμὸν, καὶ ποιήσει τὰς ἀρετάς.

Δόλιοι δὲ, ἔσονται εἰς προνομήν.

Οἱ δὲ δολοῦντες τὴν εὐσέβειαν τῇ πρὸς τὰ φθειρόμενα σχέσει, ὑπάρξουσι προκείμενοι κατὰ γνώμην εἰς διάρπαγμα τῷ ἀρχεκάκῳ ἐχθρῷ.

XII. Φοβερὸς λόγος καρδίαν ταράσσει ἀνδρὸς δικαίου.

25. Ἐπείπερ ἡ μὲν φόβον ἐμποιοῦσα θεία τῶν κολάσεων ἀπειλὴ, τὴν ψυχὴν ἐκθροεῖ τοῦ κατὰ τῶν παθῶν μὲν ἀνδριζομένου, ταῖς δὲ θείαις ἐντολαῖς πειθαρχοῦντος, ἀπὸ πάσης κακίας ταύτην συστέλλουσα.

Ἀγγελία δὲ ἀγαθὴ εὐφραίνει αὐτόν.

Ἡ δ' ἐπαγγελία τῶν ἀκηράτων ἀγαθῶν χαροποιεῖ αὐτὸν τῇ ἐλπίδι τῆς ἐπιτυχίας αὐτῶν.

26. Ἐπιγνώμων δίκαιος, ἑαυτοῦ φίλος ἔσται.

Καὶ γὰρ ὁ μὲν ἐπιγνώσκων φόβῳ καὶ πόθῳ τὸν θεὸν ὡς κριτὴν, καὶ ἐν τῷ προτιμᾷν τὴν παντὸς ἀνθρώπου ἀγάπην, τὴν θείαν τηρῶν ἐντολὴν, ἑαυτὸν ἀγαπῶν ἐξ ἀποτελέσματος ἔσεται· ὡς ἀγαπηθεὶς ὑπὸ τοῦ θεοῦ, καθ' ὅσον αὐτὸς ἠγάπησε τοὺς ὁμοφυεῖς.

Αἱ γνῶμαι τῶν ἀσεβῶν ἀνεπιεικεῖς.

Αἱ δὲ ψυχικαὶ διαθέσεις τῶν μὴ φόβῳ καὶ πόθῳ τὸν θεὸν ἐν καρδίᾳ περιφερόντων, ἀνήμεροι διὰ τὰ πρόσκαιρα, καὶ ἀσυμπαθεῖς πρὸς τοὺς ὁμοφυεῖς ὑπάρχουσι· τοιοῦτον δὲ πάντως καὶ τὸν δίκαιον κριτὴν ἑαυτοῖς ἐν ἡμέρᾳ ἀνταποδόσεως ἕξουσι· μὴ ἐλεούμενοι παρ' αὐτοῦ, ἐπεὶ μηδ' αὐτοὶ ἑτέρους ἐλέησαν.

Ἁμαρτάνοντας, καταλήψεται κακά·

Καὶ τοὺς ἀποτυγχάνοντας τῆς εἰς σωτηρίαν ἀγούσης στενῆς καὶ τεθλιμμένης ὁδοῦ τῶν ἐντολῶν τοῦ θεοῦ, καταλάβωσι κολάσεις· ἢ πρὸς κάθαρσιν πρόσκαιροι, ἢ πρὸς τιμωρίαν διηνεκεῖς.

Ἡ δὲ ὁδὸς τῶν ἀσεβῶν πλανήσει αὐτούς.

Ἡ δὲ εἰς ἀπώλειαν φέρουσα πλατεῖα καὶ εὐρύχωρος βιοτὴ τῶν μὴ δι' ἔργων δικαιοσύνης τιμώντων θεὸν, ἀπατήσει αὐτοὺς, ἐκστήσασα τῷ τῆς ἡδονῆς δελεάματι, τῆς εἰς σωτηρίαν ἀγούσης ὁδοῦ.

27. Οὐκ ἐπιτεύξεται δόλιος θήρας.

Καὶ οὐκ ἐπιτυχῇ μὲν ὁ ὑποκρινόμενος τὴν ἀρετὴν, τῆς θηρευομένης ὑπ' αὐτοῦ παρ' ἀνθρώπων τιμῆς.

Κλῆμα δὲ τίμιον, ἀνὴρ καθαρός. XII.

Πρᾶγμα δὲ τῆς παρὰ Θεῷ καὶ ἀνθρώποις τιμῆς ἄξιον ἄνθρωπος παντὸς ῥύπου ἁμαρτημάτων ἀπηλλαγμένος.

Ἐν ὁδοῖς δικαιοσύνης, ζωή. 28.

Καὶ ἐν μὲν ταῖς ἐργασίαις τῶν τοῦ Θεοῦ ἐντολῶν, ὧν πλήρωμα ἡ ἀγάπη ἐςὶν, ὁ ἐκ ταύτης τικτόμενος φωτισμὸς τῆς γνώσεως, ζωὴ ὑπάρχει τοῦ νοῦ.

Ὁδοὶ δὲ μνησικάκων, εἰς θάνατον.

Τὰ δὲ ἔργα τῶν τὸ μῖσος πρὸς ἀνθρώπȣς ἀνεχόντων ἐπίμονον, δι᾽ ἀνεπίληςον μνήμην συμβάντος τινὸς λυπηροῦ παρ᾽ αὐτῶν εἰς αὐτοὺς, ἄγουσι τούτους ὡς ἀφισταμένους μακρὰν τῆς πασῶν τῶν ἀρετῶν γενικωτάτης ἀγάπης, εἰς τὸν τῆς ψυχῆς θάνατον· ὅς ἐστιν ἡ ἁμαρτία, ὡς χωρισμὸς ἀπὸ Θεοῦ τῆς ὄντως ζωῆς.

CAP. XIII.

Υἱὸς πανοῦργος ὑπήκοος πατρί. v. 1.

Καὶ τῶν μὲν υἱοθετηθέντων διὰ πίςεως, ὁ πάσας τὰς θείας αὐτοῦ ἐντολὰς ἐργαζόμενος, εὐπειθής ἐςι τῷ κατὰ χάριν υἱοθετησαμένῳ αὐτὸν, καὶ τὰ πρὸς σωτηρίαν ἐντειλαμένῳ Θεῷ καὶ πατρί.

Ὁ δὲ ἀνήκοος, ἐν ἀπωλείᾳ.

Ὁ δὲ μὴ πειθόμενος Θεῷ, εἰς τὸ ποιεῖν τὰς ἁγίας αὐτοῦ ἐντολὰς κἂν διὰ ψιλῆς πίςεως υἱὸς κληθῆναι ἠξιώθη αὐτοῦ, εἰς τὸν ἀπ᾽ αὐτοῦ ἀσώτως χωρεῖ μακρυσμόν.

Ἀπὸ καρπῶν δικαιοσύνης φάγεται υἱὸς ἀγαθός. 2.

Καὶ ἀπὸ μὲν τῶν καρποφορουμένων ἀρετῶν, διὰ τῆς τῶν θείων ἐντολῶν ἐργασίας, τραφήσεται κατὰ ψυχὴν, ὁ τὴν ἐν πνεύματι κατὰ χάριν υἱοθεσίαν αὐτȣ̃ ἐν πάσῃ εὐσεβείᾳ τηρῶν ἄψογον.

Ψυχαὶ δὲ παρανόμων, ὀλοῦνται ἄωροι.

Αἱ δὲ ψυχαὶ τῶν τὰς θείας ἐντολὰς παραβαινόντων ὑποςῆ-

XIII. σονται ἑκουσίως τὸν ἀπὸ Θεοῦ μακρυσμὸν, πρὸ τοῦ καιροῦ τῆς κρίσεως καὶ τῆς ἀνταποδόσεως.

3. Ὃς φυλάσσει τὸ ἑαυτοῦ σ7όμα, τηρεῖ τὴν ἑαυτοῦ ψυχήν.

Καὶ ὅς τις μὲν κρατεῖ τῆς ἑαυτοῦ γλώττης, ὥστε ἀπερισκέπτως μὴ φθέγγεσθαι τὰ πρὸς Θεὸν ἢ πρὸς ἀνθρώπȣς προσκρούοντα, φυλάττει τὴν ψυχὴν ἑαυτοῦ ἀνεπιβούλευτον ἀπὸ δαιμόνων ἢ ἀνθρώπων, τῶν ζητούντων ἀφορμὴν ταύτην λαβεῖν.

Ὁ δὲ προπετὴς χείλεσι, πτοήσει αὐτόν.

Ὁ δ' ἀπερισκέπτως φθεγγόμενος, εἰς φόβον ἑαυτὸν ἐμβαλεῖ· ὡς φθεγξάμενός τι ἐπιφέρον αὐτῷ ψυχικὸν ἢ σωματικὸν κίνδυνον.

4. Ἐν ἐπιθυμίαις ἐσ7ὶ πᾶς ἀεργός.

Καὶ ὀρέξεις μὲν κέκτηται παραλόγους, ἅπας διὰ ῥᾳθυμίαν ἀργὸς, ὡς μὴ ἀπασχολῶν ἑαυτὸν ἐν ταῖς ἐργασίαις τοῦ ἀγαθοῦ.

Χεῖρες δὲ ἀνδρῶν, ἐν ἐπιμελείᾳ.

Αἱ δὲ πρακτικαὶ δυνάμεις, τῶν γενναίως ἀνθισταμένων μὲν τοῖς ἑκουσίοις πάθεσιν, ὑπομενόντων δὲ τὰ ἀκούσια, ἐν πάσῃ σπȣδῇ ἐργάζονται τὸ ἀγαθὸν, ὥςε παντελῶς ἐκφυγεῖν τὸ κακόν.

5. Λόγον ἄδικον μισεῖ δίκαιος.

Καὶ παραίνεσιν μὲν παράνομον ἀποςρέφεται ὁ τηρῶν τὸν νόμον τῶν τοῦ Θεοῦ ἐντολῶν, ὡς μηδ' ἄκροις ὠσὶ θέλων αὐτὴν παραδέξασθαι.

Ἀσεβὴς δὲ αἰσχύνε7αι καὶ οὐχ ἕξει παῤῥησίαν.

Ὁ δ' ἐν τῷ προτείνεσθαι τὴν εἰρημένην παραίνεσιν, Θεὸν μὴ τιμῶν, αἰσχύνεται τὸν μὴ ταύτην παραδεχόμενον, καὶ οὐκ ἔτι δύναται ἐνώπιον αὐτοῦ παῤῥησιασθῆναι, καὶ τὰ ὅμοια φθέγξασθαι· καὶ γὰρ

6. Δικαιοσύνη φυλάσσει ἀκάκους.

Ἡ μὲν ποίησις τῶν τοῦ Θεοῦ ἐντολῶν, τηρεῖ ἐν τῷ ἀγαθῷ τοὺς ἀπηλλαγμένους πάσης κακίας.

Τοὺς δὲ ἀσεβεῖς, φαύλους ποιεῖ ἁμαρ7ία.

Τοὺς δὲ μὴ δι' ἐργασίας τῶν θείων ἐντολῶν τιμῶντας τὸν

ἐντειλάμενον ταύτας Θεὸν, κακοὺς ἀπεργάζεται ἡ κατὰ προαίρεσιν ἀποτυχία τοῦ ἀγαθοῦ. XIII.

Εἰσὶν οἱ πλουτίζοντες ἑαυτοὺς, μηδὲν ἔχοντες. 7.

Καὶ ὑπάρχουσι μὲν οἵ τινες περιποιοῦνται ἑαυτοῖς τὸν κατ' ἀρετὴν πνευματικὸν πλοῦτον· εἴτ' ἐν ὑποκρίσει, ὡς κατὰ διάθεσιν ἐστερημένοι αὐτοῦ· εἴτ' ἐνδιαθέτως, ὡς τοῦ σωματικοῦ ἀποροῦντες, καὶ τὰ ἐντεῦθεν προσπίπτοντα θλιβερὰ εὐχαρίστως ὑπομένοντες.

Καὶ εἰσὶν οἱ ταπεινοῦντες ἑαυτοὺς ἐν πολλῷ πλούτῳ.

Αὖθις δὲ ὑπάρχουσιν, οἵ τινες κατάγουσιν ἑαυτοὺς, εἴτε πράγματι, ἐκ τῆς θείας τιμῆς τοῦ κατ' εἰκόνα, ἐν τῷ ἀπολέσαι τὸ καθ' ὁμοίωσιν, διὰ τῆς παραχρήσεως τοῦ περιττοῦ καὶ ὑπὲρ τὴν χρείαν σωματικοῦ πλούτου, καὶ τοῖς ἀλόγοις συμφυρῆναι πάθεσιν· εἴτε φρονήματι, ἐν τῷ πληρώματι τοῦ κατὰ γνῶσιν καὶ ἀρετὴν πνευματικοῦ πλούτου, ἑαυτοὺς ἀναξίους Θεοῦ λογιζόμενοι.

Λύτρον ψυχῆς ἀνδρὸς, ὁ ἴδιος πλοῦτος. 8.

Καὶ ἐλευθερία μὲν ἐστι τῆς ψυχῆς τοῦ γενναίως κατὰ τῶν παθῶν ἀνδριζομένου, εἴθ' ὁ γνησιώτατος τῇ αὐτοῦ ψυχῇ κατὰ γνῶσιν καὶ ἀρετὴν πνευματικὸς πλοῦτος, ὡς πάσης ἀγνοίας καὶ κακίας ἀπαλλάττων αὐτήν· εἴθ' ὁ ἐξ ἰδίων πόνων συναχθεὶς αὐτῷ σωματικὸς εἰς πένητας σκορπιζόμενος, πρὸς λύτρον τῶν ἁμαρτημάτων αὐτοῦ.

Πτωχὸς δὲ οὐχ ὑφίσταται ἀπειλήν.

Ὁ ἐστερημένος δὲ πλούτου, εἴτε σωματικοῦ, εἴτε πνευματικοῦ, οὐ φοβεῖται ἀπειλὴν τῆς μελλούσης κολάσεως, ὅτι ταύτης δι' ἀφροσύνην καταφρονεῖ.

Φῶς δικαίοις διὰ παντός. 9.

Καὶ τὸ μὲν τῆς θεογνωσίας φῶς, ἐκ τοῦ τῆς δικαιοσύνης ἡλίου, τοῖς κατὰ τὸν θεῖον νόμον τῶν ἐντολῶν πολιτευομένοις, ὡς ἀΐδιον ἐπιλάμπει ἀδύτως· κατὰ μὲν τὸ παρὸν, ἀμυδρότερον· κατὰ δὲ τὸ μέλλον, τρανώτερόν τε καὶ καθαρώτερον.

XIII. Φῶς δὲ ἀσεβῶν, σβέννυται.

Τὸ δὲ τῆς περὶ τὰ φθαρτὰ κατ' αἴσθησιν γνώσεως ἀπατηλὸν φῶς τῶν μὴ δι' ἔργων δικαιοσύνης τιμώντων Θεὸν, ταχὺ ὡς πρόσκαιρον ἀφανίζεται.

Ψυχαὶ δόλιοι, πλανῶνται ἐν ἁμαρτίαις.

Καὶ ψυχαὶ μὲν, αἱ βόθρον τοῖς πλησίον ὀρύσσουσαι, ἀπατῶνται, ἑαυταῖς προξενοῦσαι ἀπώλειαν, ἐν οἷς τὴν τῶν ἑτέρων βλάβην ἐπιτεχνάζονται

Δίκαιοι δὲ οἰκτείρουσι καὶ ἐλεοῦσιν.

Οἱ δι' ἀγάπης δὲ τὸν θεῖον νόμον πληροῦντες, οἶκτον λαμβάνουσι τῶν δυσπαθούντων, καὶ θεραπεύουσιν αὐτοὺς κατὰ δύναμιν· τὴν ἑαυτῶν ἐντεῦθεν πραγματευόμενοι σωτηρίαν.

10. Κακὸς, μεθ' ὕβρεως πράσσει κακά.

Ὁ πάσης κακίας μεμεστωμένος, ἀναισχύντως πράττει τὰ πονηρά.

Οἱ δὲ αὐτῶν ἐπιγνώμονες, σοφοί.

Οἱ δ' ἐν οἷς ταῦτα πράττουσιν, ἐπιγινώσκοντες τὴν οἰκείαν ἀσθένειαν, καὶ ταπεινοφρονοῦντες, κατ' αὐτὸ τοῦτο, μέτοχοί τινος σοφίας εἰσίν.

11. Ὕπαρξις ἐπισπουδαζομένη μετὰ ἀνομίας, ἐλάσσων γίνεται.

Πλοῦτος, ἀδίκως μετὰ σπουδῆς συναγόμενος, ἐλαττοῦται· ὅτι ὁ οὕτω τοῦτον συνάγων, καθ' ἑαυτοῦ οὓς ἀδικεῖ ἐγείρει· δι' ὧν πολυειδῶς ὁ ὑπ' αὐτοῦ συνηγμένος πλοῦτος καταναλίσκεται· τοῦ ἀδίκου εἰς ἅπαν τὴν θείαν δίκην ἐκφυγεῖν μὴ δεδυνημένου.

Ὁ δὲ συνάγων ἑαυτῷ μετ' εὐσεβείας, πληθυνθήσεται.

Ὁ δ' ἐξ οἰκείων πονημάτων ἁρπαγῆς δίχα, περιποιούμενος ἑαυτῷ χρήματα εἰς τὸ τοῖς δεομένοις ἐπαρκεῖν, πολὺς ἐντεῦθεν γενήσεται· ἑκατονταπλασίονά τε ὧν εἰς τοὺς αἰτοῦντας καταβάλλει λαμβάνων, καὶ ζωὴν αἰώνιον.

12. Κρείσσων ἐναρχόμενος βοηθεῖν καρδίᾳ, τοῦ ἐπαγγελλομένου, καὶ εἰς ἐλπίδα ἄγοντος.

Ὁ ἀπαρχόμενος ὁλοψύχως χειραγωγεῖν τὸν χρῄζοντα τῆς

παρ᾽ αὐτοῦ βοηθείας, κρειττων ἐςι τοῦ ὑπισχνημένου βοηθεῖν, XIII.
καὶ μόνῃ ἐλπίδι παραμυθουμένου τὸν κάμνοντα· ὁ γὰρ ὑπερτε-
θέμενος τὸν καιρὸν, οὐκ οἶδε τί τέξεται ἡ ἐπιοῦσα· ὁ δὲ κατὰ
νόμους θείυς πολιτευόμενος, ἐλεεῖ καὶ δανείζει· ἐν οἷς ἀνθρώ-
πους ἐλεεῖ, Θεῷ δανείζων.

Δίκαιος οἰκτείρει, καὶ κιχρᾷ· δένδρον γὰρ ζωῆς, ἐπιθυμία
ἀγαθή.

Τῷ καταβάλλοντι μετὰ τόκου τὸ δάνειον, ἐν τῷ ἀποδιδό-
ναι τὸν μισθὸν τοῦ εἰς τοὺς δεομένους ἐλέους ἑκατονταπλασίο-
να· οἷα γάρ τι δένδρον, ἡ κατὰ δικαίαν ψῆφον τῶν αἰωνίων
ἀγαθῶν πρὸ τῶν προσκαίρων ἔφεσις, καρποφορεῖ ζωὴν τὴν ἐν
πνεύματι· οὗ ἡ ἀγάπη καὶ ἡ χρηστότης, καρπός.

Ὃς καταφρονεῖ πράγματος, καταφρονηθήσεται ὑπ᾽ αὐτοῦ. 15.

Ὃς ἀμελῶς διάκειται περὶ μίαν τῶν πρὸς τὸ πράττεσθαι
παρ᾽ ἡμῶν, δοθεισῶν ἡμῖν παρὰ Θεοῦ ἐντολῶν, τῆς ἐκ ταύτης
στερηθήσεται ὠφελείας, ὑστερῶν ἐντεῦθεν τῆς τοῦ καλοῦ ἀρ-
τιότητος.

Ὁ δὲ φοβούμενος ἐντολὴν, οὗτος ὑγιαίνει.

Ὁ δὲ μηδεμιᾶς καταφρονῶν τοῦ Θεοῦ ἐντολῶν, ἀλλὰ τού-
των ἑκάστην μετὰ πάσης σπουδῆς μετερχόμενος, ἀνελλιπὴς ὑπάρ-
χει ἐν τῷ καλῷ.

Υἱῷ δολίῳ, οὐδὲν ἔσται ἀγαθόν.

Υἱῷ δολίῳ τῷ παρθενίαν, ἀκτημοσύνην, καὶ τὰ λοιπὰ τοῦ
τελείου βίου, δι᾽ ὧν υἱὸς τοῦ Θεοῦ ἀναδείκνυται, μεθ᾽ ὑποκρί-
σεως δι᾽ ἀνθρωπαρέσκειαν ἐπιτηδευομένῳ, οὐδὲν ὑπάρξει καλὸν,
οὐδὲ σωματικὸν, καὶ τὴν σωματικὴν γὰρ οὗτος ὑπομένει σκλη-
ραγωγίαν, καὶ πάσης τῆς ψυχικῆς ὠφελείας ἐστέρηται.

Οἰκέτῃ δὲ σοφῷ εὔοδοι ἔσονται πράξεις, καὶ κατευθυνθή-
σεται ἡ ὁδὸς αὐτοῦ.

Τῷ δὲ τὰς ἠπειλημένας κολάσεις, ὡς δεσποτικὰς πληγὰς φο-
βουμένῳ, κἀντεῦθεν τάξιν ἐπέχοντι δούλου, ἀπαρχομένῳ σοφίας
ἐν τῷ φοβεῖσθαι τὸν κύριον, ἀπρόσκοποι αἱ πρὸς κάθαρσιν τοῦ

XIII. ῥύπυ τῶν αὐτοῦ πταισμάτων σωματικαὶ σκληραγωγίαι γίνονται· καὶ οὔτε πρὸς τὰ ἀπὸ ἀριστερᾶς, οὔτε πρὸς τὰ ἀπὸ δεξιᾶς πάθη, ἡ τούτου κατ᾽ ἀρετὴν ἐκκλίνει πορεία.

14. Νόμος σοφοῦ, πηγὴ ζωῆς.

Ὁ ἀπευθύνων τὰς τοῦ νοήμονος πράξεις πνευματικὸς νόμος, τοῦ καθ᾽ ἁμαρτίαν τοῦτον θανάτου ῥυόμενος τὴν κατ᾽ ἀρετὴν πνευματικὴν ζωὴν πηγάζει αὐτῷ·

Ὁ δὲ ἄνους, ὑπὸ παγίδος θανεῖται.

Ὁ δὲ ἀνόητος συσχεθεὶς ὡς ὑπὸ παγίδος τινὸς, τῆς περὶ τα ὑλικὰ κατ᾽ αἴσθησιν πλάνης, τῷ καθ᾽ ἁμαρτίαν ὀλεῖται θανάτῳ.

15. Σύνεσις ἀγαθὴ, δίδωσι χάριν.

Ἡ τῶν διδασκόντων τελειοτέρα περὶ τὰ θεῖα ἐπιστήμη, τοῖς διδασκομένοις θείας γνώσεως μεταδίδωσι.

Τὸ δὲ γνῶναι νόμον, διανοίας ἐστὶν ἀγαθῆς.

Τὸ δ᾽ αὐτοὺς τοὺς μαθητευομένους καταλαβεῖν τῶν διδασκομένων αὐτοῖς θείων ἐντολῶν τὰς αἰτίας, διανοίας ἐστιν εὐθυδρομούσης πρὸς τὴν ἀλήθειαν.

Ὁδοὶ δὲ καταφρονούντων, ἐν ἀπωλείᾳ.

Αἱ πράξεις δὲ τῶν περὶ τὰς θείας ἐντολὰς ἀμελῶς διατεθεμένων, περὶ τὸ μηδὲν καταγίνονται· ἐν γὰρ τοῖς οὖσι τὸ κακὸν οὐκ ἔστιν.

16. Πᾶς πανοῦργος, πράσσει μετὰ γνώσεως.

Ἅπας ὁ τὴν ἐνεργητικὴν πασῶν τῶν ἀρετῶν κεκτημένος φρόνησιν, πράττει τὰς ἀρετας μετα λόγυ, διακρίνων ἀπὸ τοῦ ἀγαθοῦ τὸ κακὸν, καὶ οὕτω τοῦτο ποιῶν.

Ὁ δὲ ἄφρων, ἐξεπέτασε τὴν ἑαυτοῦ κακίαν.

Ὁ δὲ ἀνόητος τὸ κατὰ διάθεσιν ἐνδομυχοῦν ἐν αὐτῷ κακὸν ἐξήπλωσε, διὰ πράξεως εἰς τὸ φανερὸν ἀγαγών.

17. Βασιλεὺς θρασὺς, ἐμπίπτει εἰς κακά.

Ὁ τοῦ ὅλου ἀνθρώπου ἡγεμονεύων νοῦς, εἰ μὴ τὴν σωματικὴν ἐπιγινώσκων ἀσθένειαν, συγκαταβαίνει αὐτῇ, διεξερχόμενος τὴν κατ᾽ ἀρετὴν μεσότητα, ὡς παράβολος περιπίπτει τοῖς καθ᾽ ὑπερβολὴν τῆς ἀρετῆς πάθεσιν.

Ἄγγελος δὲ σοφὸς, ῥύσεται αὐτόν. XIII.

Ἀπαλλάττει δὲ αὐτὸν τοῦ τοιούτου κινδύνου, ὁ τῆς μεγάλης βουλῆς τοῦ πατρὸς ἄγγελος· ὁ σοφὸς ἰατρὸς τῶν ἡμετέρων ψυχῶν θεὸς λόγος, συγχωρῶν αὐτὸν ποικίλοις περιπεσεῖν πάθεσιν· ἵνα μάθῃ ταπεινοφρονεῖν, καὶ μὴ τῇ διακένῳ δόξῃ ἐμματαιάζειν.

Πενίαν καὶ ἀτιμίαν ἀφαιρεῖται παιδεία. 18.

Ἡ τῶν ἀκουσίων πόνων ἐπαγωγὴ, τὴν σύντροφον τῇ καθ' ἡδονὴν ζενώσει στέρησιν τοῦ πνευματικοῦ πλούτου, καὶ τὰ ἀτιμοποιὰ πάθη περιαιρεῖ· τὸ συνειδὸς διεγείρουσα εἰς ἔλεγχον τοῦ κακοῦ.

Ὁ δὲ φυλάσσων ἐλέγχους, δοξασθήσεται.

Ὁ δὲ τοὺς τῶν πόνων ἐλέγχους, μὴ δι' ὀλιγωρίαν ἀπόλλων, ἀλλὰ συντηρῶν τούτους παρ' ἑαυτῷ δι' εὐχαρίστου ὑπομονῆς, τῆς παρὰ θεῷ τεύξεται δόξης.

Ἐπιθυμίαι εὐσεβῶν, ἡδύνουσι ψυχήν. 19.

Αἱ περὶ τὸ ἀγαθὸν ἐφέσεις τῶν ἀγαθοεργίαις τιμώντων θεὸν, τῇ τούτου ἐπιτυχίᾳ εὐφραίνουσι ψυχήν.

Ἔργα δὲ ἀσεβῶν, μακρὰν ἀπὸ γνώσεως.

Αἱ δὲ πράξεις τῶν μὴ οὕτω τιμώντων αὐτὸν, πόῤῥω τῆς τοῦ ἀγαθοῦ εἰσι γνώσεως, ὡς ἄλογοι καὶ ἀπάτης μεσταί· κἀντεῦθεν πάντως διὰ τὴν τοῦ κακοῦ πεῖραν, θλίβουσιν ἐκ μεταμελείας ψυχήν.

Ὁ συμπορευόμενος σοφοῖς, σοφὸς ἔσται· ὁ δὲ συμπορευόμενος ἄφροσι, γνωσθήσεται. 20.

Ὁ τοὺς εἰς τελειότητα φθάσαντας διδασκάλους μιμούμενος, τέλειος καὶ αὐτὸς ἔσται, ἀφομοιώσει τῇ πρὸς αὐτούς· ὁ δὲ τοῖς ἀσυνέτοις συναπατώμενος, κἂν λανθάνειν ἐπιχειρῇ, τὰ ἔργα τοῦ σκότους ποιῶν, ἀλλ' οὐκ εἰς ἅπαν λαθεῖν δυνηθῇ· δημοσιευθήσονται γὰρ αἱ τούτου πράξεις ἐπὶ τοῦ φοβεροῦ βήματος.

Ἁμαρτάνοντας καταδιώξεται κακά. 21.

Τοῖς τὰς θείας ἐντολὰς παραβαίνουσιν αἱ αἰώνιοι ἐπακολουθήσουσι κολάσεις.

XIII. Τοὺς δὲ δικαίους καταλήψεται ἀγαθά.

Τοὺς δὲ τηροῦντας αὐτὰς, τὰ αἰώνια ἀγαθὰ καταλάβῃ ὅταν πάντως ὁ δίκαιος κριτὴς κατ᾽ ἀξίαν ὑπονέμῃ ἑκάστῳ.

22. Ἀγαθὸς ἀνὴρ, κληρονομήσει υἱοὺς υἱῶν.

Ὁ φύσει ἀγαθὸς, ὡς Θεὸς, μονογενὴς υἱὸς καὶ λόγος τοῦ Θεοῦ καὶ πατρὸς φύσει, γενόμενος ἄνθρωπος, κτᾶσεται τέκνα τε πνευματικὰ τῆς θειοτάτης αὐτοῦ διδασκαλίας, τοὺς ἁγίους αὐτοῦ μαθητὰς καὶ ἀποστόλους, καὶ τούτων τέκνα, οὓς πάντως οὗτοι διὰ τοῦ εὐαγγελίου ἐγέννησαν· διαδιδομένου τοῦ ἀγαθοῦ ἐξ αὐτοῦ, κατὰ διαδοχὰς εἰς πάντας τοὺς πιστεύοντάς τε εἰς αὐτὸν, καὶ τηροῦντας τὰς ἁγίας αὐτοῦ ἐντολάς.

Θησαυρίζεται δὲ δικαίοις πλοῦτος ἀσεβῶν.

Οὓς δ᾽ ὥς τινα πλοῦτον ἐκτήσαντο οἱ θεὸν μὴ τιμῶντες πονηρότατοι δαίμονες, οἰκειωσάμενοί τι δι᾽ ἀπάτης, καὶ χρώμενοι τούτοις πρὸς πᾶν τὸ αὐτοῖς βουλητὸν, οἱ τοιοῦτοι τοῖς ἁγίοις πατράσι καὶ διδασκάλοις ἀποταμιεύονται· ὥστε τῆς τῶν δαιμόνων δουλείας ἀφαρπασθῆναι δι᾽ αὐτῶν· πλουτησάντων αὐτοὺς μαθητὰς, καὶ προσαγαγόντων Θεῷ.

23. Δίκαιοι ποιήσουσιν ἐν πλούτῳ ἔτη πολλά.

Οἱ κατὰ τοὺς θείους νόμους πολιτευόμενοι, τὸν κατ᾽ ἀρετὴν καὶ γνῶσιν ἄφθαρτον κτησάμενοι πλοῦτον, εἰς ἀπεράντους αἰῶνας παρ᾽ αὐτῷ διαμείνωσιν.

Ἄδικοι δὲ ἀπολοῦνται συντόμως.

Οἱ δὲ τούτους ἀθετοῦντες, ὡς περὶ τὰ φθαρτὰ μόνα τὴν πᾶσαν σπουδὴν ποιούμενοι, ταχέως τῷ θανάτῳ, τοῦ τε ἐπικήρου στερηθήσονται πλούτου, καὶ αὐτοὶ παραπεμφθήσονται εἰς ἀπώλειαν.

24. Ὃς φείδεται τῆς ἑαυτοῦ βακτηρίας, μισεῖ τὸν ἑαυτοῦ υἱόν.

Ὃς μὴ ἐπιστύφει τὸν ἑαυτοῦ υἱὸν διὰ λόγου, δίκην βακτηρίας στηρίζων τοῦτον εἰς τὸ ἀγαθὸν, κακῶς διάκειται πρὸς αὐτον, ὡς τοῦ συμφέροντος τούτῳ καταρᾳθυμῶν.

Ὁ δὲ ἀγαπῶν, ἐπιμελῶς παιδεύει.

Ὁ δὲ πρὸς τοῦτον καλῶς διακείμενος, μεμεριμνημένως προσ- XIII.
κόπτει τὶ αὐτὸν ἀποτρέπων τῶν μὴ δεόντων, καὶ νυθετεῖ προ-
τρεπόμενος πρὸς τὰ δέοντα.

Δίκαιος, ἐσθίων ἐμπλήσει ψυχὴν αὐτοῦ. 25.

Ὁ κατὰ νόμυς θείυς πολιτευόμενος, τροφὴν ἔχων τὸν οὐράνιον ἄρτον, χορτασθήσεται ἐν τῷ ὀφθῆναι αὐτῷ τὴν δόξαν τοῦ θεοῦ.

Ψυχαὶ δὲ ἀσεβῶν, ἐνδεεῖς.

Αἱ ψυχαὶ δὲ τῶν μὴ δι' ἀγαθοεργίας τιμώντων τὸν θεὸν, τοῦ ἀγαθοῦ ἐστερημέναι ὑπάρχυσι· καὶ ὑπὸ τῆς τούτου ἐνδείας, ὡς ὑπό τινος δεινοῦ λοιμοῦ τρύχονται.

C A P. XIV.

Σοφαὶ γυναῖκες, ᾠκοδόμησαν οἴκους. v. 1.

Αἱ διὰ τὸ τηρεῖν τὸν καθ' ὂν λόγον γεγόνασι, σοφίας μὴ ἀμοιροῦσαι ψυχαὶ, εὐτρέπισαν ἑαυταῖς, κατὰ πρᾶξιν, τὰς δίκην οἴκων ἀπὸ τοῦ χειμῶνος καὶ τοῦ καύσωνος τῶν παθῶν φυλακτικὰς ἀρετάς.

Ἡ δὲ ἄφρων γενομένη, καθέσκαψε χερσὶν αὐτῆς.

Ἡ δὲ πρὸς ἀλογίαν τραφεῖσα ψυχὴ, τὰς τοιαύτας διέφθειρεν ἀρετάς· χρησαμένη πρὸς κακίαν ταῖς πρὸς ἐργασίαν τοῦ ἀγαθοῦ οἰκείαις δυνάμεσιν· ὅθεν πάντως πάθεσι χειμάζεσθαι παρεσκεύασεν ἑαυτήν.

Ὁ πορευόμενος ὀρθῶς, φοβεῖται τὸν κύριον. 2.

Ὁ μὴ ἐκτρεπόμενος ἀπὸ τῆς κατ' ἀρετὴν εὐθείας ὁδοῦ, τὸν ἑαυτοῦ δεσπότην φοβεῖται θεόν· τῷ γὰρ φόβῳ κυρίου ἐκκλίνει πᾶς ἀπὸ κακοῦ.

Ὁ δὲ σκολιάζων ταῖς ὁδοῖς αὐτοῦ, ἀτιμασθήσεται.

Ὁ δ' εἰς τὰ κατ' ἔλλειψιν τῆς ἀρετῆς καὶ ὑπερβολὴν πάθη περιτρεπόμενος, τῆς παρὰ θεῷ τιμῆς στερηθήσεται· τῆς θείας βασιλείας ἀποτυχὼν, καὶ κατακριθεὶς εἰς γέενναν.

XIV, 3. Ἐκ στόματος ἀφρόνων, βακτηρία ὕβρεως.

Ὁ τῶν ἀφρόνων λόγος, οὐχ οἷα ῥάβδος τὴν τῶν παθῶν ὕβριν μαστίζει, ἀλλ' ὥς τις βακτηρία στηρίζει μᾶλλον αὐτήν· ὡς τοὺς ἀκούοντας μὴ διορθούμενος, ἀλλ' ἑδράζων ἐν τοῖς κακοῖς.

Χείλη δὲ σοφῶν, φυλάσσει αὐτούς.

Τῶν δὲ σοφῶν οἱ λόγοι, οὐ μόνον διορθοῦνται τοὺς τούτων ἀκρωμένους, ἀλλὰ καὶ αὐτοὺς τηροῦσιν ὥστε μὴ περιπεσεῖν οἷς αὐτοὶ ἀποτρέπονται· ἐν οἷς γὰρ οἱ συνετοὶ διορθοῦν ἑτέρους ἐπιχειροῦσιν, κατασφαλίζονται ἑαυτούς, μὴ τὰ ὅμοια ἐκείνοις παθεῖν.

4. Οὗ μή εἰσι βόες, φάτναι καθαραί.

Ἔνθα οὐχ ὑπάρχουσιν ἄλογοι ἐπιθυμίαι τῶν ὁρατῶν, ἐκεῖ εἰσὶν ἀπηλλαγμέναι παθῶν φαντασίαι· ἐν αἷς ἀποτίθεται ἡ τῶν ὁρατῶν ἐπιφάνεια, ὡς τοῦ ἀλόγου τῆς ψυχῆς μέρους τροφή.

Οὗ δὲ πολλὰ γεννήματα, φανερὰ βοὸς ἰσχύς.

Ὅπη δὲ οἱ διάφοροι λόγοι τῶν ὁρατῶν, κατὰ τὴν ἐν πνεύματι φυσικὴν θεωρίαν γνωστικῶς γεωργοῦνται *, ἐκεῖ δήλη ἐστὶ τῆς ἐπιθυμίας ἡ κατὰ λόγον δύναμις· καθ' ὃν ἠδυνήθη τὸν κατ' αἴσθησιν σκεδασμὸν διαβῆναι, καὶ φθάσαι πρὸς τὴν κατὰ νοῦν τῆς ἐν τοῖς ὅλοις ἀληθείας ἑνότητα.

* θεωροῦνται ?

5. Μάρτυς πιστὸς οὐ ψεύσεται.

Ὁ Θεὸς λόγος, ἡ αὐτοαλήθεια, τὴν περὶ τὰ φαινόμενα σχέσιν ἡμῶν ἀπάτης μεστὴν, τῇ τούτων φθορᾷ διελέγχων, ἀψευδής ἐστιν.

Ἐκκαίει δὲ ψευδῆ, μάρτυς ἄδικος.

Ὑπανάπτει δ' ἐν ἡμῖν τὴν περὶ ταῦτα ψευδῆ τοῦ καλοῦ ὑπόληψιν, ὁ διὰ ταύτης ἀπατῶν ἡμᾶς παρὰ πάντα λόγον ἀεὶ μηχανώμενος.

6. Ζητήσεις σοφίαν παρὰ κακοῖς, καὶ οὐχ εὑρήσεις.

Ψηλαφήσεις λόγον, καθ' ὃν οἱ ἐργαζόμενοι τὸ κακὸν ποιοῦσιν αὐτὸ, καὶ οὐχ εὑρήσεις· ἐπειδὴ μηδ' ὑπάρχει· ἃ γὰρ οὗτοι ποιοῦσιν, ἀλόγως ποιοῦσιν.

Αἴσθησις δὲ παρὰ φρονίμοις, εὐχερής. XIV.

Τοῖς δ' ἐχέφροσιν, ἡ τοῦ καλοῦ καὶ τοῦ κακοῦ διάκρισις ῥαδία ἐςὶν, ἐξ αὐτῆς τῆς φύσεως τὰς ἀφορμὰς ἔχουσι· καὶ εἰδόσι κακὸν μὲν, τὸ ποιεῖν εἰς ἑτέρους ὃ μὴ πάσχειν αὐτοὶ παρ' αὐτῶν βούλονται· καλὸν δὲ τὸ ποιεῖν εἰς ἐκείνους, ὃ καὶ αὐτοὶ πάσχειν παρὰ τούτων ἐθέλουσιν.

Πάντα ἐναντία ἀνδρὶ ἄφρονι. 7.

Ἅπαντα τά τε ἡδέα καὶ τὰ ἀλγεινὰ, εἰς βλάβην ἀποβαίνει τῷ ἀνοήτῳ, κακῶς ἐν τούτοις ἑαυτὸν διεξαγόντι· ὡς μήτε τοῖς ἡδέσι σωφρόνως χρωμένῳ, διὰ τὸ μὴ ὅτ' εὐπλοεῖ ζάλης μεμνῆσθαι· μήθ' ὑποφέροντι τὰ ἀλγεινὰ, διὰ τὸ μὴ ἐλπίζειν λύσιν τούτων, καὶ ἀντιμισθίαν τῆς τῶν ἐπ' αὐτοῖς πόνων ὑπομονῆς.

Ὅπλα δὲ αἰσθήσεως, χείλη σοφά.

Πρὸς δὲ τὸ καταβαλεῖν τὴν τούτου ἄνοιαν, γνώσεως ὅπλα, λόγοι τὸ ἀληθὲς τρανῶς ἀπαγγέλλοντες, κατὰ λόγον τὴν οἰκείαν βιοτὴν διεξάγοντες *. * fortasse τος.

Σοφία πανούργων, ἐπιγνώσεται τὰς ὁδοὺς αὐτῶν. 8.

Οἱ πάντα εὐφυῶς τὰ προσπίπτοντα μετερχόμενοι, καὶ τούτοις πρὸς ὠφέλειαν χρώμενοι, οἴδασι πῶς περιπατοῦσι· κἀντεῦθεν τῆς κακίας τοὺς κρημνοὺς καὶ τὰ βάραθρα διαφεύγοντες, ἀμετάστρεπτοι πρὸς τὸ ἔσχατον ἐπείγονται ὀρεκτόν.

Ἄνοια δὲ ἀφρόνων ἐν πλάνῃ.

Οἱ δ' ἀλόγως βιοῦντες, ἀποπλανῶνται τῆς ἀληθείας, καὶ ἀποτυγχάνουσι τοῦ ἀγαθοῦ.

Οἰκίαι παρανόμων ὀφειλήσουσι καθαρισμόν. 9.

Τὰ τῶν τὰς θείας ἐντολὰς παραβαινόντων σώματα, ἐν οἷς αἱ τούτων ψυχαὶ, ἕως θανάτου, ὥς τισιν οἰκήμασι παραμένουσιν, ἐπειδὴ τοῖς κατ' ἐνέργειαν μολύνονται πάθεσι, δεηθήσονται τῆς δι' ἑκουσίων ἢ ἀκουσίων πόνων καθάρσεως.

Οἰκίαι δὲ δικαίων δεκταί.

Τὰ δὲ τῶν ἀμέμπτως πολιτευομένων σώματα, κατὰ πρᾶξιν Θεῷ προσαγόμενα, θυσία εὐπρόσδεκτος τούτῳ ὑπάρχουσιν.

XIV. 10. Καρδία ἀνδρὸς αἰσθητικὴ, λυπηρὰ ψυχὴ αὐτοῦ.

Ἀνθρώπου καρδία, ἐπὶ μὲν τοῖς κατ᾽ αἴσθησιν ἡδέσι διάχυσιν τοῦ περὶ αὐτὴν πνεύματος ποιουμένη, καὶ τὴν ἄλογον ἐπιθυμίαν ὑφιστῶσα, ἐπὶ δὲ τοῖς κατ᾽ αἴσθησιν ἀλγεινοῖς, ζέσιν τοῦ περὶ αὐτὴν αἵματος αὖθις ποιουμένη, καὶ τὸν ὅμοιον θυμὸν ὑφιστῶσα, λυπεῖν εἴωθε τοῦ τοιούτου ἀνδρὸς τὴν ψυχὴν, τῷ τοῦ συνειδότος ἐλέγχῳ, ἐφ᾽ οἷς ἐντεῦθεν παντοίοις ἁλίσκεται πάθεσιν.

Ὅταν δ᾽ εὐφραίνηται, οὐκ ἐπιμίγνυται ὕβρεσιν.

Ὅτε δὲ ἡ ψυχὴ πνευματικὴν κέκτηται εὐφροσύνην, ἀπηλλαγμένη τῆς τῶν παθῶν ἀτιμίας ἐστίν.

11. Οἰκίαι ἀσεβῶν ἀφανισθήσονται.

Τὰ σώματα τῶν μὴ δι᾽ ἀγαθοεργίας τιμώντων Θεὸν, καὶ ὁ κόσμος οὗτος ἐν ᾧ δι᾽ αὐτῶν τὸ πολίτευμα ἔχουσι· περὶ ἃ οὐχ ὡς προσδεκὰ, ἀλλ᾽ ὡς αἰώνια κατοικητήρια οὗτοι διάκεινται, τῇ φθορᾷ παραδοθήσονται· σὺν τούτοις δ᾽ οἱ τοιοῦτοι πάντως καὶ τὰς αἰωνίους μονὰς ἀπολέσουσιν.

Σκηναὶ δὲ κατορθούντων στήσονται.

Στήσονται δὲ τὸ σαρκίον τε καὶ ὁ κόσμος, τοῖς ὥς τινας προσδεκὰς σκηνὰς ταῦτα λογιζομένοις· εἰδόσιν ὅτι τὰ φαινόμενα πάντα, στάσιν τὴν ἐν γενέσει καὶ φθορᾷ ἔχουσι κίνησιν· καὶ μήτ᾽ ἐπὶ τῇ γενέσει τούτων εὐφραινομένοις (μήτ᾽ ἐπὶ τῇ φθορᾷ λυπουμένων)· κἀντεῦθεν στάσιμα τὰ ἄστατα ἐν ἑαυτοῖς ἀποδεικνύουσιν.

12. Ἔστιν ὁδὸς, ἣ δοκεῖ ὀρθὴ εἶναι παρ᾽ ἀνθρώποις.

Ὁ σαρκικὸς καὶ ἀνειμένος βίος, διὰ τὸ ἡδυπαθὲς αὐτοῦ, καλὸς παρ᾽ ἀνθρώποις νομίζεται, ἄχρις ἂν τούτοις χωρῇ κατὰ ῥοῦν.

Τὰ δὲ τελευταῖα αὐτῆς ἔρχεται εἰς πυθμένα ᾅδου.

Τὸ δὲ τέλος αὐτοῦ καταντᾷ εἰς ἀπώλειαν, ἐπειδὴ ἀπάγει τούτους τοῦ ὄντως καλοῦ.

13. Ἐν εὐφροσύναις οὐ προσμίγνυται λύπη.

Οἱ τοῖς προσκαίροις προσκείμενοι, ἕως ἂν ἐπευφραίνονται τούτοις, οὐκ αἰσθάνονται λύπης, δι᾽ ἡδονῆς ἐπικράτειαν.

Τελευταία δὲ χαρὰ, εἰς πένθος ἔρχεται. XIV.

Ἡ δὲ τοιαύτη χαρὰ τέλει περιγεγραμμένη ὑπάρχουσα, εἰς θρῆνον καταντᾷ διὰ τὴν ἐντεῦθεν ἀπάτην· χαρᾶς γὰρ ἐπικήρου τέλος, λύπη.

Τῶν ἑαυτοῦ ὁδῶν πλησθήσεται θρασυκάρδιος. 14.

Τῶν εἰς ἀπώλειαν φερόντων ἀλογίστων ἐπιχειρημάτων αὐτοῦ, πληρωθήσεται ὁ δι' ὄρεξιν ἀντιλυπήσεως τῷ περὶ καρδίαν ὑπερζέων αἵματι, κἀντεῦθεν ὢν θρασυκάρδιος.

Ἀπὸ δὲ τῶν διανοημάτων αὐτοῦ, ἀνὴρ ἀγαθός.

Ἀπὸ δὲ τῶν κατὰ λόγον περισκέψεων αὐτοῦ, ἐμφορηθήσεται, ἀγαθοεργιῶν πάντως, ὁ γενναίως ἱστάμενος κατὰ τῶν παθῶν.

Ἄκακος πιστεύει παντὶ λόγῳ. 15.

Ὁ τὰ ὁρῶντα εἰς βλάβην αὐτοῦ, ὡς ἀνόητος, μὴ εἰδὼς διακρίνειν, πᾶσιν ἁπλῶς πείθεται οἷς τισιν ἐπιτρέπει αὐτὸν, ἢ ἂν ὑπ' αὐτῶν εἰς κίνδυνον συνελαύνηται.

Πανοῦργος δὲ ἔρχεται εἰς μετάνοιαν.

Ὁ δὲ φρόνιμος, κἂν τι τοιοῦτον ἐκ συναρπαγῆς παραδέξηται, ἀποπέμπεται αὐτὸ· ἐπιστάμενος κρίνειν τὰ εἴτ' εἰς βλάβην αὐτοῦ ὄντα, εἴτ' εἰς ὠφέλειαν.

Σοφὸς φοβηθεὶς, ἐξέκλινεν ἀπὸ κακοῦ. 16.

Ὁ τὴν οἰκείαν ἐπιγινώσκων ἀσθένειαν, πτοηθεὶς, ἀπὸ ἀνθρώπου διέζευκται παρανόμου, τὴν ἐξ αὐτοῦ φυλαττόμενος βλάβην.

Ὁ δὲ ἄφρων ἑαυτῷ πεποιθὼς, μίγνυται ἀνόμῳ.

Ὁ δὲ ἀνόητος, οὐκ ἐπὶ θεῷ θαῤῥῶν ἀλλ' ἐφ' ἑαυτῷ, τῷ τοὺς θείους ἀθετοῦντι νόμους, ἐπικινδύνως συναναστρέφεται.

Ὀξύθυμος πράσσει μετὰ ἀβουλίας. 17.

Ὁ ταχέως κινούμενος εἰς θυμὸν, πράττει ἀπερισκέπτως τὰ κολάσεως ἄξια.

Ἀνὴρ δὲ φρόνιμος, πολλὰ ὑποφέρει.

Ὁ δ' ἀνδρεῖος καὶ συνεχὴς, λογιζόμενος τὸ πρακτέον, πλεῖστα τῶν ἀβουλήτων ὑπομένει γενναίως.

Μεριοῦνται ἄφρονες κακίαν. 18.

XIV. Ἐπιμερίσονται οἱ ἀνόητοι τὴν κακίαν· ὡς διὰ τὰ τῇ αἰσθήσει τερπνά, μισοῦντες ἀλλήλους, καὶ ὑπ᾽ ἀλλήλων μισούμενοι.

Οἱ δὲ πανοῦργοι, κρατήσουσιν αἰσθήσεως.

Οἱ δὲ φρόνιμοι κατὰ λόγον τὴν αἴσθησιν ὑποτάξουσι· καὶ τὸ συγγενὲς καὶ ὁμόφυλον ἀγαπήσουσιν.

19. Ὀλισθήσουσι κακοὶ ἔναν7ι ἀγαθῶν.

Προσκρούουσιν οἱ ὀξέως εἰς κακίαν τρέχοντες, κατέναντι τῶν μὴ νικωμένων ὑπὸ τοῦ κακοῦ, ἀλλὰ νικώντων ἐν τῷ ἀγαθῷ τὸ κακόν· τὴν τούτων ἀρετὴν αἰδεσθέντες.

Καὶ ἀσεβεῖς θεραπεύουσι θύρας δικαίων.

Καὶ οἱ μὴ δι᾽ ἀγαθοεργίας τιμῶντες θεὸν, πύλαις δουλεύουσι τῶν πολιτευομένων ἀμέμπτως· παρεδρεύοντες ἐν αὐταῖς, καὶ τούτους ἐκλιπαροῦντες, ὡς ἂν αὐτοῖς τὸ θεῖον ἐξιλεώσωνται.

20. Φίλοι μισήσουσι φίλους π7ωχούς.

Οἱ διὰ χρήματα ἀγαπῶντες τινὰς, ἀποστρέφονται τούτους, ἐκπεπτωκότας αὐτῶν.

Φίλοι δὲ πλουσίων πολλοί.

Οἷς δὲ παραμένει ὁ πλοῦτος, τούτους ἀγαπῶσι διὰ τὰ χρειώδη πολλοί. Ἢ καὶ ἄλλως· οἱ διὰ παθῶν θεραπεύοντες τὰ τῆς ἄνωθεν δόξης καὶ τοῦ πνευματικοῦ πλούτου ἐκπεπτωκότα τῆς πονηρίας πνεύματα, ἀποστρέφονται ταῦτα· συγχωρήσει θεοῦ ὑπ᾽ αὐτῶν τιμωρούμενοι, πρὸς ἔκτισιν τῶν ἡμαρτημένων αὐτοῖς· ἀγαπῶσι δὲ τοὺς ἁγίους ἀγγέλους, οἷς ἡ δόξα καὶ ὁ πλοῦτος παραμένει τῆς χάριτος οὐ βραχύς· παρ᾽ αὐτῶν βοηθούμενοι, καὶ πρὸς θεὸν ἐπιστρέφοντες.

21. Ὁ ἀτιμάζων πένη7α, ἁμαρτάνει.

Ὁ καὶ ἑνὸς καταφρονῶν τῶν συζώντων ἐνδείᾳ, ἀποτυγχάνει τοῦ καλοῦ παροργίζων θεόν.

Ὁ ἐλεῶν π7ωχοὺς, μακαριστός.

Ὁ δὲ πάντας οἰκτείρων τοὺς τοῦ πλούτου ἀποπεσόντας, εὐαπόδεκτος ὑπάρχει θεῷ.

22. Πλανώμενοι ἄδικοι, τεκ7αίνουσι κακά.

Ἀπατώμενοι τοῖς προσκαίροις οἱ μὴ κατὰ νόμους θείων πολιτευόμενοι, τὰ ἔργα διαπράττονται τῆς ἀνομίας. XIV.

Ἔλεον δὲ καὶ ἀλήθειαν τεκταίνουσιν ἀγαθοί.

Τὸν δὲ πρὸς τοὺς ὁμοφυεῖς ἔλεον καὶ τὴν ἐπιστήμην τῆς ἀληθείας, ἣ τέλος ἐστὶ τῶν γνωστῶν, κατασκευάζουσι διὰ πασῶν τῶν ὀρεκτικῶν τε καὶ τῶν θεωρητικῶν δυνάμεων, οἱ τὰ πανάγαθα τοῦ θεοῦ τηροῦντες θελήματα.

Οὐκ ἐπίσταται ἔλεον καὶ πίστιν τέκτονες κακῶν.

Οὐ γινώσκουσι τὸ πρὸς τοὺς δεομένους ἔλεος, καὶ τὴν πρὸς θεὸν πίστιν, οἱ τὰ παράνομα ἐργαζόμενοι· εἰ γὰρ ἐτύγχανον ἐλεήμονες, οὐκ ἂν ἥρπαζον ἀφειδῶς τὰ ἀλλότρια.

Ἐλεημοσύναι δὲ καὶ πίστεις, παρὰ τέκτοσιν ἀγαθῶν.

Καὶ εἰ πίστιν πρὸς θεὸν βεβαίαν ἐκέκτηντο, οὐκ ἂν τῶν ἐντολῶν αὐτοῦ κατεφρόνουν· οἱ δ' οἰκτιρμοὶ τῶν πενήτων, καὶ αἱ πρὸς θεὸν πίστεις, εἰσὶ παρὰ τοῖς ἐργαζομένοις τὰ ἀγαθά· ἐξ ἔργων δεικνύουσι τὰς κεκρυμμένας πρὸς θεὸν καὶ ἀνθρώπους ψυχικὰς διαθέσεις αὐτῶν.

Ἐν παντὶ μεριμνῶντι, ἔνεστι περισσόν. 23.

Τῷ μεμεριμνημένως ζητοῦντι ἐν παντὶ πράγματι τὸ ὄντως καλὸν, ἐν ὑπάρχει, ὃ πᾶν ἀσυγκρίτως ὑπέρκειται, ὁ μόνος πάντων αἴτιος, καὶ ὑπὲρ πάντα θεός.

Ὁ δὲ ἡδὺς καὶ ἀνάλγητος ἐν ἐνδείᾳ ἔσται.

Ὁ δὲ ἡδυπαθὴς, καὶ μὴ πονῶν περὶ τὸ ὄντως καλὸν, ἐστερημένος ἔσται τούτου.

Στέφανος σοφῶν, πλοῦτος αὐτῶν. 24.

Τοῖς μετὰ λόγου πλουτοῦσι τὰς ἀρετὰς, ἀμαράντινος αὕται δόξης γίνονται στέφανος.

Ἡ δὲ διατριβὴ ἀφρόνων, κακή.

Ὁ δ' ἐν τοῖς ματαίοις τῶν ἀνοήτων περισπασμὸς, κακός· ὡς τῆς αἰωνίου κολάσεως πρόξενος.

Ῥύσεται ψυχὰς ἐκ κακῶν μάρτυς πιστός. 25.

XIV. Ἐξελεῖται ψυχὰς ἀπὸ ἁμαρτιῶν, ὁ τὸν τῆς ἀληθείας λόγον διδάσκων, καὶ τοῦτον ἐξ ἔργων πιστούμενος.

Ἐκκαίει δὲ ψευδῆ δόλιος.

Ἐπανάπτει δὲ τὴν τῶν παθῶν ἀπατηλὴν κάμινον, ὁ προσχήματι τοῦ καλοῦ προτιθέμενος τὸ ἐναντίον, καὶ τοὺς ἀφελεστέρους αὐτῶν ἐξαπατῶν τῶν ἀνθρώπων.

26. Ἐν φόβῳ κυρίου, ἐλπὶς ἰσχύος.

Ἐν τοῖς διὰ πίστεως τῷ φόβῳ κυρίου ἐκκλίνασιν ἀπὸ κακοῦ, ἐλπὶς ὑφίσταται ἰσχύος, τῆς τῶν θείων ποιητικῆς ἐντολῶν· μετὰ γὰρ τὸ ἐκκλῖναι τούτους ἀπὸ κακοῦ, οἷα δούλους, τῷ τῶν κολάσεων φόβῳ, ποιεῖν ἐστιν ἀγαθὸν ὡς μισθίους, τῇ τῶν μελλόντων ἀγαθῶν ἐλπίδι.

Τοῖς δὲ τέκνοσιν αὐτοῦ καταλείψει ἔρεισμα εἰρήνης.

Τοῖς δὲ ἠξιωμένοις δι' ἀγάπης τῆς τοῦ κυρίου υἱοθεσίας, αὐτὸς ἐπαγήσει ὁ κύριος τὴν ἀτρεψίαν, ἀπαθείας ἑδραίωμα.

27. Φόβος κυρίου πηγὴ ζωῆς· ποιεῖ δὲ ἐκκλίνειν ἐκ παγίδος θανάτου.

Ὁ θεῖος φόβος, τῶν ζωογόνων τῆς νενεκρωμένης τῇ ἁμαρτίᾳ ψυχῆς ἑπτὰ χαρισμάτων τοῦ πνεύματος ὑπάρχει ἀρχή· ὧν τέλος ἡ σοφία ἐστίν· ὡς τελειωτική· οὗτος δὲ ὁ φόβος παρασκευάζει ἐκφεύγειν ἀπὸ ἁμαρτίας, ἣ βρόχος τυγχάνει ψυχῆς εἰς ἀπώλειαν.

28. Ἐν πολλῷ ἔθνει, δόξα βασιλέως.

Ἐν τῷ πλήθει τῶν ἐθνῶν, ἡ δόξα τοῦ παμβασιλέως θεοῦ, προσελθόντων αὐτῷ, καὶ τοῦτον ἀνακηρυττόντων θεὸν ἀληθινὸν διὰ πίστεως.

Ἐν δὲ ἐκλείψει λαοῦ, συντριβὴ δυνάστου.

Ἐν δὲ τῷ οὕτω ζημιωθῆναι τὸν τύραννον τῶν ἡμετέρων ψυχῶν καὶ πολέμιον, τὸ τοιοῦτον πλῆθος ὃ δι' εἰδωλολατρείας ἐκτήσατο, ἡ δόξα αὐτοῦ εἰς χοῦν κατασκηνώσει.

29. Μακρόθυμος ἀνὴρ, πολὺς ἐν φρονήσει.

Ὁ κατὰ λόγον κρατῶν τοῦ θυμοῦ, καὶ γενναίως φέρων τὰ

ἀλγεινὰ, μετὰ περισκέψεως ποιῶν καὶ λέγων ἃ δεῖ, περιφανὲς XIV.
κέκτηται φρόνημα.

Ὁ δὲ ὀλιγόψυχος, ἰσχυρῶς ἄφρων.

Ὁ δὲ διὰ μικροψυχίαν ταχέως ἐκφερόμενος εἰς θυμὸν, ἃ μὴ δεῖ ποιῶν τε καὶ λέγων, ἄφρων ἐστίν.

Πραΰθυμος ἀνὴρ, καρδίας ἰατρός. 30.

Ὁ μὴ ἐκταρασσόμενος τῷ θυμῷ ἐν οἷς τὶς ἐκφέρεται κατ' αὐτοῦ, ἀλλὰ γενναίως φέρων τὰ παρ' αὐτοῦ αὐτῷ ἐπερχόμενα, καὶ πρᾳέως αὐτὸν μετερχόμενος, διὰ τῆς ἰδίας ἀνεξικακίας, τὴν τεταραγμένην ἐκείνου θεραπεύει ψυχήν.

Σὴς δὲ ὀστέων, καρδία αἰσθητική.

Ὥσπερ δέ τις σκώληξ διαβιβρώσκει ὀστᾶ, οὕτω καρδία ἡ ἑτοίμως κατ' αἴσθησιν, τοῖς μὲν ἡδέσι διαχεομένη, τοῖς δ' ἀλγεινοῖς ἐκταραττομένη, τὰς τονωτικὰς τῆς ψυχῆς δυνάμεις, εἰς τὰ παρὰ φύσιν πάθη καταναλίσκει.

Ὁ συκοφαντῶν πένητα, παροξύνει τὸν ποιήσαντα αὐτόν. 31.

Ὁ τῷ ἀεὶ ἐνδεεῖ, ὡς ἀπροστατεύτῳ προσάπτων τὰ ἑαυτοῦ αἰτιάματα, τὸν πλάστην αὐτοῦ παροργίζει θεόν.

Ὁ δὲ τιμῶν αὐτὸν, ἐλεεῖ πτωχόν.

Ὁ δ' ἐν ἀγαθοεργίαις τὸν ἐν οὐρανοῖς πατέρα τιμῶν, οἰκτείρει τὸν ἀπὸ πλούτου πεσόντα, καὶ ὡς δυνατὸν αὐτῷ βοηθεῖ.

Ἐν κακίᾳ αὐτοῦ, ἀπολεῖται ἀσεβής. 32.

Ἐν τῇ ἰδίᾳ κακίᾳ, καὶ μὴ τῇ τῶν πατέρων ἢ τέκνων, ἀπολεῖται ὁ μὴ δι' ἀγαθῶν ἔργων τιμῶν τὸν θεόν· ἀποδίδωσι γὰρ λόγον ὁ μὴ τῶν τέκνων καὶ τῶν ὑπὸ χεῖρα ποιησάμενος ἐπιμέλειαν, οὐχ ὅτι οὗτοι κακοὶ ἐγένοντο, ἀλλ' ὅτι αὐτὸς τῆς σωτηρίας τούτων ἠμέλησε· πάλιν δ' οὗτοι κατακρίνονται, οὐ διὰ τὴν τῶν πατέρων καὶ δεσποτῶν ἀμέλειαν, ἀλλ' ὅτι αὐτοὶ κακοὶ γεγόνασιν.

Ὁ δὲ πεποιθὼς ἐπὶ κυρίου, τῇ ἑαυτοῦ ὁσιότητι δίκαιος.

Ὁ δ' ἐπὶ τὸν τοῦ παντὸς δεσπότην πάσας ἀναθέμενος τὰς ἐλπίδας, ὑπάρχει δίκαιος, τῇ ἑαυτοῦ πρὸς κύριον τελειότητι,

XIV. καὶ οὐκ ἀλλοτρίοις ἔργοις καὶ κατορθώμασιν· ἐξ ἰδίων γὰρ πονημάτων τιμᾶν τὸν κύριον ἀπαιτούμεθα.

33. Ἐν καρδίᾳ ἀγαθῇ, ἀναπαύεται σοφία.

Ἐν ψυχῇ κεκτημένῃ τὴν εἰς Θεὸν καὶ τὸν πλησίον ἀγάπην, ἡ τῶν θείων καὶ τῶν ἀνθρωπίνων πραγμάτων ἐπιστήμη ἐπαναπαύεται· ταύτῃ πειθαρχοῦσα ἐν ἅπασι, καὶ μηδ' ὁπωσοῦν ἀντικειμένη· ἀγαπᾷ γὰρ Θεὸν, τὸ πανάγαθον αὐτοῦ ἐπιγινώσκουσα, καὶ τὸ παντοδύναμον· καὶ ἀγαπᾷ ἀνθρώπους, τὸ συγγενὲς εἰδυῖα, καὶ τὴν ἀνθρωπίνην μὴ ἀγνοοῦσα ἀσθένειαν· καὶ διὰ τοῦτο πρὸς τοὺς ὁμοφυεῖς ἀνεξικάκως διακειμένη καὶ συμπαθῶς.

Ἐν δὲ καρδίᾳ ἀφρόνων οὐ διαγινώσκεται.

Ἐν δὲ τῇ τῶν ἀλόγως πολιτευομένων ψυχῇ, κἂν ἡ τοιαύτη ἐπιστήμη δυνάμει ἐστὶν, ἀλλ' οὖν ἀγνοεῖται, ἐπεὶ μὴ προβέβηκεν εἰς ἐνέργειαν· φανέρωσις γάρ ἐστι τῆς δυνάμεως ἡ ἐνέργεια· ὥσπερ τῆς οὐσίας ἡ δύναμις.

34. Δικαιοσύνη ὑψοῖ ἔθνος.

Ἡ κατὰ Χριστὸν δικαιοσύνη, δοξάζει τὸ πιστεῦσαν εἰς αὐτὸν ἅγιον ἔθνος· ἐν γὰρ παντὶ ἔθνει, ὁ ἐργαζόμενος τὸ ἀγαθὸν, δεκτὸς αὐτῷ ἐστιν.

Ἐλασσονοῦσι δὲ φυλὰς ἁμαρτίαι.

Ὑποβιβάζουσι δὲ τὰς ἰσραηλιτικὰς φυλὰς αἱ παρανομίαι ἃς εἰργάσαντο εἰς Χριστόν.

35. Δεκτὸς βασιλεῖ, ὑπηρέτης νοήμων.

Εὐαπόδεκτος τῷ παμβασιλεῖ καὶ τῶν ὅλων θεῷ, ὁ εἰδὼς αὐτοῦ τὸ θέλημα, καὶ ποιῶν.

Τῇ δὲ ἑαυτοῦ εὐστροφίᾳ ἀφαιρεῖται ἀτιμίαν.

Οὗτος δὲ, κἂν τι ἐκ συναρπαγῆς ἄτιμον διαπράξηται, τῇ ταχείᾳ ἐπιστροφῇ διορθοῦται αὐτὸ, καὶ τῆς αἰτίας ἑαυτὸν ἀπαλλάττει.

CAP. XV.

Ὀργὴ ἀπόλλυσι καὶ φρονίμους. v. 1.

Εἰς θυμὸν ἀρχὴν ἔχοντα πρὸς ἐνέργειαν, ὅ ἐςιν ὀργὴ, νικηθέντες καὶ νουνεχεῖς, κινδύνῳ ψυχικῷ τε ἅμα πολλάκις, καὶ σωματικῷ περιπίπτουσιν· ἐὰν δὲ οὗτοι οὕτω, πόσῳ γε μᾶλλον ἄφρονες;

Ἀπόκρισις δὲ ὑποπίπτουσα ἀποσῖρέφει θυμόν.

Ἀπολογία δὲ ὑποκλινομένη, καὶ μὴ ἀντιπίπτουσα, θυμὸν καταμαλάσσει καὶ ἡμεροῖ.

Λόγος δὲ σκληρὸς, ἐγείρει ὀργάς.

Ῥῆμα δὲ τραχὺ, πλῆττον, εἰς ὀργὰς ὑπανάπτει θυμόν.

Γλῶσσα σοφῶν, καλὰ ἐπίσῖαται. 2.

Οἱ σοφοὶ ἀγαθὰ οἴδασι φθέγγεσθαι καὶ οἰκωφελεῖν τοὺς ἀκούοντας.

Σῖόμα δὲ ἀφρόνων ἀναγγέλλει κακά.

Οἱ δὲ ἀνόητοι, τὰ ἐναντία λαλοῦσιν, ἐκ περισσεύματος τῆς καρδίας, καὶ τοὺς τούτων ἀκροωμένους βλάπτουσιν.

Ἐν παντὶ τόπῳ ὀφθαλμοὶ κυρίου σκοπεύουσιν ἀγαθούς τε 3.
καὶ κακούς.

Ἐν πάσῃ τῇ γῇ ὁ τῶν ὅλων δεσπότης ἐπισκοπεῖ· τούς τε τῶν παναγάθων αὐτοῦ ἐντολῶν πληρωτὰς, καὶ τοὺς τἀναντία τούτων ἐργαζομένους· καὶ οὐδεὶς τὸν παντέφορον αὐτοῦ λέληθεν ὀφθαλμόν· διὸ φριττέτωσαν μὲν ἁμαρτάνοντες, εὐέλπιδες δ' ἔστωσαν ἀγαθοεργοῦντες.

Ἴασις γλώσσης, δένδρον ζωῆς. 4.

Γλῶσσα ἡ ἀπὸ τοῦ ἁμαρτάνειν ἐν λόγοις, θεραπευθεῖσα, τὴν ζωογόνον διδασκαλίαν τοῦ πνεύματος, ταῖς τῶν μαθητευομένων νενεκρωμέναις τῇ ἀγνοίᾳ ψυχαῖς, ὥσπέρ τι δένδρον καρποφορεῖ.

Ὁ δὲ συντηρῶν αὐτὴν, πλησθήσεῖαι πνεύματος.

Αὐτὸς δὲ ὁ φυλάττων σὺν τῇ διανοίᾳ τὴν γλῶτταν τοῦ μὴ

XV. ἁμαρτάνειν, τῶν τοῦ παναγίου πνεύματος πλησθήσεται χαρισμάτων, δοχεῖον χρηματίσας αὐτοῦ διὰ νοὸς καθαρότητα.

5. Ἄφρων μυκτηρίζει παιδείαν πατρός.

Ὁ ἀνόητος ἐμπαίζει τῇ τοῦ οἰκείου διδασκάλου νουθεσίᾳ.

Ὁ δὲ φυλάσσων ἐντολὰς, πανουργότερος.

Ὁ δὲ τὰ τούτου, ὡς φρόνιμος ποιῶν παραγγέλματα, προσθήκην φρονήσεως δέχεται, εἰς τὸ ἀγαθὸν ὁσημέραι ἐπιδιδούς.

6. Ἐν πλεοναζούσῃ δικαιοσύνῃ, ἰσχὺς πολλή.

Ἐν τῇ τοῦ πνευματικοῦ νόμου δικαιοσύνῃ, τῇ ὑπερβαλλούσῃ τὴν τοῦ φυσικοῦ τε καὶ τοῦ γραπτοῦ, τοσαύτη παρὰ τῆς θείας χάριτος τῷ ταύτης ἀξιωθέντι δύναμις, ὥστε μὴ μόνον τὰ παρὰ φύσιν πάθη, ἀλλὰ καὶ αὐτὴν τὴν φύσιν νικᾷν.

Οἱ δὲ ἀσεβεῖς, ὀλόῤῥιζοι ἐκ γῆς ὀλοῦνται.

Οἱ δὲ μὴ δι' ἀγαθοεργίας τιμῶντες θεὸν, ἐξολοθρευθήσονται τῷ θανάτῳ ἐκ τῆς γῆς, μετὰ τῆς περὶ τὰ γήϊνα σχέσεως· καθ' ἣν αἱ τούτων ψυχαὶ, περὶ τὰ φθαρτὰ παγιωθεῖσαι, πρὸς τὰ ἄφθαρτα μεταφυτευθῆναι οὐ βούλονται.

Οἴκοις δικαίων, ἰσχὺς πολλή.

Ἐν τοῖς τῶν τὰς θείας ἐντολὰς ἐργαζομένων σώμασιν, οἷς οὗτοι οἷά τισιν οἴκοις, μέχρι θανάτου παραμένουσι, πολλὴ παρὰ τῆς θείας χάριτος δύναμις· ὥστε τὰ ἐν αὐτοῖς ἐμφωλεύοντα πάθη, κατὰ πρᾶξιν ἀπονεκροῦν, καὶ τὰς ἀρετὰς ὑφιστᾷν.

Καρποὶ δὲ ἀσεβῶν ἀπολοῦνται.

Τὰ δὲ ἔργα τῶν μὴ δι' ἐναρέτου βίου τιμώντων θεὸν, χωρήσουσιν εἰς οὐδὲν, ὡς περὶ τὰ φθαρτὰ μόνα καταγινόμενα.

7. Χείλη δὲ σοφῶν δέδεται αἰσθήσει.

Οἱ λόγοι τῶν σοφῶν, δεσμοῦνται τῇ διακρίσει· ὅπου δεῖ, καὶ ὅτε καὶ ὡς δεῖ προφερόμενοι.

Καρδία δὲ ἀφρόνων, οὐκ ἀσφαλής.

Ἡ ψυχὴ δὲ τῶν ἀνοήτων, οὐ πεφύλακται ἐν θείῳ φόβῳ, ἀπὸ τῶν παραλόγων ἐνθυμημάτων.

8. Θυσίαι ἀσεβῶν, βδέλυγμα κυρίῳ.

Ἀποστρέφεται ὁ τῶν ὅλων δεσπότης τὰ προσαγόμενα αὐτῷ δῶρα παρὰ τῶν μὴ πρότερον διαλλαττομένων τοῖς ἀδελφοῖς καὶ διὰ τῆς εἰς αὐτοὺς ἀγάπης, ἥ τις ἐςὶ πλήρωμα νόμου καὶ προφητῶν, τὸ σέβας ἀπονεμόντων αὐτῷ. XV.

Εὐχαὶ δὲ κατευθυνόντων, δεκταὶ παρ' αὐτῷ.

Προσδέχεται δὲ τὰς ἐντεύξεις τῶν κατὰ τὰς θείας αὐτοῦ ἐντολὰς κατευθυνόντων τὴν ἑαυτῶν βιοτήν.

Βδέλυγμα κυρίῳ, ὁδοὶ ἀσεβοῦς. 9.

Μισητά εἰσι τῷ τοῦ παντὸς δεσπότῃ, ὡς παρ' ἐντολὴν τούτου ὑπάρχοντα, τὰ κατὰ βίον ἐπιτηδεύματα τοῦ μὴ δι' ἀγαθῶν ἔργων τιμῶντος αὐτόν.

Διώκοντας δὲ δικαιοσύνην, ἀγαπᾷ.

Τοὺς δὲ πρὸς τὸν θεοφιλῆ βίον σπεύδοντας, ὡς κατ' ἐντολὴν αὐτοῦ πολιτευομένους, ἀσπάζεται.

Παιδεία ἀκάκου, γνωρίζεται ὑπὸ τῶν παρόντων. 10.

Ἡ τοῦ ἁπλουςέρου καὶ κακίας ἀπηλλαγμένυ νυθεσία, ἀνυπόστολος οὖσα καὶ φοβερὰ, καταλαμβάνεται καὶ παρὰ τῶν ὡς ἐν παρόδῳ ταύτης ἀκροωμένων.

Οἱ δὲ μισοῦντες ἐλέγχους, τελευτῶσιν αἰσχρῶς.

Οἱ δὲ τοὺς ἐντεῦθεν φανεροὺς τῶν οἰκείων ἁμαρτημάτων ἐλέγχους ἀποστρεφόμενοι, τῇ αἰσχίστῃ αὐτῶν κακίᾳ ἐναποθνήσκουσιν, μένοντες διὰ παντὸς ἀδιόρθωτοι.

Ἅδης καὶ ἀπώλεια, φανερὰ παρὰ κυρίῳ· πῶς οὐχὶ καὶ αἱ καρδίαι τῶν ἀνθρώπων; 11.

Καὶ πάντα τὰ ἡμῖν ἀγνοούμενα, οἷον ὁ ἀφανὴς τόπος ἐν ᾧ μετὰ διάζευξιν τὴν ἀπὸ τῶν σωμάτων διάγουσιν αἱ ψυχαὶ πρὸ τῆς ἀναςάσεως (1), καὶ αὐτὴ ἡ ἀπὸ θεοῦ ἔκπτωσις ἣν οἱ ἁμαρτωλοὶ κατακρίνονται, γνώριμα παρὰ τῷ τῶν ὅλων δεσπότῃ

(1) Procopii aetate nondum erat firme ab ecclesiae iudicio definita sententia de animabus etiam ante corporum resurrectionem pro merito vel puniendis vel praemio adficiendis.

XV. εἰσί· καὶ πῶς οὐκ ἐπίςαται καὶ τοὺς τῶν καρδιῶν ἡμῶν διαλογισμούς; φοβηθῶμεν οὖν ἀπὸ προσώπȣ αὐτοῦ οἱ τὰ πονηρὰ διαλογιζόμενοι, ὡς ἐφορῶντος καὶ ταῦτα.

12. Οὐκ ἀγαπήσει ἀπαίδευτος τοὺς ἐλέγχοντας αὐτόν.

Οὐκ ἀσπάσεται ὁ ἀμύητος τοῦ καλοῦ τοὺς φανεροποιοῦντας αὐτῷ τὰ κακῶς διαπραττόμενα παρ' αὐτοῦ.

Μετὰ δὲ σοφῶν οὐχ ὁμιλήσει.

Καὶ μετὰ τῶν διασαφούντων αὐτῷ τὸ καλὸν, οὐ συλλαλήσει, ὡς μήτε τὴν τοῦ κακοῦ φυγὴν, μήτε τὴν τοῦ καλοῦ ἐπιτυχίαν ποθῶν.

13. Καρδίας εὐφραινομένης, θάλλει πρόσωπον.

Τοῦ κατὰ τὴν κεκρυμμένην διάθεσιν τῆς ψυχῆς, ἢ ἐπὶ τοῖς τῶν προσκαίρων ἡδέσιν, ἢ τῇ τῶν αἰωνίων ἀγαθῶν ἐλπίδι ἀγαλλομένου, φαιδρὰ ἡ ὄψις καθέςηκε, τὴν ἔνδον τούτου χαρακτηρίζουσα ἀγαλλίασιν.

Ἐν δὲ λύπαις οὔσης, σκυθρωπάζει.

Τοῦ δ' αὖθις κατὰ τὸ κρυπτὸν, εἴτ' ἐπὶ τοῖς τῶν προσκαίρων ἀνιαροῖς, εἴτε τῷ φόβῳ τῶν ἀτελευτήτων κολάσεων ἀνιωμένȣ, κατηφὲς ὑπάρχει τὸ πρόσωπον· τὴν ἐνδομυχοῦσαν τῇ ψυχῇ αὐτοῦ λύπην προαγὸν εἰς τὸ ἐμφανές.

14. Καρδία ὀρθὴ ζητεῖ αἴσθησιν.

Ἡ πρὸς τὸ εὐθὲς ὁρῶσα ψυχὴ, σπεύδει τὴν τοῦ καλοῦ καὶ τοῦ κακοῦ διάκρισιν κτήσασθαι· ἵνα μὴ τοῦ καλοῦ τὸ κακὸν προαιρῆται, καλὸν τοῦτο νομίζουσα.

Στόμα δὲ ἀπαιδεύτων, ζητεῖ κακά.

Τὰ δὲ ῥήματα τῶν μὴ διδαχθέντων τὸ ἀγαθὸν, πρὸς ἔριδας καὶ μάχας ἐπείγεται.

15. Πάντα τὸν χρόνον οἱ ὀφθαλμοὶ τῶν κακῶν προσδέχονται κακά.

Παρὰ πᾶσαν τὴν ζωὴν, τὰ ὄμματα τῶν τὰ παράλογα διαπραττομένων, τιμωρίαν ἀνάλογον ταῖς τοιαύταις ἐκδέχονται πράξεσιν διὰ παντὸς θορυβούμενα.

Οἱ δὲ ἀγαθοὶ ἡσυχάζουσι διαπαντός.

Οἱ δ' ἀγαθοεργοῦντες, ἀτάραχοι δι' ὅλου τυγχάνουσιν. XV.

Κρείσσων μικρὰ μερὶς μετὰ φόβου κυρίου. 16.

Καλλίων ἐςὶ βραχεῖα χρημάτων ἀπόμοιρα, μετὰ θείου φόβȣ, συγχωροῦντος μὲν τὸ χρειῶδες, τὴν δὲ φιλοχρήματον ἀναστέλλοντος γνώμην.

Ἢ θησαυροὶ μεγάλοι μετὰ ἀφοβίας.

Ὑπὲρ τοὺς πλεονεκτικῇ διαιρέσει, καὶ μὴ συςελλομένῃ φόβῳ Θεοῦ, συναγομένους πολυταλάντους θησαυροὺς, ὕλην τοῦ μηδέποτε σβεννυμένου πυρός.

Κρείσσων ξενισμὸς λαχάνων πρὸς φιλίαν καὶ χάριν. 17.

Ἔτι τε καλλίων ἐςὶν εὐτελὴς δίαιτα, λάχανα μόνα εἰς ἑςίασιν ξένȣ παρά τινος προτιθέμενα, ὥςε τούτῳ χαρίσασθαι καὶ τὴν ἀγάπην αὐτοῦ κτήσασθαι.

Ἢ μόσχος ἀπὸ φάτνης μετὰ ἔχθρας.

Ἢ μόσχος σιτευτὸς ἀπὸ φάτνης μετὰ μίσους τοῦ ὑποκρινομένȣ πάντως ἀγάπην, πρὸς τὸ βλάβην τινὰ τῷ μισȣμένῳ λεληθότως ἐπενεγκεῖν.

Ἀνὴρ θυμώδης, παρασκευάζει μάχην. 18.

Ἄνθρωπος ὀξέως κινούμενος πρὸς θυμὸν, ὑπανάπτει μάχας ταῖς ψυχαῖς τῶν πολλῶν.

Μακρόθυμος δὲ, καὶ τὴν μέλλουσαν καταπραΰνει.

Ὁ δὲ λόγῳ κρατῶν τοῦ θυμοῦ, καὶ ἣν ὁ θυμώδης μέλλει ἐν τούτῳ διεγεῖραι μάχην, καταστέλλει, τῇ ἰδίᾳ ἀνεξικακίᾳ καὶ τὸν ἐκείνου καταπραΰνων θυμόν.

Μακρόθυμος ἀνὴρ, κατασβέσει πῦρ.

Ὁ τοῦ θυμοῦ κατεξȣσιάζων, καὶ γενναίως φέρων τὰ παρά τινος ἐπαγόμενα λυπηρὰ, τὰς μετ' αὐτοῦ καταπαύσει διενέξεις· μετελθὼν τοῦτον φιλίως, καὶ εἰς εἰρηνικὰς συμβιβάσεις ἐλθών.

Ὁ δὲ ἀσεβὴς, ἐγείρῃ μᾶλλον.

Ὁ δὲ διὰ τὸ μὴ τηρεῖν τὴν ἐντολὴν τῆς ἀγάπης, Θεὸν μὴ τιμῶν, ὑπανάψει μᾶλλον τὰς διαμάχας, φιλονεικῶν ἀκατάπαυστα, καὶ στῆσαι ζητῶν τὸ ἑαυτοῦ θέλημα.

XV. 19. Ὁδοὶ ἀεργῶν ἐστρωμέναι ἀκάνθαις.

Τῶν μὴ ἐργαζομένων τὸ ἀγαθὸν, αἱ διέξοδοι τῆς ζωῆς πεπληρωμέναι εἰσὶ μεριμνῶν καὶ φροντίδων, πανταχόθεν αὐτοὺς δίκην ἀκανθῶν ἀλγεινῶς κατακεντουσῶν.

Αἱ δὲ τῶν ἀνδρείων, λεῖαι.

Αἱ δὲ τῶν γενναίων, καὶ τῷ ἐπιπόνῳ ἐγκαρτερούντων τῆς ἀρετῆς, πασῶν τούτων ἀπηλλαγμέναι εἰσὶν ὡς Θεῷ μόνῳ ἀναθεμένων τὴν περὶ αὐτοὺς μέριμναν.

20. Υἱὸς σοφὸς, εὐφραίνει πατέρα.

Ὁ ἀπὸ νοὸς τικτόμενος, ἐπιστήμων τοῦ ὄντως καλοῦ λογισμὸς, τάσσων ἐπιστημόνως τὴν τοῦ σώματος κίνησιν, καὶ οἱονεί τινι χαλινῷ τῆς πρὸς ἀτοπίαν φορᾶς ἀναχαιτίζων αὐτὸ, καὶ πρὸς τὸ βέλτιον μεταφέρων, χαρὰν πνευματικὴν τῷ νῷ προξενεῖ.

Υἱὸς δὲ ἄφρων, μυκτηρίζει μητέρα αὐτοῦ.

Ὁ δ' ἀπὸ αἰσθήσεως αὖθις τικτόμενος ἀνεπιστήμων τοῦ ὄντως καλοῦ λογισμὸς, διαβάλλει τὴν αἴσθησιν, τὴν ψευδῆ καὶ ἄλογον ταύτης δόξαν ἐξ ἔργων δηλοποιῶν.

21. Ἀνοήτου τρίβοι, ἐνδεεῖς φρενῶν.

Αἱ ἀδιάκριτοι πράξεις, ἐστερημέναι εἰσὶ φρονήσεως, ὡς ἀλόγιστοι.

Ἀνὴρ δὲ φρόνιμος, κατευθύνων πορεύεται.

Ὁ δὲ πράττων μετὰ λόγου, ἀπὸ τοῦ κακοῦ τὸ καλὸν διακρίνων, καὶ εὐθυπορῶν πρὸς αὐτὸ, μετέρχεται τοῦτο κατ' ἀρετήν.

22. Ὑπερτίθενται λογισμοὺς οἱ μὴ τιμῶντες συνέδρια.

Οὐ παραδέχονται ἀγαθὰς συμβουλίας, οἱ διὰ τὸ οἴεσθαι ἀρκεῖν ἑαυτοῖς, καταφρονοῦντες διασκοπεῖσθαι μεθ' ἑτέρων τὰ δέοντα.

Ἐν δὲ καρδίαις βουλευομένων, μένει βουλή.

Ἐν δὲ ταῖς τῶν ἀγαθῶν συμβούλων ψυχαῖς, ἀγαθὴ παρεδρεύει τοῖς χρήζουσι συμβουλή.

23. Οὐ μὴ ὑπακούσῃ ὁ κακὸς αὐτῇ.

Ἧς ὁ πρὸς κακίαν ῥέπων, οὐκ ἐπακούσει, ὡς ἀλαζών.

Οὐδ' οὐ μὴ εἴπῃ καίριόν τι καὶ καλὸν τῷ κοινῷ. XV.

Ἀλλ' οὐδ' αὐτὸς φθέγξεταί τι τῷ καιρῷ πρόσφορον, καὶ τῷ κοινῷ συμφέρον· τὴν οἰκείαν δόξαν ζητῶν, καὶ οὐχὶ τὴν τῶν πλειόνων ὠφέλειαν.

Ὁδοὶ ζωῆς, διανοήματα συνετοῦ, ἵνα ἐκκλίνας ἐκ τοῦ ᾅδου σωθῇ. 24.

Τὰς ἀγούσας πρὸς τὴν πνευματικὴν ζωὴν κατ' ἀρετὴν πορείας, ὁ πρὸς τὸ ἀγαθὸν συννεύων διασκοπεῖ· ὅπως τὸ τῆς κακίας βάραθρον ἐκφυγὼν, εὕρῃ σωτηρίαν παρὰ Θεῷ.

Οἴκους ὑβριστῶν κατασπᾷ κύριος. 25.

Τοὺς ἀνομίας ἐργάτας ἐν οἷς οἰκοῦσι τὰ τὸν Θεὸν διαβάλλειν ἐπιχειροῦντα τῆς πονηρίας πνεύματα, ὁ τῶν ὅλων δεσπότης διὰ ποικίλων πειρασμῶν καθαιρεῖ· καὶ τῇ ἀρχιτεκτονίᾳ τοῦ πνεύματος, ἀνοικοδομεῖ τούτους οἰκητήριον ἑαυτῷ· οἰκῶν ἐν αὐτοῖς διὰ πίστεως, καὶ ἐμπεριπατῶν δι' ἐργασίας τῶν ἁγίων αὐτοῦ ἐντολῶν.

Ἐστήρισεν ὅριον χήρας.

Ἡδραίωσε δὲ ἐν τῇ χηρευούσῃ πάσης κακίας ψυχῇ, τὴν ταύτην ὁρίζουσαν εἰς τὸ μὴ πρὸς κακίαν παρεξέρχεσθαι θείαν αὐτοῦ ἐντολὴν, τὴν ἐν τῷ καλῷ ἀτρεψίαν τῇ τοιαύτῃ ψυχῇ δωρησάμενος.

Βδέλυγμα κυρίῳ λογισμὸς ἄδικος. 26.

Μισητὸν παρὰ Θεῷ καὶ τὸ παράλογον ἐνθύμιον, ὡς ῥίζα τοῦ κακοῦ πεφυκός.

Ἁγνῶν δὲ ῥήσεις, σεμναί.

Τῶν δὲ καθαρευόντων ἀπὸ τῶν πονηρῶν ἐνθυμημάτων σεμνὰ καὶ τὰ ῥήματα, οἷά τινες εὐγενεῖς κλάδοι ἐξ ἀγαθῆς ῥίζης, τῆς καθαρευούσης διανοίας, βλαστάνοντα.

Ἐξόλλυσιν ἑαυτὸν ὁ δωρολήπτης. 27.

Ἐξαπόλλυσιν ἑαυτὸν ὁ δῶρα λαμβάνων, καὶ προδιδοὺς τὴν ἀλήθειαν, Θεοῦ τῆς αὐτοαληθείας ἀποτυγχάνων.

Ὁ δὲ μισῶν δώρων λήψεις, σώζεται.

XV. Ὁ δὲ τὸ λαμβάνειν εἰς ἀθέτησιν τῆς ἀληθείας ἀποστρεφόμενος, σωτηρίας τυγχάνει παρὰ Θεῷ.

Ἐλεημοσύναις καὶ πίστεσιν ἀποκαθαίρονται ἁμαρτίαι.

Τοῖς οἰκτιρμοῖς τῶν πενήτων, καὶ ταῖς εἰς τὸν Θεὸν πίστεσιν, ὡς δημιουργὸν καὶ προνοητὴν καὶ κριτὴν, ἐκπλύνονται αἱ τοῦ ἀγαθοῦ καὶ τῆς ἀληθείας διὰ κακίαν καὶ ἄγνοιαν ἀποτυχίαι.

Τῷ δὲ φόβῳ κυρίου, ἐκκλίνει πᾶς ἀπὸ κακοῦ.

Τῷ δ' ἐκ πίστεως θείῳ καὶ δεσποτικῷ φόβῳ, ἀπὸ τῆς κακίας ἐκφεύγουσιν ἅπαντες· ὁ πιστεύων γὰρ τῷ κυρίῳ, φοβεῖται τὴν κόλασιν· ὁ δὲ ταύτην φοβούμενος, ἐγκρατεύεται ἀπὸ τῶν παθῶν.

28. Καρδίαι δικαίων μελετῶσι πίστεις.

Αἱ τῶν κατὰ τοὺς θείους νόμους πολιτευομένων ψυχαὶ ταῖς πρὸς τὰς δεσποτικὰς ἐντολὰς εὐπειθείαις ἐνασχολοῦνται διαπαντὸς, ὡς μηδὲ κατὰ διάνοιαν ἁμαρτάνειν βουλόμεναι.

Στόμα δὲ ἀσεβῶν ἀποκρίνεται κακά.

Τῶν δὲ μὴ δι' ἀγαθῶν ἔργων τιμώντων Θεὸν, καὶ αὐτὸ τὸ φωνητικὸν ὄργανον, ἐκ περισσεύματος τῆς καρδίας, πονηρὰ τοῖς ἐρωτῶσιν ἀπολογεῖται· τί γὰρ ἂν χρήσιμον φθέγξαιτο ὁ μή τι διανοούμενος ἀγαθόν;

Δεκταὶ παρὰ κυρίῳ ὁδοὶ ἀνδρῶν δικαίων.

Εὐπαράδεκτοι τῷ κυρίῳ πάντων Θεῷ, αἱ κατὰ γνῶσιν καὶ ἀρετὴν τῶν ἀμέμπτως βιούντων πορεῖαι· ἐπιτυγχανόντων αὐτοῦ, οἷα μὲν τέλους τῶν γνωστῶν, ὡς ἀληθείας· οἷα δὲ τέλους τῶν πρακτῶν, ὡς ἀγαθοῦ.

Διὰ δὲ αὐτῶν καὶ οἱ ἐχθροὶ γίνονται.

Διὰ τούτων δὲ, ὡς δυναμένων καὶ ἑτέρους καθαίρειν καὶ τελειοῦν, καὶ αὐτοὶ οἱ διὰ κακίαν καὶ ἄγνοιαν θεομάχοι, τοῦ μολυσμοῦ τῶν παθῶν καθαρθέντες, καὶ τοῦ σκότους τῆς ἀγνοίας ἀπαλλαγέντες, Θεῷ δι' ἀρετῆς καὶ γνώσεως οἰκειοῦνται.

29. Μακρὰν ἀπέχει ὁ Θεὸς ἀπὸ ἀσεβῶν.

Πόῤῥω ὁ Θεὸς τῶν μὴ δι' ἀγαθοεργίας τιμώντων αὐτὸν, διΐ- XV.
σταται, ὡς μὴ καθ' ὁμοίωσιν αὐτοῦ ἐργαζομένων τὸ ἀγαθόν.

Εὐχαῖς δὲ δικαίων ὑπακούει.

Τὰς δ' ἐντεύξεις τῶν κατὰ νόμους αὐτοῦ πολιτευομένων προσίεται ὡς διὰ μιμήσεως οἰκειουμένων αὐτῷ.

Κρείσσων ὀλίγη λῆψις μετὰ δικαιοσύνης, ἢ πολλὰ γεννήματα μετὰ ἀδικίας.

Κρείττων ἐστὶν ἐκ δικαίων πόνων μικρὰ εἰσφορὰ, εἰς μόνα ἐπαρκοῦσα τὰ ἀναγκαῖα, ἢ μεγάλη ἐξ ἁρπαγῆς πλεονεκτικῶς θησαυριζομένη.

Καρδία ἀνδρὸς λογιζέσθω δίκαια, ἵνα ὑπὸ τοῦ Θεοῦ διορθωθῇ τὰ διαβήματα αὐτοῦ.

Ἡ ψυχὴ τοῦ κατὰ τῶν παθῶν ἀνδριζομένου, διανοείσθω τὰς τοῦ Θεοῦ ἐντολάς· ὡς ἂν ὑπ' αὐτοῦ κατευθυνθῶσιν ἐν τῷ ἀγαθῷ τοῦ τοιούτου ἀνθρώπου αἱ πράξεις.

Θεωρῶν ὀφθαλμὸς καλὰ, εὐφραίνει καρδίαν. 30.

Τῆς πρακτικῶς γευσαμένης ψυχῆς τῶν θείων ἐντολῶν, ὁ θεωρῶν τοὺς λόγους αὐτῶν νοερὸς ὀφθαλμὸς, ἐν τῇ τούτων αὐτοψίᾳ χαρᾶς πνευματικῆς ταύτην πληροῖ, γευσαμένην καὶ θεασαμένην ὅτι χρηστὸς ὁ κύριος.

Φήμη δὲ ἀγαθὴ, πιαίνει ὀστᾶ.

Ἡ δ' ἐξ ἀκοῆς μόνης εἰσδύνουσα εἰς ψυχὴν τῶν θείων ἐντολῶν φήμη, ἐν τῇ τούτων ἱστορίᾳ τρέφει τὰς δίκην ὀστῶν τονωτικὰς ταύτης δυνάμεις, διανιστῶσα ταύτας πρὸς ἐργασίαν αὐτῶν.

Ὃς ἀπωθεῖται παιδείαν, μισεῖ ἑαυτόν· ὁ δὲ τηρῶν ἐλέγ- 32.
χους, ἀγαπᾷ τὴν ἑαυτοῦ ψυχήν.

Ὁ ἀποπεμπόμενος τοὺς πρὸς διόρθωσιν ἐπιτιμητικοὺς λόγους, ἐχθρὸς ἑαυτοῦ ἀποδείκνυται, ὡς ἀποστρεφόμενος τὰ συμφέροντα ἑαυτῷ· ὁ δὲ τούτους παρ' ἑαυτῷ φυλάσσων, φιλεῖ τὴν ἑαυτοῦ ψυχὴν, τὴν σωτηρίαν ταύτης ζητῶν.

Φόβος κυρίου, παιδεία καὶ σοφία καὶ ἀρχὴ δόξης ἀποκρι- 33.
θήσεται αὐτῇ.

XV. Ὁ δεσποτικὸς καὶ θεῖος φόβος, τοὺς μὲν πρακτικοὺς παιδεύει ἐκκλίνειν ἀπὸ κακοῦ, καὶ ποιεῖν ἀγαθὸν· τοὺς δὲ θεωρητικοὺς σοφίζει ἐκφεύγειν τὴν κατ' αἴσθησιν ἀπάτην, καὶ χωρεῖν πρὸς τὴν κατὰ νοῦν ἐν πνεύματι γνῶσιν τῶν ἐν τοῖς οὖσι λόγων· ἐν οἷς Θεὸς αὐτοῖς τοῖς θεωρητικοῖς πάντως ἐμφανισθήσεται, ὁ αἴτιος τῆς ἐν τῇ κτίσει μεγαλειότητος.

CAP. XVI.

v. 1. Πάντα τὰ ἔργα τοῦ ταπεινοῦ, φανερὰ παρὰ τῷ Θεῷ.

Πᾶσα ἡ ἐνάρετος πολιτεία τοῦ ταπεινόφρονος, κἂν κέκρυπται, μὴ τὴν παρ' ἀνθρώπων δόξαν ζητοῦντος, ἀλλὰ Θεῷ δήλη καθέστηκε, τῷ ἐπιγινώσκοντι αὐτὸν ἐκ τῆς καλῆς τῶν ἔργων ἀναστροφῆς.

4. Οἱ δὲ ἀσεβεῖς, ἐν ἡμέρᾳ κακῇ ὀλοῦνται.

Οἱ δὲ μὴ ἐξ ἔργων δικαιοσύνης τιμῶντες Θεὸν, ἐν ἡμέρᾳ ὀργῆς αὐτοῦ καὶ ἀνταποδόσεως, ἀπολοῦνται παραπεμφθέντες εἰς γέενναν.

5. Ἀκάθαρτος παρὰ κυρίῳ πᾶς ὑψηλοκάρδιος.

Βέβηλος παρὰ τῷ τοῦ παντὸς δεσπότῃ, κἂν βίου καθαρότητα ἐπιδείκνυται, ἀλαζὼν ἅπας καὶ ὑπερήφανος· ἀντιτάσσεται (γὰρ Θεῷ).

Χειρὶ δὲ χεῖρας ἐμβαλὼν ἀδίκως, οὐκ ἀθωωθήσεται.

Ὁ δὲ τῷ καμάτῳ τῆς οἰκείας χειρὸς, τοὺς τῶν ἀλλοτρίων χειρῶν πόνους παρὰ πάντα δίκαιον λόγον προσμίξας, οὐ τεύξεται συγγνώμης παρὰ τοῦ δικαίου τῶν ὅλων κριτοῦ ἐν ἡμέρᾳ ἀνταποδόσεως.

Ἀρχὴ ὁδοῦ ἀγαθῆς, τὸ ποιεῖν δίκαια.

Εἰσαγωγή ἐστι τῆς εὐαρέστου Θεῷ βιοτῆς, ἡ διὰ τῶν ἀντικειμένων τῇ κακίᾳ ἔργων κάθαρσις τῶν παθῶν· μεθ' ἣν ἡ προκοπή τε καὶ ἡ τελείωσις.

Δεκτὰ δὲ παρὰ Θεῷ μᾶλλον ἢ θύειν θυσίαν.

Εὐπρόσδεκτα δὲ τὰ τοιαῦτα ἔργα θεῷ, ὑπὲρ ἀλόγων ζώων XVI.
ὁλοκαυτώματα· ὡς τῆς σαρκὸς νεκροῦντα τὸ φρόνημα, καὶ ταύτην εὐάρεστον αὐτῷ θυσίαν δι᾽ ἐναρέτου πολιτείας ἀποτελοῦντα.

Ὁ ζητῶν τὸν κυριον, εὑρήσει γνῶσιν μετὰ δικαιοσύνης.

Ὁ θεοῦ ἐπιτυχεῖν ἐφιέμενος, τεύξεται τῆς ἐμπράκτυ γνώσεως τῶν ἁγίων αὐτοῦ ἐντολῶν.

Οἱ δὲ ὀρθῶς ζητοῦντες αὐτὸν, εὑρήσουσιν εἰρήνην.

Οἱ δὲ κατὰ τάξιν εὐθυπορoῦντες πρὸς κύριον, καὶ μήτε πρὸς τὰ κατ᾽ ἔλλειψιν τῆς ἀρετῆς πάθη, μήτε πρὸς τὰ καθ᾽ ὑπερβολὴν τρεπόμενοι, τελειοτάτης ὡς ἐφικτὸν ἀνθρώπῳ, ἀπαθείας ἀξιωθήσονται.

Πάντα τὰ ἔργα κυρίου μετὰ δικαιοσύνης. 4.

Δίκαια πάντα ὅσα ἂν ὁ τῶν ὅλων δεσπότης ποιῇ· κἂν ἀγαθὸς δὲ μὲν δυσπραγῇ, τιμωρούμενος κατὰ τὸ παρὸν, ὧν ὡς ἄνθρωπος ἐπλημμέλησεν· ὅπως κατὰ τὸ μέλλον μόνας τῶν ἀγαθῶν ἔργων λήψεται τὰς ἀντιμισθίας.

Φυλάσσεται δὲ ὁ ἀσεβὴς εἰς ἡμέραν κακήν.

Τηρεῖται δὲ εὐπραγῶν κατὰ τὸ παρὸν, ὁ μὴ δι᾽ ἀγαθοεργίας τιμῶν τὸν θεόν· μακροθυμοῦντος τούτου ἐπ᾽ αὐτῷ, ἕως ἡμέρας ὀργῆς καὶ ἀποκαλύψεως, καὶ ἀποδιδόντος αὐτῷ ἀγαθὰ νῦν, ἀνθ᾽ ὅτυ εἰργάσατό τι καλὸν, ἐπειδὴ οἶδε τοῦτον μὴ διὰ τῶν ἐνταῦθα λυπηρῶν διορθωθησόμενον.

Μαντεῖον ἐπὶ χείλεσι βασιλέως. 10.

Ἐν τοῖς λόγοις τοῦ παμβασιλέως θεοῦ, ἡ τῶν μελλόντων ἔνεστι πρόγνωσις· ἀπειλοῦντος μὲν τοῖς ἀμετανόητα ἁμαρτάνουσιν αἰώνιον κόλασιν· ἐπαγγελλομένου δὲ τοῖς ἀπαραλείπτως ἐργαζομένοις τὰς ἁγίας αὐτοῦ ἐντολὰς, τὰ ἀτελεύτητα ἀγαθά.

Ἐν δὲ κρίσει, οὐ μὴ πλανηθῇ τὸ στόμα αὐτοῦ.

Ἡ δὲ κατὰ τὴν μέλλουσαν κρίσιν ἐπί τε τοῖς δικαίοις καὶ τοῖς ἁμαρτωλοῖς δικαιοτάτη τούτου ἀπόφασις, ἀπλανής ἐστιν· ὡς ἀληθῶς τοὺς μὲν δικαιοῦντος, τοὺς δὲ κατακρίνοντος.

Ῥοπὴ ζυγοῦ, δικαιοσύνη παρὰ κυρίου. 11.

XVI. Οἷά πέρ τις ζυγὸς πρὸς τὸ πλεῖον τῆς ὁλκῆς ῥέπων, οὕτως ἡ τοῦ δεσπότου τῶν ὅλων δικαιοσύνη, τὰ ἀγαθὰ ἡμῶν ἔργα καὶ τὰ πονηρὰ, ἐν ἡμέρᾳ κρίσεως ταλαντεύουσα· καὶ εἰ μὲν τὰ καλὰ ἔργα πλείονα εὑρεθῇ, δικαιοῦσα· εἰ δὲ τὰ κακὰ, κατακρίνουσα.

Τὰ δὲ ἔργα αὐτοῦ, στάθμια δίκαια.

Αἱ δ' εὐεργεσίαι τούτου, ἐπίσης εἰς πάντας ἐκκέχυνται, δωρουμένου πᾶσιν ἐν τῇ ἀναστάσει τὸ τῆς προαιρέσεως καὶ τὸ τῆς φύσεως ἄφθαρτον· ὡς κακίας καὶ θανάτου μηκέτι ἐνεργουμένων· κἂν ἕκαστος ἀναλόγως ἀπολαμβάνῃ τοῖς πεπραγμένοις ἐν τῇ αὐτοῦ βιοτῇ.

12. Βδέλυγμα βασιλεῖ ὁ ποιῶν κακά.

Μισητός ἐστι τῷ τοῦ παντὸς δεσπότῃ, ὃς τὰ παρ' ἐντολὴν αὐτοῦ ἔργα ποιεῖ· διὰ γὰρ τῆς κατὰ νόμους θείους πολιτείας, εὐτρεπίζεται ἡ ψυχὴ εἰς τὸ ἀναπαύειν ὥς τις θρόνος, ἐφ' ἑαυτῇ θεὸν, τὴν πάντων αἰτίαν.

Μετὰ γὰρ δικαιοσύνης ἑτοιμάζεται θρόνος ἀρχῆς.

Εὐπρόσδεκτα θεῷ τῷ πάντων βασιλεῖ, ἥ τε ἐπιθυμία, καὶ ὁ θυμὸς ὅταν κατ' ὀρθὴν κρίσιν, ἡ μὲν τὸ ἀγαθὸν φιλεῖ, ὁ δὲ τὸ κακὸν βδελύττηται.

13. Δεκτὰ βασιλεῖ χείλη δίκαια.

Ἀσπάζεται δ' οὗτος, τοὺς ὁμολογοῦντας τὸ ἀληθὲς λόγους, καὶ μὴ ὑποκρινομένους τὸ ψεῦδος διὰ φόβον ἀνθρώπινον.

14. Θυμὸς βασιλέως, ἄγγελος θανάτου.

Ἡ κατὰ κρίσιν τοῦ δεσπότου τῶν ὅλων, ἐπαγωγὴ πρὸς διόρθωσιν, τῶν κατὰ τὸ παρὸν θλιβερῶν, ὥς τις ἄγγελος προμηνύει τὴν ἐπὶ τοῖς ἀμετανοήτοις κατὰ τὸ μέλλον στέρησιν αὐτοῦ, τῆς ὄντως ζωῆς.

Ἀνὴρ δὲ σοφὸς, ἐξιλάσεται αὐτόν.

Γενναίως δ' ὑπομείνας τὰ ἀλγεινὰ, ὁ ἐντεῦθεν ἐν συναισθήσει γενόμενος τῶν οἰκείων πλημμελημάτων, καὶ τῆς ἐπ' αὐτοῖς μελλούσης κολάσεως, καὶ τὸν ἴδιον βίον διορθωσάμενος, τὸν μὲν θυμὸν αὐτοῦ ἀποστρέψει, ἐπισπάσεται δὲ τὴν εὐμένειαν.

Ἐν φωτὶ ζωῆς υἱὸς βασιλέως. XVI. 15.

Ἐν τῷ φωτὶ ὑπάρχει τῶν ἐντολῶν τοῦ τῆς δικαιοσύνης ἡλίου, ὁ διὰ τῆς εἰς Θεὸν καὶ τὸν πλησίον ἀγάπης, υἱὸς κατὰ χάριν αὐτοῦ τοῦ πάντων δεσπόζοντος γενέσθαι καταξιωθείς.

Οἱ δὲ προσδεκτοὶ αὐτῷ, ὥσπερ νέφος ὄψιμον.

Οἱ δὲ προσδεχόμενοι παρ᾽ αὐτοῦ, ὡς διὰ τὴν εἰς αὐτὸν πίστιν τῷ φόβῳ τῶν κολάσεων δουλικῶς, ἀπὸ τοῦ προτέρου τῆς κακίας βίου, ἐπὶ τέλει τῆς οἰκείας ζωῆς ἐπιστρέφοντες, καὶ τὰς τῷ φλογμῷ τῶν ἑκουσίων παθῶν, πάσης πνευματικῆς νοτίδος στερηθείσας ψυχὰς καθυγραίνοντες τῇ διὰ κατάνυξιν τῶν δακρύων ῥοῇ, ὀψίμῳ ἐοίκασι νέφει καὶ δροσίζοντι τὴν ξηρανθεῖσαν γῆν τῷ θερινοῦ φλογμοῦ καύσωνι.

Νοσσιαὶ σοφίας αἱρετώτεραι χρυσίου. 16.

Αἱ τοῦ νοὸς θεωρητικαὶ ἕξεις, ἃς οὗτος δυνάμει σοφίας πηγνύων ἐν πνεύματι, ἐπί τε τῇ αἰσθήσει καὶ τῇ φαντασίᾳ, ἐν ταύταις τὰς περὶ τῶν ὄντων ἀληθεῖς δόξας κατὰ διάνοιαν οἷά τινας ἀπογεννᾷ νεοττούς, προτιμώτεραι ὀβρύζου χρυσίου, ὡς ἐν πυρὶ ταῖς λογικαῖς βασάνοις δοκιμαζόμεναι, καὶ κατὰ γνῶσιν ἀμείωτοι εὑρισκόμεναι.

Νοσσιαὶ δὲ φρονήσεως, αἱρετώτεραι ὑπὲρ ἀργύριον.

Αἱ δὲ τοῦ λόγου πρακτικαὶ ἕξεις, ἃς οὗτος δυνάμει φρονήσεως ἐπὶ τῇ ἐπιθυμίᾳ καὶ τῷ θυμῷ πηγνύων, ἐν τούτοις κατ᾽ ἐπιστασίαν τὰς ἀρετὰς, οἷά τινας νεοττοὺς προάγει, ἀργυρίου τηλαυγοῦς προτιμώτεραι, διὰ βίου καθαρότητα καὶ λαμπρότητα.

Τρίβοι ζωῆς ἐκκλίνουσιν ἀπὸ κακῶν. 17.

Αἱ κατ᾽ ἀρετὴν ἀπὸ εἰσαγωγῆς διὰ προκοπῆς πρὸς τελειότητα πορεῖαι τῆς πνευματικῆς ζωῆς τοῦ εὐαρεστεῖν Θεῷ σπεύδοντος, ὡς πάσας κατορθοῦσαι τὰς ἐντολὰς, πᾶσαν κακίαν ἐκφεύγουσιν.

Μῆκος δὲ βίου, ὁδοὶ δικαιοσύνης.

Αὗται δὲ αἱ κατὰ τοὺς θείους νόμους πολιτεῖαι, ζωῆς ποιοῦ-

XVI. σι παράτασιν· ἀπὸ τῆς προσκαίρου πρὸς τὴν ἐν Θεῷ ἀτελεύτητον, τοὺς ἑλομένους αὐτὰς παραπέμπουσαι.

Ὁ δεχόμενος παιδείαν, ἐν ἀγαθοῖς ἔσται.

Ὁ εὐχαρίστως ὑπομένων τὰς τῶν ἀκουσίων πόνων πρὸς διόρθωσιν ἐπαγωγὰς, ἕξει μισθαποδοσίαν τὰ ἐν ἐπαγγελίαις ἀγαθά.

Ὁ δὲ φυλάσσων ἐλέγχους, σοφισθήσεται.

Ὁ δὲ τηρῶν τὰς δηλοποιοὺς πάσης κακίας, θείας ἐντολὰς τοῦ ὄντως ἀγαθοῦ ἐπιστήμων γενήσεται.

Ὃς φυλάσσει τὰς ἑαυτοῦ ὁδοὺς, τηρεῖ τὴν ἑαυτοῦ ψυχήν.

Ὃς διὰ θείου φόβου τηρεῖ τὰς κατ᾽ ἀρετὴν πορείας αὐτοῦ, εἰς τὸ μὴ τοῦ ἀγαθοῦ παρεκτρέπεσθαι, ἀκίνδυνον ἀπὸ κακίας τὴν ἰδίαν φυλάσσει ψυχήν.

Ἀγαπῶν δὲ ζωὴν αὐτοῦ, φείσεται στόματος αὐτοῦ.

Ὁ δ᾽ ἀσπαζόμενος τὴν ὡς λογικῷ πρέπουσαν αὐτῷ πνευματικὴν βιοτὴν, πολλὰ μὲν ἐνωτίσεται, ὀλίγα δὲ φθέγξεται· ὥστε πράττειν μὲν ἃ μεμάθηκεν ἀγαθὰ, μὴ λέγειν δὲ περὶ ὧν μήπω κατέλαβεν, καὶ τῆς ἀληθείας ἐντεῦθεν διαμαρτάνειν.

Πρὸ συντριβῆς, ἡγεῖται ὕβρις.

Προηγεῖται τιμωρίας δὲ ἡ τῇ λόγῳ τετιμημένῃ ψυχῇ ἀτιμοποιὸς ἁμαρτία, ὡς αἰτία αἰτιατοῦ.

18. Πρὸ δὲ πτώματος κακοφροσύνη.

Αὐτοῦ δὲ τοῦ καθ᾽ ἁμαρτίαν ψυχικοῦ πτώματος, τὸ φρονεῖν παρ᾽ ὃ δεῖ φρονεῖν, καὶ μὴ φρονεῖν εἰς τὸ σωφρονεῖν.

19. Κρείσσων πραΰθυμος μετὰ ταπεινώσεως.

Καλλίων ἐστὶν ὁ διὰ βίου εὐτέλειαν, ἀνεξικάκως φέρων τὴν τῶν οἰκείων πονημάτων στέρησιν.

Ἢ ὃς διαιρεῖται σκῦλα μετὰ ὑβριστῶν.

Παρὰ τὸν ταῦτα τυραννικῶς ἀφαιρούμενον, καὶ τὴν μερίδα τιθέμενον μετὰ τῶν κατεπαιρομένων τῶν ἀσθενῶν· ὅτι τὸν Θεὸν, ὁ μὲν ἔχει ἔκδικον, ὁ δὲ τιμωρόν.

20. Συνετὸς ἐν πράγμασιν, εὑρετὴς ἀγαθῶν.

Ὁ νουνεχὴς καὶ πεῖραν κεκτημένος ἀκριβῆ τῶν πραγμάτων,

ἀπὸ τῶν χειρόνων διακρίνων τὰ κρείττονα, ὑπάρχει τούτων ἐπιτυχής. XVI.

Πεποιθὼς δὲ ἐπὶ Θεῷ, μακαριστός.

Ὁ δὲ πᾶσαν τὴν ἑαυτοῦ ἐλπίδα, Θεῷ ἀνατιθεὶς καὶ μὴ ἐφ' ἑαυτῷ θαῤῥῶν, τυγχάνει ἀείμνηστος· εἰ μὴ γὰρ κύριος τῷ ἑαυτοῦ φόβῳ φυλάξει ψυχὴν ἀπὸ τῶν ἐπιβουλευόντων αὐτῇ πνευμάτων τῆς πονηρίας, εἰς κενὸν ἐγρηγόρησεν ὁ ταύτην τηρῶν· καὶ εἰ μὴ πάλιν ὁ αὐτὸς οἰκοδομήσει αὐτὴν οἰκητήριον ἑαυτῷ τῇ ἀρχιτεκτονίᾳ τοῦ πνεύματος, ἀνηνύτως ἐσπούδασεν ὁ οἰκοδομεῖν ταύτην ἐπιχειρῶν.

Τοὺς σοφοὺς καὶ συνετοὺς φαύλους καλοῦσιν. 21.

Τοὺς γινώσκοντας τὴν ἀλήθειαν, καὶ αἱρουμένους τὸ ἀγαθὸν καὶ ταῦτα λόγοις καὶ ἔργοις ἀνυποστόλως κηρύττοντας, πρός τε τὴν τῶν ἀκουόντων καὶ τὴν ὁρώντων ὠφέλειαν, οἱ πολλοὶ τῶν ἀνθρώπων διαβάλλειν ἐπιχειροῦσι· διά τε τὸ τοῦ λόγου παῤῥησιαστικὸν, καὶ τὸ τοῦ βίου σκληρόν.

Οἱ δὲ γλυκεῖς ἐν λόγῳ, πλεῖον ἀκούσονται.

Οἱ δὲ τὰ πρὸς χάριν τοῖς ἀκροωμένοις φθεγγόμενοι, καὶ κρύπτοντες τὴν ἀλήθειαν, πλειόνων λόγων ἀντακροάσονται, πρὸς χάριν λεγομένων αὐτοῖς· καὶ ἔσονται ἀπατῶντες καὶ ἀπατώμενοι.

Πηγὴ ζωῆς, ἔννοια τοῖς κεκτημένοις. 22.

Ἡ κατὰ διάνοιαν τῆς τῶν αἰσθητῶν φαντασίας περίσκεψις, τοῖς κεκτημένοις αὐτὴν, βρύσις ἐστὶ πνευματικῆς γνώσεως τὰς αἰτίας τῶν πραγμάτων εὑρίσκουσα.

Παιδεία δὲ ἀφρόνων, κακή.

Ἡ δὲ μάθησις τῶν ἀλογίστως ὀρεγομένων τινὸς, ἢ ἀποστρεφομένων αὐτὸ, οὐ καλή ἐστιν· ἐπειδὴ ἀναξετάστως οὗτοι κατὰ μόνον τὸ τῇ αἰσθήσει δοκοῦν, ἐπαινεῖν ἢ ψέγειν τὸ παρατυχὸν μεμαθήκασιν.

Καρδία σοφοῦ νοήσει τὰ ἀπὸ τοῦ ἰδίου στόματος. 23.

Τοῦ συνετοῦ ἡ ψυχὴ γνώσεται πρότερον τὰ δέοντα ῥηθῆναι, καὶ οὕτω ταῦτα προαγάγει τοῦ στόματος· καὶ οὐχ ὡς ἔτυχε τὰ μὴ δέοντα φθέγξεται.

XVI. Ἐπὶ δὲ χείλεσι φορέσει ἐπιγνωμοσύνην.

Αὐτὸς δὲ ἐπὶ τῇ τῶν χειλέων ἀνοίξει περιβαλεῖται ἐπίγνωσιν τοῦ πρέποντος καιροῦ, εἰς τὸ εἰπεῖν ἃ λαληθῆναι προέγνωκε δέοντα.

24. Κηρία μέλιτος λόγοι καλοί.

Οἱ πρὸς διδασκαλίαν ἀγαθοὶ λόγοι, δίκην μέλιτος κηρίων, εἰσὶ διεσκευασμένοι πολυειδῶς· ὥστε καταλλήλως τῇ τῶν δεχομένων δυνάμει ἁρμόττεσθαι.

Γλύκασμα δὲ αὐτῶν, ἴασις ψυχῆς.

Ἡ δ' ἐν τούτοις ἐγκεκρυμμένη ὡς ἔν τισι σίμβλοις γλυκυτάτη γνῶσις τῆς ἀληθείας, θεραπεία ὑπάρχει ψυχῆς· σκότους αὐτὴν ἀγνοίας ἀπαλλάττουσα.

25. Εἰσὶν ὁδοὶ δοκοῦσαι εἶναι ὀρθαὶ ἀνδρί· τὰ μέν τοι τελευταῖα αὐτῶν βλέπει εἰς πυθμένα ᾅδου.

Ὑπάρχουσι πολιτεῖαι τινὲς, αἳ διὰ τὸ ἐπίκηρον ἡδὺ καὶ ἐπίδοξον, νομίζονται τινὶ ἀνθρώπῳ τυγχάνειν καλαί· τὰ δὲ τέλη τούτων, εἰς βάθος ἀπωλείας ὁρᾷ· τῆς γὰρ κατ' αἴσθησιν ἡδονῆς, τέλος ἡ ὀδύνη ἐστί· καὶ τῆς διακένου δόξης, ἡ ἀτιμία.

26. Ἀνὴρ ἐν πόνοις πονεῖ ἑαυτῷ, καὶ ἐκβιάζεται ἑαυτοῦ τὴν ἀπώλειαν.

Ἄνθρωπός τις τῷ δοκεῖν μοχθεῖ ὑπὲρ ἑαυτοῦ, ἐν μόχθοις πολλοῖς πλεονεκτικῶς πλουτῶν, καὶ τυραννικῶς δοξαζόμενος· ἐπεὶ δὲ κίνδυνος ταῦτα ψυχῆς, βιαστικῶς ἐπισπᾶται ὁ τοιοῦτος τὸν ἴδιον ὄλεθρον.

Ὁ μέν τοι σκολιὸς, ἐπὶ τῷ ἑαυτοῦ στόματι φορεῖ τὴν ἀπώλειαν.

Ὁ μέν τοι γνώμην ἔχων στρεβλὴν, καὶ βλάπτειν ἀεὶ μελετῶν, οὐ πολλοῦ δεῖται καμάτου εἰς βλάβην αὐτοῦ· ἀλλὰ παρὰ τῷ ἰδίῳ στόματι τὸν ἑαυτοῦ ἐπιφέρεται ὄλεθρον· προξενῶν ἀπώλειαν ἑαυτῷ, ἐξ ὧν εἴωθε φθέγγεσθαι· παρὰ μὲν θεοῦ, τὴν κατὰ ψυχήν· παρὰ δὲ τῶν ἐνωτιζομένων τὰ παρ' αὐτοῦ λεγόμενα, τὴν κατὰ σῶμα.

Ἀνὴρ ἄφρων, ὀρύσσει ἑαυτῷ κακά. XVI.

Ἄνθρωπος ὃς μὴ τὰ ἑαυτοῦ συμφέροντα διαλογίζεται, καθ' 27.
ἑαυτοῦ ἐξευρίσκει τὰ βλαπτικὰ, ἐπινοῶν τὰ πρὸς οἰκείαν ἀπώλειαν.

Ἐπὶ δὲ τῶν ἑαυτοῦ χειλέων θησαυρίζει πῦρ.

Ἐν δὲ τῷ στόματι αὐτοῦ, συνάγει ῥήματα κακίαν ἅπασαν ἐκκαίοντα παρὰ τοῖς ἀκούουσιν.

Ἀνὴρ σκολιὸς, διαπέμπεται κακά. 28.

Ἄνθρωπος κατὰ γνώμην στρεβλὸς, παραπέμπει διὰ μέσων τῶν ἐπιτηδείων εἰς τὸ ὑπουργεῖν τὰ αὐτοῦ βουλεύματα, τοὺς ἐν τῇ ψυχῇ αὐτοῦ μελετωμένους δόλους κατὰ τῶν ἀγαπώντων ἀλλήλους.

Καὶ λαμπτῆρα δόλου πυρσεύσει κακοῖς· καὶ διαχωρίζει φίλους.

Καὶ οὕτω πυρσὸν ὑπανάπτει ἀπάτης ἐν τοῖς πειθαρχοῦσιν αὐτῷ ὑπουργοῖς τῆς κακίας· καὶ διὰ τούτων, ὡς δι' ὀργάνων τινῶν, τοὺς ἡνωμένους δι' ἀγάπης εἰλικρινοῦς, ἀπ' ἀλλήλων διίστησιν, ἔχθραν ἀνὰ μέσον αὐτῶν ἐμβαλών.

Ἀνὴρ παράνομος ἀποπειρᾶται φίλων, καὶ ἀπάγει αὐτοὺς ὁδοὺς 29.
οὐκ ἀγαθάς.

Ἄνθρωπος παραβάτης τῶν τοῦ Θεοῦ ἐντολῶν, βλάψαι τινὰς βουλόμενος κεκτημένους πρὸς ἀλλήλους ἀγάπην καὶ ὑπ' ἀλλήλων βοηθουμένους, δοκιμάζει τούτους εἰ τὰ κατ' ἀλλήλων δέχονται σκάνδαλα· καὶ ἀπὸ τῆς τοιαύτης ἀγαθῆς διαθέσεως, ἄγει αὐτοὺς εἰς διαλογισμοὺς μίσους.

Στηρίζων δὲ ὀφθαλμοὺς αὐτοῦ, λογίζεται διεστραμμένα· ἐπι- 30.
δάκνων δὲ τοῖς χείλεσιν αὐτοῦ, ὁρίζει πάντα τὰ κακά.

Ἐφιστῶν δὲ ἐπ' αὐτοὺς τοὺς ἑαυτοῦ ὀφθαλμοὺς, μελετᾷ κατ' αὐτῶν πονηρά· καὶ τὰ ἴδια χείλη ἐκδάκνων, τυποῖ πάντα τὰ παρ' αὐτοῦ κατ' αὐτῶν μελετώμενα.

Οὗτος κάμινός ἐστι κακίας.

Ὁ γοῦν τοιοῦτος ἄνθρωπος, πῦρ κακίας ἐστὶ, μισανθρώπως τοὺς παρατυγχάνοντας καταδαπανῶν.

Στέφανος καυχήσεως γῆρας· ἐν δὲ ὁδοῖς δικαιοσύνης εὑρί- 31.
σκεται.

XVI. Τὸ δηλωτικὸν βραβεῖον τῆς κατὰ τῶν παθῶν νίκης, τὸ τοῦ βίου τέλος ἐστίν· ἐν δὲ ταῖς ἐργασίαις τῶν τοῦ Θεοῦ ἐντολῶν τὸ τοιοῦτον τέλος εὑρίσκεται· ἐκ νεότητος γάρ τις ἀγωνιζόμενος κατὰ τῶν παθῶν διὰ τῆς τῶν θείων ἐντολῶν ἐργασίας ἄδηλον ἔχει μέχρι γήρως τὴν κατ᾽ αὐτῶν νίκην, ὡς τὸ ταύτης δηλωτικὸν βραβεῖον, ἐν αὐτῷ τῷ τέλει ἀπεκδεχόμενος.

32. Κρείσσων ἀνὴρ μακρόθυμος, ἰσχυροῦ· ὁ δὲ κρατῶν ὀργῆς, κρείσσων καταλαμβανομένου πόλιν.

Καλλίων ἐστὶν ὁ γενναίως φέρων τὰ παρά τινος αὐτῷ ἐπερχόμενα λυπηρὰ, καὶ λόγῳ κρατῶν τοῦ θυμοῦ, ὥστε μὴ ὀρέγεσθαι τῆς τούτων ἀντιλυπήσεως, ὑπὲρ αὐτὸν τὸν εἰς βλάβην τούτου τὴν ἰδίαν ἐνδεικνύμενος δύναμιν· ὃς δὲ κἂν τὴν ὄρεξιν τῆς ἀντιλυπήσεως κατασχεῖν μὴ δεδύνηται, αὐτοῦ τοῦ ἀντιλυπῆσαι εἰ καὶ δυνατῶς ἔχει ἀπέχεται, καλλίων ἐστὶ τοῦ φθάνοντος τὴν τούτου λυπῆσαι ψυχὴν, ἐν ᾗ οὗτος κατὰ διάνοιαν τὸ πολίτευμα κέκτηται· παρὰ γὰρ Θεοῦ, οἱ μὲν μισθοὺς τῆς ὑπομονῆς ἕνεκεν ἀπεκδέχονται, οἱ δὲ τιμωρίας· ὅτε ἕκαστος αὐτῶν διετέθη πρὸς τὸν πέλας κακῶς.

33. Εἰς κόλπους ἐπέρχεται πάντα τοῖς ἀδίκοις· παρὰ δὲ κυρίου πάντα δίκαια.

Τοῖς βλάπτουσιν ἑτέρους, εἰς οἰκείαν ἐπιστρέφουσι βλάβην ἃ πρὸς τούτους ἐνδείκνυνται· παρὰ δὲ τοῦ τῶν ὅλων δεσπότου, ἡ δικαιοτάτη αὕτη κρίσις ἐξέρχεται· ἀποδιδόντος πᾶσι κατὰ τὰ ἔργα αὐτῶν.

CAP. XVII.

v. 1. Κρείσσων ψωμὸς μεθ᾽ ἡδονῆς ἐν εἰρήνῃ.

Καλλίων ἐστὶν ἄρτος μόνος ἡδέως ἐσθιόμενος ἐν γαλήνῃ ψυχῆς καὶ ὁμονοίᾳ τῇ πρὸς ἅπαντας.

Ἢ οἶκος πλήρης ἀγαθῶν πολλῶν, καὶ ἀδίκων θυμάτων, μετὰ μάχης.

Ἡ οἰκία πεπληρωμένη καρυκευμάτων παντοδαπῶν, καὶ σφαγίων ἐξ ἁρπαγῆς, μετὰ ἔχθρας παραπικραινούσης ψυχήν. XVII.

Οἰκέτης νοήμων κρατήσει δεσποτῶν ἀφρόνων. 2.

Ὁ πάθεσι δουλεύων, καὶ τὴν οἰκείαν ἐπιγινώσκων ἀσθένειαν, καὶ μετανοῶν ἐφ' οἷς πλημμελεῖ, ἄρξει ποτὲ διὰ λόγου τῶν τὴν τούτου ψυχὴν τυραννούντων παραλόγων παθῶν.

Ἐν δὲ ἀδελφοῖς διελεῖται μέρη.

Ἐν δὲ ταῖς περὶ τὸ ἀγαθὸν ὁμονοούσαις ψυχικαῖς δυνάμεσι, τὸν ἕνα λόγον τῆς ἀρετῆς εἰς διαφόρους ἀρετὰς διαιρήσει ἑκάστη δυνάμει ἀπονέμων τὴν πρόσφορον· οἷον, τῇ μὲν ἐπιθυμητικῇ, τὴν σωφροσύνην· τῇ δὲ θυμικῇ, τὴν ἀνδρείαν· τῇ δὲ λογιστικῇ, τὴν φρόνησιν· καὶ ταῖς ὅλαις, τὴν δικαιοσύνην ἐν τῷ τὰς ἐλλείψεις καὶ τὰς ὑπερβολὰς ἐκφεύγειν τῶν ἀρετῶν.

Ὥσπερ δοκιμάζεται ἐν καμίνῳ ἄργυρος καὶ χρυσὸς, οὕτως ἐκλεκταὶ καρδίαι παρὰ κυρίῳ. 3.

Καθάπερ ἡ τοῦ ἀργύρου φύσις, καὶ ἡ τοῦ χρυσοῦ, αἱ τῶν λοιπῶν ὑλῶν τιμιώτεραι, ἐν τῷ πυρὶ ἐξετάζονται, εἴπερ εἶεν ἀκίβδηλοι· τοιουτοτρόπως καὶ τῶν πολλῶν αἱ προέχουσαι κατὰ γνώμην ψυχαὶ, παρὰ τῷ τῶν ὅλων δεσπότῃ θεῷ· τῇ γὰρ περὶ αὐτοῦ, καὶ τῶν αὐτοῦ ποιημάτων ἀληθεῖ δόξῃ, καὶ ταῖς πανα-γάθοις αὐτοῦ ἐντολαῖς, τὸ κατὰ γνῶσιν ἐν ταῖς λογικαῖς βασάνοις δίκην χρυσοῦ ἀμείωτον, καὶ τὸ κατ' ἀρετὴν ἐν βίῳ, δίκην ἀργύρου διαφανὲς καὶ λαμπρὸν τῶν τοιούτων ψυχῶν δοκιμάζεται.

Κακὸς ὑπακούει γλώσσαις παρανόμων. 4.

Ὁ κεκτημένος γνώμην κακὴν, ταῖς συμβουλίαις πείθεται τῶν μὴ τηρησάντων τὸν λόγον καθ' ὃν γεγόνασι τῆς πονηρίας πνευμάτων.

Δίκαιος δὲ οὐ προσέχει χείλεσι ψευδέσιν.

Ὁ δὲ θείοις νόμοις ὑπείκων, τὰς ἀπατηλὰς ὑποθήκας αὐτῶν οὐ προσίεται.

Ὁ καταγελῶν πτωχοῦ, παροξύνει τὸν ποιήσαντα αὐτόν. 5.

XVII. Ὁ ἐξυθενῶν τὸν πλοῦτυ, οἷς Θεὸς ἐπίςαται κλίμασιν, ἀποπεσόντα, αὐτὸν τὸν τούτου πλαςουργὸν παροργίζει· ὅτι μὴ τὸν ἄνθρωπον τιμᾷ, τὸ τιμιώματον Θεῷ κτῆμα καὶ οἰκειότατον, ἀλλὰ γῆς ῥέουσαν ὕλην καὶ κάτω μένουσαν.

Ὁ δὲ ἐπιχαίρων ἀπολλυμένῳ, οὐκ ἀθωωθήσεται.

Καὶ ὁ ἐπεγγελῶν τῷ εἴτε κατὰ ψυχὴν εἴτε κατὰ σῶμα κινδυνεύοντι, οὐκ ἀνεύθυνος ἔσεται, ἀλλὰ δίκας εἴτε κατὰ τὸ παρὸν, εἴτε κατὰ τὸ μέλλον εἰσπραχθήσεται παρὰ τοῦ δικαίυ κριτοῦ, ἐπειδὴ οὕτως ἀσυμπαθῶς περὶ τὸν ὁμοφυῆ διετέθη.

Ὁ δὲ ἐπισπλαγχνιζόμενος, ἐλεηθήσεται.

Ὁ δὲ σπλάγχνα ἐλέους ὑπανοίγων αὐτῷ, τὸν τοῦ Θεοῦ εἰς ἑαυτὸν ἐπισπάσεται ἔλεον· ἐλεηθεὶς ὡς ἠλέησεν.

6. Στέφανος γερόντων, τέκνα τέκνων.

Δόξα ὥσπερ τοῖς καθ' ἡλικίαν πρεσβυτέροις, υἱοὶ τῶν υἱῶν, οὕτω τοῖς κατὰ σύνεσιν γηραιοῖς, οἱ ἐκ τῶν γεννηθέντων αὐτοῖς διὰ τῆς πνευματικῆς διδασκαλίας ὁμοιοτρόπως ἀποτεχθέντες· διότι οὐκ ἀτελῶς ἐδίδαξαν, ἀλλ' ἑτέρων διδασκάλους τοὺς οἰκείους ἀποτελέσαι ἴσχυσαν μαθητάς.

Καύχημα δὲ τέκνων, πατέρες αὐτῶν.

Καύχημα δὲ καθάπερ τῶν κατὰ σάρκα υἱῶν, οἱ τούτων γονεῖς, τὸν αὐτὸν τρόπον καὶ τῶν κατὰ πνεῦμα, οἱ πνευματικῶς τούτυς ἀποτεκόντες· καὶ γὰρ ὡς ἐπί τινι κλήρῳ, τῇ εὐκλείᾳ τῶν γεννητόρων, οἱ υἱοὶ ἐναβρύνονται.

Τοῦ πιστοῦ ὅλος ὁ κόσμος τῶν χρημάτων.

Τοῦ βεβαίαν εἰς Θεὸν κεκτημένου πίστιν, ἅπαν τὸ πλῆθος ἐστὶ τῶν χρημάτων, αὐτῷ τῷ δημιυργῷ τῶν ὅλων, καὶ προνοητῇ ἑαυτὸν ἀνατιθέντος, κἀκεῖθεν πληρυμένου τὴν χρείαν· διὸ οὗτος, καὶ μηδὲν ἔχων, τὰ πάντα κατέχει.

Τοῦ δὲ ἀπίστου, οὐδὲ ὀβολός.

Τοῦ δὲ Θεῷ μὴ πιστεύοντος, οὐδ' ὀβολός ἐστιν εἷς, μηδὲν πιστὸν κεκτημένου καὶ βέβαιον, κἂν πολλὴν οὗτος κέκτηται περιουσίαν χρημάτων.

Οὐχ ἁρμόσει ἄφρονι χείλη πιστά. XVII.

Οὐκ εὐπαράδεκτοι ἔσονται τῷ μὴ περιφέροντι Θεὸν ἐν καρ- 7.
δίᾳ. εἴθ' ὡς δεσπότην φόβῳ, εἴθ' ὡς κατὰ χάριν πατέρα πό-
θῳ, αἱ ἅγιαι αὐτοῦ ἐντολαί.

Οὐδὲ δικαίῳ χείλη ψευδῆ.

Οὐδὲ τῷ κατ' αὐτὰς πολιτευομένῳ, αἱ τοῦ διαβόλου ἀπατηλαὶ ὑποθῆκαι· οὐδεὶς γὰρ Θεῷ καὶ σατᾶν δουλεύειν δύναται.

Μισθὸς χαρίτων ἡ παιδεία τοῖς χρωμένοις. 8.

Μισθοῦνται διὰ τῶν ἐντολῶν, τὰ τοῦ παναγίου πνεύματος χαρίσματα, εἰς τὴν μετάγουσαν ἀπὸ τοῦ ἐναντίου εἰς τὸ ἀγαθὸν τὸν ἡμέτερον βίον παίδευσιν, τοὺς μετιόντας αὐτήν· ἄνευ γὰρ τῶν τοῦ πνεύματος χαρισμάτων, τοῦ φόβου φημὶ, καὶ τῆς ἰσχύος, καὶ τῶν λοιπῶν, οὐδέ τινος βίος τῇ τῶν ἐντολῶν κατορθώσει πρός τὸ βέλτιον μεταβάλλεται.

Οὗ δ' ἂν ἐπιστρέψῃ, εὐοδωθήσεται.

Εὐθυπορήσει δὲ ἡ τοιαύτη παίδευσις, καὶ ἐν τοῖς ἐναντίοις· ἐμποιοῦσα ἐπὶ μὲν ταῖς εὐθυμίαις, ἐγκράτειαν τῶν ἡδέων· ἐπὶ δε ταῖς δυσθυμίαις, ὑπομονὴν τῶν ἀλγεινῶν.

Ὃς κρύπτει ἀδικήματα, ζητεῖ φιλίαν. 9.

Ὁ παρορῶν τὰ παρ' ἑτέρων εἰς αὐτὸν γινόμενα σκάνδαλα, ποθεῖ τὸ συμφιλιάζειν αὐτοῖς.

Ὃς δὲ μισεῖ κρύπτειν, διΐστησι φίλους καὶ οἰκείους.

Ὃς δ' ἀποστρέφεται τὸ παραβλέπεσθαι ταῦτα, ἐχθραίνει τούς τε φιλοῦντας αὐτὸν, καὶ αὐτοὺς τοὺς κατὰ γένος προσῳκειωμένους αὐτῷ· τοῖς γὰρ ἀνακρίνουσι τὰ ἀλλήλων, ἀδύνατον μὴ εὑρίσκεσθαι σκάνδαλα.

Συντρίβει ἀπειλὴ καρδίαν φρονίμου. 10.

Συνθλᾷ καὶ τῆς πρὸς τὸ κακὸν ὁρμῆς ἀναστέλλει τὴν ψυχὴν τοῦ ἐχέφρονος, καὶ μόνος ἀπειλητικὸς λόγος· προφθάνει γὰρ ὁ τοιοῦτος ἀνὴρ τὴν τῶν κακῶν φυγὴν, πρὸ τῆς πείρας αὐτῶν.

Ἄφρων δὲ μαστιγωθεὶς, οὐκ αἰσθάνεται.

Ὁ δὲ ἀνόητος, καὶ μετὰ τὰς ἐπενηνεγμένας αὐτῷ πληγὰς,

XVII. τῶν πεπλημμελημένων αὐτῷ ἕνεκεν, οὐκ ἐπιγινώσκει τίνος χάριν αἱ τῶν πειρασμῶν ἐπιφοραὶ, συγχωρήσει θείᾳ, τούτῳ ἐπάγονται· κἀν.τεῦθεν τὸν οἰκεῖον βίον οὐ διορθοῖ.

11. Ἀντιλογίας ἐγείρει πᾶς κακός.

Ἀντιλέγει ταῖς τοῦ Θεοῦ ἐντολαῖς, πᾶς προαιρούμενος τὸ κακόν· προφασιζόμενος προφάσεις ἐν ἁμαρτίαις·

Ὁ δὲ κύριος ἄγγελον ἀνελεήμονα ἐκπέμψει αὐτῷ.

Ὁ δὲ τοῦ παντὸς δεσπότης Θεός, τιμωρητικὴν δύναμιν ἐξαποστελεῖ ἐπ' αὐτὸν, καταγγέλλουσαν τούτῳ τὴν κατ' αὐτοῦ δικαίαν τούτου ὀργήν· ὁ γὰρ ματαίως προβαλλόμενος προφάσεις, εἰς τὸ μὴ ποιεῖν τὰ δεσποτικὰ προστάγματα, παροργίζων Θεὸν, δικαίως τῶν παρ' αὐτοῦ πειρᾶται πληγῶν.

12. Ἐμπεσεῖται μέριμνα ἀνδρὶ νοήμονι.

Ἐπέλθῃ μελέτη διηνεκὴς πάντων τῶν ἐκεῖθεν δικαστηρίων, ἀνθρώπῳ νουνεχεῖ, καὶ τοῖς προσκαίροις τὸν νοῦν μὴ αἰχμαλωτιζομένῳ.

Οἱ δὲ ἄφρονες, διαλογιοῦνται κακά.

Οἱ δὲ μὴ περιφέροντες Θεὸν ἐν καρδίᾳ, διαλογισμοὺς ἕξουσι πονηροὺς, ὡς μόνοις προσκείμενοι τοῖς φθαρτοῖς.

13. Ὃς ἀποδώσει κακὰ ἀντὶ ἀγαθῶν, οὐ κινηθήσεται κακὰ ἐκ τοῦ οἴκου αὐτοῦ.

Νεκρωθήσονται καὶ ἀποβαλοῦνται τὴν κίνησιν, τὰ πάθη τῆς σαρκὸς τοῦ ταύτην ὑπωπιάζοντος καὶ θλίβοντος, ἀνθ' ὧν ταῦτα ἐπεγείρει αὐτῷ σαρκικῶν ἡδυπαθειῶν· αἳ τοῖς πολλοῖς νομίζονται ἀγαθαί· ἡ γὰρ σὰρξ οἰκητήριόν ἐστι τῆς ψυχῆς· δι' ἣν ὡς λογικήν τε καὶ νοερὰν, ἄνθρωπος καὶ ἔστι καὶ λέγεται ἡμῶν ἕκαστος.

14. Ἐξουσίαν δίδωσι λόγοις, ἀρχὴ δικαιοσύνης· προηγεῖται δὲ τῆς ἐνδείας, στάσις καὶ μάχη.

Ἐλευθερίαν παρέχει τοῖς λόγοις, εἰς τὸ ἀπερικαλύπτως ἀπαγγέλλειν τὸ ἀληθὲς, τὸ ἐκ τῆς ἐναρέτου πολιτείας κατὰ τῶν παθῶν κράτος· ἕπεται δὲ τῇ τῆς σαρκὸς πρὸς τὸ πνεῦμα, καὶ τοῦ

βίου πρὸς τὸν λόγον ἀντικαταστάσει, ἡ παρὰ μέρος τῆς ἀληθείας ἔλλειψις· ὅταν γὰρ μὴ τῷ λόγῳ ὁ βίος συμμαρτυρῇ, ἀνάγκη χωλεύειν ἐνταῦθα τὴν ἀλήθειαν. XVII.

15. Ὃς δίκαιον κρίνει τὸν ἄδικον, ἄδικον δὲ τὸν δίκαιον, ἀκάθαρτος καὶ βδελυκτὸς παρὰ Θεῷ.

Ὃς νομίζει τὸν μὲν παραβαίνοντα τὰς θείας ἐντολὰς ἀγαθὸν, ὡς ἀπατῆσαι καὶ βλάψαι ἰσχυρόν· τὸν δὲ ταύτας τηροῦντα, κακὸν ὡς ἀνεξικάκως τὰ λυπηρὰ φέροντα, καὶ τῷ ἐπάγοντι αὐτῷ ταῦτα μὴ ἀντιπίπτοντα, ἐμπαθὴς ἐςιν ὁ τοιοῦτος· καὶ διὰ τοῦτο παρὰ Θεῷ τῷ ἀπαθεῖ, μισητός· οὐαὶ γὰρ τοῖς λέγουσι τὸ πονηρὸν καλὸν, καὶ τὸ καλὸν πονηρόν.

16. Ἵνα τί ὑπῆρξε χρήματα ἄφρονι; κτήσασθαι γὰρ σοφίαν ἀκάρδιος οὐ δυνήσεται.

Τίς ἡ αἰτία τοῦ κτήσασθαι πλοῦτον, τὸν μὴ ἐν καρδίᾳ Θεὸν περιφέροντα; ἐπειδὴ μὴ οἶδε καλῶς αὐτῷ χρήσασθαι· ὁ γὰρ ἐνταῦθα μὴ περιφέρων αὐτὸν, φῶς ὄντα νοερὸν, σχεῖν διάκρισιν τὴν διαιροῦσαν τὸ χεῖρον ἀπὸ τοῦ κρείττονος οὐκ ἰσχύσει.

Ὃς ὑψηλὸν ποιεῖ τὸν ἑαυτοῦ οἶκον, ζητεῖ συντριβήν· ὁ δὲ σκολιάζων τοῦ μαθεῖν, ἐμπεσεῖται εἰς κακά.

Ὃς ὑψοῖ τὸ ἴδιον σκῆνος, εἰς τὸ τῆς ψυχῆς κατεπαίρεσθαι, ποθεῖ τὴν ἰδίαν ἀπώλειαν· καὶ ὁ ἐντεῦθεν διὰ τὴν τῆς σωματικῆς ἀλογίας ἐπικράτειαν ἐμποδιζόμενος γνῶναι τὸ ὄντως καλὸν, περιπεσεῖται τοῖς φθοροποιοῖς πάθεσιν.

Εἰς πάντα καιρὸν φίλος ὑπαρχέτω σοι. 17.

Θεῷ προσφιλὴς εἶναι σπούδαζε, ὃς πάντα τὸν χρόνον ἔσται σοι ἀρωγός.

Ἀδελφοὶ ἐν ἀνάγκαις χρήσιμοι ἔστωσαν· τούτου γὰρ χάριν γεννῶνται.

Οἱ δὲ διὰ τὴν ὁμοφυίαν καὶ τὸ ἐν εἰς τὸν Θεὸν σέβας ἀδελφοὶ, θάτερος θατέρῳ βοηθείτω ἐν περιστάσεσι· τούτου γὰρ ἕνεκεν κατά τε τὴν φύσιν καὶ τὴν χάριν τὸ συγγενὲς ἔχουσιν· ἵν' ὡς ἑνὸς μέλη σώματος, κεφαλὴν ἔχοντος τὸν Χριστὸν, βοηθεῖεν ἀλλήλοις ἐν χρείας καιρῷ.

XVII. 18. Ἀνὴρ ἄφρων ἐπικροτεῖ καὶ ἐπιχαίρει ἑαυτῷ, ὡς καὶ ὁ ἐγγυώμενος ἐγγύῃ τὸν ἑαυτοῦ φίλον.

Ἄνθρωπος ὁ μὴ φρονῶν τὰ ἑαυτῷ καὶ ἑτέροις συμφέροντα, αὐτάρεσκος ὑπάρχων καὶ μὴ θεάρεστος, ἐπικαυχᾶται μὲν καὶ εὐφραίνεται ἑαυτῷ, ἐφ' οἷς λέγει τὲ καὶ ποιεῖ, καθάπερ ἐπαγγέλλεται τῇ ἡδυπαθείᾳ τοῦ προσφιλοῦς αὐτοῦ σαρκίου, καὶ ὁ τοῦτο ἐπὶ τέλει ἀποδοῦναι κατὰ πρᾶξιν τὸ χρέος τῆς ἀρετῆς ἐγγυώμενος, καὶ μὴ διερεθίζων αὐτὸ πρὸς ἐργασίαν τῶν ἐντολῶν.

Ἐπὶ δὲ τῶν ἑαυτοῦ χειλέων καὶ ὁδῶν πῦρ θησαυρίζει.

Ἐν δὲ τοῖς παρ' ὅλην αὐτοῦ τὴν ζωὴν λόγοις τὲ καὶ ἐπιτηδεύμασι, τὸ αἰώνιον ἀποθησαυρίζει πῦρ ἑαυτῷ, κἂν χαίρῃ ἐπὶ τούτοις ὡς νομιζομένοις αὐτῷ ἀγαθοῖς.

19. Φιλαμαρτήμων χαίρει μάχαις.

Ὁ τῆς κακίας ἐραστὴς ἐπευφραίνεται ταῖς κατ' αὐτὴν τοῦ νόμου τῆς αἰσθήσεως πρὸς τὸν νόμον τοῦ νοὸς ἀντικαταστάσεσιν, καὶ αὐτὴν τὴν τῆς ἁμαρτίας εἰσαγωγὸν αἴσθησιν ἐπικρατεστέραν ποιῶν τοῦ νοός, ἐπιζητεῖ τὴν ἰδίαν ἀπώλειαν.

Ὑψῶν θύραν ἑαυτοῦ ζητεῖ συντριβήν.

Ὥσπερ γὰρ ὁ φιλήδονος, θεοῦ ἀφίσταται διὰ σαρκὸς ἡδυπάθειαν, οὕτω καὶ ὁ αὐτάρεσκος, διὰ ψυχῆς ἄγνοιαν μὴ εἰδὼς θεὸν εἶναι πάντων τῶν καλῶν αἴτιον, κἀντεῦθεν ἑαυτῷ ἐπιγράφων τὰ κατορθώματα.

20. Ὁ δὲ σκληροκάρδιος, οὐ συναντᾷ ἀγαθοῖς.

Ὁ δ' οὕτω κατὰ ψυχὴν σκληρυνόμενος, καὶ πρὸς τὰς θείας ἀντιτυπῶν ἐντολάς, τῶν ἀποκειμένων τοῖς δικαίοις οὐκ ἐπιτυχὴς γίνεται ἀγαθῶν.

Ἀνὴρ εὐμετάβολος γλώσσῃ, ἐμπεσεῖται εἰς κακά.

Ὁ εὐκόλως ἀλλοιῶν τὰς εἰς θεὸν συνθήκας αὐτοῦ, αἳ τηρήσεις τῶν ἁγίων αὐτοῦ εἰσὶν ἐντολῶν, πάθεσιν ἀτιμίας περιπεσεῖται.

21. Καρδία δὲ ἄφρονος, ὀδύνη τῷ κεκτημένῳ αὐτήν.

Ἡ ψυχὴ τοῦ μὴ φόβον θεῖον κεκτημένου καὶ πόθον, κἀντεῦ-

θεν καταφρονητικῶς διακειμένου περὶ τὰς ἐντολὰς, τιμωρὸς ἔςαι XVII.
αὐτοῦ τοῖς τοῦ συνειδότος ἀνενδότοις ἐλέγχοις.

Οὐκ εὐφραίνεται πατὴρ ἐπὶ υἱῷ ἀπαιδεύτῳ.

Οὐ χαίρει νοῦς ἐπὶ λογισμῷ ἀσυνέτῳ, ὅτι ἐκ τῆς ὑπηρέτιδος τούτῳ αἰσθήσεως, νόθον καὶ ἑαυτῷ ἀνόμοιον τοῦτον ἀπέτεκεν.

Υἱὸς δὲ φρόνιμος, εὐφραίνει μητέρα αὐτοῦ.

Λογισμὸς δ' ἔχέφρων, τέρπει διὰ τῶν τῆς δικαιοσύνης ἔργων τὴν ἀποτεκοῦσαν τοῦτον σύνοικον τοῦ νοῦ σοφίαν, τὰς ὑποθήκας ταύτης πάσας πληρῶν.

Καρδία εὐφραινομένη, εὐεκτεῖν ποιεῖ. 22.

Ψυχὴ πάντοτε χαίρουσα, ὡς ἀδιαλείπτως προσευχομένη διὰ τὸ μὴ τὸ ἴδιον ἀλλὰ μόνον τὸ τοῦ Θεοῦ ζητεῖν θέλημα κἀντεῦθεν ἐν παντὶ συναντήματι, κἂν ἀνιαρὸν εἴη εὐχαριστεῖν, ἀπάθειαν ταῖς ἑαυτῆς περιποιεῖται δυνάμεσι.

Ἀνδρὸς δὲ λυπηροῦ ξηραίνεται ὀστᾶ.

Τοῦ δὲ προσκειμένου νοὸς προσκαίροις, καὶ ἐπὶ τῇ τούτων ἀνιωμένου φθορᾷ, τὰ διανοήματα ἃ δίκην ὀστῶν αὐτὸν ὑπερείδουσι τῆς ζωογόνου πνευματικῆς νοτίδος ἐστέρηνται.

Λαμβάνων δῶρα ἐν κόλπῳ ἀδίκως, οὐ κατευοδοῦται ἐν ὁδοῖς· 23.
ἐκκλίνει γὰρ ὁδοὺς δικαιοσύνης.

Ὁ παραλαμβάνων μετὰ περιχαρείας ὥς τινα δῶρα, ἐν τῷ κατὰ διάνοιαν ταμείῳ τῆς ψυχῆς ἀδιακρίτως τὰς τῶν δαιμόνων ἀπατηλὰς ὑποθήκας, οὐχ εὑρίσκει ἐν ταῖς αὐτῷ πράξεσι τέλος τὸ ἀγαθόν· ἐπειδήπερ ἀπολιμπάνει τὰς δικαιοτέρας τοῦ Θεοῦ ἐντολὰς, αἳ πρὸς αὐτὸν ἄγουσιν ὡς ἔσχατον ὀρεκτόν.

Πρόσωπον συνετὸν, ἀνδρὸς σοφοῦ. 24.

Τοῦ ἔχοντος τὸν τοῦ Θεοῦ λόγον, τὴν αὐτοσοφίαν ἔνοικον, συνεςαλμένος ὁ βίος· ὃς τὴν ἀφανῆ τῆς ψυχῆς χαρακτηρίζει διάθεσιν· ἐγκρατῶς μὲν τοῖς παροῦσι χρωμένου, τῶν δὲ μελλόντων ὁλικῶς τυχεῖν ἀγωνιζομένου.

Οἱ δὲ ὀφθαλμοὶ τοῦ ἄφρονος, ἐπ' ἄκρα γῆς.

Αἱ δ' ὄψεις τοῦ μὴ Θεὸν περιφέροντος ἐν καρδίᾳ, τὰ πέρα-

XVII. τα διασκοποῦσι τῆς γῆς· εἰ δυνατὸν ταύτην περιλαβεῖν, καὶ πάσης δεσπόσαι αὐτῆς.

25. Ὀργὴ πατρὶ, υἱὸς ἄφρων.

Τὸ κατ᾽ ἐπιθυμίαν ὑφιστάμενον διανόημα ἐκ παραλόγου τοῦ νοὸς μετὰ τῆς αἰσθήσεως συμπλοκῆς, αὐτῷ μὲν τῷ νοΐ, ὡς πατρὶ, παραίτιον γίνεται θείας ὀργῆς· ἤ τις ἀνακωχὴ τῆς χορηγίας τῶν πνευματικῶν χαρισμάτων ἐστίν.

Καὶ ὀδύνη τῇ τεκούσῃ αὐτόν.

Τῇ δ᾽ ἀποτεκούσῃ τοῦτο αἰσθήσει, οἷα μητρὶ, ὀδύνην περιποιεῖται· πόνοις ἀκουσίοις δαμαζομένης τῆς σαρκὸς, κατὰ θείαν συγχώρησιν ὡς ἂν ἐπιγνῶσιν ἄμφω, ὅ τε νοῦς καὶ ἡ αἴσθησις, μὴ παρανόμως ἀλλήλοις συμπλέκεσθαι, καὶ ἀντὶ ἀρετῆς κακίαν ἀπογεννᾷν.

26. Ζημιοῦν ἄνδρα δίκαιον, οὐ καλόν.

Τὸ ἀποστερεῖν ἀρετῆς τὸν ταύτης ἐπιμελούμενον, καὶ εἰς τὰ κατ᾽ ἔλλειψιν αὐτῆς περιτρέπειν πάθη, οὐκ ἔστι καλὸν, κἂν διὰ τὸ λεῖον τῆς ἡδονῆς οὕτω δοκῇ.

Οὐδὲ ὅσιον ἐπιβουλεύειν δυνάσταις δικαίοις.

Οὐδ᾽ ὅσιον ὑπάρχει, τὸ καθ᾽ ὑπερβολὴν τῆς ἀρετῆς πάθος ἐπιτίθεσθαι τοῖς τὴν ἐπιθυμίαν τῶν κατ᾽ αἴσθησιν ἡδέων νικήσασι, καὶ καθυποτάσσουσι τὴν σάρκα τῷ πνεύματι δι᾽ ἐργασίας τῶν τοῦ θεοῦ ἐντολῶν· λαθραία γάρ ἐστιν ἐχθρῶν ἀπὸ δεξιᾶς τὸ τοιοῦτον ἐπίθεσις· ἀλλὰ καλὸν μὲν πάντως ἐστὶν, οἷα δίκαιον, τὸ κατὰ τὸν φυσικὸν νόμον καὶ τὸν γραπτὸν, ποιεῖν τινὰ εἰς ἑτέρους, ὃ καὶ εἰς ἑαυτὸν παρ᾽ ἐκείνων γίνεσθαι θέλει, καὶ ἀγαπᾷν τὸν πλησίον ὡς ἑαυτόν· ὅσιον δὲ τὸ κατὰ τὸν πνευματικὸν αὖθις νόμον, ἀγαπᾷν τοὺς ἐχθροὺς, καὶ καλῶς ποιεῖν τοῖς μισοῦσιν αὐτόν· καὶ οὕτως διαμένειν ἄτρεπτον· πεισθῶμεν τοίνυν θεῷ τῷ ταῦτα νουθετήσαντι, ὅπως κληρονόμοι τῆς αὐτοῦ βασιλείας γενώμεθα· καὶ μὴ ὑπακούσωμεν τῷ διαβόλῳ, ἐκτρέπειν ἡμᾶς ἐπιχειροῦντι τῆς ἀρετῆς εἰς τὰ κατ᾽ ἔλλειψιν ταύτης καὶ ὑπερβολὴν πάθη· ἵνα μὴ παραπεμφθῶμεν εἰς πῦρ τὸ ἡτοιμασμένον αὐτῷ καὶ τοῖς ἀγγέλοις αὐτοῦ.

Ὃς φείδεται ῥῆμα προελέσθαι σκληρὸν, ἐπιγνώμων. XVII.

Ὁ ὑποστελλόμενος πρὸ τοῦ λειαίνοντος καρδίαν λόγου, ἑλέσθαι τὸν ταύτην τραχύνοντα, τὴν ἀνθρωπίνην οἶδεν ἀσθένειαν· καὶ τοὺς περικειμένους αὐτὴν, οὐ βούλεται καταβάλλειν, ἀλλὰ βαστάζειν· ὁ δ᾽ ἐφ᾽ οἷς τις ὀξύνεται κατ᾽ αὐτοῦ, καὶ ὀδύνας τούτῳ ἐπάγει, ἀνεξικακῶν. 27.

Μακρόθυμος δὲ ἀνὴρ, φρόνιμος.

Ἄνθρωπός ἐστιν εἰδὼς ὅτι ἐστὶ Θεὸς, τῶν ἑκάστῳ πεπραγμένων ἐξεταστὴς, κἀντεῦθεν τὸν λυποῦντα αὐτὸν, ὡς ὑπὸ τοῦ σατανᾶ ἐπηρεαζόμενον ἐλεεῖ· καὶ τῆς τούτου ἐπηρείας, πολυτρόπως τοῦτον ἀπαλλάττειν ἐπιχειρεῖ.

Ἀνοήτῳ ἐπερωτήσαντι σοφίαν, σοφία λογισθήσεται· 28.

Ὁ ἀμαθὴς, σοφὸς νομισθήσεται, σοφὴν ποιησάμενος μόνον ἐρώτησιν· δόξουσι γὰρ οἱ ἀκούοντες, ὅτι εἰδὼς ὁ ἐρωτᾷ, δοκιμάζει τοὺς ἐρωτωμένους, εἰ τὸ ἐρωτώμενον οἴδασιν.

Ἐννεὸν δέ τις ἑαυτὸν ποιήσας, δόξει φρόνιμος εἶναι.

Ὁ δὲ σιωπηλὸν καὶ ἔννουν τοῖς παρατυχοῦσι δείξας ἑαυτὸν, ὑπόληψιν τούτοις παρέξει περὶ ἑαυτοῦ ὡς ἔχέφρων ἐστίν· ὑποσταλήσονται γὰρ τοῦτον ὡς νουνεχῆ, μὴ ἰσχύοντες διὰ τὴν αὐτοῦ σιωπὴν, ὅπως ἔχει καταλαβεῖν.

CAP. XVIII.

Προφάσεις ζητεῖ ἀνὴρ βουλόμενος χωρίζεσθαι ἀπὸ φίλων. v. 1.

Ἀφορμὰς πανταχόθεν ζητεῖ ὁ θέλων διαλύσαι φιλίαν· ἐπεὶ μηδεμία ἐστὶν εὔλογος πρόφασις εἰς τὸ τὴν ἀγάπην ἀθετεῖν, δεσποτικὴν ὑπάρχουσαν ἐντολήν.

Ἐν παντὶ δὲ καιρῷ ἐπονείδιστος ἔσται.

Ἐν παντὶ δὲ καιρῷ ἐξουδενωθήσεται ὁ τοιοῦτος, παρ᾽ ἀνθρώπων μὲν, κατὰ τὸ παρὸν, ὡς τὰ πρὸς φιλίαν ἀβέβαιος· παρὰ δὲ Θεοῦ κατὰ τὸ μέλλον, ὡς τῆς γενικωτάτης τῶν αὐτοῦ ἐντολῶν τῆς ἀγάπης πάντως ὑπεριδών.

XVIII. 2. Οὐ χρείαν ἔχει σοφίας, ἐνδεὴς φρενῶν· μᾶλλον γὰρ ἄγεται ἀφροσύνῃ.

Ὁ φρονήσεως λειπόμενος, διὰ τὸ μὴ τῇ λογικῇ ψυχῇ τὴν ἄλογον σάρκα καθυποτάσσειν, οὐκ ὀρέγεται σοφίας· ὅτι φιλοῦλος ὤν, οὐχ ὑπάρχει φιλόθεος· καὶ γὰρ πλέον ὁ τοιοῦτος τῇ ἀλογίᾳ, ἢ τῷ λόγῳ ἕπεται κατὰ γνώμην.

3. Ὅταν ἔλθῃ ἀσεβὴς εἰς βάθος κακῶν, καταφρονεῖ· ἐπέρχεται δὲ αὐτῷ ἀτιμία καὶ ὄνειδος.

Ὁπότε ἀπογνῷ τὴν σωτηρίαν ἑαυτοῦ ὁ μὴ δι' ἀγαθῶν ἔργων τιμῶν τὸν Θεὸν, τὸν φόβον αὐτοῦ παντελῶς ἐκβάλλει τῆς ἰδίας ψυχῆς· καὶ καταλαμβάνει αὐτὸν τὰ πάθη τῆς ἀτιμίας, καὶ ἡ παρὰ πάντων δι' αὐτὰ ἐξουθένησις.

4. Ὕδωρ βαθὺ, λόγος ἐν καρδίᾳ ἀνδρός.

Δίκην ὕδατος βαθυτάτου ὑπάρχει ὁ θεῖος λόγος, ἐν τῇ ψυχῇ τοῦ γενναίως τὰ πάθη καταπαλαίσαντος· τὴν ἄβυσσον τῆς γνώσεως αὐτοῦ ἐρευνῶντος κατὰ διάνοιαν, καὶ ἀνεξηρεύνητον ταύτην εὑρίσκοντος.

Ποταμὸς δὲ ἀναπηδῶν καὶ πηγὴ ζωῆς·

Ἐκ στόματος δὲ τοῦ εἰρημένου ἀνδρὸς, οὗτος ὁ λόγος δίκην ποταμοῦ πλημμυροῦντος, καὶ τῶν ἑαυτοῦ ὁρίων ὑπερεκχεομένου, καὶ τὴν συμπαρακειμένην γῆν ἄρδοντος καὶ καρποφόρον ἀποτελοῦντος, διδασκαλικῶς προερχόμενος, πηγάζει εὖ εἶναι ζωτικὴν δύναμιν.

5. Θαυμάσαι πρόσωπον ἀσεβοῦς, οὐ καλόν.

Ὄψιν καταπλαγῆναι δυνάστου, Θεὸν μὴ τιμῶντος δι' ἀγαθοεργίας, οὐκ ἔστιν ἐπαινετόν.

Οὐδὲ ὅσιον ἐκκλίνειν τὸ δίκαιον ἐν κρίσει.

Οὐδὲ ὅσιον διὰ τὸν ἐξ αὐτοῦ φόβον, ἐν κρίσει ἐκτρέπεσθαι τοῦ δικαίου, κἂν τοῦ κατὰ τὸν φυσικὸν νόμον δικαίου, ἢ κατὰ τὸν πνευματικὸν νόμον ὁσιότης ὑπέρκειται φύσεως πρὸς τὰ ὑπὲρ φύσιν ἐξιστῶντος τοῦ πνεύματος.

6. Χείλη ἄφρονος, ἄγουσιν αὐτὸν εἰς κακά.

Ἡ ἐπιθυμία καὶ ὁ θυμὸς τοῦ μὴ λόγῳ ταῦτα ἐπέχοντος, ἀλλ᾽ ἀγομένου ὑπ᾽ αὐτῶν ἀλογίστως, καὶ δι᾽ αὐτῶν ὡς διὰ χειλέων τὸ παρατυχὸν ἅπαν ἀσπαζομένου, εἰς πᾶσαν φέρουσιν αὐτὸν ἁμαρτίαν. XVIII.

Τὸ δὲ στόμα αὐτοῦ τὸ θρασὺ, θάνατον ἐπικαλεῖται.

Ἡ δὲ τούτου φαντασία, ἡ δίκην στόματος προπετοῦς, τὴν κατὰ διάνοιαν λογικὴν δόξαν μὴ ἀναμένουσα, ἀλλὰ προκαταλαμβάνουσα ἐπαινεῖν τι ἢ ψέγειν ὡς ἔτυχεν, ἐπισπᾶται τὴν κατ᾽ ἐνέργειαν ἁμαρτίαν, ἣ ψυχῆς ἐστι θάνατος.

Στόμα ἄφρονος, συντριβὴ αὐτῷ· τὰ δὲ χείλη αὐτοῦ, πα- 7.
γὶς τῇ ψυχῇ αὐτοῦ.

Ἡ γὰρ φαντασία τοῦ μὴ τὸν τοῦ θεοῦ φόβον ἐν καρδίᾳ φέροντος, συνθλᾷ τοῦτον· εἰς γῆν κατασπῶσα τὸ αὐτοῦ φρόνημα· ἡ δὲ ἐπιθυμία τούτου καὶ ὁ θυμὸς, τὴν αὐτοῦ ψυχὴν ὥς τισι θηράτροις ἀπατηλῶς τοῖς προσκαίροις συνδέουσιν.

Ὀκνηροὺς καταβάλλει φόβος· ψυχαὶ δὲ ἀνδρογύνων πεινά- 8.
σουσιν.

Τοὺς καταραθυμοῦντας τῆς τῶν θείων ἐντολῶν ἐργασίας, ἡ ταύτης ἐργασίας δειλία καταπίπτειν ποιεῖ· αἱ δὲ ψυχαὶ τῶν ὡς ἀνδρῶν μὲν, θρασυνομένων ἐν τοῖς μοχθηροῖς ἔργοις, καὶ τοῦ ἰδίου κινδύνου κατατολμώντων, ὡς γυναικῶν δὲ δειλαινομένων ἐν τοῖς καλοῖς, καὶ πρὸς τὴν ἰδίαν σωτηρίαν ἀποκνευόντων *, τῇ τοῦ ἀγαθοῦ ἐνδείᾳ λιμώξουσιν.

* cod. ἀποκναιόντων.

Ὁ μὴ ἰώμενος αὐτὸν ἐν τοῖς ἔργοις αὐτοῦ, ἀδελφός ἐστι τοῦ 9.
λυμαινομένου ἑαυτόν.

Ὁ μὴ διὰ τῶν ἔργων τῆς ἀρετῆς ἀπαλλάττων ἑαυτὸν τῶν καθ᾽ ἕξιν τῆς ἁμαρτίας παθῶν, ἀδελφὰ φρονεῖ τῷ κατ᾽ ἐνέργειαν ταύτης μᾶλλον ἑαυτὸν καταβλάπτοντι. εἰ μὴ γὰρ καὶ τὴν κατὰ διάθεσιν ῥίζαν τῆς κακίας σπεύσει ἐκσπάσαι τίς, κλάδους πάντως πονηρῶν λογισμῶν ἀναθαλήσει, καὶ τὸν πικρὸν αὖθις τῆς ἁμαρτίας κατ᾽ ἐνέργειαν προσενέγκῃ, καρπόν.

Ἐκ μεγαλωσύνης ἰσχύος, φανερὸν τὸ ὄνομα κυρίου. 10.

XVIII. Ἐκ τῆς κηρυττομένης ὑπὸ πάσης τῆς κτίσεως μεγάλης δυνάμεως τοῦ δεσπότου τῶν ὅλων Θεοῦ, φανερὰ ἡ τούτου γνῶσις καθέστηκεν.

Αὐτῷ δὲ προσδραμόντες δίκαιοι, ὑψοῦνται.

Τῇ δὲ τοιαύτῃ γνώσει προσελθόντες διὰ πίστεως καὶ φόβου, οἱ τὸ ὄντως ἀγαθὸν, τοῦ νομιζομένου προκρίνοντες, ἀνάγονται ἀπὸ τῶν σαρκικῶν καὶ γηΐνων πρὸς τὰ πνευματικὰ καὶ οὐράνια.

11. Ὕπαρξις πλουσίων, πόλις ὀχυρά.

Περιουσία τῶν τὴν ἀρετὴν καὶ τὴν γνῶσιν πεπλουτηκότων, ἡ ἄνω ἐστὶ μετρόπολις, ἡ ἀνεπιβούλητος καὶ ἀνάλωτος· πάντα προϊεμένων τὰ παρόντα, ὡς ἂν ἐκείνης πολῖται γένωνται.

Ἡ δὲ δόξα αὐτῆς μέγα ἐπισκιάζει.

Ἡ δὲ τοῦ παναγίου πνεύματος χάρις, ἥπερ ἐστὶν ἐκείνης τῆς πόλεως εὔκλεια, ὡς τοὺς ταύτης πολίτας ἀξιοῦσα τῆς κατὰ χάριν θεώσεως, οὐ μικρῶς κἀνταῦθα φυλάττει ἀπὸ τῆς τοῦ φλογμοῦ τῶν παθῶν μελανώσεως.

12. Πρὸ συντριβῆς ὑψοῦται καρδία ἀνδρός· καὶ πρὸ δόξης ταπεινοῦται.

Αἰτία τοῦ κατὰ ψυχὴν πτώματος, ἡ ταύτης ἐστὶν ἔπαρσις ὥσπερ αὖ ἡ ταπεινοφροσύνη τῆς παρὰ Θεῷ τιμῆς· πᾶς γὰρ ὁ ὑψῶν ἑαυτὸν ταπεινωθήσεται, ὁ δὲ ταπεινῶν ἑαυτὸν ὑψωθήσεται.

13. Ὃς ἀποκρίνεται λόγον πρὶν ἀκοῦσαι, ἀφροσύνη ἐστὶν αὐτῷ καὶ ὄνειδος.

Τῷ ἀπολογουμένῳ πρὶν τοῖς ὠσὶ δέξασθαι τὸ παρά τινος τούτῳ λεγόμενον, ἀνοίας ἡ τοιαύτη ἀπολογία παραίτιος γίνεται· ὅτι μὴ συνίησι τὸ λεγόμενον, ἵνα πρὸς αὐτὸ φθέγξηται· ἐντεῦθεν δὲ καὶ ἐξουδενώσεως παρὰ πᾶσι τοῖς ἐντυγχάνουσιν.

14. Θυμὸν ἀνδρὸς πραΰνει θεράπων φρόνιμος.

Ὀργὴν ἀνθρώπου καταστέλλει νουνεχὴς ὑπηρέτης, δεξιῶς αὐτὸν μετερχόμενος.

Μικρόψυχον δ᾽ ἄνθρωπον εἴ τις ὑπενέγκει, θαύματος ἄξιος·

εἴωθε γὰρ οὗτος ὀργίζεσθαι καὶ εἰς τὸ τυχὸν, εἰ συμβῇ μὴ XVIII.
ἀποτελεσθῆναι κατὰ τὸ αὐτῷ βυλητὸν, ἐξ ἀγνοίας τοῦ μὴ τοῦτο
πληρώσαντος, ᾧ πολλάκις ἀνηλεῶς ἐπιφέρει καὶ μάστιγας.

Καρδία φρονίμου, κτᾶται αἴσθησιν. 15.

Ἡ ψυχὴ τοῦ περιφέροντος Θεὸν κατὰ διάνοιαν, προσλαμ-
βάνει διάκρισιν τὴν διαιροῦσαν τὸ κρεῖττον ἀπὸ τοῦ χείρονος·
τῶν ἀποτρεπουσῶν μὲν τοῦ κακοῦ, προτρεπουσῶν δὲ πρὸς τὸ
καλὸν ἐντολῶν αὐτοῦ, κατὰ πρᾶξιν ἀντεποιουμένη.

Ὦτα δὲ σοφῶν, ζητεῖ ἔννοιαν.

Αἱ δ᾽ ἀκοαὶ τῶν μετασχόντων τοῦ Θείου λόγου, οὐκ ἀρ-
κοῦνται μόνῳ τῷ τούτου ῥητῷ, ἀλλ᾽ ἀνερευνῶσι κατὰ θεωρίαν
καὶ τὸ αὐτοῦ νοητὸν ἕως ἂν φθάσωσιν εἰς τὸ τούτυ ὑπὲρ κα-
τάληψιν, ὡς Θεοῦ.

Δόμα ἀνθρώπυ, ἐκπλατύνει αὐτόν· καὶ παρὰ δυνάσαις καθ- 16.
ιζάνει αὐτόν.

Ἡ τοῦ παναγίυ πνεύματος δωρεὰ, ἣν λαμβάνει ἄνθρωπος,
ἄγει τοῦτον εἰς μέτρον ἡλικίας τοῦ πληρώματος τοῦ Χριστοῦ·
ἀπὸ φόβου Θείυ ἀρχόμενον, καὶ τοῖς ἑξῆς χαρίσμασιν ἐπεκτει-
νόμενον καὶ μετὰ τῶν μετασχόντων τῆς τελειοποιοῦ σοφίας, τῆς
ἐνισχυούσης τοῦτον εἰς τὸ καταδυναστεύειν τῶν τὰ ψευδῆ ὑπο-
τιθεμένων τῆς πονηρίας πνευμάτων, ἐγκαθιδρύει· μετὰ τὸ κα-
θᾶραι παθῶν κατὰ πρᾶξιν, καὶ φωτίσαι γνωστικῶς κατὰ θεω-
ρίαν, τέλειον αὐτὸν ἀποκαθιστῶσα τῇ ἐν τῷ ἀγαθῷ ἀτρεψίᾳ.

Δίκαιος, ἑαυτοῦ κατήγορος ἐν πρωτολογίᾳ. 17.

Ὃς τὸν νόμον τῆς εἰς Θεὸν καὶ τὸν πλησίον ἀγάπης τηρεῖ,
προηγουμένως οὔτε Θεῷ, οὔτε μὴν ἀνθρώπῳ τὴν οἱανοῦν μέμ-
ψιν ἐπάγει· ἀλλ᾽ ἑαυτὸν αἰτιᾶται ἐφ᾽ οἷς πλημμελεῖ· μεθ᾽ ὃ πάν-
τως τὴν παρ᾽ ἀμφοτέρων ἐξαιτεῖται συμπάθειαν.

Ὡς δ᾽ ἂν ἐπιβάλλῃ ὁ ἀντίδικος, ἐλέγχεται.

Ἐντεῦθεν δὲ καθὼς ἂν τούτῳ προσβάλῃ ὁ ἀντίπαλος τῶν
ἡμετέρων ψυχῶν, εἴτε πρὸς βλασφημίαν τοῦ Θεοῦ κινῆσαι τοῦ-
τον ἐπιχειρῶν, εἴτε πρὸς ἔχθραν τοῦ ἀδελφοῦ, ἡττώμενος, ἀνί-
σχυρος δείκνυται.

XVIII. Ἀντιλογίας παύει κλῆρος.

18. Ἡ καταγομένη ἀπὸ Θεοῦ ὥς τις πατρικὸς κλῆρος, ἐπὶ τοὺς ἀξιωθέντας τῆς αὐτοῦ κατὰ χάριν υἱοθεσίας, τοῦ παναγίου πνεύματος δωρεὰ, τοῖς μὲν ἀρτιγενέσι, παύει τὰς ἀντιθέσεις· τὴν πίστιν τούτοις ἐπαύξουσα, καὶ φόβῳ θείῳ καταστέλλουσα πάθη τὰ ταῖς ἐντολαῖς* ἀντικείμενα.

Ἐν δὲ δυνάσταις ὁρίζει.

Τοῖς δ' ἀνδρωθεῖσι τῇ πίστει, καὶ τῶν παθῶν περιγενομένοις, περιγράφει τὴν ἐνέργειαν, ἐν αὐταῖς ταῖς τὰ πάθη καταπαλαισάσαις ἐντολαῖς τοῦ Θεοῦ· ὡς ἂν αὕτη εἰς τὰς τῆς ἀρετῆς μὴ ἐκκλίνῃ ὑπερβολάς·

19. Ἀδελφὸς ὑπὸ ἀδελφοῦ βοηθούμενος, ὡς πόλις ὀχυρὰ, καὶ ὑψηλή· ἰσχύει δὲ, ὥσπερ τεθεμελιωμένη μεμοχλευμένον βασίλειον.

Ψυχὴ πρὸς τὰ κάλλιστα ὑπὸ τοῦ συγγενοῦς σαρκίου συνεργουμένη, δίκην πόλεως ὀχυρᾶς τε καὶ ὑψηλῆς, τοῖς μὲν καθ' ὑπερβολὴν τῆς ἀρετῆς πάθεσι μένει ἀνεπιβούλευτος· ὡς μετριοφρονοῦσα τῷ πόνῳ τῆς ἀρετῆς, διὰ τὴν ἀσθένειαν τῆς σαρκός· τοῖς δὲ κατ' ἔλλειψιν πάλιν, οὐχ ἁλίσκεται πάθεσιν· ὡς πρὸς τὸ πνεῦμα τὸν νοῦν ἀνάγουσα, τῷ ὕψει τῆς γνώσεως, διὰ τὸ οἰκεῖον ἀξίωμα· δύναται δὲ ταῦτα, ταῖς τοῦ ἐνοικοῦντος ἐν αὐτῇ θείου πνεύματος ἐνεργείαις, διαφυλαττομένη καθάπερ κατησφαλισμένον ἐν μοχλοῖς σιδηροῖς βασιλέως οἰκητήριον.

20. Ἀπὸ καρπῶν στόματος ἀνὴρ πίμπλησι κοιλίαν αὐτοῦ.

Ἀπὸ τῶν προφερομένων ἐκ στόματος ἀγαθοῦ διδασκάλου λόγων, ὁ μὴ ταῖς ἡδοναῖς ἐκθηλυνόμενος, πληροῖ τὴν τούτων δεκτικήν τε καὶ κατεργαστικὴν διάνοιαν ἑαυτοῦ, πλουτῶν σύνεσιν.

Ἀπὸ δὲ καρπῶν χειλέων αὐτοῦ ἐμπλησθήσεται.

Ἀπὸ δὲ τῶν ἐκ τοῦ ἰδίου στόματος πληρωθήσεται λόγων, ἐν τῷ διδάσκειν καὶ οἰκοδομεῖν ἑτέρους, ἔμπλεως σοφίας γενόμενος.

21. Θάνατος καὶ ζωὴ, ἐν χειρὶ γλώσσης.

Κατ' ἐνέργειαν τῆς γλώττης, εἴτε θανατηφόρος λόγος, εἴτε

ζωογόνος προέρχεται, ὡς δυναμένης πονηρὰ καὶ ἀγαθὰ φθέγγεσθαι· ὧν τὰ μὲν καὶ σῶμα καὶ ψυχὴν θανατοῦσι, τὰ δ' ἀμφότερα ζωογονοῦσιν. XVIII.

Οἱ δὲ κρατοῦντες αὐτῆς, ἔδονται τοὺς καρποὺς αὐτῆς.

Οἱ δ' ἐπέχοντες ταύτην, καὶ πονηρὰ φθέγγεσθαι μὴ συγχωροῦντες, τῶν ζωογονεῖν τοὺς ἀκούοντας δυναμένων ῥημάτων ἀπολαύουσιν.

Ὃς εὗρε γυναῖκα ἀγαθὴν, εὗρε χάριτας. 22.

Ὁ τὴν παντὸς καλοῦ αἰτίαν σοφίαν σύνοικον κτησάμενος νοῦς, ἐκτήσατο καὶ τὰ λοιπὰ τοῦ παναγίου πνεύματος χαρίσματα, τὸ τῆς συνέσεως, τὸ τῆς γνώσεως, τὸ τῆς ἐπιστήμης, τὸ τῆς βουλῆς, τὸ τῆς ἰσχύος, καὶ τὸ τοῦ φόβου.

Ἔλαβε δὲ παρὰ θεοῦ ὑγείαν κατὰ ψυχὴν, καθαρθείς τε καὶ φωτισθεὶς καὶ τελειωθείς.

Ὃς ἐκβάλλει ἀγαθὴν γυναῖκα, ἐκβάλλει ἀγαθά.

Ὃς οὖν ἀπελαύνει ἐξ αὐτοῦ, διὰ τὴν πρὸς τα αἰσθητὰ σχέσιν, τὴν κατὰ τὸ νοερὸν αὐτῷ συνοικοῦσαν, καὶ τοιούτων ἀγαθῶν αἰτίαν σοφίαν, συναπελαύνει αὐτῇ καὶ τὰ ἐξ αὐτῆς ἀγαθά.

Ὁ δὲ κατέχων μοιχαλίδα, ἄφρων καὶ ἀσεβής.

Ὁ δὲ ταύτην μὲν ἀπολύων, τὴν δ' ἀπατηλὴν αἴσθησιν παρακατέχων, οὐ περιφέρει ἐν καρδίᾳ θεόν· οὔτε μὴν διὰ τῶν τῆς δικαιοσύνης ἔργων τοῦτον τιμᾷ.

Ἀφροσύνη ἀνδρὸς, λυμαίνεται τὰς ὁδοὺς αὐτοῦ.

Τοῦ μὴ πρὸς θεὸν ἀφορῶντος, ἀλλὰ τῇ σχέσει τῶν προσκαίρων ἠπατημένου, ἡ ἀλόγιστος κίνησις, εἰς τὸ μηδὲν ποιεῖ προχωρεῖν τὰ τούτου ἐπιτηδεύματα, ὡς τοῖς φθαρτοῖς συναφανιζόμενα.

Τὸν δὲ θεὸν αἰτιᾶται τῇ καρδίᾳ αὐτοῦ.

Αὐτὸς δ' ἐξ ἀνοίας ἐπιμέμφεται, οὐχὶ τῇ φαύλῃ προαιρέσει αὐτοῦ, ἣ τὰ ὄντα καὶ μένοντα καταλείψασα περὶ τὰ φθαρτὰ πᾶσαν σπουδὴν ἐπιδείκνυται, ἀλλὰ θεῷ· ὅτι φθείρονται τὰ φύσει φθαρτά.

CAP. XIX.

v. 4. Πλοῦτος προστίθησι φίλους πολλούς.

Ὁ κατ᾽ ἀρετὴν καὶ γνῶσιν πνευματικὸς πλοῦτος, τῷ κτησαμένῳ αὐτὸν, προστίθησι τῇ εἰς Θεὸν ἀγάπῃ καὶ τὴν πρὸς πάντας ἀνθρώπους· ἡ γὰρ πρὸς τούτους ἀγάπη, τῆς πρὸς Θεὸν ἐστὶν ἀγάπης ἀπόδειξις.

Ὁ δὲ πτωχὸς, καὶ ἀπὸ τοῦ ὑπάρχοντος φίλου χωρίζεται.

Ὁ δὲ πτωχεύων τοῦ τοιούτου πλούτου κατὰ προαίρεσιν, καὶ αὐτοῦ ἀφίσταται τοῦ τοιοῦτον ἀγαπήσαντος αὐτὸν Θεοῦ, ὡς μὴ μόνον ἐκ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι παραγαγεῖν καὶ ζωῆς μεταδοῦναι, καὶ λόγῳ τιμῆσαι, καὶ πάσης ἄλλης ἀξιῶσαι προνοίας, ἀλλὰ καὶ τὸν μονογενῆ αὐτοῦ υἱὸν ὑπὲρ τούτου δοῦναι εἰς θάνατον.

5. Μάρτυς ψευδὴς, οὐκ ἀτιμώρητος ἔσται.

Ὁ τὸ κακὸν ψευδῶς ἐπαινῶν δαίμων, καὶ πρὸς ἐργασίαν τούτου τὸν ἄνθρωπον ἐκκαλούμενος, δίκας ὑφέξει περὶ τῆς πονηρίας, αὐτοῦ ἕνεκεν, παρὰ τοῦ δικαίου κριτοῦ.

Ὁ δ᾽ ἐγκαλῶν ἀδίκως, οὐ διαφεύξεται.

Ὁ δ᾽ ἐφ᾽ οἷς ἁμαρτάνει αὐτὸν τὸν δαίμονα αἰτιώμενος παραλόγως, διὰ τὸ δύνασθαι μὴ ὑπακούειν αὐτῷ, οὐκ ἐντεῦθεν εἰς ἅπαν ἐκφύγῃ τὴν κόλασιν· ἀποδώσει γὰρ λόγους καὶ οὗτος, ἢ κατὰ τὸ παρὸν ἢ κατὰ τὸ μέλλον, ὅτε τὰς ἐντολὰς τοῦ κτίστου παραβλεψάμενος, ταῖς ὑποθήκαις ἐπείσθη τοῦ πονηροῦ.

6. Πολλοὶ θεραπεύουσι πρόσωπα βασιλέως.

Οἱ πολλοὶ κατ᾽ ὄψιν τῶν βασιλέων περὶ τὴν θεραπείαν τούτων σπουδάζουσιν· ὄπισθεν δὲ, τἀναντία φρονοῦσιν.

Πᾶς δὲ ὁ κακὸς, γίνεται ὄνειδος ἀνδρί.

Πᾶς δ᾽ ὁ κακῶς οὕτω φρονῶν, παρὰ τῷ σταθερογνώμονι ἐξουθένωται ὡς ἀπατεών.

7. Πᾶς ὃς ἀδελφὸν πτωχὸν μισεῖ, καὶ φιλίας μακρὰν ἔσται.

Ὁ ἐκ ψυχῆς ἀποστρεφόμενος τὸν ὁμοφυῆ, ἐνδεῆ ὄντα τῶν XIX. τῷ σώματι ἀναγκαίων ἢ τῇ ψυχῇ, καὶ μὴ οἰκτείρων αὐτὸν, καὶ χεῖρα τούτῳ ὀρέγων ὡς δυνατὸν, τὰ ὅμοια πείσεται καὶ αὐτὸς, τῆς Θεοῦ φιλανθρωπίας διαστήσας πόῤῥωθεν ἑαυτόν· ὥσπερ γὰρ αὐτὸς διετέθη περὶ τὸν ὁμοφυῆ, οὕτως αὐτῷ κρίσει δικαίᾳ διατεθήσεται καὶ Θεός.

Ἔννοια ἀγαθὴ τοῖς εἰδόσιν αὐτὴν ἐγγιεῖ.

Ἡ ἁπλῆ περὶ Θεοῦ γνῶσις, ἡ κρείττων ἐστὶ πάσης τῶν μετὰ Θεὸν γνώσεως, τοῖς κατὰ πίστιν μυηθεῖσιν αὐτὴν πλησιάσει, πόῤῥω πάντων τῶν ἀπίστων ἀφεστηκυῖα.

Ἀνὴρ δὲ φρόνιμος, εὑρήσει αὐτήν.

Πεῖραν δὲ ταύτης λήψεται διαρκῆ ὁ γενναίως τὰ πάθη καταπαλαίσας, καὶ κατὰ λόγον τὴν σχέσιν περάσας τῶν ὑλικῶν· οἷα πάντα διαβὰς τὰ ὑπὸ χρόνον καὶ φύσιν, καὶ πρὸς αὐτὸν ἁγνῶς ἀναδραμὼν τὸν ὑπὲρ πάντα Θεόν.

Ὁ πολλὰ κακοποιῶν τελεσιουργεῖ κακίαν.

Ὁ πάνυ ἁμαρτάνων, οὐ καθ' ἕξιν μόνον τὴν ἁμαρτίαν, ἀλλὰ καὶ κατ' ἐνέργειαν ἐκτελεῖ.

Ὃς δὲ ἐρεθίζει λόγους, οὐ διασωθήσεται.

Ὁ δὲ διὰ τῶν αἰσθήσεων τοὺς ἐμπαθεῖς αὐτοῦ λογισμοὺς διεγείρων, οὐ διαφυλαχθήσεται κατὰ ψυχὴν ἀβλαβής· ὁ γὰρ ἐμβλέψας γυναικὶ πρὸς τὸ ἐπιθυμῆσαι αὐτῆς, ἤδη ἐμοίχευσεν αὐτὴν ἐν τῇ καρδίᾳ αὐτοῦ.

Ὁ κτώμενος φρόνησιν, ἀγαπᾷ ἑαυτόν. 8.

Ὁ προσλαμβάνων φρόνησιν τῇ αἱρέσει τοῦ κρείττονος, τοῦ ἑαυτοῦ ἐπιμελεῖται συμφέροντος· ὅτι τὰ ψυχῇ καὶ σώματι σωτήρια οἰκονομεῖν οἶδεν ἡ φρόνησις.

Ὃς φυλάσσει φρόνησιν, εὑρήσει ἀγαθά.

Ὁ δὲ τηρῶν ταύτην κατ' ἐνέργειαν τοῦ καλοῦ, τῶν ἐν ἐπαγγελίαις ἀγαθῶν ἐπιτεύξεται.

Μάρτυς ψευδὴς, οὐκ ἀτιμώρητος ἔσται. 9.

Ὁ δὲ τὴν πρὸς τὰ φθειρόμενα σχέσιν ἡμῶν ἐπαινῶν δαί-

XIX. μων, τὸ ἡτοιμασμένον αὐτῷ καὶ τοῖς ἀγγέλοις αὐτοῦ πῦρ οὐκ ἐκφεύξεται.

Ὃς δ᾽ ἂν ἐκκαύσῃ κακίαν, ἀπολεῖται ὑπ᾽ αὐτῆς.

Ὁ δὲ τὸν ἐμβληθέντα ἐν τῇ αὐτοῦ ψυχῇ τῆς ἀνομίας πυρσὸν παρὰ τοῦ φθορέως σατᾶν, κατὰ διάθεσιν ὑπανάψας καὶ πρᾶξιν, ἀποτεφρωθήσεται ὑπ᾽ αὐτοῦ τὴν τῆς ψυχῆς εὐεξίαν.

10. Οὐ συμφέρει ἄφρονι τρυφὴ, καὶ ἐὰν οἰκέτης ἄρξηται μεθ᾽ ὕβρεως δυναστεύειν.

Ἀσυντελής ἐςιν ἡ τῆς φυσικῆς τῶν ὁρατῶν θεωρίας ἐντρύφησις τῷ ἀλογίστως αὐτοῖς ἐπιβάλλοντι· ταῖς γὰρ τούτων ἐπιφανείαις ἐναπομένει μὴ δυνάμενος ταύτας δι᾽ ἀφροσύνην περάσαι, καὶ τοὺς κεκρυμμένους τούτων λόγους καταλαβεῖν· καθάπερ ἐστὶν αὐτῷ ἀσυντελὲς καὶ τὸ ἐντεῦθεν συμβαῖνον, ὁπηνίκα τὸ ὑποχείριον τῇ ψυχῇ σῶμα, ἐπιχειρήσῃ διὰ τῶν ἀτίμων παθῶν ταύτης κατεξανίστασθαι.

Ἐλεήμων ἀνὴρ μακρόθυμος.

11. Ὁ συμπαθὴς ἄνθρωπος, ὑπάρχει καὶ ἀνεξίκακος, ἀδικεῖσθαι μᾶλλον αἱρούμενος ἢ ἀδικεῖν.

Τὸ δὲ καύχημα αὐτοῦ ἐπέρχεται παρανόμοις.

Ὁ δὲ κατ᾽ ἀλήθειαν, δι᾽ ἣν ἔχει μακροθυμίαν, ἔπαινος αὐτοῦ, τοῖς τοῦτον παρὰ τὴν θείαν ἐντολὴν ἀδικοῦσιν παρὰ τῶν ἀφρόνων ψευδῶς προσάπτεται· ἐγκώμιον εἶναι νομιζόντων τὸ δύνασθαι ἀδικεῖν μᾶλλον, ἢ τὸ δύνασθαι φέρειν τὰ ἀδικήματα, καὶ θεῷ ἐντεῦθεν εὐαρεστεῖν.

12. Βασιλέως ἀπειλὴ, ὁμοία βρυγμῷ λέοντος.

Καὶ τοῦ ἐπιγείου βασιλέως καὶ τοῦ οὐρανίου, ὁ κολάσεις ἀπειλῶν λόγος, βρυχήματι ἔοικε λέοντος, φόβον ἐμποιοῦντι θανάτου· διόπερ ὁ λόγος οὗτος, πείθει τὰς τοῦτον παραδεξαμένας ψυχὰς ἀπέχεσθαι τῶν κακῶν.

Ὥσπερ δὲ δρόσος ἐπὶ χόρτῳ, οὕτως τὸ ἱλαρὸν αὐτοῦ.

Καθάπερ δὲ ἑωθινὴ δρόσος, χλόην ἐκ γῆς φυομένην, τῆς ἡλιακῆς ἀνακτᾶται φλογώσεως, αὐχμὸν τὸν ἐκ ταύτης καταvo-

τίζουσα, οὕτω καὶ τὸ ἥμερον οὗ ἂν εἴποις βασιλέως, ὃ τοῦ ἐπι- XIX.
γείου ἢ τοῦ ἐπουρανίου, τὸν ἐπὶ τῇ ἀγαθῇ ἐργασίᾳ πόνον τοῦ τὸ βάρος καὶ τὸν καύσωνα τῆς ἡμέρας βαστάσαντος, παραμυθεῖται τῇ ἐλπίδι τῶν ὑπὲρ τοῦ τοιούτου πόνου ἀμειβῶν.

Αἰσχύνη πατρὶ, υἱὸς ἄφρων. 13.

Ἀτιμία τῷ γεννήτορι νῷ, ἀφρονέστατος λόγος· ὁ γὰρ φθεγγόμενος τὰ μὴ δέοντα, ἀνόητος δείκνυται.

Καὶ οὐχ ἁγναὶ εὐχαὶ ἀπὸ μισθώματος ἑταίρας.

Ἀκάθαρτοι δέ εἰσιν αἱ ἀπὸ λογισμοῦ φιλούλου πρὸς θεὸν ὑποσχέσεις· ὃν λογισμὸν, ὡς μίσθωμα πόρνη, ἡ πόῤῥω τοῦ λόγου νεύουσα αἴσθησις λαμβάνει ἀπὸ τοῦ νοὸς, διὰ τὴν μετ' αὐτῆς τούτου παράλογον συμπλοκήν· πολλοὶ γὰρ πολλὰ ὑπισχνοῦνται θεῷ, ὑπὲρ τοῦ λαβεῖν παρ' αὐτοῦ πλοῦτον φθειρόμενον· ἃς ὑποσχέσεις ὁ θεὸς ὡς ῥυπαρὰς καὶ ἀσυμφόρους αὐτοῖς, ἀποστρέφεται· αἰτεῖτε γάρ φησι, καὶ οὐ λαμβάνετε, διότι κακῶς αἰτεῖτε.

Οἶκον καὶ ὕπαρξιν μερίζουσι πατέρες παισίν. 14.

Τὸ τοῦ νοεροῦ ἡμῶν οἰκητήριον, πάντως τὴν αἰσθητικὴν σάρκα, καὶ τὴν ποιὰν τούτου διάθεσιν, διανέμουσι τοῖς οἰκείοις λογισμοῖς, οἱ τούτων γεννήτορες νόες προσνέμοντες αὐτεξουσίως ἑκάστῳ τῶν τοιούτων λογισμῶν, τό τε πρόσφορον αὐτῷ αἰσθητήριον τῆς σαρκὸς, καὶ τὴν τούτου κατὰ τὴν νοερὰν διάθεσιν, εἴτε πρὸς τὸ ἀγαθὸν εἴτε πρὸς τὸ πονηρὸν χρῆσιν.

Παρὰ κυρίου ἁρμόζεται γυνὴ ἀνδρί.

Παρὰ δὲ τοῦ δεσπότου τῶν ὅλων παραμείνασα ἡ μετὰ τοῦ κατὰ ψυχὴν νοεροῦ, τῆς αἰσθητικῆς σαρκὸς μίξις· διὸ οὐδαμῶς συμβαλεῖται τῷ φιλοζώῳ τὸ φίλουλον, ἀλλὰ μᾶλλον βλάψει τοῦτον, ὡς θεὸν τὸν τῆς ζωῆς αἴτιον, διὰ τὸ ἀφιλόθεον παροξύναντα.

Δειλία κατέχει ἀνδρόγυνον· ψυχὴ δὲ ἀεργοῦ, πεινάσει. 15.

Τὸν ὡς ἄνδρα μὲν θρασυνόμενον ἐν τοῖς μοχθηροῖς ἔργοις, καὶ τοῦ ἰδίου κινδύνου κατατολμῶντα, φειδόμενον δὲ αὐτοῦ, γυναικὸς δίκην, ἐν τοῖς καλοῖς, καὶ πρὸς τὴν ἰδίαν σωτηρίαν

XIX. ἀποκνευόμενον *, ἡ πρὸς τὸν πόνον τῆς ἀρετῆς ἀτολμία, κωλύει
* cod. ut p. 147. ὥστε μὴ ἐπιμελεῖσθαι κατὰ πρᾶξιν αὐτῆς· τούτου δὲ ἡ ψυχὴ,
ὡς μὴ περὶ τὴν τῆς ἀρετῆς ἐργασίαν φιλοπονοῦντος, λιμώξει τῇ
ἐνδείᾳ τοῦ ἀγαθοῦ.

Ὃς φυλάσσει ἐντολὴν, τηρεῖ τὴν ἑαυτοῦ ψυχήν.

16. Ὃς μὴ παραβαίνει θείαν ἐντολὴν, φυλάσσει τὴν ἑαυτοῦ ψυχὴν ἀπὸ τῶν ἐπιβουλευόντων ταύτῃ διὰ ποικίλων παθῶν, τῆς πονηρίας πνευμάτων.

Ὁ δὲ καταφρονῶν τῶν ἑαυτοῦ ὁδῶν, ἀπολεῖται.

Ὁ δ' ἀμελῶς περὶ τὰς θείας ἐντολὰς διακείμενος, αἳ δίκην ὁδῶν ἄγουσιν αὐτὸν πρὸς θεὸν, τούτου ἐκπεσεῖται τοῦ πανταχοῦ παρόντος καὶ τὰ πάντα πληροῦντος.

17. Δανείζει θεῷ ὁ ἐλεῶν πτωχόν.

Ὁ συμπάθειαν κατὰ τὸ παρὸν εἰς τὸν πλούτου ἐκπεπτωκότα ἐπιδεικνύμενος, τὸν θεὸν χρεώστην ποιεῖ.

Κατὰ δὲ τὸ δόμα αὐτοῦ ἀνταποδώσει αὐτῷ.

Ἀνταποδώσει δὲ οὗτος αὐτῷ ἐν τῇ φρικτῇ αὐτοῦ παρουσίᾳ, ἀξίους τῆς αὐτοῦ εἰς τὸν ἐνδεῆ διαθέσεως τοὺς μισθούς.

18. Παίδευε υἱόν σου, οὕτως γὰρ ἔσται εὔελπις.

Παραίνει τὰ δέοντα τῷ φυσικῷ εἴτε καὶ τῷ πνευματικῷ σου υἱῷ· ἐντεῦθεν γὰρ παρὰ θεοῦ κομίσασθαι ἐλπίσει τὰ ἀγαθά· τὰ θεῷ εὐάρεστα μυηθεὶς, καὶ τῇ φιλοπόνῳ τούτων ἐργασίᾳ, τὰ ἐν ἐπαγγελίαις ἀγαθὰ ἐκδεχόμενος.

Εἰς δὲ ὕβριν μὴ ἐπαίρου τῇ ψυχῇ σου.

Εἰς δὲ τὸ ἡγεῖσθαι αὐτὸν κακὸν, καὶ ἀπὸ σοῦ ἐκκόπτειν, μὴ διέγειρε τὴν ψυχήν σου ἐν τῷ συμβαίνειν λυπεῖσθαι εἰς αὐτόν· ἵνα μὴ πάντως μισόπαις καταγνωσθῇς.

19. Κακόφρων ἀνὴρ, πολλὰ ζημιωθήσεται.

Ὁ τὰ δέοντα μὴ φρονῶν ἄνθρωπος, τοῦ πλούτου τῶν ἀρετῶν στερηθήσεται· ὅτι μὴ διαιρῶν τὸ κρεῖττον ἀπὸ τοῦ χείρονος, ποιεῖ ὡς ἔτυχε τὸ κακὸν, ζημίαν ὑφιστάμενος τοῦ καλοῦ.

Ἐὰν δὲ λοιμεύηται, καὶ τὴν ψυχὴν αὐτοῦ προσθήσει.

Ὁ δὲ διά πονηρίας περιουσίαν, τῆς φθοροποιοῦ αὐτοῦ κα- XIX.
κίας καὶ ἑτέροις μεταδιδοὺς, προσθήσει τὸ καὶ αὐτὴν τὴν ἰδίαν ζημιωθῆναι ζωήν· ἐκκοπτομένης αὐτοῦ τῆς ψυχῆς πρὸ ὥρας, ὥστε μὴ ὑπάρχειν εἰς βλάβην πολλῶν.

Ἄκουε υἱὲ παιδείαν πατρός σου, ἵνα εὖ σοι γίνηται ἐπ' ἐσ- 20.
χάτων σου.

Εὐπειθὴς ἔσο τέκνον ταῖς ἐμοῦ τοῦ διδασκάλου σου νουθεσίαις· ἵνα μετὰ τὸ καθαρθῆναι παθῶν καὶ φωτισμὸν δέξασθαι γνώσεως, εὕρῃς ἐν τῷ τῆς κινήσεώς σου τέλει, τὸ ἔσχατον ὀρεκτὸν, διὰ τὸ νοῦν περάσαι πάντα τὰ ὄντα καὶ εἰς τὸν τούτων αἴτιον, καὶ ὑπὲρ ταῦτα ὑπάρχοντα, καταντῆσαι Θεόν.

Πολλοὶ λογισμοὶ ἐν καρδίᾳ ἀνδρός. 21.

Τὴν διάνοιαν τοῦ ἀνθρώπου διάφοροι διαδέχονται λογισμοί· ποτὲ δ' ἐκείνῳ προστιθεμένου· καὶ τῇ τῶν ἀλλοιωτῶν ἀλλοιώσει συναλλοιουμένου.

Ἡ δὲ βουλὴ τοῦ κυρίου εἰς τὸν αἰῶνα μένει.

Τὸ δ' ἐπὶ πᾶσι θεῖον καὶ δεσποτικὸν θέλημα, ἀμετακίνητον εἰς τὸν ἅπαντα διαμένει αἰῶνα· ὅθεν ὁ τούτῳ προσερείσας τὸ τῆς ψυχῆς ὄμμα, καὶ τῆς τῶν κινουμένων ὑπεριδὼν ματαιότητος, γέγονε καὶ αὐτὸς ἄτρεπτος τῇ ἀλλοιώσει τῶν ἀλλοιωτῶν μὴ συναλλοιούμενος.

Καρπὸς ἀνδρὶ ἐλεημοσύνη. 22.

Καρποφορεῖ Θεῷ ἄνθρωπος, τὴν πρὸς τοὺς ὁμοφυεῖς συμπάθειαν· ἥ ἐστι τέλος τῶν ἀρετῶν, ὡς νόμου καὶ προφητῶν πλήρωμα.

Κρείσσων δὲ πτωχὸς δίκαιος, ἢ πλούσιος ψεύστης.

Καλλίων δέ ἐστιν ἐνδεὴς γνώσεως ἀμέμπτως πολιτευόμενος, ὑπὲρ τὸν πλουτοῦντα κατὰ γνῶσιν καὶ τὴν ἄμεμπτον πολιτείαν, ἣν Θεῷ ὑπέσχετο, μὴ ἐπιδεικνύμενον.

Φόβος κυρίου, εἰς ζωὴν ἀνδρί. 23.

Ὁ τῷ δεσποτικῷ φόβῳ τὰς θείας τηρῶν ἐντολὰς, εὑρίσκει ἐν αὐταῖς τὴν ζωὴν τοῦ νοῦ, πάντως τὸν τῆς γνώσεως φωτισμόν.

XIX. Ὁ δὲ ἄφοβος, αὐλισθήσεται ἐν τόποις, οἷς οὐκ ἐπισκοπεῖ γνῶσις.

Ὁ δὲ τοῦ θείου φόβου ἐστερημένος, ἐπαναπαυθήσεται τοῖς μὴ λόγῳ κατὰ γνῶσιν ἐξεταζομένοις, ἀλλ' ὡς ἔτυχε προβαίνουσιν ἔργοις τῆς ἀνομίας, ἃ περιγεγραμμένον μόνῃ τῇ πράξει τὸ ἡδὺ κέκτηνται μετ' αὐτὴν ὑπὸ τῆς ὀδύνης διαδεχόμενα· τέλος γὰρ τῆς κατ' αἴσθησιν ἡδονῆς ἡ ὀδύνη ἐστίν.

24. Ὁ ἐγκρύπτων εἰς τὸν κόλπον αὐτοῦ χεῖρας ἀδίκως, οὐδὲ τῷ στόματι οὐ μὴ προσαγάγῃ αὐτάς.

Ὁ διὰ τὸ κατὰ σάρκα ἐπίπονον τῆς ἀρετῆς, κρύπτων κατὰ ψυχὴν ἀλογίστως τὰς πρακτικὰς δυνάμεις αὐτῆς, καὶ μὴ ἐκτείνων ταύτας εἰς ἐργασίαν τῶν τοῦ θεοῦ ἐντολῶν, οὐ θρέψεται τὸν κατ' ἀρετὴν καρπὸν γηΐνου σαρκὸς, καὶ (μὴ) τὴν ἑαυτοῦ θρέψει ψυχὴν τῷ ἡδίστῳ αὐτῇ τοιῷδε καρπῷ· ἡ γὰρ σὰρξ ἔργοις δικαιοσύνης, ὑπὸ τῆς ψυχῆς μὴ φιλοπονουμένη, ἀντὶ τοῦ κατ' ἀρετὴν καρποῦ, ἀνατέλλει ταύτῃ ἀτιμίας πάθη· δίκην ἀκανθῶν τῷ ἐλέγχῳ τοῦ συνειδότος κατακεντοῦντα αὐτήν.

25. Λοιμοῦ μαστιγουμένου, ἄφρων πανουργότερος γίνεται.

Τοῦ τῆς φθοροποιοῦ κακίας καὶ ἑτέροις μεταδιδόντος, τιμωρουμένου, βελτιοῦται ὁ τὰ μὴ δέοντα φρονῶν συστελλόμενος ἀπὸ τῶν ἀλογίστων ὁρμῶν, καὶ ἐπεκτεινόμενος πρὸς τὰ κρείττονα.

Ἐὰν δὲ ἐλέγχῃς ἄνδρα φρόνιμον, νοήσει αἴσθησιν.

Ἐὰν δὲ δηλοποιῇς τὰ μὴ δέοντα, πραττόμενα ἀνθρώπῳ ἐχέφρονι, καταλάβῃ διάκρισιν, τὴν διαιροῦσαν τὸ κρεῖττον ἀπὸ τοῦ χείρονος, ταῖς ἐπιτιμήσεσι διεγειρόμενος πρὸς τὴν τῶν παρ' αὐτοῦ πράττεσθαι μελλόντων ἐξέτασιν.

26. Ὁ ἀτιμάζων πατέρα, καὶ ἀπωθούμενος μητέρα αὐτοῦ, καταισχυνθήσεται, καὶ ἐπονείδιστος ἔσται.

Ὁ τὸν ἐν οὐρανοῖς κατὰ χάριν πατέρα, μὴ διὰ τῶν τῆς δικαιοσύνης ἔργων τιμῶν, καὶ τὴν γεννῶσαν αὐτὸν εἰς ζωὴν θείαν παιδείαν ἐξ ἑαυτοῦ ἀπελαύνων, ἐντραπήσεται παρὰ πᾶσιν· ὡς τοῦ ἐν οὐρανοῖς πατρὸς ἀνταλλαξάμενος τὸν διάβολον, καὶ πάθεσιν ἀτιμίας θεραπεύων αὐτόν.

Υἱὸς ἀπολειπόμενος φυλάξαι παιδείαν πατρὸς, μελετήσει ῥή- XIX.
σεις κακάς. 27.

Ὁ διὰ πίςεως θεῷ κατὰ χάριν υἱοθετηθεὶς, καταλιπὼν τὸ τηρῆσαι τὰς θείας καὶ πατρικὰς ἐντολὰς, αἳ τὸν ἡμέτερον βίον δεόντως ῥυθμίζουσι, διαλογίσεται τὰ ἐναντία· ἃ τοῦτον προτρέπει πράττειν ὁ ἐπιχειρῶν ἀπολέσαι αὐτὸν, ἐχθρὸς τὸν ἡμετέρων ψυχῶν.

Ὁ ἐγγυώμενος παῖδα ἄφρονα, καθυβρίζει δικαίωμα. 28.

Ὁ τὸ ὑπεξούσιον τῇ ψυχῇ, καὶ καθ' ἑαυτὸ ἄλογον σῶμα, ἐπὶ τέλει ἀποδοῦναι κατὰ πρᾶξιν τὸ τέλος τῆς ἀρετῆς ἐγγυώμενος, καὶ μὴ κατὰ τὸ παρὸν πρὸς τὴν τοῦ καλοῦ ἐργασίαν διεγείρων αὐτὸ, οὐ τιμᾷ τὸν δικαιοῦντα θεῖον νόμον τοὺς τηροῦντας αὐτὸν, ὡς τὰ ἐν τούτῳ ἀπηγορευμένα διαπραττόμενος.

Στόμα δὲ ἀσεβῶν καταπίεται κρίσεις.

Τὰς δ' ἀπολογίας πάσας τῶν μὴ δι' ἀγαθοεργίας τιμώντων θεὸν, οἰκειώσεται ἡ κατὰ τὸ μέλλον ἀπαραλόγιστος κρίσις αὐτοῦ, κατὰ τὸ διελέγξαι ταύτας εἰς κατάκρισιν τῶν προβαλλομένων αὐτὰς, καὶ καταλύσαι ἅπασαν πρόφασιν.

Ἑτοιμάζονται ἀκολάστοις μάςιγες, καὶ τιμωρίαι ὁμοίως ἄ- 29.
φροσιν.

Εὐτρεπίζονται τοῖς κατ' ἐνέργειαν ἁμαρτάνουσι σωματικαὶ ὀδύναι· καὶ ψυχικαὶ ὡσαύτως λῦπαι, τοῖς κατὰ διάνοιαν πταίουσι· κατὰ μὲν τὸ παρὸν, πρὸς ἐπιςροφὴν καὶ διόρθωσιν· κατὰ δὲ μέλλον, εἰς ἀνταπόδοσιν.

CAP. XX.

Ἀκόλαστον, οἶνος· καὶ ὑβριστικὸν, μέθη. v. 1.

Ὁ οἶνος, ἐπιθυμιῶν ἐστὶν ἀλογίστων παραίτιος τὴν σάρκα ἐκθερμαίνων τῶν μὴ χρωμένων αὐτῷ ἐγκρατῶς, καὶ διεγείρων τούτους πρὸς μίξεις αἰσχράς· καὶ ἀτιμοποιὸς ὑπάρχει ἡ μέθη, ἀπεργαζομένη παράφρονα τὸν μεθύοντα.

XX. Πᾶς δὲ ἄφρων τοιούτοις συμπλέκεται.

Πᾶς δὲ ζῶν ἀλογίστως, τοῖς ὁμοίως βλάπτουσιν ἐμπεριστρέφεται.

2. Οὐ διαφέρει ἀπειλὴ βασιλέως θυμοῦ λέοντος.

Ἔοικεν ἡ ἀπειλὴ τοῦ παμβασιλέως θεοῦ θυμῷ λέοντος, φόβον θανάτου ἐπάγοντι.

Ὁ δὲ παροξύνων αὐτὸν, ἁμαρτάνει εἰς τὴν ἑαυτοῦ ψυχήν.

Ὁ δ' αὐτὸν τὸν πάντων δεσπότην θεὸν παροργίζων, κᾂν μὴ κινδυνεύσῃ κατὰ σῶμα πολλάκις, ὡς ὁ ὑπὸ τοῦ εἰρημένου θηρὸς βιβρωσκόμενος, κατ' αὐτὴν κινδυνεύει τὴν ἰδίαν ψυχὴν, θεοῦ τῆς ὄντος ζωῆς στερισκόμενος.

3. Δόξα ἀνδρὶ, ἀποστρέφεσθαι λοιδορίας.

Τιμὴ τῷ ἀνθρώπῳ ἐστὶ, τὸ μισεῖν τὰς κατ' ἄλλων διαβολάς· ἐπαινετὸς γάρ ἐστιν ὁ τοιοῦτος, ὡς διὰ τὸ μισεῖν τὰς κατὰ τοῦ ἀδελφοῦ λοιδορίας, τὸν ἀδελφὸν μὴ μισῶν· ὥσπερ αὖ ψεκτός ἐστιν ὁ διὰ τὸ μὴ μισεῖν τὰς κατ' αὐτοῦ λοιδορίας τοῦτον μισῶν.

Πᾶς δὲ ἄφρων τοιούτοις συμπλέκεται.

Διὰ τοῦτο δὲ πᾶς ὁ μὴ κατὰ λόγον ἐξετάζων τὰ ἑαυτοῦ, καὶ τὴν δοκὸν οἰκείου ὀφθαλμοῦ ἐκβαλεῖν σπεύδων, περισκοπεῖν ἐθέλων τὸ ἐν τῷ ὀφθαλμῷ τοῦ ἀδελφοῦ κάρφος, καὶ τούτῳ ἐπεγγελῶν, τοῖς τοιούτοις ἀνθρώποις, διαβολεῦσι πάντως, συναναστρέφεται.

4. Ὀνειδιζόμενος ὀκνηρὸς, οὐκ αἰσχύνεται· ὡσαύτως καὶ ὁ δανειζόμενος σῖτον ἐν ἀμητῷ.

Ὁ ῥᾴθυμος περὶ τὴν τῶν ἀρετῶν ἐργασίαν, διὰ τὸ τούτων ἐπίπονον, ἐλεγκτικοῖς λόγοις ὑπὸ τοῦ διδασκαλίου βαλλόμενος, οὐκ αἰδεῖται· ἀκολούθως δὲ καὶ ὁ ἐν τῷ μέλλοντι αἰῶνι, καθ' ὃν ἐν ἀγαλλιάσει συλλέγουσι τῶν οἰκείων πόνων τοὺς καρποὺς οἱ κατὰ τὸν παρόντα ἐν δάκρυσι σπείροντες, τῆς παρ' ἑτέρων ἐπικουρίας δεόμενος, ὥστε τὴν λιμώττουσαν τῶν ἀγαθῶν ἰδίαν ψυχὴν, τοῖς ἐκείνων θρέψαι πονήμασι, κατὰ τὸν ἐν εὐαγγελίοις πλούσιον, καὶ τὰς μωρὰς παρθένους, ἀνηνύτοις ἐπιχειρῶν οὐκ

αἰσχύνεται· ὁ γὰρ ἐν τῷ τῆς ἀνταποδόσεως καιρῷ αἰδούμενος XX.
εὑρεθῆναι τῶν ἀγαθῶν ἐνδεὴς, αἰσχύνεται καὶ ἐν τῷ παρόντι τῆς
ἐργασίας καιρῷ, ἀμελὴς ἐλεγχόμενος περὶ τὸ καλόν.

Ὕδωρ βαθὺ βουλὴ ἐν καρδίᾳ ἀνδρός. 5.

Δυσεξαντλήτῳ ἔοικεν ὕδατι, τὸ ἐν ψυχῇ ἀνθρώπου τινὸς κεκρυμμένον βούλευμα.

Ἀνὴρ δὲ φρόνιμος ἐξαντλήσει αὐτήν.

Τοῦτο δ' ἀναμάξει ἅπαν, νουνεχὴς ἄνθρωπος· ἀπὸ μὲν τῶν ῥημάτων αὐτοῦ, εὐμεθόδως αὐτὸν μετελθών· ἀπὸ δὲ τῶν ἔργων αὐτοῦ, ἐρευνήσας αὐτὰ κατὰ λόγον· ἔργον γὰρ ἀπόδειξις διαθέσεως.

Μέγα ἄνθρωπος, καὶ τίμιον ἀνὴρ ἐλεήμων. 6.

Ὁ ἄνω εἰς Θεὸν βλέπων, ὡς πρὸς ἀρχέτυπον, τῶν γηίνων πάντων ὑπερορῶν, καὶ τὸ κατ' εἰκόνα τηρῶν, ἐν τούτῳ ὑπὲρ πάντα ἐστὶ τὰ ὁρώμενα· καὶ ὁ τὰ πάθη γενναίως καταπαλαίσας, καὶ συμπαθὴς πρὸς ἀνθρώπους ὢν καθ' ὁμοίωσιν Θεοῦ, τίμιος καὶ παρ' αὐτῷ καὶ παρ' ἀνθρώποις ὑπάρχει.

Ἄνδρα δὲ πιστὸν, ἔργον εὑρεῖν.

Ἐργῶδές ἐστιν ἐντυχεῖν τινι ἔργοις βεβαίαν τὴν εἰς Θεὸν πίστιν ἐπιδεικνυμένῳ· ὀλίγοι γάρ εἰσιν οἱ τὴν στενὴν ὁδὸν καὶ τεθλιμμένην εὑρίσκοντες· ἀνὴρ δ' ὁ πρακτικὸς εἴρηται, ὡς κατὰ τῶν παθῶν γενναίως ἱστάμενος, καὶ ταῖς κατ' αἴσθησιν ἡδοναῖς μὴ ἐκθηλυνόμενος.

Ὃς ἀναστρέφεται ἄμωμος ἐν δικαιοσύνῃ, μακαρίους τοὺς παῖ- 7.
δας αὐτοῦ καταλείψει.

Ὃς τὰς τοῦ Θεοῦ ἐντολὰς μετέρχεται καθαρῶς, οἷον ὑποκρίσεως καὶ κενοδοξίας ἐκτὸς, μεταστὰς τῶν ἐντεῦθεν, ἀξιεπαίνους τοὺς ὑπ' αὐτοῦ πνευματικῶς ἀναχθέντας ἀφήσει· καλῶν διδασκάλων γὰρ καλὰ τὰ μαθήματα.

Ὅταν βασιλεὺς δίκαιος καθίσῃ ἐπὶ τοῦ θρόνου, οὐκ ἐναν- 8.
τιοῦται ἐν ὀφθαλμοῖς αὐτοῦ πᾶν πονηρόν.

Ὁπηνίκα ὁ τόδε τὸ πᾶν διιθύνων δικαίως, καὶ τῶν ὅλων

XX. δεσπόζων Θεὸς, καθίσῃ κρῖναι ἅπερ ἄνθρωποι διεπράξαντο, οὐδὲν τῶν κακῶν ἀντιπίπτει τοῖς τούτου δικαιοτάτοις ἀκριβασμοῖς, ὥστε μὴ ἐγνωσμένον εἶναι αὐτοῖς· αὐτοκατάκριτοι γὰρ οἱ ταῦτα διαπραξάμενοι ἔσονται· ἕκαστος αὐτῶν ὑπὸ τοῦ ἰδίου ἐλεγχόμενος συνειδότος, καὶ ἀρνήσασθαι τὰ ἐσφαλμένα αὐτῷ, ἔμπροσθεν τοῦ πάντα ἀκριβῶς εἰδότος Θεοῦ μὴ δυνάμενος.

9. Τίς καυχήσεται ἁγνὴν ἔχειν τὴν καρδίαν; ἢ τίς παῤῥησιάσεται καθαρὸς εἶναι ἀπὸ ἁμαρτίας;

Τίς μεγαλαυχῶν εἴπῃ καθαρὰν ἔχειν τὴν ψυχὴν αὐτοῦ ἀπὸ παντὸς ἐμπαθοῦς λογισμοῦ; ἢ τίς φθέγξεται ἀνυποστόλως ἄμεμπτον εἰς τὸ παντελὲς ὑπάρχειν τὴν πολιτείαν αὐτοῦ; οὐδεὶς γὰρ ἀναμάρτητος, εἰ μὴ εἷς ὁ Θεός.

20. Κακολογοῦντος πατέρα ἢ μητέρα, σβεσθήσεται λαμπτήρ.

Τὸ τῆς θεογνωσίας νοερὸν φῶς ἀποσβεσθήσεται τοῦ βλασφημοῦντος, εἴτε εἰς τὸν θεὸν καὶ πατέρα· ἐν τῷ τολμηρῶς λέγειν, μὴ ὅλως εἶναι θεὸν τοῦ παντὸς αἴτιον· εἴτε εἰς τὴν ἐνυπόστατον αὐτοῦ σοφίαν, δι᾽ ἧς ὑπέστη τε καὶ της προσηκούσης ἀξιοῦται προνοίας τὸ πᾶν, ἐν τῷ ἀναισχύντως φάσκειν, μὴ δεόντως τοῦτο ὑπ᾽ αὐτοῦ Θεοῦ διεξάγεσθαι.

Αἱ δὲ κόραι τῶν ὀφθαλμῶν αὐτοῦ, ὄψονται σκότος.

Αἱ δ᾽ ὀπτικαὶ τῆς ψυχῆς αὐτοῦ δυνάμεις, τὸν σκοτος ὄντα καὶ φῶς εἶναι ὑποκρινόμενον δαίμονα, κατὰ πλάνην ὡς φῶς ὑποδέξονται· κἀντεῦθεν ἐμπεσεῖται ὁ τοιοῦτος εἰς ἀγνοίας κρημνοὺς, καὶ κακίας βάραθρα.

21. Μερὶς ἐπισπουδαζομένη ἐν πρώτοις, ἐν τοῖς τελευταίοις οὐκ εὐλογηθήσεται.

Ἡ παρ᾽ ἡμῶν ἐπιμελῶς ζητουμένη διὰ νηπιότητα φρενῶν, ἐκ νεότητος ἡδονὴ, μεριζομένη ἀπὸ τῆς ὀδύνης κατ᾽ αἴσθησιν, καὶ προαιρουμένη τοῦ ἐπιπόνου τῆς ἀρετῆς κατὰ γνώμην ἡμῶν, πρὸς τὸ τέλος ὁρώσης ταυτησὶ τῆς ἡμετέρας ζωῆς, οὐκ ἐπαινεθήσεται ὑπὸ τοῦ λόγου, ἀνδρωθέντος, καὶ τὸ ὄντως καλὸν ἀπὸ τοῦ νομιζομένου διακρίνειν δεδυνημένου· κατηγορηθήσεται δὲ μᾶλ-

λον, ἐπειδὴ κέκτηται τέλος, τὴν περιποιητικὴν τῆς ὀδύνης φθο- XX.
ρὰν· καὶ ἄγκιστρόν ἐστι τοῦ διαβόλου, πρὸς ἀπώλειαν ἕλκον.

Μὴ εἴπῃς τίσομαι τὸν ἐχθρόν· ἀλλ' ὑπόμεινον τὸν κύριον, 22.
ἵνα σοι βοηθήσῃ.

Μὴ βουληθῇς τιμωρήσασθαι τὸν λυπήσαντά σε κατά τι· ἀλλὰ τὸν δι' αὐτοῦ σε παιδεύσαντα πρὸς διόρθωσιν τοῦ παντὸς δεσπότην, ὑπόμεινον εὐχαρίστως· ἵνα σοι ἀρωγὸς γένηται κατὰ τῶν ἐνοχλούντων σοι δι' ἀκουσίων παθῶν, τῆς πονηρίας πνευμάτων· ἡ γὰρ τῶν ἀκουσίων παθῶν ὑπομονὴ, τῶν ἑκουσίων ἀπαλλαγὴ γίνεται.

Στάθμιον μέγα καὶ μικρὸν, μέτρα δισσὰ, ἀκάθαρτα ἐνώ- 10.
πιον κυρίου καὶ ἀμφότερα· καὶ ὁ ποιῶν αὐτὰ, ἐν τοῖς ἐπιτη- 11.
δεύμασιν αὐτοῦ συμποδισθήσεται.

Τὸ μὴ ἐπίσης τινὰ ταλαντεύειν τὰ ἑαυτοῦ καὶ τὰ τῶν ἀδελφῶν, ἀλλὰ τὰ τούτων μὲν πταίσματα ἡγεῖσθαι βαρέα τε καὶ δυσβάστακτα, ἐλαφρὰ δὲ τὰ ἑαυτοῦ· καὶ τὸ μετρεῖν ἄλλῳ μὲν μέτρῳ ἑαυτὸν, ἑτέρῳ δὲ τοὺς ὁμοφυεῖς, μεγάλα μὲν ἀπαιτοῦντα τούτους, μικρὰ δὲ αὐτὸν, κἀντεῦθεν τὴν μίαν φύσιν μερίζειν, καὶ οὕτω πρὸς τὸν ταύτης δημιουργὸν καὶ νομοθέτην προσκρούειν, βδελυκτά εἰσι παρὰ τῷ τῶν ὅλων δεσπότῃ καὶ ἀμφότερα· καὶ ὁ ταῦτα διαπραττόμενος, ἐν ταῖς τοιαύταις αὐτοῦ ἐπινοίαις προσκόψει· ἐν οἷς γὰρ ἑτέρους κρίνει, ἑαυτὸν κατακρίνει· καὶ ᾧ μέτρῳ μετρεῖ, μετρηθήσεται.

Νεανίσκος μετὰ ὁσίου, καὶ εὐθεῖα ἡ ὁδὸς αὐτοῦ.

Εἰ ὁ νέος ὑπὸ διδάσκαλον ὑπάρχει πνευματικὸν, ὀρθῶς τὴν κατ' ἀρετὴν πρὸς θεὸν φέρουσαν τρίβον βαδίζειν ὑπ' αὐτοῦ δεόντως παιδαγωγούμενος.

Οὖς ἀκούει, καὶ ὀφθαλμὸς ὁρᾷ, κυρίου ἔργα καὶ ἀμφότερα. 12.

Παρὰ τοῦ δεσπότου τῶν ὅλων θεοῦ πάσας τὰς αἰσθήσεις εἴληφας ἄνθρωπε· οἷον τὴν ἀκουστικὴν τε καὶ ὀπτικὴν καὶ καθεξῆς τὰς λοιπάς· δέον οὖν σε χρᾶσθαι ταύταις, ὡς ἡ θεία ἐντολὴ ἀπαιτεῖ.

XX. 13. Μὴ ἀγάπα καταλαλεῖν, ἵνα μὴ ἐξαρθῇς.

Μὴ ἀσπάζου τὸ λέγειν κατά τινος, καὶ διδόναι τῇ ἀκοῇ τοῦ φιλοψόγου τὴν γλῶσσαν σου· ἵνα μὴ ὡς βλάπτων σὺν αὐτῷ καὶ ἑτέρους, ἀνάρπαστος γένῃ, ὑποστὰς αἰφνίδιον ὄλεθρον.

Διάνοιξον δὲ τοὺς ὀφθαλμούς σου, καὶ ἐμπλήσθητι ἄρτων.

Ἀναπέτασον δὲ πρὸς θεὸν τὰς θεωρητικὰς τῆς ψυχῆς σου δυνάμεις, καὶ τῶν ταύτην τρεφόντων λογίων αὐτοῦ γνωστικῶς ἐμφορήθητι· τοῦ λέγειν κακῶς, τὸ μανθάνειν καλῶς, προαιρούμενος.

23. Βδέλυγμα κυρίῳ, δισσὸν στάθμιον· καὶ ζυγὸς δόλιον, οὐ καλὸν ἐνώπιον αὐτοῦ.

Μισητὴ τῷ θεῷ, ἡ κατ' ἐπιθυμίαν καὶ θυμὸν διάφορος τῆς ψυχῆς διάθεσις τοῦ διὰ μὲν τὴν πρὸς τὸ ἴδιον σῶμα φιλίαν, ἑαυτῷ τὰ ἡδέα περιποιουμένου· διὰ δὲ τὴν κατὰ τῶν ὁμοφυῶν τυραννίδα, τὰ ἀνιαρὰ τούτοις ἐπινοουμένου· καὶ οὕτω κακῶς τὰ τοῦ πλησίον καὶ τὰ ἑαυτοῦ ταλαντεύοντος· καὶ ὁ τὴν ἐπιθυμίαν καὶ τὸν θυμὸν σταθμῶν λογισμὸς τοῦ ἐγκρατευομένου μὲν τῶν ἡδέων, ὑπομένοντος δὲ τὰ ὀδυνηρὰ, μὴ διὰ θεοῦ εὐαρέστησιν, ἀλλὰ δι' ἀνθρώπων ἀρέσκειαν, καὶ οἰκείαν κενοδοξίαν· κἀντεῦθεν τὸ καθαρὸν τῶν ἀρετῶν κιβδηλεύοντος, κἂν ἀγαθὸς παρ' ἀνθρώποις δοκῇ, ἀλλ' ἐπ' ὄψει τοῦ ὡς ἔχουσι τὰ πάντα εἰδότος θεοῦ, οὐ τοιοῦτος ἐστίν.

24. Παρὰ κυρίου εὐθύνεται τὰ διαβήματα ἀνδρί· θνητὸς δὲ πῶς ἂν νοήσαι τὰς ὁδοὺς αὐτοῦ;

Παρὰ τοῦ δεσπότου τῶν ὅλων θεοῦ διορθοῦνται αἱ κατ' ἀρετὴν πορεῖαι τῷ ἀνθρώπῳ, ὡς μήτε εἰς τὰ κατ' ἔλλειψιν ταύτης πάθη, μήτε εἰς τὰ καθ' ὑπερβολὴν περιτρέπεσθαι· καὶ γὰρ τῷ μὲν φόβῳ τοῦ θεοῦ, τὰ κατ' ἔλλειψιν τῆς ἀρετῆς ἐκφεύγει πάθη· τῷ δὲ πόθῳ, τὰ καθ' ὑπερβολὴν· δι' αὐτὸν τὸ καλὸν ἐργαζόμενος· ἐπειδήπερ εἰ μὴ ταῖς θείαις ἐντολαῖς, τὰ καλὰ διαγνῷ, καὶ τὰ ἐναντία, καὶ τῶν μὲν κακῶν ἀπόσχηται τῷ φόβῳ τῶν ἀπειλῶν, πρὸς δ' ἐργασίαν τῶν ἀγαθῶν διαναστῇ τῷ

πόθῳ τῶν ἐπαγγελιῶν, πῶς ἂν ὑποκείμενος τῇ καθ' ἡδονὴν γε- XX.
νέσει, καὶ τῇ κατ' ὀδύνην φθορᾷ, κἀντεῦθεν πρόσκαιρον ἔχων ζωὴν, καταλάβῃ τὰς δι' ἐγκρατείας μὲν τῶν ἡδέων, ὑπομονῆς δὲ τῶν ὀδυνηρῶν φερούσας αὐτὸν εἰς σωτηρίαν ὁδούς;

Παγὶς ἀνδρὶ, ταχύ τι τῶν ἰδίων ἁγιάσαι· μετὰ γὰρ τὸ εὔ- 25.
ξασθαι, μετανοεῖν γίνεται.

Ἁλίσκεται τῷ ἰδίῳ λόγῳ, ὡς ἐν παγίδι, ὁ κατὰ συναρπαγὴν ὑπισχνούμενος καθιερῶσαί τε θεῷ τῶν οἰκείων· μετὰ γὰρ τὸ ὑποσχέσθαι, συμβαίνει πολλάκις αὐτῷ μεταμεληθῆναι, καὶ τοῦ δεσμοῦ τῆς ὑποσχέσεως ἀπολυθῆναι μὴ δύνασθαι.

Λικμήτωρ ἀσεβῶν, βασιλεὺς σοφὸς, καὶ ἐπιβαλεῖ αὐτοῖς 26.
τροχόν.

Ἀφοριστής ἐστιν ὡς ἀχύρων ἀπὸ σίτου τῶν μὴ θεὸν τιμώντων λογισμῶν, ἀπὸ τῶν τιμώντων αὐτὸν, ὁ τῶν παθῶν αὐτοκράτωρ· σοφίας λόγοις τοῦ ὄντως ἀγαθοῦ, τὸν νομιζόμενον ἀποδιαιρῶν· ὃς καὶ δίκην τροχοῦ τοὺς τοιούτους πονηροὺς λογισμοὺς ἐκκυλίσει μακρὰν ἐξ αὐτοῦ.

Φῶς κυρίου, πνοὴ ἀνθρώπων· ὃς ἐρευνᾷ ταμεῖα κοιλίας. 27.

Τὸ ἀνέσπερον φῶς τῆς γνώσεως τοῦ τῆς δικαιοσύνης ἡλίου, συνεκτική ἐστι ζωὴ τῶν βλεπόντων πρὸς αὐτὸν ὡς ἀρχέτυπον· καὶ ταῖς καθ' ὁμοίωσιν ἐργασίαις τῶν παναγάθων αὐτοῦ θελημάτων, τὸ κατ' εἰκόνα φυλασσόντων ἀμείωτον· ζωὴ γὰρ τοῦ νοῦ, ὁ φωτισμός ἐστι τῆς γνώσεως τοῦ θεοῦ, ὃς ἐξετάζει τὰ βάθη τῆς διανοίας, τῆς δίκην κοιλίας χωρητικῆς τῶν κατὰ ψυχὴν βρώσεων· εἴτε θρεπτικαὶ ταύτης εἶεν, εἴτε λυμαντικαί.

Ἐλεημοσύνη καὶ ἀλήθεια, φυλακὴ βασιλεῖ· καὶ περικυκλώσου- 28.
σιν ἐν δικαιοσύνῃ τὸν θρόνον αὐτοῦ.

Ἡ πρὸς τοὺς ὁμοφυεῖς συμπάθεια, καὶ ἡ πρὸς θεὸν ἀληθὴς πίστις, φυλακτικαί εἰσι τοῦ τῶν παθῶν κρατοῦντος ἀνθρώπου· καὶ περιλήψονται τὸ ἀρχικὸν αὐτοῦ καὶ αὐτεξούσιον, πάντως τὸ νοερὸν· ἐν ᾧ προκάθηται πάντων τῶν ἐπὶ γῆς ἐν ὀρθῇ κρίσει τῶν κατὰ θεωρίαν καὶ πρᾶξιν νοημάτων τε καὶ πραγμά-

XX. των· μὴ συγχωρούσῃ κατὰ μὲν θεωρίαν, εἰς θεὸν τὴν κτίσιν παραγνωρίζειν, κατὰ δὲ πρᾶξιν λατρεύειν ταύτῃ παρὰ τὸν κτίσαντα.

29. Κόσμος νεανίαις, σοφία· δόξα δὲ καὶ πρεσβυτέρων, πολιά.

Εὐπρέπεια τοῖς νεάζουσι τῇ καινοποιῷ τοῦ πνεύματος χάριτι, ἡ τοῦ νοῦ ἐστι πρὸς θεὸν ἄτρυητος ἕνωσις· κλέος δὲ τῶν πολιτευομένων κατὰ τὸ παλαιούμενον ῥητὸν τῆς γραφῆς, ἡ ἀποβολή ἐστι τῆς τῶν σωματικῶν παθῶν μελανότητος· τὸ γὰρ παλαιούμενον γράμμα, τοὺς κατ' αὐτὸ πολιτευομένους τῶν κατ' ἐνέργειαν παθῶν ἀπαλλάττει· τὸ δὲ καινοποιὸν πνεῦμα, τὸν νοῦν λόγοις σοφίας ἀπὸ πάντων τῶν ποιημάτων πρὸς τὸν ποιητὴν ἐπιστρέφον, ἀπαλλόττει καὶ τῶν κατὰ διάνοιαν.

30. Ὑπώπια καὶ συντρίμματα συναντᾷ κακοῖς· πληγαὶ δὲ εἰς ταμεῖα κοιλίας.

Ὑπ' ὄψιν ἀνθρώπων, τιμωρίαι σωματικαὶ, καὶ ἀφανεῖς ψυχῆς συντριβαὶ, δι' ἀκουσίων πόνων ἐπιφορᾶς, ἐπέρχονται τοῖς πολιτευομένοις κακῶς· ἔλεγχοι δὲ συνειδότος, εἰς τὰ βάθη τῆς διανοίας αὐτῶν.

CAP. XXI.

v. 1. Ὥσπερ ὁρμὴ ὕδατος, οὕτω καρδία βασιλέως ἐν χειρὶ θεοῦ· οὗ ἐὰν θέλῃ νεῦσαι, ἐκεῖ ἔκκλινεν αὐτήν.

Ὥσπερ τὴν τοῦ ὕδατος φορὰν ὁ ὀχετηγὸς ἄγει ἔνθα καὶ βούλεται, οὕτω καὶ ἡ παντοκρατορικὴ τοῦ θεοῦ δύναμις, τὴν ψυχὴν τοῦ βασιλεύοντος εἴτ' ἀνθρώπων εἴτε παθῶν, φέρει ὡς αὐτῷ θεῷ βουλητόν· τὴν μὲν τοῦ κρατοῦντος ἀνθρώπων, εἰς τινῶν μὲν συμπάθειαν, ἑτέρων δὲ τιμωρίαν κινοῦσα· πρὸς τὸ συμφέρον πάντως ἑκάστῳ, κἂν μὴ πρὸς τοῦτο ἴσως ὁ βασιλεὺς ταῦτα ποιῇ, ἀλλ' ὑπὸ εὐνοίας ἢ μίσους ἑλκόμενος· τὴν δὲ τοῦ παθῶν κυριεύοντος, ποδηγοῦσα πρὸς τοὺς λυσιτελοῦντας αὐτῷ λογους, ἢ τρόπους τῶν ἀρετῶν.

2. Πᾶς ἀνὴρ φαίνεται ἑαυτῷ δίκαιος· κατευθύνει δὲ καρδίας ὁ κύριος.

XXI. Ὃς ἂν τῶν ἀνθρώπων τὴν κατὰ νόμους θείους ἕληται πολιτείαν, ὁρᾶται μὲν ἀνθρώποις παρ' ἑαυτῷ ἄμεμπτος· ὁ δὲ πάντων δεσπότης θεός, προνοίας λόγοις καὶ κρίσεως, ἀπαρεγκλίτως πρὸς τὸ ἀγαθὸν ὁδεύειν παρασκευάζει πᾶσαν ψυχὴν τὴν τούτοις ἐθέλουσαν ἕπεσθαι.

3. Ποιεῖν δίκαια, καὶ ἀληθεύειν, ἀρεστὰ παρὰ θεῷ μᾶλλον, ἢ θυσιῶν αἷμα.

Τὸ πράττειν τὰς τοῦ θεοῦ ἐντολὰς, καὶ τὸ προσάγειν τούτῳ ὁμολογίαν ἀληθῆ, εὐάρεστά εἰσιν αὐτῷ ὑπὲρ τὸ νομικῶς προσαγόμενον παρ' Ἰουδαίων αἷμα τῶν θυσιῶν· ἔλεον γάρ φησι θέλω, καὶ οὐ θυσίαν.

4. Μεγαλόφρων ἐφ' ὕβρει, θρασυκάρδιος.

Ὁ μέγα κεκτημένος φρόνημα, ἐν τῷ ὑπερορᾷν μὲν τῶν εὐτελῶν καὶ ἀνθρωπίνων πραγμάτων, ζητεῖν δὲ τὰ μεγάλα καὶ θεῖα, θρασὺς ὑπάρχει κατὰ ψυχὴν διὰ τὴν αὐτῆς σωτηρίαν, σαρκὸς μὴ φειδόμενος.

Λαμπτὴρ δὲ ἀσεβῶν, ἁμαρτία.

Λύχνος δὲ τῶν ἡγημένων θεὸν τὴν κοιλίαν, κἀντεῦθεν θεὸν μὴ τιμώντων, ἡ τῆς γαστρὸς θεραπεία ἐστί· φωτισμὸν γὰρ τὴν τρυφὴν εἶναι ὑπολαμβάνουσιν.

6. Ὁ ἐνεργῶν θησαυρίσματα γλώσσῃ ψευδεῖ, μάταια διώκει, καὶ ἔρχεται ἐπὶ παγίδας θανάτου.

Ὁ ἐν ψευδορρημοσύνῃ ἀποθησαυρίζων χρήματα, ποθεῖ τὰ φθειρόμενα, καὶ εἰς βρόχους ἀπωλείας ἐμπίπτει, τῆς σωτηριώδους ἀγάπης διαμαρτάνων· ἁλισκόμενος γὰρ ὑπὸ φιλουλίας, καὶ ἀπατᾷν ἀνθρώπους ἐπιχειρῶν, ἵνα τὰ αὐτῶν ἀποθησαυρίσῃ, τῆς πρὸς θεὸν ἀγάπης ἀφίσταται.

7. Ὄλεθρος ἀσεβέσιν ἐπιξενωθήσεται· οὐ γὰρ βούλονται πράσσειν τὰ δίκαια.

Τοῖς μὴ τιμῶσι δι' ἀγαθοεργίας θεὸν, ὁ ξένος τῆς λογικῆς φύσεως ὡς παράλογος ψυχικὸς καθ' ἁμαρτίαν θάνατος, ὑποδεχθήσεται κατὰ προαίρεσιν· καὶ γὰρ οὐ θέλουσιν οὗτοι πράττειν τὰς ζωογόνους τῆς ψυχῆς δικαιοτάτας τοῦ θεοῦ ἐντολάς.

XXI. 8. Πρὸς τοὺς σκολιοὺς, σκολιὰς ὁδοὺς ἀποστέλλει ὁ θεός· ἁγνὰ δὲ καὶ ὀρθὰ τὰ ἔργα αὐτοῦ.

Τοῖς κατὰ γνώμην στρεβλοῖς, δοκεῖ διαστρέφεσθαι ὁ μετὰ ὁσίου ὅσιος ὑπάρχων θεός· καθαρὰ καὶ εὐθῆ τα ποιήματα αὐτοῦ· πάντα γὰρ καλὰ τὰ ὑπὸ θεοῦ γεγονότα· καὶ ὡς αἰτιατὰ, πρὸς ἐπίγνωσιν τούτου ὡς αἰτίου, τὸν ἡμέτερον νοῦν ἀπευθύνοντα· ἐπεὶ δὲ τοῦ θείου θελήματος ἐξετράπη κατὰ γνώμην ἄνθρωπος, γέγονέ τε καὶ αὐτὸς προαιρέσει κακὸς, καὶ πεποίηκε καὶ τὰ δι' αὐτὸν γεγονότα, κατὰ τὴν παράλογως χρῆσιν κακά.

9. Κρεῖσσον οἰκεῖν ἐπὶ γωνίας ὑπαίθρου, ἢ ἐν κεκονιαμένοις μετὰ ἀδικίας, καὶ ἐν οἴκῳ καινῷ.

Κάλλιόν ἐστιν ἐν ἀσκεπῆ γωνίᾳ μιᾷ, καθῆσθαί τινα, ἢ ἐν τοίχοις περικεχρισμένοις καὶ κεκαλλωπισμένοις, καὶ νεοκατασκευάστῳ οἰκοδομήματι, μετὰ πλεονεξίας· τοῦ μὲν γὰρ τὸν ἀπέριττον καὶ ἀφανῆ ἑλομένου, τῶν ἐντεῦθεν ἀπαίροντος ἐξάγεται ἐκ φυλακῆς ἡ ψυχὴ, καὶ ἤδη χωρεῖ πρὸς τὰ ἀπίραντα ἀγαθά· τοῦ δὲ τὸ τῆς χρείας περιττὸν καὶ τὸ πρόσκαίρως λαμπρὸν καὶ ἐπίδοξον αἱρετισαμένου, τῶν ἐνθάδε μεθισταμένου, ἐν ᾅδῃ κατακλείεται ἡ ψυχὴ· καὶ ἤδη ἀνιᾶται ταῖς αἰωνίοις κολάσεσιν.

10. Ψυχὴ ἀσεβοῦς, οὐκ ἐλεηθήσεται ὑπ' οὐδενὸς τῶν ἀνθρώπων.

Τὴν ψυχὴν τοῦ μὴ δι' ἀγαθοεργίας τιμῶντος θεὸν, τῇ δικαιοτάτῃ αὐτοῦ κρίσει παραπεμπομένην εἰς κόλασιν, οὐδεὶς τῶν ἀνθρώπων ἐξελεῖται αὐτῆς.

11. Ζημιωμένου ἀκολάστου, πανουργότερος γίνεται ὁ ἄκακος· συνιῶν δὲ σοφὸς, δέξεται γνῶσιν.

Τοῦ μὴ σωφρόνως βιοῦντος, τὸν ἴδιον πλοῦτον ὁποῖός ἐστιν ἀσώτως καταναλίσκοντος, ὁ κατὰ πρᾶξιν πάσης κακίας ἀπαλλαγεὶς, προσεκτικώτερος γίνεται· μὴ παραζηλῶν τὸν τοιοῦτον ἀλλὰ μᾶλλον κατασφαλιζόμενος ἑαυτὸν, ὥστε μὴ τοῖς ὁμοίοις περιπεσεῖν· ὁ δὲ θεωρητικὸς, κατανοῶν τὸ τῆς ἀνθρωπίνης φύσεως ἀσθενὲς ἐν τῷ ἀκολασταίνοντι ἀδελφῷ ἐπιγνώσεται τὰ ἑαυτοῦ· καὶ οὐ καταγνώσεται τοῦ ἀδελφοῦ.

Συνιεῖ δίκαιος καρδίας ἀσεβῶν· καὶ φαυλίζει ἀσεβεῖς ἐν κακοῖς. XXI. 12.

Κατανοεῖ ὁ ἀμέμπτως πολιτευόμενος, τοὺς μὴ δι᾽ ἀγαθοεργίας τιμῶντας Θεὸν, ὅπως κατὰ ψυχὴν κακῶς ἔχουσι· καὶ διελέγχει τούτους ἐν τοῖς παραλόγοις ἔργοις αὐτῶν· ὡς ἂν τὸν οἰκεῖον διορθώσωνται βίον, καὶ τῆς αἰωνίου ῥυσθῶσι κολάσεως.

Ὃς φράσσει τὰ ὦτα τοῦ μὴ ἐπακοῦσαι ἀσθενοῦς, καὶ αὐ- 13.
τὸς ἐπικαλέσεται, καὶ οὐκ ἔσται ὁ εἰσακούων.

Ὃς τῷ εἴτε κατὰ σῶμα εἴτε κατὰ ψυχὴν κακῶς ἔχοντι, καὶ βοηθείας τῆς οἱασοῦν δεομένῳ, μὴ ἐπικάμπτεται, τὰ ὅμοια καὶ αὐτὸς πείσεται δεόμενος ἐν ἀνάγκαις, καὶ μὴ εὑρίσκων τὸν βοηθήσοντα· οὐκ ἐλεεῖται γὰρ, ἐπειδὴ μὴ ἠλέησεν.

Δόσις λάθριος, ἀνατρέπει ὀργάς. 14.

Μετάδοσις χρημάτων ἀνθρώπου τινὸς λεληθυῖα, πρὸς δεομένους, καταλλάττει αὐτὸν θεῷ, ὑπὲρ ὧν τοῦτον παρώργισε τὰς αὐτοῦ παραβὰς ἐντολάς.

Δώρων δὲ ὁ φειδόμενος, θυμὸν ἐγείρει ἰσχυρόν.

Ὁ δὲ διὰ φειδωλίαν μὴ μεταδιδοὺς τοῖς χρήζουσι τῶν ἑαυτοῦ, μεγάλως παροργίζει Θεόν· ὅτι χρήζων ἐλέους, μὴ ἐλεεῖ τοὺς ἐλέους ἀξίους.

Εὐφροσύνη δικαίων, ποιεῖν κρίμα. 15.

Πνευματική ἐστιν ἀγαλλίασις τῶν κατὰ νόμους θείους πολιτευομένων, πράττειν τὸ κατὰ λόγον κριθὲν ἀγαθόν.

Ὅσιος δὲ, ἀκάθαρτος παρὰ κακούργοις.

Ὁ δ᾽ οὕτω πολιτευόμενος, οὐ νομίζεται παρὰ τοῖς τῆς κακίας ἐργάταις, καλῶς τὸ καλὸν ἐργαζόμενος· ἀλλὰ δι᾽ ἀνθρωπαρέσκειαν τοῦτο καὶ κενοδοξίαν ὑποκρινόμενος.

Ἀνὴρ πλανώμενος ἐξ ὁδοῦ δικαιοσύνης, ἐν συναγωγῇ γι- 16.
γάντων ἀναπαύσεται.

Ἄνθρωπος ἐκτρεπόμενος τῆς κατ᾽ ἀρετὴν τρίβου, μετὰ τῶν φιλοσωμάτων συναυλισθήσεται· ἐν οἷς τὸ τοῦ Θεοῦ πνεῦμα οὐ καταμενεῖ, διὰ τὸ εἶναι αὐτοὺς σάρκας.

Ἀνὴρ ἐνδεὴς, ἀγαπᾷ εὐφροσύνην, φιλῶν οἶνον καὶ ἔλαιον εἰς 17.
πλοῦτον.

XXI. Ὁ πνευματικῆς χρήζων τροφῆς, τὴν κατὰ ψυχὴν ποθεῖ ἀγαλλίασιν· ἀσπαζόμενος δαψιλῶς, τόν τε δίκην οἴνου συπτικὸν πρὸς φυγὴν τῆς κακίας θεῖον φόβον, καὶ τὸν δίκην ἐλαίου ὑπαλείφοντα πρὸς ἐργασίαν τῶν (καλῶν) θεῖον πόθον.

18. Περικάθαρμα δὲ δικαίου, ἄνομος.

Ἐξίλασμα δὲ, ὡς τὸ περικάθαρμα ὁ Ἀκύλας ἡρμήνευκε, τοῦ πολιτευομένου κατὰ θείους νόμους ἐστὶν, ὁ παραβάτης . . ἐστὶν αὐτῶν· ἐξιλεωμένου θεὸν τούτῳ, ἐν τῷ διορθοῦσθαι αὐτοῦ τὸν βίον, δι' οὗ θεὸν παρώργισεν· ὁ γὰρ κατὰ θεὸν ζῶν, τὸν μὴ οὕτω ζῶντα, ταῖς ἑαυτοῦ παραινέσεσι προσάγων θεῷ, καταλλάττει τοῦτον αὐτῷ.

19. Κρεῖσσον οἰκεῖν ἐν γῇ ἐρήμῳ, ἢ μετὰ γυναικὸς μαχίμου καὶ ὀργίλου.

Ὥσπερ τὸ ἄζυγά τινα εἶναι καὶ μεμονωμένον οἰκεῖν, κάλλιόν ἐστιν ὑπὲρ τὸ συνοικεῖν γυναικὶ ἐριστικῇ εἰκῆ ὀργιζομένῃ, οὕτω κάλλιόν ἐστι καὶ τῷ νῷ ἁπλῇ ἐν θεῷ μένειν, ἔξω τῶν ὄντων γινομένῳ, ἢ συνοικεῖν τῇ φιλονείκῳ καὶ πρὸς ὀργὴν ὀξέως κινούσῃ ταῖς ἀκαίροις ἐνστάσεσιν ἑλληνικῇ σοφίᾳ.

20. Θησαυρὸς ἐπιθυμητὸς ἀναπαύσεται ἐπὶ στόματος σοφοῦ.

Ὁ ἐν θεῷ ἀποκεκρυμμένος, καὶ ἐράσμιος πλοῦτος τῶν μυστηρίων αὐτοῦ, ἐμφιλοχωρήσει τῷ διδασκαλικῷ λόγῳ τοῦ τὰ θεῖα σοφοῦ· δι' αὐτοῦ τοῖς χρήζουσιν ἀνακαλυπτόμενος, καὶ ἐνδεεῖς ὄντας, πλουτίζων αὐτούς.

Ἄφρονες δὲ ἄνδρες, καταπίονται αὐτόν.

Οἱ δ' ἀλογίστως βιοῦντες ἄνθρωποι, τὸν εἰρημένον πλοῦτον παρὰ τοῦ διδασκάλου δεξάμενοι, ἀφανίσουσι τοῦτον μηδ' ὁπωσοῦν αὐτὸν βουληθέντες ἐπεργάσασθαι.

21. Ὁδὸς δικαιοσύνης, εὑρήσει ζωὴν καὶ δόξαν.

Τὸ τὰ πράγματα κρίνειν ὀρθῶς, καὶ τὸ πρὸς ἀνθρώπους συμπαθῶς διακεῖσθαι, ἄξει κατὰ θεωρίαν καὶ πρᾶξιν τὸν οὕτω τὴν οἰκείαν ζωὴν διεξάγοντα, εἴς τε τὴν ἐν πνεύματι ζωὴν τοῦ νοῦ, τὸν τῆς γνώσεως φωτισμὸν, καὶ εἰς τὸ τοῦ βίου δι' ἀγαθοεργίας λαμπρὸν καὶ ἐπίδοξον.

Πόλεις ὀχυρὰς ἐπέβη σοφός. XXI.

Ἐπὶ τὰς τεθεμελιωμένας καὶ κατησφαλισμένας τῇ εἰς Θεὸν 22.
πίστει ψυχὰς, ὁ τοῦ Θεοῦ λόγος, τῇ σοφωτάτῃ αὐτοῦ προνοίᾳ
καὶ κρίσει, ἀνῆλθε· καθυποτάξας αὐτῷ ταύτας, ὥστε μὴ εἰς
ἀλογίαν τρέπεσθαι.

Καὶ καθεῖλε τὸ ὀχύρωμα, ἐφ' ᾧ ἐπεποίθεισαν οἱ ἀσεβεῖς.

Καὶ περιεῖλεν ἐξ αὐτῶν τὸ τῆς σαρκὸς φρόνημα ἐφ' ᾧ τὰ μὴ τιμῶντα Θεὸν τῆς πονηρίας πνεύματα, ὡς τινι κακίας ὀχυρώματι, τὸ ἅπαν θάῤῥος ἐνέκειντο διὰ τὴν ἀπάθειαν τῆς σαρκὸς, τὴν ψυχὴν πείθοντα δυσπαθῆ.

Ὃς φυλάσσει τὸ στόμα αὐτοῦ καὶ τὴν γλῶσσαν, διατηρεῖ 23.
ἐκ θλίψεως τὴν ψυχὴν αὐτοῦ.

Ὁ ἐν λόγοις ἐγκρατευόμενος, μετὰ περισκέψεως βραχέα φθεγγόμενος, φυλάσσει τὴν ἰδίαν ψυχὴν τῆς ἐκ μεταμελείας τῶν ὡς ἔτυχε λεγομένων, λύπης ἀνέπαφον.

Θρασὺς καὶ αὐθάδης καὶ ἀλαζὼν, λοιμὸς καλεῖται. 24.

Ὁ τοῦ ἀδελφοῦ μὴ φειδόμενος, ἀλλ' ἀνηλεῶς αὐτὸν τιμωρῶν, καὶ λέγειν κατ' αὐτοῦ αὐθαδιαζόμενος κἂν ὑπὸ νόμου θείου πρὸς τοῦτο κεκώλυται καὶ τοῦ ὁμοφυοῦς κατεπαιρόμενος, καὶ κατευτελίζων αὐτὸν, φθορεὺς ὀνομάζεται, ὡς ἔργῳ καὶ λόγῳ καὶ ψυχῆς διαθέσει, τὸν πλησίον αὐτοῦ βλάπτειν ἐπιχειρῶν.

Ὃς δὲ μνησικακεῖ, παράνομος.

Ὃς δὲ μνημονεύει τοῦ παρά τινος συμβάντος αὐτῷ λυπηροῦ, καὶ μὴ τηρεῖ ἀγάπην πρὸς αὐτὸν καθαρὰν, παραβαίνει τὸν διακελευόμενον νόμον, ἀγαπᾷν τὸν πλησίον ὡς ἑαυτὸν εἰ καὶ μὴ βλάβην τούτῳ ἐπάγει τινά.

Ἐπιθυμίαι ὀκνηρὸν ἀποκτείνουσιν. 25.

Αἱ παράλογοι τῶν κατ' αἴσθησιν ἡδέων ὀρέξεις, τὸν ῥάθυμον πρὸς τὴν τῶν θείων ἐντολῶν ἐργασίαν, νεκρὸν ἀποτελοῦσι κατὰ ψυχήν.

Οὐ γὰρ προαιροῦνται αἱ χεῖρες αὐτοῦ ποιεῖν τι.

Αἱ γὰρ τῆς τούτου ψυχῆς πρακτικαὶ δυνάμεις, διὰ τὸ τοῖς

XXI. ματαίοις ἀποσχολεῖσθαι, οὐκ ἐργάζονταί τι κατὰ προαίρεσιν ἀγαθόν· ὅθεν νεκρὸς ὁ τοιοῦτος κατὰ ψυχὴν ἀποδείκνυται ὡς ἂν πρὸς τὴν τοῦ καλοῦ ἐργασίαν ἀκίνητος.

26. Ἀσεβὴς ἐπιθυμεῖ ὅλην τὴν ἡμέραν ἐπιθυμίας κακάς.

Ὁ μὴ δι' ἀγαθοεργίας τιμῶν τὸν Θεὸν, παρὰ πᾶσαν αὐτοῦ τὴν ζωὴν, ἀλογίστως ὧν οὐ θέμις ὀρέγεται.

Ὁ δὲ δίκαιος ἐλεεῖ καὶ οἰκτείρει ἀφειδῶς.

Ὁ δὲ κατὰ νόμους θείους πολιτευόμενος, μεταδίδωσί τε τῶν οἰκείων τοῖς χρήζουσι, καὶ σπλάγχνον οἰκτιρμῶν ὑπανοίγει τούτοις ἀνυποστόλως.

27. Θυσίαι ἀσεβῶν, βδέλυγμα κυρίῳ· καὶ γὰρ παρανόμως προσφέρουσιν αὐτάς.

Τὰ ἐξ ἁρπαγῆς προσαγόμενα τῷ πάντων δεσπότῃ, παρὰ τῶν μὴ τιμώντων αὐτὸν διὰ τῆς τῶν ἁγίων αὐτοῦ ἐντολῶν ἐργασίας, μισητά εἰσι παρ' αὐτῷ· ἐπειδὴ παραβαίνοντες οὗτοι, τὴν διακελευομένην ἐντολὴν, ἀπὸ οἰκείων δικαίων πόνων τιμᾶν τὸν κύριον, ταῦτα προσάγουσιν.

28. Μάρτυς ψευδὴς ἀπολεῖται.

Ὁ τὸ πρόσκαιρως ἡδὺ ψευδῶς ἐπαινῶν δαίμων, καὶ ἀπατᾶν ἐπιχειρῶν, τῇ σχέσει τῶν φθειρομένων τὸν ἄνθρωπον, ὥστε παραβάτην αὐτὸν ἀποδειχθῆναι τῶν τοῦ θεοῦ ἐντολῶν, τῷ ἡτοιμασμένῳ αὐτῷ τε καὶ τοῖς ἀγγέλοις αὐτοῦ πυρὶ αἰωνίῳ παραπεμφθήσεται.

Ἀνὴρ δὲ ὑπήκοος φυλασσόμενος λαλήσει.

Ὁ δὲ θεῷ ὑπακούων, καὶ τὰς ἁγίας αὐτοῦ τηρῶν ἐντολὰς, διατηρῶν ἑαυτὸν τῆς σατανικῆς ἀπάτης ἀπείρατον, ἔργοις καὶ λόγοις τὸ ὄντως ὁμολογήσει ἀγαθὸν, πρὸς τὴν τῶν ὁρώντων, καὶ ἀκουόντων ὠφέλειαν.

29. Ἀσεβὴς ἀνὴρ, ἀναιδῶς ὑφίσταται προσώπῳ.

Ὁ μὴ τιμῶν τὴν ἀλήθειαν ἄνθρωπος, τὸν ταύτης ἐπὶ ταῖς παραλόγοις αὐτοῦ πράξεσιν ἔλεγχον, ἀναισχύντῳ ὑποφέρει ὄψει.

Ὁ δὲ εὐθὺς, αὐτὸς συνιεῖ τὰς ὁδοὺς αὐτοῦ.

Ὁ δ' ἀληθὴς, ἄγων διὰ τιμῆς τὴν ἀλήθειαν, οἴκοθεν ἐπι- XXI.
γινώσκει, εἴπού τι προσπταίει Θεῷ· καὶ μεμφόμενος αὐτῷ, ἐπι-
μελεῖται τῆς τῶν σφαλερῶν ἔργων αὐτοῦ διορθώσεως.

Οὐκ ἔστι σοφία, οὐκ ἔστιν ἀνδρεία, οὐκ ἔστι βουλὴ κατ- 30.
έναντι κυρίου.

Οὐχ ὑπάρχει ἀνθρωπίνη σοφία, εἴτ' ἀνδρεία, εἴτε περίσκεψις, ἀντιπεσεῖν Θεῷ δυναμένη· σφάλλει γὰρ οὗτος τοὺς συνετοὺς· καὶ περιτρέπει τοὺς ἰσχυροὺς, καὶ βουλὰς ἐθνῶν διασκεδάζει· ἡ δὲ βουλὴ αὐτοῦ μένει εἰς τὸν αἰῶνα.

Ἵππος ἑτοιμάζεται εἰς ἡμέραν πολέμου. 31.

Εὐτρεπίζεται κατὰ πρᾶξιν ἡ ἄλογος σὰρξ παρὰ τοῦ ταύτῃ ἐποχουμένου, ὥσθ' ἕπεσθαι τούτῳ ἑτοίμως, ὁπόταν οὗτος φωτὶ γνώσεως αἴσθηται τῆς τοῦ νοητοῦ ἐχθροῦ κατὰ τῆς ψυχῆς ἐπελεύσεως.

Παρὰ δὲ κυρίου ἡ βοήθεια.

Τὴν δὲ κατ' αὐτοῦ νίκην ὁ δεσπότης πάντων Θεὸς δίδωσιν· εἰ μὴ γὰρ οὗτος ταύτην παράσχῃ, εἰς μάτην ἐκοπίασεν ὁ τῷ εἰρημένῳ ἐχθρῷ ἀντιταττόμενος.

C A P. XXII.

Αἱρετώτερον ὄνομα καλὸν, ἢ πλοῦτος πολύς. v. 1.

Προτιμωτέρα ἡ ἐπ' ἐναρέτῳ πολιτείᾳ ἀγαθὴ φήμη, ὑπὲρ τὸν φθειρόμενον πλοῦτον· διά τε τὸ, λαμψάτω τὸ φῶς ὑμῶν ἔμπροσθεν τῶν ἀνθρώπων· καὶ τὸ, δυσκόλως πλούσιος εἰσελεύσεται εἰς τὴν βασιλείαν τῶν οὐρανῶν· ἡ μὲν γὰρ τοιαύτη φήμη, διεγείρει τοὺς ἀκούοντας πρὸς τὸν ὅμοιον ζῆλον τοῦ ἐναρέτου· ὁ δὲ πλοῦτος περισπᾷ, καὶ τὸν νοῦν πολλάκις ἀπὸ Θεοῦ διασπᾷ.

Ὑπὲρ δὲ ἀργύριον καὶ χρυσίον, χάρις ἀγαθή.

Ὑπὲρ δὲ τὸν προσαγόμενον παρ' ἀνθρώπων θεῷ, δίκην μὲν ἀργύρου καθαρὸν καὶ σώφρονα βίον, δίκην δὲ χρυσίου δόκιμον ἐν τῇ καμίνῳ τῶν πειρασμῶν καὶ ἀμείωτον, ἡ πανάγαθος ἐστε

XXII. τοῦ ἁγίου πνεύματος χάρις· οὐκ ἄξια γὰρ τὰ παθήματα τοῦ νῦν καιροῦ πρὸς τὴν μέλλουσαν ἀποκαλυφθῆναι δόξαν.

2. Πλούσιος καὶ πτωχὸς συνήντησαν ἀλλήλοις· ἀμφοτέρους δὲ ὁ κύριος ἐποίησεν.

Πλούσιος, εἴτε τὸν σωματικὸν πλοῦτον εἴτε τὸν πνευματικὸν, καὶ ὁ τούτων τινὸς ἐνδεὴς, καί τοι γε κατὰ τὸ περιττεύεσθαι καὶ στερεῖσθαι ἐναντίως ἔχοντες, συνῆλθον ἀλλήλοις τοῦ κεκτημένου τὸ περισσὸν ἀναπληροῦντος τῷ ἐνδεεῖ τὸ ὑστέρημα· οὕτω δὲ καὶ τὰ περὶ ἀμφοτέρους ᾠκονόμησεν ὁ κύριος, ἵν' ἀμφότεροι σώζοιντο· ὁ μὲν πλούσιος, μεταδιδούς· ὁ δὲ πένης, εὐχαριστῶν.

3. Πανοῦργος ἰδὼν πονηρὸν τιμωρούμενον, κραταιῶς αὐτὸς παιδεύεται.

Ὁ φρόνιμος, θεασάμενος κακοῦργον κολαζόμενον, διορθοῦται λίαν αὐτὸς, ἐφ' οἷς ἴσως καλῶς μὴ ποιεῖ· κἀντεῦθεν φυλάττεται τοῦ εἰς κόλασιν ἐμπεσεῖν.

Οἱ δὲ ἄφρονες, παρελθόντες ἐζημιώθησαν.

Οἱ δ' ἀσύνετοι, παραδραμόντες καὶ μὴ προσέχοντες τῷ διὰ τὴν κακίαν αὐτοῦ τιμωρουμένῳ, ἀπώλεσαν τὴν ἐντεῦθεν ὠφέλειαν.

4. Γενεὰ σοφίας, φόβος κυρίου, καὶ πλοῦτος, καὶ δόξα, καὶ ζωή.

Ἡ ἐν σοφίᾳ κατὰ θεὸν τελειότης, γεννᾶται ἀρχομένη μὲν ἀπὸ τοῦ θείου φόβου, ὅς ἐστι κακῶν ἀποχή· προκόπτουσα δὲ εἴς τε τὸν κατ' ἀρετὴν πλοῦτον, καὶ τὴν περὶ τῶν ὄντων ἀληθῆ δόξαν, καὶ τελειουμένη εἰς τὴν ἐν θεῷ μακαρίαν ζωήν· ὅταν ὁ νοῦς πάντα τὰ ὄντα διαβῇ, καὶ ἐν θεῷ καταπαύσῃ τῇ ὄντως τούτου ζωῇ.

5. Τρίβολοι καὶ παγίδες ἐν ὁδοῖς σκολιαῖς· ὁ δὲ φυλάσσων τὴν ἑαυτοῦ ψυχὴν, ἀφέξεται αὐτῶν.

Ἐν ταῖς παρεκτετραμμέναις τῆς θείας ἐντολῆς κατά τε θεωρίαν καὶ πρᾶξιν πορείαις, βάλλεται ἡ ψυχὴ, ὥς τισι τριβόλοις, τοῖς τοῦ ταύτης τριμεροῦς πάθεσιν· ὑφ' ὧν καὶ ὡς ὑπό τινων

παγίδων ἁλίσκεται εἰς ἀπώλειαν· ἀπόσχηται δὲ τῶν τοιύτων παθῶν, ὁ τηρῶν τὴν ἰδίαν ψυχὴν, ὥςε τῆς ἐντολῆς μὴ ἐκτρέπεσθαι. XXII.

Πλούσιοι πτωχῶν ἄρξουσιν. 7.

Αἱ πλουτοῦσαι ψυχαὶ ὡς λογικαὶ σοφίαν, τὰ ταύτης δι' ἀλογίαν ἐνδεῆ σώματα ὑποτάξυσιν, εἰ βυληθεῖεν, πρὸς τὴν τῶν θείων ἐντολῶν ἐργασίαν.

Καὶ οἰκέται ἰδίοις δεσπόταις δανειοῦσιν.

Καὶ τὰ δοῦλα τῶν ψυχῶν σώματα, ταῖς δεσποζούσαις αὐτῶν ψυχαῖς, ὥς τι δάνειον παρέξυσι τὴν περὶ τὰς ἀρετὰς φιλοπονίαν, κατὰ τὸ παρόν· ἵνα τῆς πνευματικῆς εὐφροσύνης κατὰ τὸ μέλλον ταύταις συναπολαύσωσιν.

Ὁ σπείρων φαῦλα, θερίσει κακά. 8.

Ὁ περὶ τὸ γεῶδες σκῆνος, δίκην σπόρυ φαύλυς λογισμοὺς καταβάλλων, δρέψεται κατὰ πρᾶξιν τὴν ἁμαρτίαν.

Πληγὴν δὲ ἔργων αὐτοῦ συντελέσει.

Τιμωρίαν δὲ διὰ τὰς πονηρὰς πράξεις αὐτοῦ συγκομίσεται.

Ἄνδρα ἱλαρὸν καὶ δότην ἀγαπᾷ ὁ θεός.

Ἀγαπᾷ ὁ θεὸς ἄνθρωπον ὑγιῶς φρονοῦντα, καὶ προσφέροντα τούτῳ κατὰ πρᾶξιν τὰς ἀρετάς.

Ματαιότητα δὲ ἔργων αὐτοῦ συντελέσει.

Τὸ δὲ περὶ τὰ πρόσκαιρα φιλόπονον αὐτοῦ, τέλεον καταπαύσει· ἀπὸ τῶν παρόντων πρὸς τὰ μέλλοντα ὅλον μεταβιβάσας τὸν πόθον αὐτοῦ.

Ὁ ἐλεῶν πτωχὸν, αὐτὸς διατραφήσεται. 9.

Ὁ θείου λόγυ διδασκαλικῶς τῷ τούτυ μεταδιδοὺς ἐνδεεῖ, αὐτὸς τραφήσεται μᾶλλον κατὰ ψυχήν· ὅτι οὐκ ἐπ' ἄρτῳ μόνῳ ζήσεται ἄνθρωπος, ἀλλ' ἐν παντὶ ῥήματι ἐκπορευομένῳ ἐκ ςόματος αὐτοῦ.

Τῶν γὰρ ἑαυτοῦ ἄρτων δέδωκε τῷ πτωχῷ.

Τοῦ γὰρ τρέφοντος τὴν αὐτοῦ ψυχὴν θείυ λόγυ, τῷ χρήζοντι τούτυ μετέδωκε· καὶ μεταλαμβάνει τούτυ τρανώτερον, ὡς ἂν δύναιτο πολλοῖς ἐπαρκεῖν.

XXII. Νίκην καὶ τιμὴν περιποιεῖται ὁ δῶρα δούς.

Τὴν κατὰ τῶν παθῶν νίκην, καὶ τὴν παρὰ θεῷ δόξαν ἑαυτῷ πάντως περιποιεῖται ὁ προσάγων θεῷ ὥς τινα δῶρα τὰς ἀρετάς.

Τὴν μέν τοι ψυχὴν ἀφαιρεῖται τῶν κεκτημένων.

Κἀντεῦθεν τὴν ἑαυτοῦ ἀφαρπάζει ψυχὴν ἀπὸ τῶν ἐχόντων ταύτην τῆς πονηρίας πνευμάτων τῇ ἁμαρτίᾳ αἰχμάλωτον.

10. Ἔκβαλε ἐκ συνεδρίου λοιμόν.

Ἀπέλασον τὸν μεταδιδόντα τῆς ἑαυτοῦ κακίας καὶ τοῖς λοιποῖς, ἀπὸ τῶν συνεδριαζόντων εἰς βουλευτήριον.

Καὶ συνεξελαύσεται αὐτῷ νεῖκος· ὅταν γὰρ καθίσῃ ἐν συνεδρίῳ, πάντας ἀτιμάζει.

Καὶ συναπελαθήσεται τούτῳ φιλονεικία· ὁπόταν γὰρ οὗτος συνεδριάσῃ τισὶ, πάντας χλευάζει, καὶ διεγείρει εἰς μάχας.

11. Ἀγαπᾷ κύριος ὁσίας καρδίας.

Ὁ δεσπότης πάντων θεὸς, ἀγαπᾷ μὲν ψυχὰς, σαρκὸς ὑπερορώσας, καὶ κατὰ τὸν πνευματικὸν νόμον πολιτευομένας.

Δεκτοὶ δὲ αὐτῷ πάντες ἄμωμοι.

Προσδέχεται δὲ συμπαθῶς, ἡπλωμέναις ἀγκάλαις, τοὺς διὰ μετανοίας, πάσης ἁμαρτημάτων κηλῖδος ἑαυτοὺς ἐκκαθάραντας.

Χείλεσι ποιμαίνει βασιλεύς.

Ὁ πάντων βασιλεύων θεὸς, ἀξιῶν διὰ τῶν ἁγίων αὐτοῦ ἐντολῶν τῆς προσηκούσης προνοίας, τοὺς δεχομένως ἑκόντας τὸ ὑπ' αὐτοῦ βασιλεύεσθαι, ἀπάγει μὲν αὐτοὺς τῆς φθοροποιοῦ κακίας, ἄγει δὲ κατ' ἀρετὴν πρὸς τὸ ἀγαθόν.

12. Ὀφθαλμοὶ κυρίου διατηροῦσιν αἴσθησιν.

Οἱ δὲ λόγοι τῶν ὄντων, οἷς ὥς τισιν ὀφθαλμοῖς αὐτὸς ὁ τοῦ παντὸς δεσπότης τὰ πάντα ὁρᾷ, γινώσκων ταῦτα πρὶν γενέσεως αὐτῶν, ἐκ τῆς σοφίας αὐτοῦ δι' ἧς καὶ ἐν ᾗ τὰ πάντα ἐποίησεν, οἷά τινες ἀκτῖνες αὐτοῦ τοῦ τῆς δικαιοσύνης ἡλίου, ταῖς μὲν θεωρικαῖς τῆς ψυχῆς δυνάμεσι παρέχουσι τὸ τὰ ὄντα ὁρᾷν ὡς ἔχουσι φύσεως· αὐτοῖς δὲ τοῖς οὖσι τὸ οὕτως ὁρᾶσθαι

διαφυλάττουσι, καὶ μὴ κατ᾽ αἴσθησιν τῇ τῶν ὁρατῶν ἐπιφανείᾳ XXII.
ἐναπομένουσι τὴν γνῶσιν τῆς ἀληθείας.

Φαυλίζει δὲ λόγους παράνομος.

Διαβάλλει δὲ τοὺς τῆς προνοίας λόγους ὁ τὰς τοῦ θεοῦ ἐντολὰς παραβαίνων, ὁπόταν μὲν τῶν ἡδέων μὴ ἐγκρατεύηται, βαρείας καὶ δυσκατορθώτους ἀποκαλῶν τὰς σωτηριώδεις τοῦ Θεοῦ ἐντολάς· ὁπόταν δὲ μὴ ὑπομένῃ τὰ θλιβερὰ, ἀδίκως πάσχειν οἰόμενος· καὶ οὐχ ἑαυτὸν, ἀλλὰ Θεὸν αἰτιώμενος.

Προφασίζεται καὶ λέγει ὀκνηρὸς, λέων ἐν ταῖς ὁδοῖς. 13.

Ὁ πρὸς πρᾶξιν καὶ θεωρίαν ῥάθυμος προβάλλεται ἀφορμὰς, οὑτωσὶ λέγων· κωλύει μου τὸ πρόθυμον τῆς ἐν ταῖς ἐντολαῖς πρὸς θεὸν κατὰ πρᾶξιν πορείας, παρεδρεύων ταύταις, ὁ δίκην λέοντος ζητῶν ἁρπάσαι μου τὴν ψυχὴν σατᾶν.

Ἐν δὲ ταῖς πλατείαις φονευταί.

Καὶ ἐν τῷ κατὰ τὴν διαφθορὰν πλάτει τῆς φυσικῆς τῶν ὁρατῶν θεωρίας, ληστεύοντα τὰ ὑπ᾽ αὐτῶν τῆς πονηρίας πνεύματα, ἀναιρεῖν μου ἐπιχειροῦσι τὸν νοῦν, διὰ τῆς κατ᾽ αἴσθησιν πλάνης, πρὸς ζόφον ἀγνοίας τοῦτον σπεύδοντα κατασπᾶν.

Βόθρος βαθὺς, στόμα παρανόμου. 14.

Τοῦ παραβάντος δαίμονος τὸν λόγον καθ᾽ ὃν γέγονε, καὶ Θεοῦ ἀποστάντος, αἱ ὑποθῆκαι λάκκῳ βαθυτάτῳ ἐοίκασιν· ὅτι ὁ ταύταις κατ᾽ ἐνέργειαν περιπίπτων, τοῦ κατ᾽ ἀρετὴν παύεται δρόμου.

Ὁ δὲ μισηθεὶς ὑπὸ κυρίου, ἐμπεσεῖται εἰς αὐτόν.

Περιπίπτει δ᾽ αὐταῖς, ὃν Θεὸς ἀποστρέφεται· ὡς τὰ ἐναντία ταῖς ἐντολαῖς αὐτοῦ προαιρούμενον· ἐγκαταλιμπάνων τὸν τοιοῦτον εἰς τὸν κατ᾽ ἐνέργειαν τῆς ἁμαρτίας ἐμπεσεῖν βόθυνον· καὶ μαθεῖν ἐκ τῆς πείρας αὐτῆς οἷόν ἐστι κακὸν τὸ ἀπιστεῖν αὐτῷ κηδεμόνι πάντων ὑπάρχοντι, καὶ πείθεσθαι τῷ ἐχθρῷ, κἀντεῦθεν ἐπικαλέσασθαι τοῦτον, ὥστε χεῖρα βοηθείας ὀρέξαι αὐτῷ, καὶ τοῦ τῆς ἀπωλείας βοθύνου ἐξαγαγεῖν.

Εἰσὶν ὁδοὶ κακαὶ ἐνώπιον ἀνδρὸς, καὶ οὐκ ἀγαπᾷ τοῦ απο-

XXII. στρέψαι ἀπ' αὐτῶν· ἀποστρέφειν δὲ δεῖ ἀπὸ ὁδοῦ σκολιᾶς καὶ κακῆς.

Ὑπάρχουσι διαλογισμοὶ ἀνθρώπου τινὸς, εἰς πράξεις κακίας ἐν γνώσει αὐτοῦ φέροντες, καὶ οὐκ ἐρᾶ, φεῦ, ὁ τοιοῦτος τοῦ ἐπιστρέψαι τὴν διάνοιαν αὐτοῦ ἀπὸ τοῦ κακοῦ πρὸς τὸ ἀγαθόν· δέον δέ ἐστιν ἐπιστρέφειν ἐκ τῆς κατ' ἔλλειψιν τῆς ἀρετῆς καὶ ὑπερβολὴν παρεγκεκλιμένης μὲν ἀπὸ τοῦ ἀγαθοῦ πορείας, εἰς κρημνοὺς δὲ κακίας φερούσης καὶ βάραθρα.

15. Ἄνοια ἐξῆπται καρδίαν νέου.

Ἀφροσύνη ἐξήρτηται τῆς ψυχῆς τοῦ ἔτι καθ' ἡλικίαν νεάζοντος.

Ῥάβδος δὲ καὶ παιδεία μακρὰν ἀπ' αὐτοῦ.

Οἱ δὲ πλήττοντες τοῦτον δίκην ῥάβδου ἐλεγκτικοὶ λόγοι, καὶ οἱ πρὸς τὸ δέον ἐνάγοντες, πόῤῥω ἀπ' αὐτοῦ ἀπελαύνονται, μὴ παραδεχομένου τοπαράπαν αὐτοὺς, διὰ τὸ τὴν διάνοιαν αὐτοῦ ἐπιμελῶς ἐγκεῖσθαι τοῖς πονηροῖς.

16. Ὁ συκοφαντῶν πένητα, πολλὰ ποιεῖ τὰ ἑαυτοῦ κακά.

Ὁ ψευδῶς λέγων κατά τινος πενομένου, τὴν μὲν ἑαυτοῦ κακίαν αὔξει ἐπὶ πολύ.

Δίδωσι δὲ πλουσίῳ ἐπ' ἐλάσσονι.

Ἐπ' ἔλαττον δὲ τὴν τοῦ πλουσίου, πρὸς ὃν κατεῖπε τοῦ πένητος· ὅτι αὐτὸς καὶ τῆς τούτου βλάβης αἴτιος γίνεται.

17. Λόγοις σοφῶν παράβαλε σὸν οὖς.

Ταῖς διδασκαλίαις τῶν θείου λόγου μετειληφότων, καὶ τὰ θεῖα φρονούντων, ὑπόθες τὴν σὴν ἀκοήν· ἑτεροδόξοις ὅλως μὴ ὑπακούων.

Καὶ ἄκουε ἐμῶν λόγων.

Κἀντεῦθεν αὐτῆς ἐμοῦ τῆς σοφίας ἐνωτίζου τοὺς λόγους· διὰ μέσων τῶν τὰ ἐμὰ μεμυημένων μυστήρια.

Τὴν δὲ σὴν καρδίαν ἐπίστησον, ἵνα γνῷς ὅτι καλοί εἰσι.

Κατὰ δὲ τὴν διάνοιάν σου πρόσχες, ὡς ἂν καταλάβῃς ὅτι εἰσὶν ἀγαθοί.

Καὶ ἐὰν ἐμβάλῃς αὐτὴν εἰς τὴν καρδίαν σου, εὐφρανοῦσί σε XXII.
ἅμα ἐπὶ σοῖς χείλεσιν. 18.

Καὶ ἐὰν εἰσαγάγῃς τούτους εἰς τὴν ψυχήν σου, γενήσονται σοι χαρᾶς πνευματικῆς πρόξενοι· ἅμα τῇ διανοίᾳ σου ἐνιότε περιφερόμενοι καὶ τοῖς χείλεσιν· εἴτε θεὸν διὰ τούτων ὑμνολογοῦντος σου, εἴτ᾽ ἀνθρώπους διδάσκοντος τὰ συνοίσοντα.

Ἵνα σου γένηται ἐπὶ κύριον ἡ ἐλπίς. 19.

Ὅπως ὑπάρξῃ σου πᾶσα ἡ ἐλπὶς ἐπὶ τὸν τοῦ παντὸς δεσπότην θεὸν, μόνα φρονοῦντος καὶ λαλοῦντος τὰ θεῖα.

Καὶ γνωρίσῃ σοι τὰς ὁδοὺς αὐτοῦ.

Καὶ γνωστάς σοι οὗτος ποιήσῃ τὰς εἰς αὐτὸν φερούσας κατὰ γνῶσιν καὶ ἀρετὴν πορείας· πέρας ὑπάρχοντα τῶν μὲν γνωστῶν, ὡς ἀλήθειαν· τῶν δὲ πρακτῶν, ὡς ἀγαθόν.

Καὶ σὺ δὲ ἀπόγραψαι αὐτὰς ἑαυτῷ τρισσῶς. 20.

Καὶ αὐτὸς δὲ ἐντύπωσον τοὺς τοιούτους λόγους ἐν σεαυτῷ τριαδικῶς, κατὰ τὸ τῆς ψυχῆς σου μέγεθος· ὑφαπλούμενον εἴς τε τὴν κατ᾽ αἴσθησιν καὶ τὴν κατὰ διάνοιαν καὶ τὴν κατὰ νοῦν θεωρίαν· ὡς τῆς ψυχῆς ἐστορούσης μὲν κατ᾽ αἴσθησιν τὸ τῶν εἰρημένων λόγων ῥητὸν τὸ δυνάμενον πάντας οἰκοδομεῖν, διὰ τὸ τῆς ἐννοίας αὐτοῦ προχειρότατον· ἐχομένης δὲ κατὰ διάνοιαν τῆς τῶν τοιούτων λόγων ἀναγωγικῆς θεωρίας· τῆς πολλοὺς ἀλλ᾽ οὐ πάντας διὰ τὸ ἐπαναβεβηκὸς βελτιοῦν δυναμένης, καὶ ἀναφερούσης αὐτοῦ τοὺς τῆς σοφίας λόγους εἰς θεολογίαν κατὰ νοῦν, τὴν ὀλίγοις τισὶν οὖσαν χωρητὴν, καὶ μεγάλα τούτους ὠφελεῖν δυναμένην· καὶ οὐχὶ τοῖς πλείοσιν ἢ τοῖς πᾶσι, διὰ τὸ ὑπερεπαναβεβηκὸς αὐτῆς καὶ κρυφιώτατον.

Εἰς βουλὴν καὶ γνῶσιν ἐπὶ τὸ πλάτος τῆς καρδίας σου.

Οὕτω δὲ τούτους τῇ ψυχῇ σου ἐγχάραξον, πρός διάκρισιν τε τῶν πρακτῶν, καὶ κατάληψιν τῶν θεωρητῶν· τούτῳ γάρ τῷ τρόπῳ, τὸ ὄντως ἀγαθὸν ἀπὸ τοῦ νομιζομένου διακρινεῖς· καὶ γνώσῃ τὰ ὄντα ὡς ἔχουσι φύσεως.

XXII. Διδάσκω οὖν σε ἀληθῆ λόγον, καὶ γνῶσιν ἀγαθὴν ὑπακούειν·
21. τοῦ ἀποκρίνεσθαι λόγους ἀληθείας τοῖς προβαλλομένοις σοι.

Παιδεύω σε τοίνυν τὸν θεῖον τῆς ἀληθείας λόγον, καὶ τὴν τούτου ἐν πνεύματι γνῶσιν ὠσὶν ἅμα καὶ νοῒ προσδέχεσθαι καὶ μανθάνειν· ὡς ἂν ὦσι πρὸς τοὺς ἐρωτῶντας αἱ ἀποκρίσεις σου ἀληθεῖς· εἰ μὴ γὰρ τύχῃς διδασκαλίας ἀληθοῦς, οὐ γενήσῃ διδάσκαλος ἀληθής.

22. Μὴ ἀποβιάζου πένητα· πτωχὸς γάρ ἐστιν· καὶ μὴ ἀτιμάσῃς
23. ἀσθενῆ ἐν πύλαις· ὁ γὰρ κύριος κρινεῖ αὐτοῦ τὴν κρίσιν, καὶ ῥύσῃ σὴν ἄσυλον ψυχήν.

Μὴ ἀπαίτει τὸν τοῦ πλούτου τῆς πνευματικῆς γνώσεως ἐστερημένον, καὶ μόνον περὶ στροφὰς λέξεων καὶ λόγους εἰς ἀέρα εἰκῆ χεομένους ἐσχολακότα, ἀποδιδόναι σοι λύσεις τῶν ἀπορρήτων· ἐνδεὴς γάρ ἐστι τῆς τούτων γνώσεως· καὶ μὴ διαβάλῃς τὸν περὶ τὰς πρὸς θεωρίαν εἰσαγωγοὺς πράξεις ἀσθενῆ, κατακρίνων αὐτόν· τῷ γὰρ ἰδίῳ κυρίῳ στήκει ἢ πίπτει· κἀκεῖνος ἐξετάσει τα κατ' αὐτόν· καὶ σὺ ἐξέλῃς σου τὴν ψυχὴν ἀζήμιον ἀπὸ τοῦ κινδύνου τῆς τοῦ ἀδελφοῦ κατακρίσεως.

24. Μὴ ἴσθι ἑταῖρος ἀνδρὶ θυμώδει· φίλῳ δὲ ὀργίλῳ μὴ συναυ-
25. λίζου· μήποτε μάθῃς τῶν ὁδῶν αὐτοῦ, καὶ λάβῃ βρόχους τῇ σῇ ψυχῇ.

Μὴ ἔσο συνεργὸς ἀνθρώπῳ ὀρεγομένῳ ἀντιλυπῆσαι τὸν τοῦτον λυπήσαντα· μήτε συναναστρέφου προσφιλεῖ σοι τινὶ ἀμυνομένῳ τὸν κατά τι τοῦτον λυπήσαντα· μή πως ὡς τινος λύμης μετάσχῃς τῶν ἐπιτηδευμάτων αὐτοῦ· καὶ δεσμοῖς ἁμαρτημάτων καταδεσμήσει σου τὴν ψυχήν.

26. Μὴ δίδου σεαυτὸν εἰς ἐγγύην αἰσχυνόμενος πρόσωπον.

Μὴ συγκατάβαινε τῇ σαρκὶ πρὸς ἡδυπαθείας καὶ τὸ παρὸν, καὶ εἰς τὴν αὔριον ἐγγυῶ ἀποδοῦναι ταύτην τὸ χρέας τῆς ἀρετῆς· αἰσχύνης ἐντεῦθεν πληρούμενος κατὰ τὸν δίκην προσώπου χαρακτηρίζοντα βίον τὴν κεκρυμμένην τῆς ψυχῆς σου διάθεσιν.

27. Ἐὰν γὰρ μὴ ἔχῃ πόθεν ἀποτίσῃ, λήψονται τὸ στρῶμα τὸ ὑπὸ τῆς πλευρᾶς σου.

Εἰ γὰρ διδόντος σου τὴν σήμερον τῷ διαβόλῳ, καὶ τὴν αὔ- XXII.
ριον τῷ κυρίῳ, καταλάβοι τὸ γῆρας, καὶ μὴ δύναται σου ἡ σὰρξ
κατὰ πρᾶξιν τὸ χρέος τῆς ἀρετῆς ἀποδοῦναι, πᾶσαν τὴν ἰσχὺν
αὐτῆς τῇ ἁμαρτίᾳ προκαταναλώσασα, ἀπολάβωσι τὰ καθόλου
στοιχεῖα τὸ συστὰν ἐξ αὐτῶν σου σαρκίον, τῷ θανάτῳ αὖθις
ἀναλυθὲν εἰς αὐτά· ἐν ᾧ ἀνακέκλινται πρὸς ἀδυνάθειαν αἱ δί-
κην ὀςῶν τονωτικαὶ τῆς ψυχῆς δυνάμεις, ὅτε μὴ πρὸς ἐργασίαν
τῶν ἀρετῶν διανίστανται· κἀντεῦθεν ἔρημος ἡ ψυχή σου κατα-
λειφθήσεται παντὸς ἀγαθοῦ, ζημιωθεῖσα καὶ αὐτὴν ἣν εἶχε πρόσ-
καιρον ἀνάπαυσιν ἐν σαρκί.

Μὴ μέταιρε ὅρια αἰώνια, ἃ ἔθεντο οἱ πατέρες σου. 28.

Μὴ μετατίθει τὰ ὀρθὰ τῆς ἀληθείας δόγματα, ἅ σοι πα-
ραδεδώκασιν οἱ τῆς ἀληθείας διδάσκαλοι· αἰχμαλωτίζων ταῦτα
πρὸς παραλόγους δόξας τινάς.

Ὁρατικὸν ἄνδρα, καὶ ὀξὺν ἐν τοῖς ἔργοις αὐτοῦ, βασιλεῦ- 29.
σι δεῖ παρεστάναι, καὶ μὴ παρεστάναι ἀνδράσι νωθροῖς.

Θεωρητικὸν καὶ πρὸς πράξεις ἑτοιμότατον ἄνθρωπον, λο-
γισμοῖς δεῖ πειθαρχεῖν θείοις, καὶ ἐννόμως ἐπιστατοῦσι τοῖς
πράγμασι, καὶ μὴ ἀνθρωπίνοις καὶ πρὸς ἐργασίαν τοῦ καλοῦ
διὰ τὸ τῆς ἀρετῆς ἐπίπονον ἀποκναίουσιν *· ὅπως ταῖς θεωρητικαῖς * Confer
καὶ ταῖς πρακτικαῖς τῆς ψυχῆς δυνάμεσι τὴν γνῶσιν καὶ τὴν ἀρε- p. 147.
τὴν ἐνεργῶν, εἰς θεόν, ὡς ἀλήθειαν καὶ ἀγαθὸν φέρηται, καὶ
μὴ μακρύνηται τούτου, τῇ σχέσει τῶν ὑλικῶν ἀπατώμενος, καὶ
περὶ ταῦτα μόνα καταγινόμενος.

CAP. XXIII.

Ἐὰν καθίσῃς δειπνεῖν ἐπὶ τραπέζης δυνάςου, νοητῶς νόει τὰ v. 1.
παρατιθέμενά σοι, καὶ ἐπίβαλλε τὴν χεῖρα σου. 2.

Ἐὰν εἰς ἀπάθειαν φθάσῃς, παυσάμενος τῆς πρὸς κακίαν
κινήσεως, ὥστε τοῦ οὐρανοῦ καταβάντος ἄρτου δύνασθαι μετα-
λαμβάνειν, ἐπὶ τοῖς ὡς ἐν τέσσαρσι ποσὶ τοῖς στοιχείοις ἱστα-

XXIII. μένης κτίσεως τοῦ παντοδυνάμου Θεοῦ, μὴ κατ' αἴσθησιν ταύτης ἀπόλαυε· ἀλλὰ τὰ κατὰ τὸ φαινόμενόν σοι προκείμενα εἴδη· ταύτης, νοερῶς καταλάμβανε, τοὺς τούτων λόγȣς συλλέγων, καὶ κατ' αὐτοὺς ἐπιχείρει πράττειν τὸ ἀγαθόν.

Εἰδὼς ὅτι τοιαῦτα σε δεῖ παρασκευάσαι.

Γινώσκων ὅτι μιμεῖσθαι Θεὸν τοῖς ἔργοις ὀφείλεις, κιρνῶν κατὰ γνώμην τὰς ἀναλογούσας τοῖς στοιχείοις τέσσαρας γενικὰς ἀρετάς· καὶ τὸν κατὰ διάνοιαν θεοπρεπέστατον καὶ αὐτὸς συνιστῶν κόσμον, τοῖς κατὰ μέρος τῶν ἀρετῶν εἴδεσιν· ἐν τῷ μετάγειν σοφῶς δι' ἐμφεροῦς ὁμοιότητος, τὴν κατὰ τὸν αἰσθητὸν αἰῶνα μυστικὴν θεωρίαν, ἐπὶ τὸν κατὰ διάνοιαν ἐν πνεύματι διὰ τῶν ἀρετῶν συμπληρούμενον κόσμον.

3. Εἰ δὲ ἀπληστότερος εἶ, μὴ ἐπιθύμει τῶν ἐδεσμάτων αὐτοῦ.

Εἰ δ' οὐκ ἀρκῇ τῇ τοιᾷδε γνώσει τῶν ἀρετῶν, ἀλλ' ἐπὶ πλέον κατὰ θεωρίαν ἐκτείνῃ, μὴ ἔρα καταλαμβάνειν τὰ παρ' αὐτοῦ μόνου Θεοῦ γινωσκόμενα μυστήρια οἷον τὸ, ὅπως ἐκ τοῦ ἀγεννήτȣ πατρὸς ὁ μονογενὴς αὐτοῦ καὶ συναΐδιος υἱὸς γεννᾶται, καὶ τὸ συναΐδιον αὐτοῦ ἐκπορεύεται πνεῦμα· καὶ ὅπως παρὰ Θεοῦ ἡ κτίσις ἐκ τοῦ μὴ ὄντος παρήχθη.

Ταῦτα γὰρ ἔχεται ζωῆς ψευδοῦς.

Ὁ γὰρ τὰ τοιαῦτα, ὄντα ἀκατάληπτα, καταλαμβάνειν ἐπιχειρῶν, ψευδοῦς ἀντέχεται γνώσεως.

4. Μὴ παρεκτείνου πένης ὢν, πλουσίῳ.

Μὴ οὖν ὁ πλασθεὶς ἐκ χοὸς, καὶ τῆς θείας χάριτος ἐπιδεὴς, κἂν μετέχῃς Θεοῦ, παρεξίσου τούτῳ ἑαυτὸν, τῷ ἀκτίστῳ καὶ ὑπερπλήρει, καταλαμβάνειν αὐτὸν ἐπιχειρῶν, ὡς οἶδεν αὐτὸς ἑαυτόν.

Τῇ δὲ σῇ ἐννοίᾳ ἀπόσχου.

Ἀπόστησον δὲ τὴν διάνοιάν σου ἀπὸ τῆς κατ' οὐσίαν τοῦ Θεοῦ λόγου καταλήψεως.

5. Ἐὰν ἐπιστήσῃς τὸ σὸν ὄμμα πρὸς αὐτὸν, οὐδαμοῦ φανεῖται.

Ἐὰν γὰρ τὸ νοερὸν τῆς ψυχῆς σου ὄμμα ἐρείσῃς πρὸς αὐ-

τὸν ἀτενῶς, τὸν ὑπὸ πάντων ὡς αἴτιον κηρυττόμενον, ἐν οὐδενὶ XXIII.
κατ' οὐσίαν εὑρήσεις, ὡς ὑπερούσιον.

Κατεσκεύασται γὰρ αὐτῷ πτέρυγες, ὥσπερ ἀετοῦ.

Ὁ γὰρ κατ' οὐσίαν μένων ἐν τῷ πατρὶ, καὶ ἀδιαστάτως εἰς τὸν κόσμον ἐξερχόμενος κατ' ἐνέργειαν, ὡς ἂν κηρύττοιτο ὑπὸ τῶν αἰτιατῶν τῇ καταφατικῇ θεολογίᾳ, ὡς αἴτιος μονογενὴς τοῦ θεοῦ λόγου, ταῖς τοῦ ὁμοφυοῦς αὐτῷ πνεύματος ἐνεργείαις, ὥς τισι πτεροῖς ὑψιπετοῦς αὐτοῦ, ὑψούμενος ἐν τῷ διορατικῷ τοῦ ἀνθρώπου νοΐ.

Καὶ ὑποστρέφει εἰς τὸν οἶκον τοῦ προεστηκότος αὐτοῦ.

Ἀποστρέφει κατὰ τὴν τῶν ὑπὸ φύσιν καὶ χρόνον ἀφαίρεσιν, ἀποφατικῶς θεολογούμενος, πρὸς τὴν πλήρη χάριτος καὶ ἀληθείας ὡς μονογενοῦς παρὰ πατρὸς δόξαν.

Μὴ συνδείπνει ἀνδρὶ βασκάνῳ. 6.

Μὴ συνδειτῷ τῷ φθονοῦντι σοι τῆς σωτηρίας δαίμονι· διασπωμένης μὲν σου τῆς ψυχῆς τοῦ νυμφίου αὐτῆς θεοῦ λόγου, κολλωμένης δὲ διὰ τῶν κατ' ἔλλειψιν τῆς ἀρετῆς παραλόγων πράξεων, ὥς τινι ἀνδρὶ αὐτῷ τῷ σατανᾷ· κἀντεῦθεν συνεσθίοντος σου τούτῳ τὴν ἀπὸ θεοῦ ἔκπτωσιν.

Μηδὲ ἐπιθύμει τῶν βρωμάτων αὐτοῦ.

Μήτ' ὀρέγου τῶν ποικίλων αὐτοῦ τῆς κακίας βρωμάτων.

Ὃν τρόπον γὰρ εἴ τις καταπίει τρίχα, οὕτως ἐσθίει καὶ 7.
πίνει.

Καθ' ὃν γὰρ τρόπον ὁ καταπεπωκὼς τρίχα, ἰλεγγιᾷ, οὕτω καὶ αὐτὸς τρεφόμενος μὲν τὴν κακίαν, τὴν δ' ἄγνοιαν πίνων, ταράττεται, καὶ ἀκαταστατεῖ τὴν φυσικὴν ἀπόλλων εὐεξίαν.

Μηδὲ πρός σε εἰσαγάγῃς αὐτὸν, καὶ φάγῃς τὸν ψωμόν σου μετ' αὐτοῦ.

Μήτ' ἐν οἷς πράττεις τὴν ἀρετὴν, δῷς αὐτῷ πάροδον, τοῦ συνεσθίειν σοι αὐτὴν ἐν τῷ ὑπαγορεύειν τὰς ἐπιτάσεις αὐτῆς.

Ἐξεμέσει γὰρ αὐτὸν, καὶ λυμανεῖται τοὺς λόγους σου τοὺς 8.
καλούς.

XXIII. Ἀποβαλεῖται γὰρ ταύτην οὐ μετὰ πολὺ, ἀπαγαγών σε τοῦ κατὰ Θεὸν σκοποῦ, καὶ φθερεῖ τοὺς ἐπ' αὐτῇ ἀγαθοὺς λογισμοὺς, πείθων σε ὑποκρίνεσθαι ταύτην διὰ κενοδοξίαν καὶ ἀνθρωπαρέσκειαν.

9. Εἰς ὦτα ἄφρονος μηδὲν λέγε, μήποτε μυκτηρίσῃ τοὺς συνετοὺς λόγους σου.

Μηδένα τῶν θείων καὶ μαργαρωδῶν λόγων, εἰς ἀκρόασιν προτίθει τοῦ ἀλογίστως βιοῦντος, καὶ δίκην χοίρου τῷ βορβόρῳ τῶν ἡδονῶν ἐγκαλινδουμένου· μήποτε ἐπεγγελάσῃ τοῖς τῇ ἀληθείᾳ στοιχοῦσι λόγοις σου.

10. Μὴ μεταθῇς ὅρια αἰώνια· εἰς δὲ κτῆμα ὀρφανῶν μὴ εἰσέλθῃς.

Μὴ μετακίνει τὰ πρὸ αἰῶνος παντὸς τοῦ Θεοῦ κρίματα, ἀφαρπάζων τὴν κρίσιν αὐτοῦ πρὸ καιροῦ· καὶ εἰς τὴν κατὰ προαίρεσιν ἐπικτηθεῖσαν κακίαν τοῖς ἐκπεσοῦσι τῆς τοῦ Θεοῦ υἱοθεσίας, διὰ τῆς τῶν ἐντολῶν αὐτοῦ παραβάσεως, μὴ σαυτὸν εἰσαγάγῃς, κατακρίνων αὐτοὺς ἐφ' οἷς ὡς ἄνθρωποι ὀλισθαίνουσιν.

11. Ὁ γὰρ λυτρούμενος αὐτοὺς κύριος, κραταιός ἐστι· καὶ κρινεῖ τὴν κρίσιν αὐτῶν μετὰ σοῦ.

Ὁ γὰρ Θεὸς οἷα πάντα δυνάμενος, τούτους μὲν τῆς κακίας ἀπαλλάξει· ἐπὶ σὲ δ' ἐπενέγκει τὴν ἀναμένουσαν τούτους κατάκρισιν, ἐν ᾧ κρίματι ἕτερον κρίνεις κατακρινόμενον.

12. Δὸς εἰς παιδείαν τὴν καρδίαν σου.

Παράσχου Θεῷ τὸ διανοητικόν σου, ἵνα ταῖς θείαις ἐννοίαις ἐνάγηται πρὸς τὰ κρείττονα.

Τὰ δὲ ὦτα σου ἑτοίμασον λόγοις αἰσθήσεως.

Τὰς δ' ἐπιτειθεῖς λόγῳ τοῦ παθητικοῦ μέρους τῆς ψυχῆς σου δυνάμεις, τὴν ἐπιθυμίαν καὶ τὸν θυμὸν, εὐτρέπιστον λογισμοῖς τοῖς διακρίνουσι τὸ ὄντως ἀγαθὸν ἀπὸ τοῦ νομιζομένου· ὥστε τὴν μὲν, τοῦ ὄντως ὀρέγεσθαι ἀγαθοῦ· τὸν δὲ, τὸ νομιζόμενον ἀποστρέφεσθαι.

13. Μὴ ἀπόσχῃ νήπιον παιδεύειν· ὅτι ἐὰν πατάξῃς αὐτὸν ῥάβδῳ, οὐ μὴ ἀποθάνῃ.

Μὴ παύσῃ τὸ νηπιωδῶς φρονοῦν, καὶ ἀλογίστως φερόμενον XXIII.
σαρκίον σου, πρὸς ἐργασίαν ῥυθμίζειν τοῦ ἀγαθοῦ· ἐπειδήπερ εἰ
ὡς ἔν τινι ῥάβδῳ, λόγῳ ταπεινώσεις αὐτὸ ὑπωπιάζων καὶ δου-
λαγωγῶν, οὐ μὴ διαφθαρῇ, κἂν ὑποτρέχῃ σε φόβος τοιοῦτος.

Σὺ μὲν γὰρ πατάξεις αὐτὸν ῥάβδῳ, τὴν δὲ ψυχὴν αὐτοῦ ἐκ 14.
θανάτου ῥύσῃ.

Σὺ μὲν γὰρ, ὡς εἴρηται, ταπεινώσεις αὐτὸ, ὡς ἂν μὴ πα-
ρασύρῃ σε εἰς κρημνοὺς κακίας καὶ βάραθρα· τὴν δὲ ζωογονοῦ-
σαν τοῦτο ψυχήν σου, ἐξέλῃ τοῦ καθ' ἁμαρτίαν θανάτου.

Υἱὲ, ἐὰν σοφὴ γένηταί σου ἡ καρδία, εὐφρανεῖς καὶ τὴν ἐμὴν 15.
καρδίαν· καὶ ἐνδιατρίψει λόγοις τὰ σὰ χείλη πρὸς τὰ ἐμὰ χεί- 16.
λη, ἂν ὀρθὰ ὦσι.

Τέκνον, ὃ πνευματικῶς ταῖς ἐμαῖς διδασκαλίαις ὠδίνησα,
ἐὰν λόγου θείου μετάσχῃ σου ἡ ψυχὴ, ἀγαλλίασιν καὶ τῇ ἐμῇ
ψυχῇ ἐμποιήσεις, οἰκεῖα μου λογιζομένου τὰ σὰ· καὶ τὰ λόγιά
σου πρὸς τὰ ἐμὰ ὡς πρός τινα κανόνα παραβαλεῖς, καὶ συνεξε-
τάσεις ἐὰν ὑπάρχωσιν ἀληθῆ.

Μὴ ζηλούτω ἡ καρδία σου ἁμαρτωλοὺς, ἀλλὰ ἐν φόβῳ κυρίου 17.
ἴσθι ὅλην τὴν ἡμέραν· ἐὰν γὰρ τηρήσῃς αὐτὰ, ἔσται σοι ἔκγο- 18.
να· ἡ δὲ ἐλπίς σου οὐκ ἀποστήσεται.

Μὴ τοὺς τῶν θείων ἐντολῶν παραβάτας μιμείσθω σου ἡ ψυ-
χὴ, ἀλλὰ φόβον ἔχε τοῦ τῶν ὅλων δεσπότου θεοῦ, ἕως ἂν ἡ
τοῦ θανάτου νὺξ καταλάβῃ· ἐὰν γὰρ ἀμφότερα ταῦτα φυλάξῃς,
ἕξεις μαθητῶν μαθητὰς, τοὺς ἑπομένων τῇ διδασκαλίᾳ σου, καὶ
τὸν ἄμεμπτόν σου βίον ζηλοῦντας, καὶ οὐδέποτε ἀπελπίσεις τὴν
σωτηρίαν σου.

Ἄκουε υἱὲ καὶ σοφὸς γίνου· καὶ κατεύθυνε ἔννοιαν σῆς καρδίας. 19.

Ἀπόθες μοι τὰ ὦτα σου τέκνον, καὶ θείου μεταλάμβανε λό-
γου, καὶ κατὰ τοῦτον κατεύθυνε τὴν πρώτην κατὰ νοῦν κίνησιν
τῆς ψυχῆς σου· ὥστε τῆς ἀληθείας μὴ παρεκτρέπεσθαι.

Μὴ ἴσθι οἰνοπότης, μηδὲ ἐκτείνου συμβολαῖς, κρεῶν τε ἀγο- 20.
ρασμοῖς.

XXIII. Μὴ χρῶ τῇ τοῦ οἴνου πόσει ἀμέτρως· μήτε μὴν ἐπὶ πολὺ ταῖς ἀγοραῖς ἐνδιάτριβε, τα πρὸς θεραπείαν τῆς γαστρὸς συ ὠνούμενος.

21. Πᾶς γὰρ μέθυσος καὶ πορνοκόπος, πτωχεύσει· καὶ ἐνδύσεται διεῤῥηγμένα καὶ ῥακώδη πᾶς ὑπνώδης.

Πᾶς γὰρ τῇ πολλῇ οἰνοποσίᾳ, τοῦ νοὸς ἐξιστάμενος, καὶ ἐν τῷ τὴν γαστέρα θεραπεύειν, τοῖς ὑπογαστρίοις ἐκθερμαινόμενος πάθεσι, καὶ ἐκλυόμενος τῇ ἀκολασίᾳ, ἐκπεσεῖται τοῦ τε σωματικοῦ καὶ πνευματικοῦ πλούτου· καταδαπανήσας καὶ ἀμφοτέρους ἐν τοῖς τῆς αἰσχύνης ἔργοις καὶ λογισμοῖς· καὶ περιβαλεῖται σωματικῶς μὲν, χιτῶνας διεῤῥωγότας καὶ εὐτελεῖς· ψυχικῶς δὲ, δόξας περὶ τοῦ παντὸς μεμερισμένας ταῖς περὶ τὰ καθ᾽ ἕκαστον ἀλογίστοις ἐπιθυμίαις, καὶ ταπεινὰς, ὡς μὴ ἀναγούσας εἰς δόξαν τοῦ τὰ πάντα πεποιηκότος θεοῦ, ἅπας πρός τε τὰ σωματικὰ καὶ τὰ πνευματικὰ ῥᾴθυμος.

22. Ἄκουε υἱὲ πατρὸς τοῦ γεννήσαντός σε.

Πείθου τέκνον πνευματικὸν ταῖς ἐντολαῖς τοῦ υἱοθετησαμένου σε κατὰ χάριν τῇ εἰς αὐτὸν πίστει θεοῦ.

Καὶ μὴ καταφρόνει ὅτε γεγήρακέ σου μήτηρ.

Καὶ τὴν θρεψαμένην σε παλαιὰν διδασκαλίαν· μὴ περιφρόνει ὅτε τοῖς κατ᾽ αὐτὴν συμβόλοις ἠσθένησε· πληρώσαντος ταῦτα Χριστοῦ, τῆς ἀληθείας τὸν κατὰ νόμον τύπον.

24. Καλῶς ἐκτρέφει πατὴρ δίκαιος.

Δεόντως γὰρ διὰ τῆς τοιαύτης διδασκαλίας ἀνάγει θεὸς ὁ κατὰ χάριν γεννήτωρ τοῦ πιστεύοντος εἰς αὐτόν· ἀποτρέπων μὲν τοῦτον πάσης κακίας, πρὸς δὲ πᾶσαν ἀρετὴν προτρέπων ταῖς δικαιοτάταις αὐτοῦ ἐντολαῖς.

Ἐπὶ δὲ υἱῷ σοφῷ εὐφραίνεται ἡ ψυχὴ αὐτοῦ.

Ἐπὶ δὲ τῷ πεπληρωμένῳ συνέσεως υἱῷ κατὰ χάριν τούτου, τὸ πανάγιον αὐτοῦ ἀναπαύεται πνεῦμα· τελειωθέντι κατὰ τὸν πνευματικὸν νόμον· καὶ μηκέτι φόβῳ τῶν κολάσεων οἷα δούλῳ, ἢ πόθῳ τῶν ἐπαγγελιῶν οἷα μισθίῳ, ἀλλ᾽ ὡς υἱῷ πληροῦντι τὸ πατρικὸν θέλημα, ἐν τῷ ἐργάζεσθαι τὸ ἀγαθὸν δι᾽ αὐτὸ τὸ καλόν.

Εὐφραινέσθω ὁ πατὴρ καὶ ἡ μήτηρ ἐπὶ σοί· καὶ χαιρέτω ἡ τε- XXIII.
κοῦσά σε. 25.

Ἀγαλλιάσθω οὖν ἐπὶ σοὶ ὡς κατὰ χάριν υἱῷ, ὅ τε υἱοθετησάμενός σε Θεὸς, καὶ αὐτὴ ἡ κατὰ τὴν εἰς αὐτὸν πίστιν βρεφηφορήσασά σε παλαιὰ νομοθεσία, ὡς ἐν μήτρᾳ τῷ τύπῳ, οὗ ἐντὸς ἡ ἀλήθεια, ἐν τῷ καθαρόν σε γενέσθαι τῆς κατ' ἐνέργειαν ἁμαρτίας· ἔτι γε μὴν εὐφραινέσθω καὶ ἡ διὰ τοῦ ἁγίου βαπτίσματος ἀποκυήσασά σε, καὶ υἱὸν Θεοῦ ἀναδείξασα καινοποιὸς χάρις τοῦ πνεύματος, διαβλέποντός σου τρανῶς, ἀνεπιθολώτῳ παντὶ πάθει, τῷ τῆς διανοίας ὀφθαλμῷ, τὰς τῆς ἀληθείας αὐγὰς, καὶ πληροῦντος ὡς υἱοῦ, τὸ θέλημα τοῦ Θεοῦ μετὰ διαθέσεως, ὅς σοι τάδε διακελεύεται.

Δός μοι υἱὲ σὴν καρδίαν· οἱ δὲ σοὶ ὀφθαλμοὶ ἐμὰς ὁδοὺς τη- 26.
ρήτωσαν.

Παράσχέ μοι, τέκνον, τὴν ἐξ ὅλης ψυχῆς σου ἀγάπησιν· ἅπας δέ σοι σκοπὸς, πρὸς τὸ φυλάττειν τὰς ἐμὰς ἐντολὰς ἔςω· ἑπομένῳ ταύταις κατ' ἀρετὴν, καὶ μηδὲν τῶν φθαρτῶν τῆς τοῦ πλησίον ἀγάπης προτιμότερον ποιουμένῳ· ἐπεὶ ὁ ἀγαπῶν με, τὰς ἐντολάς μου τηρήσει· αὕτη δέ ἐστιν ἡ ἐντολὴ ἡ ἐμὴ, ἵνα ἀγαπᾶτε ἀλλήλους.

Πίθος γὰρ τετρημένος ἐστὶν ἀλλότριος οἶκος. 27.

Πίθῳ τε γὰρ τετρυπημένῳ ἔοικεν ὁ τοῖς οἰκήσασιν ἐν αὐτῷ ξένοις τῆς λογικῆς φύσεως πάθεσι τὸν νοῦν διεφθαρμένος, ὡς φυλάσσειν παρ' ἑαυτῷ τὰς ἐντολὰς μὴ δυνάμενος.

Καὶ φρέαρ στενὸν ἀλλότριον.

Καὶ φρέατι στενῷ καὶ ξένῳ, ὡς τοῖς προσκαίροις περιγεγραμμένην ἔχων τὴν σχέσιν, καὶ τοῖς διψῶσι τὴν ἀπώλειαν αὐτοῦ νοητοῖς ἐχθροῖς παρέχων ταύτην ἀρύεσθαι.

Οὗτος γὰρ συντόμως ἀπολεῖται· καὶ πᾶς παράνομος ἀναλω- 28.
θήσεται.

Ὁ τοιοῦτος γὰρ μετὰ τὴν πρόσκαιρον ζωὴν, εἰς διηνεκῆ ἀπώλειαν παραπεμφθήσεται· κἀντεῦθεν πᾶς ὁ τὰς θείας ἐντολὰς παραβαίνων, τὸν καθ' ἁμαρτίαν τῆς ψυχῆς ὑποστήσεται ὄλεθρον.

XXIII. Τίνι οὐαὶ, τίνι θόρυβος, τίνι κρίσις, τίνι δὲ ἀηδίαι καὶ λέ-
29. σχαι, τίνι συντρίμματα διακενῆς, τίνος πελιδνοὶ οἱ ὀφθαλμοί;

Τίνι κοπετὸς γοερὸς, τίνι διένεξις, τίνι δὲ ἀποστροφαὶ τῶν ὁμοφυῶν καὶ κατ᾽ αὐτῶν φλυαρίαι, τίνι συμπτώματα ἐπὶ μηδεμιᾷ ὠφελείᾳ γινόμενα, τίνος αἱ ὀπτικαὶ δυνάμεις ἀσθενεῖς;

30. Οὐ τῶν ἐγχρονιζόντων ἐν οἴνοις; οὐ τῶν ἰχνευόντων ποῦ πό-
τοι γίνονται;

Οὐχὶ τῶν ἐναπομενόντων ταῖς ἐπιφανείαις τῶν ὁρατῶν, αἵπερ ἐκ τοῦ κατὰ φύσιν, πρὸς τὸ παρὰ φύσιν δίκην οἴνου τὸν νοῦν μεθιςῶσιν; οὐχὶ τῶν ἀναζητούντων ἔνθα κατὰ κόρον ἡ τοῦ θολεροῦ πόματος τῆς ἁμαρτίας τελεῖται μετάληψις; καὶ γὰρ ὁ ταῖς θεωρητικαῖς τῆς ψυχῆς δυνάμεσιν ἀσθενὴς, μὴ δυνάμενος κατὰ νοῦν πρὸς τοὺς τῶν ὄντων διαβῆναι λόγους, διὰ τὴν κατ᾽ αἴσθησιν περὶ τὰς ἐπιφανείας αὐτῶν σχέσιν τῇ τούτων ἀνιᾶται φθορᾷ· καὶ στῆσαι ταύτην ἀνηνύτως ἐπιχειρῶν, ἐμπίπτει εἰς φροντίδας ὀχλούσας αὐτὸν οὐ μικρῶς· καὶ διὰ πλεονεξίαν τῶν ὑλικῶν, μετὰ τῶν ὁμοφυῶν διαμάχεται· καὶ ἀποστρέφεται τούτους, καὶ διαβάλλει, καὶ συμφθείρεται, προσκρούων αὐτοῖς ἀνοήτως.

31. Μὴ μεθύσκεσθε ἐν οἴνοις, ἀλλ᾽ ὁμιλεῖτε ἀνθρώποις δικαίοις,
καὶ ὁμιλεῖτε ἐν περιπάτοις.

Διὸ μὴ ἐξίστασθε τὸν νοῦν ἐν ταῖς κατ᾽ αἴσθησιν θεωρίαις τῶν ὁρατῶν, ἀλόγως αὐτοῖς ἐπιβάλλοντες· ἀλλὰ συναυλίζεσθε διδασκάλοις, ἑκάστῃ τῆς ψυχῆς δυνάμει τὸ πρόσφορον ἀπονέμουσι· καὶ συναυλίζεσθε τούτοις ἐν ταῖς κατὰ θεωρίαν τῶν αἰσθητῶν πρὸς τὰ νοητὰ διαβάσεσιν.

Ἐὰν γὰρ εἰς τὰς φιάλας καὶ τὰ ποτήρια δῷς τοὺς ὀφθαλμούς σου, ὕστερον περιπατήσεις γυμνότερος ὑπέρου.

Εἰ γὰρ εἰς μόνας τὰς δίκην φιαλῶν καὶ ποτηρίων δεκτικὰς τοῦ τῆς θεογνωσίας νάματος ἐπιφανείας τῶν ὁρατῶν ἀποσχολήσεις, ὅς τις ἂν καὶ εἴης, τὰς θεωρητικὰς τῆς ψυχῆς σου δυνάμεις, μετὰ ταῦτα κινηθήσῃ κατ᾽ ἐπιθυμίαν ἀλόγιστον πρὸς συγκαταθέσεις πάντως ἀτόπους· τῆς θείας χάριτος γεγυμνωμένος πλέον

ξύλου τινὸς τῇ συνεχεῖ τρίψει τοῦ προστυχόντος, τὸν οἰκεῖον XXIII.
ἀποβαλλομένου φλοιόν· ὡς τούτῳ παραπλησίως κατατριβομένου τοῦ
νοός σου, τῇ ἐνδιατρίψει τῶν ὑλικῶν.

Τὸ δὲ ἔσχατον, ὥσπερ ὑπὸ ὄφεως πεπληγὼς ἐκτείνεται, καὶ 32.
ὥσπερ ὑπὸ κεράστου διαχεῖται αὐτῷ ὁ ἰός.

Τελευταῖον δὲ, καθάπερ ὁ δεδηγμένος ὑπὸ ὄφεως κερασφόρου, εἰς γῆν ἁπλοῦται νεκρὸς, καὶ ὅλον αὐτὸν ὁ ἰὸς διατρέχει, οὕτω καὶ αὐτὸς ὑπὸ τοῦ πονηροῦ δεδηγμένος ἐξαπλωθήσῃ εἰς τὴν πολυσχιδῆ τοῦ χοϊκοῦ φρονήματος ἁμαρτητικὴν ἐνέργειαν· ἢ ἔχειν ὁλοτελῆς πρὸς τὸ ἀγαθὸν νέκρωσις· καὶ ἡ τοῦ δακόντος σε νοητοῦ ὄφεως κακία, ὅλον σε περιδράμῃ· τὴν μὲν ψυχήν σου, καθ᾽ ἕξιν· τὴν δὲ σάρκα σου, κατ᾽ ἐνέργειαν.

Οἱ ὀφθαλμοί σου ὅταν ἴδωσιν ἀλλοτρίαν; τὸ στόμα σου τότε 33.
λαλήσει σκολιά.

Ὁπόταν τῷ νοΐ σου ἀπίδῃς πρὸς τὴν τούτῳ ἀλλόφυλον αἴσθησιν, καταλιπόντι τὰ οἰκεῖα περισκοπεῖν, καὶ τοῖς κατ᾽ αὐτὴν τύποις καὶ φαινομένοις κάλλεσιν ἀπερισκέπτως ἐπιβάλλοντι, τότε τὸ διανοητικόν σου, τῆς ἀληθείας παρεγκεκλιμένας προβαλεῖται δόξας· ἐπαινοῦν ἀλογίστως τὰ φαινόμενα, καὶ μὴ διαβαῖνον κατὰ λόγον πρὸς τὰ νοούμενα.

Καὶ κατακείσῃ ὥσπερ ἐν καρδίᾳ θαλάσσης, καὶ ὥσπερ κυ- 34.
βερνήτης ἐν πολλῷ κλύδωνι.

Καὶ καταπέσῃς ὡς ἀδόκιμος κυβερνήτης ἐν πολλῷ κλύδωνι, εἰς βυθὸν ἀγνοίας καὶ ζάλην λογισμῶν ἐναντίων.

Ἐρεῖς δὲ, ἔτυπτόν με, καὶ οὐκ ἐπόνεσα· καὶ ἐνέπαιξάν μοι, 35.
ἐγὼ δὲ οὐκ ᾔδειν.

Μετὰ ταῦτα δὲ μεταμεληθεὶς, εἴπῃς κατὰ τὸ συνειδὸς, ᾔκιζόν με τὰ πάθη, αὐτὸς δ᾽ οὐκ ᾐσθάνθην· καὶ ἠπάτησάν με τὰ τῆς πονηρίας πνεύματα, ἐγὼ δ᾽ οὐκ ἠπιστάμην· ἐκτραπεὶς τε τοῦ κατὰ φύσιν πρὸς τὸ παρὰ φύσιν, καὶ ζόφῳ ἀγνοίας κατασχεθείς.

Πότε ὄρθρος ἔσται, ἵνα ἐλθὼν ζητήσω μεθ᾽ ὧν συνελεύσομαι;

Λοιπὸν πότε καταυγάσει με τὸ φῶς τοῦ τῆς δικαιοσύνης

XXIII. ἡλίου; ἵν' ἐπιστραφεὶς κατὰ νοῦν, ἀπὸ τῆς ἔξωθεν πλάνης, ψηλαφήσω κατὰ διάνοιαν τὰς κατὰ λόγον περὶ τῶν ὄντων ἀληθεῖς δόξας· καὶ ταύταις συνεισέλθω πρὸς τὴν κατὰ πνεῦμα ἐν Θεῷ μακαρίαν ζωήν.

CAP. XXIV.

v. 1. Υἱὲ μὴ ζηλώσῃς κακοὺς ἄνδρας, μηδὲ ἐπιθυμήσῃς εἶναι μετ'
2. αὐτῶν· ψευδῆ γὰρ μελετᾷ ἡ καρδία αὐτῶν· καὶ πόνους τὰ χείλη αὐτῶν λαλεῖ.

Τέκνον πνευματικὸν, μηδαμῶς μιμήσῃ ἀνθρώπους ἐργαζομένους τὴν ἀνομίαν, μηδὲ ποθήσῃς συνδιάγειν αὐτοῖς· πάντα γὰρ τὰ πρὸς ἀπάτην διαλογίζεται ἡ τούτων ψυχή· καὶ τὰ διὰ στόματος αὐτῶν προφερόμενα ῥήματα, πλήττουσι τοὺς ἀκούοντας, καὶ ὀδυνᾶσθαι παρασκευάζουσιν, ἐπειδὴ μηδὲν ἀπαγγέλλουσιν ἀγαθόν.

3. Μετὰ σοφίας οἰκοδομεῖται οἶκος, καὶ μετὰ συνέσεως ἀνορ-
4. θοῦται· μετὰ αἰσθήσεως ἐμπίπλανται ταμιεῖα ἐκ παντὸς πλούτου τιμίου καὶ καλοῦ.

Λόγῳ θείῳ νευργεῖται τὸ τούτου οἰκητήριον πάντως ὁ νοῦς· καὶ τῇ κατὰ διάθεσιν πρὸς τοῦτον συννεύσει, τοῦ τριμεροῦς τῆς ψυχῆς, ἀνεγείρεται ἐκ τῶν κατ' ἔλλειψιν τῆς ἀρετῆς, καὶ ὑπερβολὴν ἐμπαθῶν συμπτωμάτων· καὶ πόνῳ σαρκὸς διεγειρομένης ἐντεῦθεν πρὸς ἐπιμέλειαν τοῦ ὄντως καλοῦ, πληροῦνται αἱ κατὰ ψυχὴν φυλακτικαὶ τῆς γνώσεως καὶ τῆς ἀρετῆς θεωρητικαὶ ἕξεις, ἀπὸ τοῦ πνευματικοῦ πλούτου, τῆς τε πάντων ὑπερκειμένης ἀληθείας, καὶ τοῦ πάντων κηρυττομένου ἀγαθοῦ· ἅπερ ἐστὶν ὁ Θεὸς, ὡς κατ' οὐσίαν ἄτρεπτος, καὶ κατ' ἐνέργειαν εὐεργετικός.

5. Κρείσσων σοφὸς, ἰσχυροῦ· καὶ ἀνὴρ φρόνησιν ἔχων, γεωργίου μεγάλου.

Καλλίων ἐστὶ διὰ τελειότητα βίου, ὁ λόγῳ σοφίας πάντα τὰ ὄντα κατὰ νοῦν διαβὰς, καὶ ἐν Θεῷ καταπαύσας τῇ ὄντως ζωῇ, ὑπὲρ τὸν ἔτι κατὰ τῶν παθῶν ἀγωνιζόμενον, καὶ γενναίως αὐ-

τοῖς ἀνθεςώμενον· καὶ ὁ γενναίως τὰ πάθη καταπαλαίων, μετὰ XXIV.
λόγυ πράττων τὴν ἀρετὴν, καὶ ἐν τοῖς ἀναγκαίοις μόνον συγκα-
ταβαίνων διὰ τὴν ἀσθένειαν τῇ σαρκὶ πρὸς σύςασιν, κρείσσων
ἐστὶ τοῦ ἐξ αὐτῆς πολὺν σωρὸν ἀρετῶν κατὰ πρᾶξιν συνάγον-
τος, καὶ καταβάλλοντος ταύτην τῇ ἀγώνων ὑπερβολῇ· ὁ μὲν γὰρ
οὐ μόνον τὸ κακὸν φεύγει, ἀλλὰ καὶ πρὸς τὸ ἀγαθὸν χωρεῖ,
ἔχων τὴν σάρκα συνεργὸν πρὸς τὰ κρείττονα· ὁ δὲ φεύγει μὲν
τὰ κατ' ἔλλειψιν τῆς ἀρετῆς πάθη, οὐκ ἔχει δὲ τίνι συνεργῷ
πρὸς τὰ κάλλιστα χρήσεται.

Μετὰ κυβερνήσεως γίνεται πόλεμος, βοήθεια δὲ μετὰ καρδίας 6.
βουλευτικῆς.

Καθάπερ ὁ πρὸς τοὺς ὁρατοὺς ἀντιπάλους πόλεμος, ἐπιςη-
μονικῆς χρήζει στρατηγίας, μεγάλα δὲ συμβάλλεται τῷ ἰσχυρῷ
στρατεύματι, καὶ τὸ τὸν ἡγεμόνα κατὰ ψυχὴν τὰ δέοντα πε-
ρισκέπτεσθαι, οὕτω καὶ ἡ κατὰ τῶν νοητῶν ἐχθρῶν ἀντιπαρά-
ταξις, πρὸς τὸ ἡττῆσαι τούτων καὶ καταβαλεῖν, ἔμφρονος δεῖ-
ται ἐπιστασίας, καλῶς διεξαγούσης τὰς τοῦ παθητικοῦ μέρους
τῆς ψυχῆς δυνάμεις, τὴν ἐπιθυμίαν καὶ τὸν θυμόν· πρὸς δὲ καὶ
λογικῆς διακρίσεως τὸ κρεῖττον διαιρούσης ἀπὸ τοῦ χείρονος.

Σοφία καὶ ἔννοια ἀγαθὴ ἐν πύλαις σοφῶν.

Ἡ θεογνωσία καὶ ἡ τῶν ἀγαθῶν ἔργων μελέτη, παρεδρεύει 7.
ἐν ταῖς τούτων εἰσαγωγαῖς δίκην πυλῶν, αἰσθήσεσι τῶν τελείων
ἀνδρῶν, ὡς ἐκ τῶν ποιημάτων τὸν ποιητὴν καταλαμβανόντων,
καὶ τὸ περὶ πάντα τούτων εὐεργετικὸν περισκοπούντων, καὶ κα-
τὰ τὸ δυνατὸν μιμεῖσθαι ἐπιχειρούντων.

Σοφοὶ οὐκ ἐκκλίνουσιν ἐκ στόματος κυρίου, ἀλλὰ λογίζονται 8.
ἐν συνεδρίοις.

Οἱ φθάσαντες εἰς τελειότητα, οὐδαμῶς τοὺς λόγυς τοῦ δε-
σπότου τῶν ὅλων θεοῦ παραβαίνουσιν, ἀλλὰ πρὸς τούτους ἀνά-
γονται.

Ἀπαιδεύτοις συναντᾷ θάνατος, ἀποθνήσκει δὲ ἄφρων ἐν 9.
ἁμαρτίαις.

XXIV. Καὶ κατὰ τὰς ἀλόγυς τῆς ψυχῆς θεωρητικάς τε καὶ πρακτικὰς δυνάμεις, τὰς αἰσθήσεις φημὶ, καὶ τὴν ἐπιθυμίαν καὶ τὸν θυμὸν, ἐν ταῖς τούτων πρὸς τὴν ἑνότητα τοῦ νοῦ συναθροίσεσι, τοῖς μὴ μαθοῦσι θεοφιλῶς τὴν ἰδίαν ζωὴν διεξάγειν, ὁ καθ' ἁμαρτίαν τῆς ψυχῆς ἐντυγχάνει θάνατος.

10. Ἀκαθαρσία δὲ ἀνδρὶ λοιμῷ, ἐμμολυνθήσεται ἐν ἡμέρᾳ κακῇ, καὶ ἐν ἡμέρᾳ θλίψεως, ἕως ἂν ἐκλίπῃ.

Καὶ ὁ ἀλογίστως βιῶν, καὶ ἑκουσίως μὴ συνιῶν ἐφ' οἷς προσκρούει θεῷ, μέχρι τέλους ταῖς κακίαις ἐμμένει· τῷ δ' ἀπερικαλύπτως τὴν κακίαν ἐργαζομένῳ, κἀντεῦθεν καὶ ἑτέροις ταύτης μεταδιδόντι, ἀνθρώπῳ ἀπογνόντι τῆς ἑαυτοῦ σωτηρίας, ὁπόταν ὀδύναι σωματικαὶ τούτῳ καὶ ψυχικαὶ λῦπαι ἐπέλθωσιν, ἡ πονηρία πλέον ἐπεκτανθήσεται, ἄχρις ἂν τὸ τέλος τῆς ζωῆς αὐτὸν καταλάβῃ.

11. Ῥῦσαι ἀγομένους εἰς θάνατον, καὶ ἐκπριοῦν κτεινομένους μὴ φείσῃ.

Λύτρωσαι ὡς δυνατόν σοι, τοὺς ἀπαγομένους εἰς θάνατον, εἴτε τὸν ἄδικον σωματικὸν, εἴτε τὸν καθ' ἁμαρτίαν ψυχικὸν· καὶ τοὺς οὕτω κινδυνεύοντας, ἐλευθεροῦν διὰ χρημάτων ἢ παντοίων λόγων καὶ τρόπων, μὴ ἐκκακίσῃς.

12. Ἐὰν δὲ εἴπῃς, οὐκ οἶδα τοῦτον, γίνωσκε ὅτι κύριος καρδίας πάντων γινώσκει· καὶ ὁ πλάσας πνοὴν πᾶσιν, αὐτὸς οἶδε πάντα· ὃς ἀποδίδωσιν ἑκάστῳ κατὰ τὰ ἔργα αὐτοῦ.

Ἐὰν δ' ἐρεῖς καθ' ἑαυτὸν, ὡς οὗτος ὁ ἀπολλύμενος, εἴτε κατὰ σῶμα, εἴτε κατὰ ψυχὴν, γνωστός μου ἐστὶ, καὶ καταφρονήσῃς αὐτοῦ κινδυνεύοντος, ἔσο εἰδὼς ὅτι ὁ δεσπότης τῶν ὅλων θεὸς πάντων τὰς διανοίας ἐπίσταται· καὶ ὁ παρασχὼν ζωὴν πᾶσιν ἀνθρώποις, οὗτος ἀκριβῶς πάντα γινώσκει, καὶ αὐτὸς οἷα κριτὴς δικαιότατος, ἀξίας τῶν ἔργων ἑκάστου τὰς ἀμοιβὰς ἀποδίδωσι· διὸ οὐκ ἐλεηθήσῃ παρ' αὐτοῦ, ὅτι καὶ αὐτὸς τὸν ὁμοφυῆ οὐκ ἠλέησας.

13. Φάγε μέλι υἱὲ· ἀγαθὸν γὰρ κηρίον, ἵνα γλυκανθῇ σου ὁ φάρυγξ.

Τράφηθι πνευματικῶς τῇ τῶν θείων λογίων γλυκύτητι τέκ- XXIV.
νον· καλὴ γάρ ἐςιν ἡ ἁρμονία τῆς τούτων διδασκαλίας· κηρίου μέλιτος δίκην, προσφυῶς τοῖς διδασκομένοις ἁρμοζομένης, ὡς τῶν μὲν κηλῖσιν ἁμαρτημάτων ἐῤῥυπωμένων καθαρτικῆς, τῶν δὲ σκότει ἀγνοίας καλυπτομένων καθαρτικῆς, τῶν δὲ σκότει ἀγνοίας καλυπτομένων, φωτιςικῆς· τελειωτικῆς δὲ τῶν ἐναρέτων καὶ γνωστικῶν· ἵνα ἐμφορηθέντος σου τῆς τοιαύτης διδασκαλίας, ἡδονῆς πνευματικῆς πληρωθῇ σȣ ὁ νοῦς· δι' οὗπερ, ὡς τινος φάρυγγος, τὰ πνευματικὰ νοήματα τῇ ψυχῇ παραπέμπονται.

Οὕτως αἰσθήσῃ σοφίαν τῇ ψυχῇ σου. 14.

Οὕτω γὰρ γλυκείας αἰσθανθήσῃ κατὰ ψυχὴν τῆς σοφίας· ὡς τοῦ κατὰ πνεῦμα γλυκυτάτου κάλλους αὐτῆς πειραθεὶς ἱκανῶς, διὰ βίου τελειότητα.

Ἐὰν γὰρ εὕρῃς, ἔσται καλὴ ἡ τελευτή σου, καὶ ἐλπίς σε οὐκ ἐγκαταλείψει.

Ἐὰν γὰρ ζητῶν ταύτην ἐν τῇ γραφῇ καὶ τῇ κτίσει, εὕρῃς αὐτὴν οἷά περ ὑπὸ τῶν (κτισμάτων) κηρυττομένην, ὑπάρξει σου τὸ τῆς ζωῆς τέλος ἀγαθὸν, χειραγωγουμένου δι' αὐτῆς πρὸς σωτηρίαν· κἀντεῦθεν τεύξασθαι ταύτης οὐδαμῶς ἀπελπίσεις.

Μὴ προσαγάγῃς ἀσεβεῖ νομὴν δικαίων· μηδὲ ἀπατηθῇς χορ- 15.
τασίᾳ κοιλίας.

Μὴ προσενέγκῃς τῷ μὴ δι' ἀγαθῶν ἔργων αἱρουμένῳ τιμᾷν τὸν θεὸν, διδασκαλίαν τοῖς κατ' ἀρετὴν τελείοις ἁρμόδιον· καὶ ῥίψεις τοὺς μαργαρώδεις πνευματικοὺς λόγȣς ἔμπροσθεν τοῦ δίκην χοίρου τῷ βορβόρῳ τῶν ἡδονῶν ἐγκαλινδουμένου· μηδὲ ὑπολαβὼν ἐμπλῆσαι τοῦτον διδασκαλίας πνευματικῆς, χλευασθῇς.

Ἑπτάκις γὰρ πεσεῖται ὁ δίκαιος, καὶ ἀναστήσεται. 16.

Καταπαύσει γὰρ τοῦ περιπίπτειν ἁμαρτήμασιν, ὁ κατὰ τὴν δικαιοδοσίαν τοῦ τῆς φύσεως νόμȣ, κατ' ἀξίαν τῇ ψυχῇ αὐτοῦ καὶ τῇ σαρκὶ ἀπονέμων· τῇ μὲν τὰς γενικὰς ἀρετὰς, τῇ δὲ διατροφὰς καὶ σκεπάσματα, τὰ μόνα ἀναγκαιότατα· κἀντεῦθεν απολυθεὶς πάσης τῆς πρὸς τὰ περιττὰ, καὶ ὑπὲρ τὴν χρείαν σχέσεως,

XXIV. ἐγερθήσεται εἰς τὴν κατὰ τὸν πνευματικὸν νόμον θειοτέραν ζωήν· τὸν ἐκ τοῦ οὐρανοῦ καταβαίνοντα ἄρτον, οἷά τινα στερεωτέραν τροφὴν ἐσθίειν δυνάμενος, μετὰ τὴν ἀπὸ πάσης ἁμαρτίας κατάπαυσιν, ἥν περ ὁ ἑπτὰ δηλοῖ ἀριθμός.

Οἱ δ' ἀσεβεῖς ἀσθενήσουσιν ἐν κακοῖς.

Οἱ δ' ἀλογίστως ζῶντες, καὶ ὅλως τὸ ὄντως καλὸν μὴ τιμῶντες, ἀπελπίσουσι τὴν ἑαυτῶν σωτηρίαν ἐν οἷς περίκεινται ἁμαρτήμασιν· ὡς τὴν κατὰ τὸν πνευματικὸν νόμον θεραπείαν βαστάσαι μὴ δυνηθέντες, οἷα τροφῆς ὡς νηπιόφρονες ἁπαλωτέρας δεόμενοι.

17. Ἐὰν πέσῃ ὁ ἐχθρός σου, μὴ ἐπιχαρῇς αὐτῷ· ἐν δὲ τῷ ὑποσκελίσματι αὐτοῦ, μὴ ἐπαίρου.

Ἐάν τις μαχόμενός σοι, περιπέσῃ τινὶ πτώματι, μὴ ἐπεγγελάσῃς αὐτῷ, ἐπὶ τῇ ἀπωλείᾳ αὐτοῦ εὐφραινόμενος· ἐπὶ δὲ τῇ πρὸς τἀναντία περιτροπῇ τούτου, μὴ μέγα φρόνει αὐτὸς, ὡς ἤδη ἀπαλλαγεὶς τοῦ λυποῦντός σε, καὶ καταβάλλοντός σου τὸ φρόνημα.

18. Ὅτι ὄψεται κύριος, καὶ οὐκ ἀρέσει αὐτῷ· καὶ ἀποστρέψει τὸν θυμὸν αὐτοῦ ἀπ' αὐτοῦ.

Ὅτι ὁ πάντα εἰδὼς δεσπότης τῶν ὅλων θεὸς, ἐπιβλέψει ὅπως κακῶς σου τὰ κατὰ ψυχὴν ἔχουσι· καὶ οἷα φιλανθρώπῳ, οὐκ ἀποδεκτέα φανοῦνται αὐτῷ· ὅθεν ἐκεῖνον μὲν, διορθωθέντα ταῖς ἐπαγωγαῖς τῶν ὀδυνηρῶν, ἐλεήσει· ἐπὶ σὲ δὲ πάντως τὴν ὀργὴν αὐτοῦ ἀποστρέψει, παιδείας δεόμενον πρὸς διόρθωσιν.

19. Μὴ χαῖρε ἐπὶ κακοποιοῖς· μηδὲ ζήλου ἁμαρτωλούς· οὐ γὰρ
20. μὴ γένηται ἔκγονα πονηρῶν· λαμπτὴρ δὲ ἀσεβῶν σβεσθήσεται.

Μὴ ἐπευφραίνου διδασκάλοις κακόν σε ἀποτελοῦσι ταῖς ἑαυτῶν παραινέσεσι· μὴ δὲ μιμοῦ τοὺς ἀποτυγχάνοντας τοῦ ὄντως καλοῦ ἐν ταῖς ἑαυτῶν πράξεσιν· οὔτε γὰρ ἐκ τῆς διδασκαλίας ἐκείνων ἀποκυήσεις καλόν τι, καὶ τὸ πρόσκαίρως ἡδὺ, καὶ περίδοξον τῶν μὴ τιμώντων τὸ ὄντως καλὸν, κἀντεῦθεν ἀποτυγχανόντων αὐτοῦ, ταχέως ἀφανισθήσεται.

21. Φοβοῦ τὸν θεὸν υἱὲ, καὶ βασιλέα· καὶ μηθετέρῳ αὐτῶν ἀπει-

θῇση· ἐξαίφνης γὰρ τίσονται τοὺς ἀσεβεῖς· τὰς δὲ τιμωρίας ἀμ- XXIV. 22.
φοτέρων τίς γνώσεται;

Τέκνον πνευματικὸν, μήτε Θεοῦ καταφρόνει τοῦ κυριεύοντος καὶ ψυχῆς σου καὶ σώματος, μήτε βασιλέως Ἰοῦ μόνȣ τοῦ σώματός σου ἐξȣσιάζοντος· καὶ τῶν παραγγελμάτων τούτων τινὸς μὴ παρακούσῃς· αἰφνίδιον γὰρ τιμωρήσονται τοὺς μὴ τιμῶντας αὐτούς· τὰς δὲ κολάσεις ἃς καὶ ἀμφότεροι ἐπάγουσι τοῖς πρὸς αὐτοὺς ἁμαρτάνουσιν, οὐδεὶς διὰ τὸ ἄδηλον τοῦ καιροῦ ὑπονοήσει· ὡς ἂν διορθωσάμενος πρὸ τοῦ τιμωρηθῆναι, καταλλάξῃ τούτους ἑαυτῷ.

Λόγον φυλασσόμενος υἱὸς, ἀπωλείας ἐκτὸς ἔςαι· δεχόμενος δὲ, ἐδέξατο αὐτόν.

Τὴν τοῦ Θεοῦ ἐντολὴν τηρῶν ὁ κατὰ χάριν υἱὸς τούτȣ γενέσθαι ἀξιωθεὶς, Ἰοῦ καθ' ἁμαρτίαν κινδύνȣ ἀπαλλαγήσεται· προσδεχόμενος δὲ αὐτὴν εἰς τὸ βάθος τῆς διανοίας αὐτοῦ.

Μηδὲν ψεῦδος ἀπὸ γλώσσης βασιλεῖ λεγέσθω, καὶ οὐδὲν ψεῦδος ἀπὸ γλώσσης αὐτοῦ οὐ μὴ ἐξέλθῃ.

Μὴ ὑπόσχῃ τῷ δεσπότῃ Ἰοῦ παντὸς Θεῷ διὰ στόματος ψευδῆ, ἀλλὰ τὰς πρὸς αὐτὸν σȣ συνθήκας ἐκπλήρωσον· καὶ πληρώσει πάντως καὶ αὐτὸς ἐπὶ σοὶ τὰς τῶν μελλόντων ἀγαθῶν ἐπαγγελίας, καὶ οὐ ψευσθήσονταί σοι αἱ ἐπὶ ταύταις ἐλπίδες.

Μάχαιρα γλῶσσα βασιλέων, καὶ οὐ σαρκίνη.

Ὁ λόγος τοῦ δεσπότου τῶν ὅλων Θεοῦ, οὐ σωματικός ἐςι διὰ φωνητικῶν ὀργάνων εἰς ἀέρα χεόμενος καὶ λυόμενος, ἀλλὰ ζῶν τε καὶ ἐνεργὴς, καὶ τομώτερος ὑπὲρ πᾶσαν μάχαιραν δίστομον.

Ὃς δ' ἂν παραδοθῇ, συντριβήσεται.

Ὅς τις δὲ ὁ τὰ παράλογα πράττων, ἀντίξους αὐτῷ εὑρεθῇ ἐν ἡμέρᾳ ἀποκαλύψεως καὶ δικαιοκρισίας, Ἰὴν ἐσχάτην ὑποστήσεται τιμωρίαν, ἐφ' οἷς ἥμαρτεν ὑπ' αὐτοῦ ἐλεγχόμενος.

Ἐὰν γὰρ ὀξυνθῇ ὁ θυμὸς αὐτοῦ, σὺν νεύροις ἀνθρώπους (ἀναλίσκει) καὶ ὀστᾶ ἀνθρώπων κατατρώγει.

XXIV. Ἐὰν γὰρ ἐπιταθῇ ἡ ὀργὴ αὐτοῦ, δαπανᾷ ἀνθρώπους, τοὺς φθειρομένους ἐν ταῖς ἐπιθυμίαις τῆς ἀπάτης, σὺν ταῖς περὶ τὰ ὑλικὰ σχέσεσιν αὐτῶν· αἳ δίκην νεύρων συνδεσμοῦσι τούτοις αὐτούς· καὶ τὰς τονωτικὰς δίκην ὀστῶν ψυχικὰς δυνάμεις αὐτῶν κατεσθίει.

Καὶ συγκαίει ὥσπερ φλόξ· ὥστε ἄβρωτα εἶναι νεοσσοῖς αὐτῶν.

Καὶ συμφλέγει αὐτὰς οἷά περ πῦρ καλάμην καὶ χόρτον, εὔπρηστον ὕλην, τὰς παραλόγους τούτων ὁρμὰς ὀργὴ κατακαίουσα· ὥστε μὴ βεβρώσκεσθαι λογισμοῖς, οὓς ταῖς ψυχαῖς τῶν ἀνθρώπων ἐναποτίκτουσι, τὰ δίκην ὑψιπετῶν ἀετῶν, εἰς ὕψος ὑπερηφανίας αἰρόμενα τῆς πονηρίας πνεύματα.

Cap. 30. v. 1. Τοὺς ἐμοὺς λόγους υἱὲ φοβήθητι, καὶ δεξάμενος αὐτοὺς μετανόει.

Τὰς ἐμὰς ἐντολὰς, τεκνίον, μὴ περιφρόνει· τοῖς δ᾽ ὡσεὶ σὺ ταύτας παραδεξάμενον, ἐφ᾽ οἷς ἥμαρτες, μεταγίνωσκε.

Τάδε λέγει ὁ ἀνὴρ τοῖς πιστεύουσι θεῷ, καὶ παύομαι.

Ταῦτα ὁ ἀνθρωπεὶς ἐν τῷ γενέσθαι ἀληθῶς ἄνθρωπος, μονογενὴς τοῦ θεοῦ υἱὸς καὶ λόγος, διδάσκει τοὺς πιστεύοντας αὐτῷ, ὡς θεῷ· καὶ καταπαύσω αὐτὸς τοῦ φρονεῖν πάντως τὰ τῆς σαρκός.

2. Ἀφρονέστατος γάρ εἰμι πάντων ἀνθρώπων, καὶ φρόνησις ἀνθρώπων οὐκ ἔστιν ἐν ἐμοί.

Πάντων γὰρ τῶν τὰ σαρκικὰ φρονούντων ἀνθρώπων, ἀφρονέστατος ἐντεῦθεν εἰμὶ, ἐπειδὴ ὡς φρονοῦντι τὰ τοῦ πνεύματος, οὐχ ὑπάρχει ἐν ἐμοὶ σαρκικὸν καὶ ἀνθρώπινον φρόνημα.

3. Θεὸς δὲ ἐδίδαξέ με σοφίαν, καὶ γνῶσιν ἁγίων ἔγνωκα.

Θεὸς δέ μοι τῆς θείας αὐτοῦ διδασκαλίας μετέδωκε· καὶ κατέλαβον θεῖα μυστήρια, οἷά περ ἐγνώκασιν οἱ καθαροὶ τὴν διάνοιαν· οἷον

4. Τίς ἀνέβη εἰς τὸν οὐρανὸν, καὶ κατέβη;

Τίς ἀπὸ γῆς ὑψώθη πρὸς οὐρανόν; ὃς καὶ πρῶτον συγκατέβη τῷ ἡμετέρῳ φυράματι, ὥστε ἀνελκύσαι τοῦτο πρὸς τὸ ὑπερουράνιον αὐτοῦ ὕψος.

Τίς συνήγαγεν ἀνέμους ἐν κόλπῳ; XXIV.

Καὶ πάσας τὰς ἐνεργείας τοῦ πνεύματος ἐν τῷ κατὰ ψυχὴν ταμιείῳ.

Τίς συνέστρεψεν ὕδωρ ἐν ἱματίῳ;

Καὶ τοὺς ἐν τῷ παντὶ λόγους συμπεριήνεγκεν ἐν ᾗ ἐφόρεσε σαρκί· τῷ κατ᾽ αὐτὴν τῆς οἰκονομίας μυστηρίῳ πάντας περιλαβών.

Τίς ἐκράτησε τῶν ἄκρων τῆς γῆς;

Καὶ οἷα δεσπότης πάσης τῆς κτίσεως, ἕως τῶν περάτων τῆς γῆς ἐξαπλώσας τὸ ἑαυτοῦ κήρυγμα, τὰ μέχρι τούτων οἰκοῦντα ἔθνη, ὑπὸ τὴν ἑαυτοῦ δεσποτείαν ἐποίησεν, ἑκουσίως ἐντεῦθεν δεξάμενα τὸ ὑπ᾽ αὐτοῦ βασιλεύεσθαι.

Τί ὄνομα αὐτῷ, ἢ τί ὄνομα τοῖς τέκνοις αὐτοῦ; πάντες γὰρ 5.
λόγοι Θεοῦ πεπυρωμένοι.

Τίς τέ ἐστι κεφαλαιώδης προσηγορία, τῆς ποιότητος αὐτοῦ παραστατική; καὶ τίς πάλιν τῶν αὐτοῦ μαθητῶν; Χριστὸς πάντως, καὶ χριστιανοί· ὁ μὲν, ὡς τῇ θεότητι χρίσας τὴν ἀνθρωπότητα, διὰ τὴν ἐν αὐτῷ καθ᾽ ὑπόστασιν τῶν τοιούτων φύσεων ἕνωσιν· οἱ δὲ, ὡς τούτου μέτοχοι, καὶ δι᾽ αὐτοῦ λαβόντες τὴν χάριν τοῦ πνεύματος, καὶ υἱοθετηθέντες τῷ Θεῷ καὶ πατρί· λόγοι γὰρ τὰ εἰρημένα πάντα Θεοῦ, πεπυρακτωμένοι ἐν τῷ πᾶσαν ἄγνοιαν καὶ κακίαν κατακαίοντι τῆς θεογνωσίας πυρί· καὶ τοῖς κατεχομένοις ταύταις ἀπρόσψαυστοι.

Ὑπερασπίζει δὲ αὐτὸς τῶν εὐλαβουμένων αὐτόν.

Οὗτος δὲ τοῖς φοβουμένοις αὐτὸν βοηθεῖ, κατὰ τῶν πολεμούντων τούτοις.

Μὴ προσθῇς τοῖς λόγοις αὐτοῦ, ἵνα μὴ ἐλέγξῃ σε καὶ ψευ- 6.
δὴς γένῃ.

Μὴ πλέον ἐθέλῃς νοεῖν τῶν παρ᾽ αὐτοῦ διδαχθέντων σοι, ἵνα μὴ ἐπειδὴ αὐτός ἐστιν ἡ ἀλήθεια, ψευδόμενον ἀπελέγξῃ σε, ὡς αὐτῆς ἐντεῦθεν τῆς ἀληθείας ἐκπίπτοντα· προσευχόμενος δὲ αὐτῷ, λέγει τάδε.

Δύο αἰτοῦμαι παρὰ σοῦ, μὴ ἀφέλῃς με χάριν πρὸ τοῦ ἀπο- 7.
θανεῖν με.

XXIV. Δύο ταῦτα, ὦ λόγε Θεοῦ, δέομαι λαβεῖν ἀπὸ σοῦ· τὴν τοῦ παναγίου πνεύματος δωρεὰν, τὸ νοερὸν φῶς, ὃ τὰς θεωρητικὰς τῆς ψυχῆς μου δυνάμεις, νοῦν καὶ διάνοιαν φωτίζει, μὴ ἀφέλῃς ἀπ' ἐμοῦ δι' ὅλης μου τῆς ζωῆς.

8. Μάταιον λόγον καὶ ψευδῆ μακρὰν μου ποίησον.

Ἀλλ' ὡς ἐν φωτὶ διελέγχων τὸν ἐξ ὑποθήκης τοῦ πονηροῦ ἀνωφελῆ καὶ μὴ ἀληθεύοντα λογισμὸν, πόῤῥω τῆς ψυχῆς μου ἀπέλασον.

Πλοῦτον δὲ καὶ πενίαν μή μοι δῷς.

Μὴ συγχωρήσῃς δέ μου τῷ αὐτεξουσίῳ τῆς προαιρέσεως, εἴθ' ὑπερβῆναι κατὰ πρᾶξιν ἀνωφελῶς τὴν ἀρετὴν, εἴθ' ἐλλεῖψαι ταύτης ἀπατηλῶς.

Σύνταξον δέ μοι τὰ δέοντα καὶ αὔταρκη.

Ὁμοῦ δ' ἐπ' ἐμοὶ τάξον τά θ' ἁρμόζοντα τῷ νοερῷ τῆς ψυχῆς μου ἀληθῆ θεωρήματα, καὶ πρὸς σωτηρίαν αὐτῆς, αὐτάρκη τῇ δυνάμει τοῦ σώματός μου περὶ τὴν τῶν ἀρετῶν ἐργασίαν φιλοπονήματα.

9. Ἵνα μὴ πλησθεὶς, ψευδὴς γένωμαι, καὶ εἴπω, τίς με ὁρᾷ; ἢ πένης γενηθεὶς, κλέψω, καὶ ὀμόσω τὸ ὄνομα τοῦ Θεοῦ.

Ὅπως μήτε ὑπερβὰς τὸν ὅρον καὶ τὸ μέτρον τοῦ χρήματος τῆς ἀρετῆς, διαμάρτω τοῦ κατὰ Θεὸν ἀληθοῦς σκοποῦ· δι' ἔπαινον ἀνθρώπων καὶ οὐ διὰ Θεὸν, ἀμέτρως κάμνων περὶ τὴν ἐργασίαν τῆς ἀρετῆς· κἀντεῦθεν ἐπικρύπτων τὴν πονηρὰν τῆς ψυχῆς μου διάθεσιν, δόξω λανθάνειν· μήτ' ἐλλείψας τοῦ ὅρου καὶ τοῦ μέτρου τοῦ τοιοῦδε χρήματος, κατὰ προαίρεσιν τὴν ὀφειλομένην Θεῷ συλήσω λατρείαν, σαρκὶ καὶ κόσμῳ δουλεύων, καὶ στέρξω τῇ θεραπείᾳ τῆς γαστρὸς καὶ τῶν ὑπογαστρίων, ἡγησάμενος τὴν κοιλίαν Θεόν.

10. Μὴ παραδῷς οἰκέτην εἰς χεῖρας δεσπότου· μήποτε καταράσηταί σε, καὶ ἀφανισθῇς.

Μὴ τῷ τυράννῳ τῶν ἡμετέρων ψυχῶν διαβόλῳ, τὸν δουλεύσαντα τοῦτον τῇ ἁμαρτίᾳ, καὶ φεύγειν ταύτην ἐκ μεταμελείας

ἐπιχειροῦντα, καταπροδῶς, ἐμβαλὼν αὐτὸν εἰς ἀπόγνωσιν, κἀν- XXIV.
τεῦθεν παρασκευάσας τοῦτον τιμωρηθῆναι παρὰ τοῦ δεσπότου τῶν ὅλων Θεοῦ· ἵνα μὴ παρ' αὐτοῦ ἀκούσῃς, ἀπ' ἐμοῦ οἱ κατηραμένοι· καὶ εἰς τὸ σκότος ἀποῤῥιφῇς τὸ ἐξώτερον· ὡς τὸν πεινῶντα τὴν σωτηρίαν αὐτοῦ, καὶ διψῶντα λόγῳ σωτηρίαν ἀκοῦσαι, ἀνηλεῶς καταλιμπάνων ἀπόλλυσθαι.

Ἔκγονον κακὸν, πατέρα καταρᾶται· τὴν δὲ μητέρα οὐκ εὐ- 11.
λογεῖ.

Μισητὸς γὰρ υἱὸς, οὐκ ἐπιστρέφει διὰ μετανοίας πρὸς Θεὸν, τὸν υἱοθετησάμενον τοῦτον ἐν τῷ πλάσαι κατ' εἰκόνα αὐτοῦ καὶ ὁμοίωσιν· ἀλλ' ὡς σκληρὸν τὸν ἑαυτοῦ διαβάλλει πατέρα· τὴν δὲ τροφὸν ἑαυτοῦ κατὰ ψυχὴν, θείαν τούτῳ διδασκαλίαν οὐκ ἐπαινεῖ, ὡς δῆθεν δυσφύλακτον.

Ἔκγονον κακὸν, δίκαιον ἑαυτὸν κρίνει· τὴν δὲ ἔξοδον αὐ- 12.
τοῦ οὐκ ἀπένιψεν.

Ὁ τοιοῦτος υἱὸς ἐνάρετον ἑαυτὸν οἴεται· τὴν δὲ πρὸς τὸ τέλος διέξοδον τῆς ζωῆς αὐτοῦ, οὔπω τῶν καθ' ἁμαρτίαν κηλίδων ἐκάθηρεν.

Ἔκγονον κακὸν, ὑψηλοὺς ὀφθαλμοὺς ἔχει· τοῖς δὲ βλεφάροις 13.
αὐτοῦ ἐπαίρεται.

Ὁ τοιοῦτος υἱὸς, μὴ ἐπιγινώσκων τὴν οἰκείαν ἀσθένειαν, θεωρίαν ἀχαλίνωτον κέκτηται· καὶ τὰ βραχύτατα ἐλαττώματα τῶν ὁμοφυῶν, ταῖς ὡς ἐν βλεφάροις ἐξετάσεσιν αὐτοῦ ἀνακρίνων, καὶ κατακρίνων, κατεπαίρεται τούτων ὡς ἐλαχίστων.

Ἔκγονον κακὸν, μαχαίρας τοὺς ὀδόντας ἔχει· καὶ τὰς μύ- 14.
λας, τομίδας· ὥστε ἀναλίσκειν καὶ κατεσθίειν τοὺς ταπεινοὺς ἀπὸ τῆς γῆς, καὶ τοὺς πένητας αὐτῶν ἐξ ἀνθρώπων.

Ὁ τοιοῦτος υἱὸς λόγους προσφέρει, δίκην μαχαιρῶν ταῖς διαβολαῖς τιτρώσκοντας ἀνθρώπους· καὶ διανοήματα περιφέρει, δίκην τῶν ἀληθόντων ἀφανῶς ὀδόντων, τμητικὰ τῆς τῶν ὁμοφυῶν ἀλληλουχίας· ὡς διαφθείρειν καὶ βιβρώσκειν τοὺς εὐτελεῖς τῶν ἀνθρώπων· κἀντεῦθεν τούτους τέλεον τῆς γῆς ἐξαφανίζειν.

XXIV.
Cap. 24. Ταῦτα δὲ λέγω ὑμῖν τοῖς σοφοῖς ἐπιγινώσκειν.
23. Ταῦτα δέ φημι ὑμῖν τοῖς διδασκάλοις· ὥςε διαγινώσκειν οὓς
ἀποστρέφεται Θεός, καὶ τούτους πρὸς αὐτὸν ἐπιστρέφειν φόβῳ
τῶν αὐτοῦ ἀπειλῶν· τοὺς δὲ φοβουμένους παραμυθεῖσθαι, ὥστε
μὴ περιπεσεῖν εἰς ἀπόγνωσιν.

Αἰδεῖσθαι πρόσωπα ἐν κρίσει, οὐ καλόν.

Ὥσπερ κακόν ἐστι τὸ εἴτε δυνάστου εἴτε πτωχοῦ ἐν ταῖς
κρίσεσι φείδεσθαι, καὶ παραθεωρεῖν ἐντεῦθεν τὸ δίκαιον, οὕ-
τω καὶ τὸ ὑπακούειν εἴτε τῷ ὑποτιθεμένῳ δαίμονι τὰ καθ᾽ ὑπερ-
βολὴν τῆς ἀρετῆς πάθη, εἴτε τὰ κατ᾽ ἔλλειψιν αὐτῆς· καὶ τῆς
κατ᾽ ἀρετὴν δικαιοσύνης ἐκτρέπεσθαι.

24. Ὁ εἰπὼν τὸν ἀσεβῆ, δίκαιός ἐςιν, ἐπικαταράτος λαοῖς ἔσ-
ται· καὶ μισητὸς εἰς ἔθνη.

Ὁ ἐπαινέσας τὸν μὴ τιμῶντα τὸ ἀγαθὸν, καὶ διὰ τοῦτο
βλαπτικὸν τῶν ὁμοφυῶν, οὔτε ὑπὸ τοῦ πλήθους τῶν πιςῶν οὔτε
ὑπὸ τῶν ἀπίστων ἀγαπηθήσεται, ὡς συνεργὸς τῆς βλάβης αὐ-
τῶν, κᾂν οἱ ἐκλεκτοὶ τῶν πιςῶν, ἀγαπῶσι τοῦτον διὰ τὴν τοῦ
Θεοῦ ἐντολήν.

25. Οἱ δὲ ἐλεγχοντες, βελτίους φανοῦνται· ἐπ᾽ αὐτοὺς δὲ ἥξει
26. εὐλογία· χεῖλη δὲ φιλήσουσιν ἀποκρινόμενα λόγους ἀγαθούς.

Οἱ δὲ λόγοις ἐλεγκτικοῖς ἀνακόπτειν αὐτὸν τῆς κατὰ τῶν
ὁμοφυῶν βλάβης ἐπιχειροῦντες, κρείττονες δόξουσι, κᾀντεῦθεν
ἔπαινος καταλήψεται· ἀσπάσονται δὲ οἱ αὐτοὶ τοὺς πρὸς διόρ-
θωσιν αὐτῶν ἔλεγχον ὑπομένοντας, καὶ προσηνῶς ἀπολογουμέ-
νους αὐτοῖς, ὡς πρὸς ἐπιστροφὴν ἑτοίμους.

27. Ἑτοίμαζε εἰς τὴν ἔξοδον τὰ ἔργα σου.

Εὐτρέπιζέ σου τὰς πράξεις κατ᾽ ἀρετὴν, ἕως ἔτι τὴν παρ-
οῦσαν διεξέρχῃ ζωήν· ἐργασίας γὰρ ὁ παρὼν καιρός· ὁ δὲ μέλ-
λων, ἀνταποδόσεως.

Καὶ παρασκευάζου εἰς τὸν ἀγρόν.

Καὶ ἐν τῷ μερίμνας σοι βιωτικὰς ἀνατέλλοντι, δίκην ὑλο-
μανοῦντος ἀγροῦ, φαινομένῳ κόσμῳ, ἑτοιμάζε τῷ ἀρότρῳ τοῦ

λόγου, προῤῥίζους αὐτὰς ἀνασπᾷν, πρὸς καρπογονίαν πνευμα- XXIV.
τικὴν, ἐν τῷ διανέμειν σου τὰ ὑπάρχοντα πένησιν.

Καὶ πορεύου κατόπισθέν μου.

Καὶ οὕτω ἄρας σου τὸν σταυρὸν, τὴν τοῦ σαρκικοῦ πάν-
τως φρονήματος νέκρωσιν, ἀκολούθει μοι τῷ πτωχεύσαντι διὰ
σὲ, καὶ σταυρὸν ὑπομείναντι.

Καὶ ἀνοικοδομήσεις τὸν οἶκον σου.

Καὶ ἀνεγείρῃς τῇ πνευματικῇ πολιτείᾳ, τὸ καταπεσόν σου
τῆς σαρκὸς οἰκητήριον ταῖς προσβολαῖς τῶν τῆς πονηρίας πνευ-
μάτων.

Μὴ ἴσθι ψευδὴς μάρτυς ἐπὶ σὸν πολίτην· μηδὲ πλατύνε σοῖς 28.
χείλεσιν.

Μὴ ψευδῶς καταμαρτύρει τοῦ πολιτευομένε ὡς αὐτὸς προαι-
ρῇ σαρκὶε σου· ἀδύνατον εἶναι φάσκων τὰς θείας ἐντολὰς κατ-
ορθεῦσθαι, διὰ τὴν σωματικὴν ἀσθένειαν· κἀντεῦθεν τοῖς κατ᾽
ἔλλειψιν τῆς ἀρετῆς πάθεσιν ἐνδιάτριβε· μηδ᾽ ἐμφιλοχώρει ταῖς
κατ᾽ αὐτοῦ διαβολαῖς ἔχοντος καὶ αὐτοῦ ποιητὴν τὸν θεόν.

Μὴ εἴπῃς, ὃν τρόπον ἐχρήσατό μοι, χρήσομαι αὐτῷ· τίσο- 29.
μαι δὲ αὐτὸν ἅ με ἠδίκησεν.

Μὴ ἐρεῖς ὅτι καθάπερ μοι τοῦτο βλάβης αἴτιον γέγονε, βλά-
ψω κἀγὼ αὐτό· τιμωρήσομαι δὲ τοῦτο ὑπὲρ οὗ μοι ἀντέςη, καὶ
κακῶς τὴν δεσποτείαν ἀφείλετο· καὶ οὕτως εἰς τὰ καθ᾽ ὑπερ-
βολὴν τῆς ἀρετῆς ἐκτραπῇς πάθη· ἀλλ᾽ εἰς ἀλόγους ἐπιθυμίας
μὴ δουλεύσῃς αὐτῷ· προνοίας δὲ τῆς προσηκούσης ἀξίου, ἵνα
συνεργὸν ἔχῃς αὐτὸ πρὸς τὰ κάλλιστα.

Ὥσπερ γεώργιον ἀνὴρ ἄφρων· 30.

Καθάπερ τὶς ἐπιτήδειος εἰς γεωργίαν ἀγρὸς, πολλῆς χρή-
ζων ἐπιμελείας ἵν᾽ εὔκαρπος καὶ πολύκαρπος γένηται, ὑπάρχει
ὁ τοῖς προσκαίροις μόνοις πιστεύων, καὶ τοῖς περὶ ταῦτα πό-
νοις ἀνενδότως ἐγκαρτερῶν, καὶ τῷ ἐπαγγελλομένῳ τὰ αἰώνια
ἀγαθὰ θεῷ ἀπιστῶν ἔξω ἄνθρωπος.

Καὶ ὥσπερ ἀμπελὼν, ἄνθρωπος ἐνδεὴς φρενῶν.

XXIV. Καὶ οἷά τις ἀμπελὼν φραγμοῦ δεόμενος εἰς τὸ μὴ τρυγᾶσθαι παρὰ πάντων τῶν τὴν ὁδὸν παραπορευομένων, ἐστὶν ὁ ἄνω μὲν πρὸς Θεὸν ὁρῶν καὶ πιστεύων αὐτῷ· τὰς δ᾽ οἰκοδομουμένας διὰ τῶν ἁγίων αὐτοῦ ἐντολῶν θεωρητικάς τε καὶ πρακτικὰς ἕξεις, ἀνεπιβουλεύτους διὰ ῥᾳθυμίαν μὴ τηρῶν, ἔσω ἄνθρωπος· εἴτε γὰρ τὸν ἔξω ἄνθρωπον πρὸς τὴν τῶν θείων ἐντολῶν πρᾶξιν, εἴτε τὸν ἔσω πρὸς τὴν τούτων θεωρίαν καταλίπῃς ἀνεπιμέλητον, ἀνεπίδεκτός τοῦ ἐν διδασκαλίαις πνευματικοῦ σπόρου γενήσεται.

31\. Καὶ ἐὰν ἀφῇς αὐτόν, χερσωθήσεται· καὶ χορτομανήσει ὅλος.

Καὶ δίκην χόρτου, σαρκικὰς ἡδονὰς μόνον βλαστήσει, πρὸς τὸ χορτάσαι τὴν ἄλογον ἐπιθυμίαν αὐτοῦ.

Καὶ γίνεται ἐκλελειμμένος.

Κἀντεῦθεν οὗτος μὲν καταλιμπάνεται κατὰ προαίρεσιν ἀνεπιμέλητος.

Οἱ δὲ φραγμοὶ τῶν λίθων αὐτοῦ κατασκάπτονται.

Αἱ δ᾽ ἐπὶ τῷ θεῷ θεμελίῳ τῆς εἰς Χριστὸν πίστεως οἰκοδομούμεναι, ὡς ἔν τισι λίθοις ταῖς θείαις ἐντολαῖς φυλακτικαὶ τούτου κατά τε θεωρίαν καὶ πρᾶξιν ἕξεις, καθαιροῦνται· εἰς ἀτόπους ἐνθυμήσεις καὶ πράξεις ἐμπίπτοντος.

32\. Ὕστερον ἐγὼ μετενόησα.

Οὕτω δ᾽ ὁ ἄνθρωπος ἐγὼ διακείμενος, πολλάκις ἐπὶ τέλει μετέγνων.

Ἀπέβλεψα τοῦ ἐκλέξασθαι παιδείαν.

Καὶ ἀπεσκόπησα ὥστε προκρῖναι πάντων τῶν ὁρωμένων, τὴν καὶ ψυχὴν καὶ σάρκα πρὸς τὸ ἀγαθὸν ῥυθμίζουσαν ἔμπρακτον θεωρίαν τῶν τοῦ Θεοῦ ἐντολῶν.

33\. Ὀλίγον νυστάζω· ὀλίγον δὲ καθυπνῶ· ὀλίγον δὲ ἐναγκαλίζομαι χερσὶ στήθη.

Τῆς δὲ σαρκὸς ἀτονούσης διὰ τὴν τοῦ γήρους ἀσθένειαν, μικρὸν μὲν νυσταγμῷ ἀκηδίας συνέχομαι· μικρὸν δὲ ὕπνῳ ῥᾳθυμίας δουλεύω· καὶ βραχὺ τὰς πρακτικάς μου δυνάμεις ἐνασχολῶ τοῖς ἀπὸ γῆς εἰς καρδίαν ἀναβαίνουσι διαλογισμοῖς.

Ἐὰν δὲ ταῦτο ποιῇς, ἥξει προπορευομένη ἡ πενία σου· καὶ XXIV.
ἡ ἔνδειά σου, ὥσπερ ἀγαθὸς δρομεύς. 34.

Εἴπερ δὲ ταῦτα ποιεῖς ἄνθρωπε, ἵνα ἐλέγξω αὐτὸς ἑαυτὸν, ἐλεύσεται ἐπὶ σὲ παντελὴς ἀπορία τοῦ πλούτου τῆς ἀρετῆς· προοδοποιοῦσά σοι τὴν ἀπώλειαν· καὶ ἀτέλεια τῆς τῶν θείων ἐντολῶν γνώσεως, διὰ τὴν ἀπραξίαν αὐτῶν, καθάπερ τὶς δρομεὺς ταχύτατος.

Τῇ βδέλῃ τρεῖς θυγατέρες ἦσαν, ἀγαπήσει ἀγαπώμεναι· καὶ 35.
αἱ τρεῖς αὗται οὐκ ἐνεμπίπλασαν αὐτήν· καὶ ἡ τετάρτη οὐκ ἠρ-
κέσθη εἰπεῖν ἱκανόν.

Ἡ μετὰ τὴν πρώτην παράβασιν, ἄλλου τινὸς παρὰ τὴν αἰτίαν ἀλόγιστος ἔφεσις, ἀπέτεκεν, οἷά τινα τρία θυγάτρια ποθεινότατα· τὴν μὲν ἄγνοιαν, τῷ λογιστικῷ τῆς ψυχῆς· τὴν δὲ φιλαυτίαν, τῷ ἐπιθυμητικῷ· καὶ τὴν κατὰ τῶν ὁμοφυῶν τυραννίδα, τῷ θυμικῷ· τὰ ἀλλήλων ἐξηρτημένα τρία μέγιστα, καὶ ἀρχέκακα, καὶ πάσης ἁπλῶς εἰπεῖν κακίας παραίτια· ἐπεὶ δ' ἀποτυχίαι εἰσὶ θεοῦ· ἡ μὲν ἄγνοια, ὡς ἀλαθήτου γνωστοῦ· ἡ δὲ φιλαυτία, ὡς ἐσχάτη ὀρεκτοῦ· ἡ δέ γε τυραννὶς φθορὰ οὖσα διάλληλος, ἀποτυχία πάλιν ἐστὶ τῆς σωματικῆς συστάσεως, ἧς καὶ δοκεῖ ὑπεραγωνίζεσθαι, εἰκότως τὴν ταύτας τεκοῦσαν παράλογον ἔφεσιν κορέσαι οὐκ ἴσχυσαν, ἀκόρεστον δίκην βδέλης ὑπάρχουσαν· διὸ καὶ αὐτὴ, ἡ μετὰ τῶν ἐξ αὐτῆς πληροῦσα τὸν τέσσαρα ἀριθμὸν, οὐκ ἐχορτάσθη, ὥστε ἀποσχέσθαι τῆς παρὰ φύσιν κινήσεως· ἕως ἂν αὐτὴν καθυποτάξας ὁ λόγος, πρὸς τὰ ὑπὲρ φύσιν ἀγαθὰ φέρεσθαι πείσειεν· ὅπου ποτὲ χορτασθήσεται, ἐν τῷ ὀφθῆναι τῷ ἀνθρώπῳ τὴν δόξαν τοῦ θεοῦ.

Ἅδης, καὶ ἔρως γυναικὸς, καὶ τάρταρος, καὶ γῆ οὐκ ἐμ- 16.
πιπλαμένη ὕδατος· καὶ ὕδωρ καὶ πῦρ, οὐ μὴ εἴπωσιν ἀρκεῖ.

Οὔτε γὰρ ἡ τὴν ἐν σώμασι κατάστασιν τῶν ψυχῶν, μετὰ τὸν τούτων χωρισμὸν διαδεχομένη κατάστασις, ἡ τις ᾅδης καλεῖται ὡς ἀφανὴς, διὰ τὸ ἐν αὐτῇ μήτ' ἐνεργεῖν μήτε πάσχειν αὐτὰς μετὰ σωμάτων τὰ ἴδια εἴτε λυπηρά· οὔτε ἡ κατ' αἰσθη-

XXIV. σιν ἄλογος ὄρεξις, ἢ τις τὰς μὲν ψυχὰς παραπέμπει τῷ ᾅδῃ, τὰ δὲ σώματα εἰς τὰ τέσσαρα ἀναλύει στοιχεῖα, ὡς δι' αὐτὴν τοῦ ἀνθρώπου κατακριθέντος θανάτῳ· οὔτε μὴν ἐξ αὐτῶν τῶν τεσσάρων στοιχείων, ἢ ἀὴρ κινούμενος καὶ ταράσσων τὰ ὕδατα, ἢ γῆ ξηρὰ μὴ δευομένη τοῖς ὕδασι, καὶ τὴν οἰκείαν ἀποβαλλομένη ξηρότητα, ἢ τὸ ὕδωρ αὐτὸ, ἢ τὸ πῦρ, τῆς διαλλήλου φθορᾶς ἐμπλησθήσονται, ἕως τῆς πάντων κατὰ τὴν ἀνάστασιν ἀφθαρσίας καὶ διαμονῆς, καὶ τῆς τοῦ φέρεσθαι στάσεως.

17. Ὀφθαλμὸν καταγελῶντα πατρὸς, καὶ ἀτιμάζοντα γῆρας μητρὸς, ἐκκόψαισαν αὐτὸν κόρακες ἐκ τῶν φαράγγων, καὶ καταφάγοισαν αὐτὸν νεοσσοὶ ἀετῶν.

Νοερὸν ὄμμα ψυχῆς, καταφρονοῦν τοῦ πάντων αἰτίου θεοῦ, καὶ τὴν συναΐδιον αὐτῷ ἀρχαιότητα τῆς πανταιτίας σοφίας τούτου παραβλεπόμενον, ἐν τῷ ἐναπομένειν ταῖς ὑπὸ φύσιν καὶ χρόνον ἐπιφανείαις τῶν ὄντων, καὶ μὴ πρὸς τοὺς λόγους αὐτῶν διαβαίνειν, οὓς ὁ θεὸς ἔχων πρὸ τῶν αἰώνων, βουλήσει ἀγαθῇ προυφεστῶτας, κατ' αὐτοὺς τήν τε ὁρατὴν καὶ τὴν ἀόρατον ἐκ τοῦ μὴ ὄντος ὑπεστήσατο κτίσιν, λόγῳ καὶ σοφίᾳ τὰ πάντα κατὰ τὸν δέοντα χρόνον ποιήσας τε καὶ ποιῶν, τὸ τοιοῦτον ὄμμα ἐκτυφλώσουσι μὲν τῶν ἀκαθάρτων λογισμῶν οἱ κατ' ἔλλειψιν τῆς ἀρετῆς ἀναβαίνοντες ἀπὸ τῆς τῷ πολλῷ ῥεύματι τῶν παθῶν ἐκχαραδρωθείσης σαρκὸς, καὶ διατμηθείσης τὴν πρὸς τὴν ψυχὴν κατὰ τὸν τοῦ συνδήσαντος θεοῦ νόμον, πνευματικὴν συνέχειαν καὶ συνάφειαν, ὡς σκοτίζοντες αὐτὸ τῇ σχέσει τῶν ὑλικῶν· καταναλώσουσι δὲ οἱ καθ' ὑπερβολὴν τῆς ἀρετῆς, ἐκ τῶν δίκην ὑψιπετῶν ἀετῶν εἰς ὕψος ὑπερηφανίας αἰρομένων τῆς πονηρίας πνευμάτων, ἐναποτικτόμενοι τῇ ψυχῇ λογισμοί· ὡς τὸ ταύτης τῇ ματαίᾳ οἰήσει ἐπινεμόμενοι θεωρητικόν.

18. Τρία δέ ἐστιν ἀδύνατόν μοι νοῆσαι, καὶ τὸ τέταρτον οὐκ

19. ἐπιγινώσκω· ἴχνη ἀετοῦ πετομένου, καὶ ὁδοὺς ὄφεως ἐπὶ πέτρας, καὶ τρίβους νηὸς ποντοποροῦσης, καὶ ὁδοὺς ἀνδρὸς ἐν νεότητι.

Ὥσπερ ἀδύνατόν μοι τὰ τρία ταῦτα καταλαβεῖν· ἱπταμένου

τε ἀετοῦ ἴχνη, καὶ ἕρποντος ἐπὶ πέτρας ὄφεως ἰδοὺς, καὶ πον- XXIV.
τοπορούσης νηὸς τρίβυς, ἐπειδὴ ταῦτα πάντα ἀνύπαρακτα· οὕτω
μοι καὶ τὸ τέταρτον ἄγνωςον, αἱ τοῦ μὴ τετελειωμένυ τὴν πνευ-
ματικὴν ἡλικίαν νοὸς ἄστατοι ἔννοιαι.

Τοιαύτη ὁδὸς γυναικὸς μοιχαλίδος, ἣ ὅταν πράξῃ, ἀπονι- 20.
ψαμένη, οὐδὲν φησι πεπραχέναι ἄτοπον.

Αἷς ὁμοία ἡ τῆς πόῤῥω τοῦ λόγυ νευούσης σαρκὸς καὶ περὶ
τὰ αἰσθητὰ πλανωμένης ἐνέργεια· ἢ τις σὰρξ μετὰ τὴν ἁμαρ-
τίαν, τὸν κατὰ ταύτην ῥύπον δάκρυσι μετανοίας ἐκπλύνασα,
ἀποδεικνύει ἑαυτὴν ἀναμάρτητον· στάσιν λαμβάνοντος τοῦ νοὸς,
τῇ περὶ τὸ ὄντως ἀγαθὸν ἀληθεῖ θεωρίᾳ.

Διὰ τριῶν σείεται ἡ γῆ· τὸ δὲ τέταρτον οὐ δύναται φέρειν. 21.

Διὰ τούτων τῶν τριῶν ὡς διά τινος σεισμοῦ διεςῶντος τὰ
συνεχῆ, διασπωμένη τῇ λογικῇ διακρίσει, ἡ πυκνωθεῖσα ἕξιν τῇ
ἐκ τῶν καθ᾽ ἡδονὴν καὶ ὀδύνην ἐναντίων τῆς κακίας μερῶν συγ-
κειμένη μοχθηρίᾳ· τὸ δὲ τέταρτον φέρειν ὅλως ἀδυνατοῦσα, τέ-
λεον τῆς κακίας ἐξίσταται· οἷον

Ἐὰν οἰκέτης βασιλεύσῃ. 22.

Ἐὰν ὁ δουλεύων σαρκὶ εἰς παραλόγυς ἐπιθυμίας, ἐπιστα-
τήσῃ ἐννόμως αὐτῇ κατὰ πρᾶξιν, καὶ καθάρῃ αὐτὴν θείῳ φό-
βῳ ἀπὸ παντὸς λογισμοῦ τῆς κατ᾽ ἐνέργειαν ἁμαρτίας.

Καὶ ἄφρων πλησθῇ σιτίων.

Καὶ ἐὰν ὁ μὴ ἐγνωκὼς θεὸν, ἐμφορηθῇ τῶν ἐν πνεύματι θεω-
ρημάτων αὐτοῦ, διαβὰς τὰς κατ᾽ αἴσθησιν ἐπιφανείας τῶν ὁρα-
τῶν· καὶ τοῖς λόγοις τούτων φωτισθεὶς ὡς τισιν ἀκτῖσι τοῦ τῆς
δικαιοσύνης ἡλίου, καὶ αὐτὸν τὸν τοῦ παντὸς αἴτιον θεὸν, ἐκ
τῶν τούτου ποιημάτων καταλαβών.

Καὶ οἰκέτις, ἐὰν ἐκβάλῃ τὴν ἑαυτῆς κυρίαν. 23.

Καὶ ἐὰν ἡ κατὰ διάνοιαν δυλεύουσα τῇ ἁμαρτίᾳ ψυχὴ ἀπε-
λάσῃ ταύτην αὐτῆς.

Καὶ μισητὴ γυνὴ, ἐὰν τύχῃ ἀνδρὸς ἀγαθοῦ.

Πρὸς δὲ, καὶ ἐὰν τελειωθεῖσα, ἐπιτυχὴς γένηται τοῦ ἀγα-

XXIV. θοῦ νυμφίου αὐτῆς Θεοῦ λόγου· κολληθεῖσα αὐτῷ, καὶ πνεῦμα ἓν γενομένη, ἀποστρεφομένῳ αὐτὴν πρότερον, διὰ τὸ ἐγκεῖσθαι ταύτην ἐπιμελῶς εἰς τὰ πονηρὰ, οὐδὲ λογισμὸν ἐμπαθῆ ὅλως ἔτι ἐπιδέξασθαι δύναται, διὰ τὸ γενέσθαι ὅλην τοῦ πνεύματος, καὶ τετάσθαι τὸ ἐπιθυμητικὸν αὐτῆς ὅλον πρὸς κύριον.

24. Τέσσαρα δέ ἐστιν ἐλάχιστα ἐπὶ τῆς γῆς· ταῦτα δέ ἐστι σοφώτερα τῶν σοφῶν.

Τὰ τέσσαρα ἐπὶ τῆς γῆς εὐτελῆ ταῦτα, σοφώτερα τῶν ἐκ θεοῦ μὲν σοφίας δύναμιν λαβόντων ἀνθρώπων ὡς λογικῶν, ζώντων δὲ ὡς ἔτυχεν, ἀποδείκνυνται.

25. Οἱ μύρμηκες, οἷς μή ἐστιν ἰσχὺς, καὶ ἑτοιμάζονται θέρους τὴν τροφήν.

Οἵ τε μύρμηκες, πάνυ τυγχάνοντες ἀσθενεῖς, ἐν θέρει δὲ τὴν τοῦ χειμῶνος τροφὴν εὐτρεπίζοντες· ὅπως μὴ τοῦ καιροῦ τῆς τῶν καρπῶν συλλογῆς παρελθόντος, λιμώξωσιν.

26. Οἱ χοιρογρύλλιοι, ἔθνος οὐκ ἰσχυρὸν, οἳ ἐποιήσαντο ἐν πέτραις τοὺς ἑαυτῶν οἴκους.

Καὶ οἱ ἀκανθόχοιροι, γένος ὄντες ἀδύνατον, καὶ τὰς οἰκήσεις ἐν πέτραις ποιούμενοι, ἵνα φυλάττοιντο ὑπὸ τούτων σκεπόμενοι.

27. Ἀβασίλευτόν ἐστιν ἀκρὶς, καὶ στρατεύει ἀφ᾽ ἑνὸς κελεύσματος εὐτάκτως.

Καὶ ἡ ἀκρὶς, τὸν ἐννόμως ἐπιστατοῦντα μὴ ἔχουσα, ἅτε ζῶον τυγχάνουσα ἄλογον, καὶ ὡς ἀφ᾽ ἑνὸς, τοῦ δεσποτικοῦ εὐτάκτως κινουμένη προστάγματος.

28. Καὶ καλαβώτης χερσὶν ἐρειδόμενος, καὶ εὐάλωτος ὢν, κατοικεῖ ἐν ὀχυρώμασι βασιλέως.

Καὶ ὁ τοῖς ἐμπροσθίοις ποσὶν οἷα χερσὶ, τοῦ παρατυχόντος δραττόμενος, κἀντεῦθεν στηριζόμενος, καὶ καλῶς τὰς βάσεις ποιούμενος γαλεώτης, εὐχείρωτος διὰ τὴν οἰκείαν ὑπάρχων ἀσθένειαν, καὶ ἐν αὐτοῖς τοῖς ὀχυρωτάτοις οἴκοις τῶν βασιλείων οἰκῶν· τοιγαροῦν πρὸς ταῦτα, κἂν τὰ ἄλογα ζῶα βλέ-

πων ἄνθρωπε, ὁ λόγῳ τιμηθεὶς, καὶ ὡς εἰκὼν Θεοῦ πρὸς τὸ ἀρ- XXIV.
χέτυπον ὁρᾷν κελευσθεὶς, μὴ τὴν ἀσθένειαν τῆς σαρκὸς εἰς ἀθέτησιν προβάλλου τῆς τοῦ Θεοῦ ἐντολῆς· ἀλλ' ἐν τῷ παρόντι τῆς ἐργασίας καιρῷ, εὐτρέπιζε σεαυτῷ τὴν εἰς τὸ μέλλον ἀπόλαυσιν· καὶ ἐν ταῖς τῶν πειρασμῶν προσβολαῖς, ὑπὸ τὴν σκέπην τῆς νοητῆς πέτρας κατάφυγε, ἥ τις ἐστὶν ὁ Χριστός· καὶ αὐτεξούσιος ὢν, ἕπȣ τῷ θείῳ προστάγματι· τὴν πανοπλίαν τοῦ πνεύματος ἐνδυσάμενος, καὶ εὐτάκτως τῷ ἀρχεκάκῳ ἐχθρῷ ἀνταγωνιζόμενος, ἐν τῷ πρῶτον μέν σε τῷ τοῦ Θεοῦ φόβῳ καθαίρεσθαι· ἔπειτα δὲ τῇ ἐλπίδι τῶν μελλόντων ἀγαθῶν φωτίζεσθαι, καὶ οὕτω τῇ ἀγάπῃ γίνεσθαι τέλειον· καὶ ταῖς πρακτικαῖς τῆς ψυχῆς δυνάμεσι, τῇ τε ἐπιθυμίᾳ καὶ τῷ θυμῷ, οἷά τισι χερσὶ στηριζόμενος, καλῶς βαῖνε διὰ τῶν τοῦ Θεοῦ ἐντολῶν· ἵν' εἰ καὶ ὑπάρχεις εὐάλωτος τῷ ἐχθρῷ διὰ τὴν ἀσθένειαν τῆς σαρκὸς, ἀνεπιβούλευτος αὐτῷ διαμένῃς ἐν τοῖς θείοις προστάγμασιν· ἐν οἷς παραμένουσι καὶ οἱ ἐπιστατοῦντες ἐννόμως ταῖς εἰρημέναις δυνάμεσιν ἔμφρονες λογισμοί.

Τρία δέ ἐστιν ἃ εὐόδως πορεύεται· καὶ τέταρτον, ὃ καλῶς 29.
διαβαίνει· σκύμνος λέοντος, ἰσχυρότερος κτηνῶν· ὃς οὐκ ἀποστρέ- 30.
φεται, οὐδὲ καταπτήσει κτῆνος.

Καθάπερ τὰ τρία ταῦτα, ἀκωλύτως διέρχεται, καὶ τὸ τέταρτον διαβαίνει καλῶς· ὅ τε σκύμνος τοῦ λέοντος, ὑπάρχων τῶν κτηνῶν ἰσχυρότερος, καὶ μήτε πτοούμενος κτῆνος, μήτε ἀπὸ τούτου ἡττώμενος· καὶ ὁ ἀλεκτρυὼν ἐν ἀλεκτορίσι περιπατῶν ἄφοβος· καὶ ὁ τράγος, ἀγέλης αἰγῶν πρὸς τὰς ἐν τοῖς ὑψηλοτέροις τόποις νομὰς προηγούμενος· πρὸς δὲ, καὶ βασιλεὺς, ὁ δῆμον ἔθνȣς ὑπηκόȣ ἑαυτῷ διδάσκων, οὕτω καὶ ὁ ἐκ τοῦ νοὸς, οὗ τὸ ἡγεμονικὸν ὑπεμφαίνει ὁ λέων, τικτόμενος λόγος, διέρχεται κατ' ἀρετὴν ἀπτόητος τοῖς παρακειμένοις αὐτῇ κατ' ἔλλειψιν καὶ ὑπερβολὴν πάθεσι· καὶ τέλος τῶν πρακτῶν εὑρίσκει τὸ ἀγαθόν.

Καὶ ἀλέκτωρ ἐμπεριπατῶν θηλείαις εὔψυχος. 31.

XXIV. Καὶ αὐτός δὲ ὁ νοῦς, ὃς τὰς τοῦ ἡλίου τῆς δικαιοσύνης ἀκτῖνας, οἷά τις ἀλεκτρυὼν προορᾷ, ταῖς αἰσθήσεσιν ἐνδιατρίβων, καὶ πρὸς τοὺς λόγους τῶν ὄντων διαβαίνων, καὶ τέλος τῶν γνωστῶν εὑρίσκων τὴν ἀλήθειαν, οὐ δέδοικε τὰς κατασπώσας τῇ σχέσει τῶν ὑλικῶν ἐπιφανείας τῶν ὁρατῶν.

Καὶ τράγος ἡγούμενος αἰπολίου· καὶ βασιλεὺς δημηγορῶν ἐν ἔθνει.

Ὁ δ᾽ οὕτως ἔμφρονι λόγῳ καὶ νοΐ, κατὰ πρᾶξιν καὶ θεωρίαν ἐνεργῶν τὴν ἀρετὴν καὶ τὴν γνῶσιν, βεβαίαν τε ἔχων πληροφορίαν τοῦ ἀγαθοῦ, καὶ ἄληστον γνῶσιν τῆς ἀληθείας· προηγεῖται τῶν τῆς ἀριστερᾶς διὰ τὴν ἁμαρτίαν ὄντων μερίδος· ἐπανάγων τούτους ἀπὸ τῶν κάτω καὶ σαρκικῶν, πρὸς τὰ πνευματικὰ καὶ οὐράνια· καὶ τὰς τοῦ μαθητευομένου αὐτῷ πλήθους θεωρητικάς τε καὶ ὀρεκτικὰς δυνάμεις, κατὰ λόγον ῥυθμίζει· καὶ πείθει μὴ ὡς ἔτυχε φέρεσθαι.

32. Ἐὰν πρόῃ σεαυτὸν εἰς εὐφροσύνην, καὶ ἐκτείνῃς τὴν χεῖρα σου μετὰ μάχης, ἀτιμασθήσῃ.

Ἐαν κατὰ τὸ ἐπιθυμητικὸν τῆς ψυχῆς σου, ἐκδῷς σεαυτὸν ταῖς σαρκικαῖς ἡδοναῖς, καὶ τὸ τοῦ θυμοῦ δραστικὸν κατὰ τῶν ὁμοφυῶν ὁπλίσῃς, τοῖς ἀνοήτοις κτήνεσιν ὁμοιωθεὶς, ὑβρισθήσῃ, ὡς δοῦλον παθῶν τὸ λογιστικὸν καταστήσας.

33. Ἄμελγε γάλα, καὶ ἔσται βούτυρον *.

* cod. σου τύρον.

Ὑποδέχου ὡς γάλα, πίστει ἁπλῇ, τὴν τῶν θείων λογίων διδασκαλίαν· καὶ συλλέγοντι τὸν νοῦν ταύτης ἐν πνεύματι, ὑπάρξει σοι οὕτω στερεὰ καὶ πίων τροφή.

Ἐὰν δὲ ἐκπιέζῃς μυκτῆρας, ἐξελεύσεται αἷμα· ἐὰν δὲ ἐξέλκῃς λόγους, ἐξελεύσονται κρίσεις καὶ μάχαι.

Ὥσπερ δὲ εἰ ἐκβιάζῃ μυκτῆρας, αἷμα ἐξενεχθήσεται, οὕτω καὶ διστάζοντος σου περὶ τὴν πίστιν, καὶ λόγους ἀπαιτοῦντος διαλεκτικῶς, ἐξενεχθήσονται διενέξεις καὶ ἔριδες.

1. Οἱ ἐμοὶ λόγοι εἴρηνται ὑπὸ θεοῦ, βασιλέως χρηματισμὸς ὃν
2. ἐπαίδευσεν ἡ μήτηρ αὐτοῦ· τί τέκνον τηρήσεις; τί;

Ἅπερ σοι αὐτὸς ἀπαγγέλλω λόγια, μεμάθηκα ταῦτα παρὰ XXIV.
θεοῦ· ἃ εἰσι πλοῦτος ἐμοῦ τοῦ λαχόντος ἐννόμως ἀνθρώποις
ἐπιςατεῖν παρὰ τῆς δίκην μητρὸς θρεψαμένης σοφίας· τί λοιπὸν
φυλάξεις υἱὲ; φύλασσον τὰ ἐμὰ λόγια.

Ῥήσεις θεοῦ πρωτογενὲς σοι λέγω υἱέ· τί τεκνον ἐμῆς κοιλίας;

Ἡ λόγια πάντως θεοῦ; πρὸς σὲ ποιοῦμαι τὸν λόγον υἱὲ, ὃς ἂν καὶ εἴης, τὸν ἀποτεχθέντα μοι κατὰ τὴν πρώτην καὶ πνευματικὴν γέννησιν· τί τέκνον, ὃ ταῖς τῆς ἐμῆς διανοίας ὠδῖσιν ἐγέννησα διδασκαλικῶς;

Τί τέκνον ἐμῶν εὐχῶν;

Τί τέκνον, οἷου τυχεῖν παρεκάλουν θεὸν, τηρήσεις; 3.

Μὴ δὸς γυναιξὶ σὸν πλοῦτον.

Μὴ τὸν πλοῦτον σῶν φρενῶν ταῖς ἀλόγοις ἐπιθυμίαις τῆς κατ' αἴσθησιν ἡδονῆς, καταναλώσῃς· μόνους τοὺς ποικίλυς ταύτης τρόπους ἐπινοῶν.

Τὸν σὸν νοῦν καὶ βίον εἰς ὑστεροβουλίαν.

Μηδὲ τὸ τοῦ νοός συ θεωρητικὸν, καὶ τὸ περὶ τὴν ἐν σαρκὶ καὶ κόσμῳ βιοτὴν σου πρακτικὸν, εἰς πεῖραν ἐκδῷς τοῦ κακοῦ· ἐξ οὗ σοι ποτὲ συμβήσεται μεταμέλεσθαι.

Μετὰ βουλῆς πάντα ποίει· μετὰ βουλῆς οἰνοπότει. 4.

Μετὰ λογικῆς διακρίσεως μεταλάμβανε τῆς δίκην οἴνου εὐφραινούσης καρδίαν πνευματικῶς φυσικῆς θεωρίας τῶν ὄντων· ἥ τις ἐὰν ἀχαλίνωτος ᾖ, τὸν νοῦν τῆς ἀληθείας μεθίστησι, καὶ φέρει κατὰ κρημνοῦ.

Οἱ δυνάσται θυμώδεις εἰσὶν, οἶνον μὴ πινέτωσαν, ἵνα μὴ 5.
πιόντες, ἐπιλάθωνται τῆς σοφίας, καὶ ὀρθὰ κρῖναι οὐ μὴ δύ-
νώνται τοὺς ἀσθενεῖς.

Οἱ δυναστεύοντες κατὰ τῶν παθῶν, καὶ τὴν ἠθικὴν κατορθοῦντες φιλοσοφίαν, ὡπλισμένοι εἰσὶ τῷ θυμῷ κατὰ τοῦ νοητοῦ ὄφεως· λοιπὸν τοῦ παρ' ἀνθρώπων ἐπαίνου, τοῦ δίκην οἴνου τούτους εὐφραίνοντος, μὴ μεταλαμβανέτωσαν· ὅπως μὴ μεταλαβόντες αὐτοῦ, ἐπιλάθωνται τῆς σοφίας· ἧς ἴδιον τὸ ἐπιδείκνυ-

XXIV. σθαι τὸ ὑψηλὸν ἐν τῷ ταπεινῷ· καὶ σκοτισθέντες τῇ ἐκ τῶν ἐπαίνων ἐπάρσει, ἀδυνατήσωσιν ἐπισκέπτεσθαί τε τοὺς περικειμένους ἀσθένειαν, καὶ τὰ κατ᾽ αὐτοὺς διακρίνειν καλῶς, καὶ τῆς προσηκούσης ἀξιοῦν θεραπείας.

6. Δίδοτε μέθην τοῖς ἐν λύπαις.

Παρέχετε τὴν ἐκ τῶν ἐπαίνων εὐφροσύνην τοῖς ἀποτυγχάνουσι τῆς περὶ γῆν ἐπίκηρον δόξαν, καὶ τὸν φθειρόμενον πλοῦτον ἐπιθυμίας.

Καὶ οἶνον πίνειν τοῖς ἐν ὀδύναις.

Καὶ ἐγκωμίων ἀξιοῦτε τοὺς ἐν ὀδύναις σωματικαῖς.

7. Ἵνα ἐπιλάθωνται τῆς πενίας, καὶ τῶν πόνων μὴ μνησθῶσιν ἔτι.

Ὅπως ἐκεῖνοι μὲν ἐν λήθῃ γένωνται τῆς πιεζούσης τούτους ἐνδείας τῶν ἀναγκαίων· οὗτοι δὲ ἀμνημονήσωσι τῶν ὀδυνῶν τῆς σαρκός.

8. Ἄνοιγε σὸν στόμα λόγῳ θεοῦ, καὶ κρίνε πάντα ὑγιῶς.

Πλάτυνε τὸ δίκην στόματος δεκτικὸν τοῦ ἐκ τοῦ οὐρανοῦ καταβάντος ἄρτου, νοερὸν τῆς ψυχῆς σου, θείαις ἐννοίαις· καὶ διάκρινε πάντα καλῶς.

9. Ἄνοιγε σὸν στόμα, καὶ κρίνε δικαίως.

Πλάτυνε καὶ αὐτό σου τὸ φαινόμενον στόμα, προφορᾷ θείων ῥημάτων· καὶ ἀπόδιδου ἑκάστῳ τὸ πρόσφορον.

Διάκρινε δὲ πένητα καὶ ἀσθενῆ.

Διακρίνειν δὲ καλῶς σοι παρακελεύομαι, τήν τε τοῦ ἐνδεοῦς ἀνάγκην, καὶ τὴν τοῦ ὀδύναις συνεχομένου σωματικαῖς· κἀντεῦθεν πάντως, τούτων ἑκατέρῳ τὸ κατάλληλον φάρμακον.

CAP. XXV.

v. 1. Αὗται αἱ παιδεῖαι Σολομῶντος αἱ ἀδιάκριτοι, ἃς ἐξεγράψαντο οἱ φίλοι Ἐζεκίου τοῦ βασιλέως τῆς Ἰουδαίας.

Αἱ παροῦσαι νουθεσίαι Σολομῶντός εἰσιν, αἱ πρώην ὡς διε-

σπαρμέναι, τοῖς πολλοῖς ἀδιάγνωστοι· ἃς συλλεξάμενοι μετὰ θά- XXV.
νατον αὐτοῦ, οἱ περὶ τὴν μελέτην τῶν θείων ἐσχολακότες γρα-
φῶν, καὶ διὰ τοῦτο συνήθεις τῷ βασιλεῖ τῆς τῶν ἰυδαίων χώ-
ρας Ἐζεκίᾳ, τῇ τῶν παροιμιῶν βίβλῳ τελευταῖον ἐγκατέταξαν.

Δόξα θεοῦ κρύπτει λόγον· δόξα δὲ βασιλέως τιμᾷ προσ- 2.
τάγματα.

Ἡ τοῦ θεοῦ δόξα, ὡς μὲν ὑπερουσίου, ἄφραςός ἐςι διὰ
τὸ αὐτοῦ ἀκατάληπτον· ὡς δὲ πάντων δεσπόζοντος, πείθει πει-
θαρχεῖν ταῖς αὐτοῦ ἐντολαῖς, διὰ τὸν αὐτοῦ φόβον, καὶ μὴ
περὶ ταύτας διακεῖσθαι καταφρονητικῶς.

Οὐρανὸς, ὑψηλὸς· γῆ δὲ, βαθεῖα· καρδία δὲ βασιλέως, ἀνε- 3.
ξέλεγκτος.

Ὥσπερ ἀκατάληπτον ἡμῖν τό τε ὕψος τοῦ οὐρανοῦ, καὶ τὸ
βάθος τῆς γῆς, οὕτω καὶ τὸ θεῖον ἀσυγκρίτως, ὡς ἄναρχόν
τε καὶ ἀτελεύτητον· ἡ δὲ περὶ τὸν τρόπον τῆς μελλούσης κατὰ
χάριν θεώσεως ἡμῶν, βελὴ αὐτοῦ τοῦ δεσπότε τῶν ὅλων θεοῦ,
ἔτι ἐςὶν ἡμῖν ἀφανής· ὅπερ καὶ ὁ εὐαγγελιςὴς Ἰωάννες δηλῶν,
εἴρηκεν· ὅτι οὔπω ἐφανερώθη τί ἐσόμεθα.

Κρύπτε * ἀδόκιμον ἀργύριον, καὶ καθαρισθήσεται καθα- 4. * cod. τύ-
ρὸν ἅπαν. πτε.

Ἀφάνιζε τοὺς μὴ τιμῶντας θεὸν λογισμοὺς, ἀπὸ τῆς τῷ
δεσποτικῷ χαρακτῆρι τετιμημένης ψυχῆς σε, καὶ τὸ νοερὸν ταύ-
της, ἐν ᾧ αὐτὸς ὁ τῶν ὅλων δεσπότης θεὸς, οἷά τινι θρόνῳ
ἐπαναπαύεται, καθ᾽ ὁμοίωσιν τούτου ἐργάσεται τὸ ἀγαθὸν ἐν
τῷ μὴ φρονεῖν παρ᾽ ὃ δεῖ φρονεῖν, κατ᾽ ἔλλειψιν πάντως τῆς
ἀρετῆς, ἢ καθ᾽ ὑπερβολήν· ἀλλὰ φρονεῖν εἰς τὸ σωφρονεῖν.

Μὴ ἀλαζονεύου ἐνώπιον βασιλέως· μηδὲ ἐν τόποις δυναςῶν 6.
ὑφίστασο· κρεῖσσον γάρ σοι τὸ ῥηθῆναι, ἀνάβαινε πρός με, ἢ 7.
ταπεινῶσαί σε ἐν προσώπῳ δυνάστου.

Μὴ οἴε σεαυτὸν ἀξίας τινὸς ἄξιον, πρὸ τοῦ ἀξιωθῆναι ταύ-
της παρὰ θεοῦ· μηδ᾽ ἐπίτρεχε ἀρχαῖς, ἁρμοζούσαις ἀνδράσι καθ-
υποτάττεσι τῷ φρονήματι τοῦ πνεύματος, τὸ φρόνημα τῆς σαρ-

XXV. κός· κάλλιον γὰρ ἐστι ταπεινοφρονοῦντά σε, καὶ ἀνάξιον ἑαυτὸν κρίνοντα πάσης ἀρχῆς, πρὸς ταύτην κληθῆναι παρὰ Θεοῦ, ἢ ἐπιτρέχοντα, ταύτης ἀποῤῥιφῆναι· ἑτέρου παρ᾽ αὐτοῦ προσκληθέντος πρὸς ταύτην, τοῦ πρότερον ἄρξαντος ἑαυτοῦ.

Ἃ εἶδον οἱ ὀφθαλμοί σου, λέγε.

Ἅπερ αἱ θεωρητικαί σου δυνάμεις κατέλαβον θεῖα θελήματα, καθ᾽ ἃ τὰ πάντα γεγόνασι, λόγοις τε καὶ ἔργοις αὐτοῖς, δίδασκε.

8. Μὴ πρόσπιπτε εἰς μάχην ταχέως, ἵνα μὴ μεταμεληθῇς ἐπ᾽
9. ἐσχάτων· ἡνίκα ἄν σε ὀνειδίσῃ ὁ φίλος σου, ἀναχώρει εἰς τὰ
10. ὀπίσω· μὴ καταφρόνει, μή σε ὀνειδίσῃ μὲν ὁ φίλος, ἡ δὲ μάχη σου καὶ ἡ ἔχθρα οὐκ ἀπέσται ἀλλ᾽ ἔσται σοι ἴση θανάτῳ.

Μὴ ἀσυλλογίστως ὅρμα πρὸς ἔχθραν, ὅπως μὴ ἑαυτῷ ἐπιμέμφῃ ἐς ὕστερον· ἀλλ᾽ ὅταν ἐπί τινι λόγῳ ἢ ἔργῳ φίλος σοι μέμψηται, ἀπὸ τῶν ἐπταισμένων σοι ἔκκλινε ἐξασφαλιζόμενος σεαυτὸν, μηκέτι τοῖς ὁμοίοις περιπεσεῖν· καὶ μὴ τὴν πρὸς τὸν πλησίον ἀγάπην μικρὸν πρᾶγμα ἡγοῦ· ὅπως μὴ μέμψηται μέν σοι αὐτὸς, ἐφ᾽ ᾧ μὴ διετέθης καλῶς πρὸς αὐτὸν, ἡ δὲ διένεξις καὶ τὸ μῖσος, οὐκ ἀποστήσεται ἀπὸ σοῦ· ἀλλὰ ψυχῆς ὑπάρξῃ σοι θάνατος.

Χάρις καὶ φιλία ἐλευθεροῖ· ἃς τήρησον σεαυτῷ, ἵνα μὴ ἐπονειδίστος γένῃ· ἀλλὰ φύλαξον τὰς ὁδούς σου εὐσυναλλάκτως.

Τὸ χάρισμα τῆς σοφίας καὶ ἡ ἀγάπη, ἀγνοίας ἀπαλλάττουσι καὶ κακίας· ἃς φύλαξον παρὰ σεαυτῷ, ὅπως μὴ ὑπάρξῃς κατάκριτος· ἀλλὰ τήρησον ἄνθρωπε τὰς πρὸς τὴν σοφίαν καὶ τὴν ἀγάπην θεωρητικὰς καὶ πρακτικὰς πορείας σου, καλῶς ἀλλήλαις τῶν οἰκείων μεταδιδούσας· αἰτεῖ μὲν πρακτικὴ τὴν θεωρητικὴν, τῶν κατὰ γνῶσιν λόγων· ἡ δὲ θεωρητικὴ τὴν πρακτικὴν, τῶν κατ᾽ ἀρετὴν τρόπων· ὥστε ψυχοῦσθαι μὲν τὴν ἀρετὴν κατὰ λόγον· σωματοῦσθαι δὲ τὸν λόγον κατ᾽ ἀρετήν.

11. Μῆλον χρυσοῦν ἐν ὁρμίσκῳ σαρδίου, οὕτως εἰπεῖν λόγον (ἐπὶ ἁρμόζουσιν αὐτῷ).

Ὡς μῆλον χρυσοῦν, ἐμπρέπον περιτραχηλίῳ κόσμῳ, ἀπὸ XXV.
λίθου σαρδίου, οὕτως τὸ λαλῆσαι λόγον διδάσκοντα σωτήρια,
ἐμπρέπει τῷ κοσμίως βιοῦντι κατ' ἀρετήν· τῷ βίῳ γὰρ ὁ λόγος
συναρμοζόμενος, πολλὴν ἀποτελεῖ τὴν ἐμπρέπειαν.

Εἰς ἐνώτιον χρυσοῦν σάρδιον πολυτελὲς δέδεται, λόγος σο- 12.
φίας εἰς εὐήκοον οὖς.

Ὡς εἰς ἐνώτιον χρύσεον σάρδιον δέδεται, διαφόροις χρώμα-
σι πεποικιλμένον, οὕτως εἰς ἀκοὴν τῇ εὐπειθείᾳ κεκοσμημένην,
δι' ἔργων κεκράτηται ἄληστος, ὁ πολυειδὴς τοῖς τρόποις τῶν ἀρε-
τῶν διδασκαλικὸς λόγος.

Ὥσπερ ἔξοδος χιόνος ἐν ἀμητῷ κατὰ καῦμα ὠφελεῖ, οὕτως 13.
ἄγγελος πιστὸς τοῖς ἀποστείλασιν αὐτόν· ψυχὰς γὰρ τῶν χρω-
μένων ὠφελεῖ.

Καθάπερ ἀπὸ τηκομένης χιόνος, ψύχον ἐξερχόμενον πνεῦ-
μα, καὶ ἐν καιρῷ θέρους ἀποκρουόμενον τὸν ἐκ τῆς ἡλιακῆς φλο-
γώσεως μαρασμὸν τρέφει τὸν ἄσταχυν, οὕτω καὶ ὁ ἀνεπιβού-
λευτον τηρῶν τὸ τῶν προφητῶν καὶ ἀποστόλων θεῖον παράγγελ-
μα (διδασκαλικὸς λόγος) τὰς φλεγομένας τῷ καύσωνι τῶν ἑκου-
σίων πειρασμῶν ψυχὰς, ὑποδεχομένας αὐτὸν ἀνακτᾶται· εἰς ἐγ-
κράτειαν καὶ ὑπομονὴν στηρίζων αὐτάς.

Ὥσπερ ἄνεμοι καὶ νέφη καὶ ὑετοὶ ἐπιφανέστατοι, οὕτως οἱ 14.
καυχώμενοι ἐπὶ δόσει ψευδεῖ.

Καθάπερ σφοδραὶ ἀνέμων πνοαὶ, καὶ νέφη ζοφώδη, καὶ ὑε-
τοὶ ῥαγδαιότατοι, εἰσὶ τοῖς πᾶσι κατάδηλα, οὕτω καὶ οἱ με-
γαλαυχοῦντες ἐπὶ μεταδόσει χρημάτων μὴ γενομένῃ, διὰ τὴν πρὸς
ἀνθρώπους συμπάθειαν τὴν μετάδοσιν ταύτην δημοσιεύουσιν· ἀν-
θρώπους ἀπατῶν, καὶ οὐ θεῷ ἀρέσκειν βουλόμενοι.

Ἐν μακροθυμίᾳ, εὐοδία βασιλεῦσι· γλῶσσα δὲ μαλακὴ, συν- 15.
τρίβει ὀστᾶ.

Ἐν ἀνεξικακίᾳ οἱ λαοῦ ἡγεμονεύοντες, εὐοδοῦνται· διὰ ταύ-
της πρὸς ἑαυτοὺς τὴν τοῦ ὑπηκόου εὔνοιαν ἐπισπώμενοι· προ-
φορὰ γὰρ λόγων πρᾳεῖα, καταμαλάττει καὶ τὰς δίκην ὀστῶν
σκληρὰς καὶ ἀντιτύπους τῶν ψυχῶν διαθέσεις.

XXV. 16. Μέλι εὑρὼν, φάγε τὸ ἱκανόν· μήποτε πλησθεὶς, ἐξεμέσῃς.

Τῆς ἐν τοῖς θεοπνεύστοις λογίοις, δίκην μέλιτος ἡδυτάτης θεογνωσίας ἐπιτυχὼν, μετάλαβε ταύτης κατὰ τὸν ὅρον καὶ τὸ μέτρον τῆς ἐνούσης σοι δυνάμεως· ὅπως μὴ σπεύσας ἀμέτρως ἐμφορηθῆναι αὐτῆς, τὸ ἀληθὲς ἀποβαλεῖς· γνώσῃ περιλαβεῖν οἰόμενος τὸ ἀπερίληπτον· θεωρία γὰρ ἀχαλίνωτος, μεγάλην βλάβην τῇ ψυχῇ προξενεῖ.

17. Σπάνιον εἴσαγε σὸν πόδα πρὸς τὸν σεαυτοῦ φίλον· μήποτε πλησθείς σου, μισήσῃ σε.

Ὀλίγα φρόντιζε τοῦ διὰ τὴν συζυγίαν φιλουμένου σώματος, μόνα περιποιούμενος αὐτῷ τὰ πρὸς σύστασιν αὐτοῦ ἀναγκαῖα· ὅπως μὴ κορεσθέν σου, τὰ περιττὰ καὶ ὑπὲρ τὴν χρείαν χορηγοῦντος αὐτῷ, ἀντὶ συνεργοῦ πολέμιόν σοι τοῖς κατ᾽ ἡδονὴν καὶ ὀδύνην γενήσεται πάθεσιν.

18. Ῥόπαλον καὶ μάχαιρα καὶ τόξευμα ἀκιδωτὸν, οὕτως καὶ ἀνὴρ ὁ καταμαρτυρῶν τοῦ φίλου αὐτοῦ μαρτυρίαν ψευδῆ.

Ὁ προσάπτων τῷ ὁμοφυεῖ καὶ ὁμοπίστῳ αὐτοῦ αἰτίαν ψευδῆ, ὥς τι μὲν ῥόπαλον, τὴν τούτου πλήττει ψυχὴν, λύπης παραίτιος ταύτῃ γινόμενος· ὡς δέ τις μάχαιρα, μάχην αἴρει· ἔχθραν ἐγείρων μέσον ἐκείνου καὶ ἑαυτοῦ· καὶ ὥς τι τόξον πόῤῥωθεν κατ᾽ αὐτοῦ τὴν λοιδορίαν ἀφίησι, τιτρώσκων διὰ ταύτης αὐτὸν, ὡς διὰ βέλους ὀξυτάτου τινός.

19. Ὀδὸς κακοῦ, καὶ ποὺς παρανόμου ὀλεῖται ἐν ἡμέρᾳ κακῇ.

Ὁ πονηρὸς λογισμὸς τοῦ κακοῦ τὴν προαίρεσιν, καὶ ἡ πρᾶξις τοῦ τῶν θείων παραβάτου, ὀλοθρευθήσονται ἐν καιρῷ τιμωρίας· εἴτε καθαρτικῆς κατὰ τὸ παρὸν, εἴτε ἀνταποδοτικῆς κατὰ τὸ μέλλον.

20. Ὥσπερ ὄξος ἕλκει ἀσύμφορον, οὕτως προσπεσὸν πάθος ἐν σώματι καρδίαν λυπεῖ.

Καθάπερ ὄξος δριμύτατον ἀλυσιτελὲς τῷ ἡλκωμένῳ μέλει καθέστηκε, δάκνον αὐτὸ, οὕτω καὶ τῷ τῆς σαρκὸς ἀσθενεῖ, ἀκούσιος ἐπισυμβὰς πειρασμὸς, ἀνιᾷ διὰ τὸ συγγενὲς τὴν ψυχήν.

῞Ωσπερ σὴς ἐν ἱματίῳ, καὶ σκώληξ ξύλῳ, οὕτως λύπη ἀν- XXV.
δρὸς βλάπτει καρδίαν.

Καθάπερ λυμαίνονται σὴς μὲν ἱματίῳ, σκώληξ δὲ ξύλῳ, οὕτως ἡ παρὰ ἀνθρώπου τινὸς λύπη, τῷ πρὸς τοῦτον μίσει, τὴν ἑτοιμοπαθῆ καταβλάπτει ψυχήν.

Ἐὰν πεινᾷ ὁ ἐχθρός σου, ψώμιζε αὐτόν· ἐὰν διψᾷ, πό- 21.
τιζε αὐτόν· τοῦτο γὰρ ποιῶν, ἄνθρακας πυρὸς σωρεύσεις ἐπὶ 22.
τὴν κεφαλὴν αὐτοῦ· ὁ δὲ κύριος ἀνταποδώσει σοι ἀγαθά.

Ἐὰν ὁ μισῶν σε τροφῆς καὶ πόματός ἐστιν ἐνδεὴς, τρέφε τοῦτον καὶ πότιζε· οὕτω γὰρ εὐεργετῶν αὐτὸν, συνάξεις ἐπὶ τὸν ἡγεμόνα νοῦν τούτου, διανοήματα, δίκην ἀνθράκων πυρὸς τὴν κακίαν ἐλέγχοντα, καὶ τὸ πρὸς σὲ μῖσος αὐτοῦ κατακαίοντα· ὁ δὲ τῶν ὅλων δεσπότης Θεὸς, ἀνθότου μὴ νενίκησαι τῷ ἐξ ἐπηρείας τοῦ σατανᾷ πρὸς σὲ μίσει τοῦ ἀδελφοῦ, ἀλλὰ νενίκηκας μᾶλλον αὐτὸ τῇ ἀγάπῃ τῇ πρὸς αὐτὸν, τοῖς αἰωνίοις σε ἀμείψεται ἀγαθοῖς.

῎Ανεμος βορέας ἐξεγείρει νέφη· πρόσωπον δὲ ἀναιδὲς, γλῶσ- 23.
σαν ἐρεθίζει.

Τὸ μὲν, δίκην ἀνέμου βορέου, χειμάζον τὰς ψυχὰς πονηρὸν πνεῦμα, ζοφώδη πάθη, ὥς τινα νέφη, ἐπεγείρει αὐταῖς, ταύτας σκοτίζοντα, καὶ μὴ ἐῶντα ταῖς ἀκτῖσι τοῦ τῆς δικαιοσύνης ἡλίου καταυγασθῆναι· ὁ δὲ χαρακτηρίζων τὴν ἐγκεκρυμμένην τῇ ψυχῇ διάθεσιν βίος, τῇ ἐπὶ τοῖς αἰσχροῖς ἔργοις αἰσχύνῃ ὅλως μὴ περικαλυπτόμενος, εἰς τὴν ἑαυτοῦ παραθήγει διαβολὴν τὴν γλῶτταν τοῦ ὁρῶντος αὐτόν.

Κρεῖσσον οἰκεῖν ἐπὶ γωνίας δώματος, ἢ μετὰ γυναικὸς λοι- 24.
δόρου ἐν οἰκίᾳ κοινῇ.

Κάλλιον ἀσυγκρίτως ἐστὶ παραμένειν τῷ συνάπτοντι τῷ νοῒ τὴν αἴσθησιν λόγῳ, ὡς ἔν τινι γωνίᾳ εὐτελοῦς τινος καταλύματος τοῦ φαινομένου κόσμου, ἢ ἐν ὅλῳ τῷ κόσμῳ, ὅς ἐστι κοινὸν καταγώγιον τοῦ τε νοὸς καὶ τῆς αἰσθήσεως· οἷα ἐπαναπαυομένων, τοῦ μὲν νοὸς τοῖς λόγοις τῶν φαινομένων, τῆς δ᾽

XXV. αἰσθήσεως τοῖς τύποις τῶν νοουμένων συνδιατρίβειν τὸν νοῦν τῇ διαβαλλούσῃ διὰ τῆς ἀπάτης τῶν φαινομένων τὰ νοούμενα αἰσθήσει, κἀντεῦθεν τοῖς τύποις ἐναπομένειν, καὶ μὴ διαβαίνειν πρὸς τὴν ἐν ὅλοις ἀλήθειαν.

25. Ὥσπερ ὕδωρ ψυχρὸν, ψυχῇ διψώσῃ προσηνὲς, οὕτως ἀγγελία ἀγαθὴ ἐκ γῆς μακρόθεν.

Καθάπερ ὕδωρ ψυχρώτατον, ὑπάρχει διψῶντι ζώῳ θελκτήριον, οὕτω καὶ τῇ τὸν καύσωνα τῶν πειρασμῶν, καὶ τῆς ἀρετῆς τὸ ἐπίπονον γενναίως φερούσῃ ψυχῇ, ἡδυτάτη ἐστὶν ἡ τῆς κατὰ τὸ μέλλον κληρονομίας τῆς γῆς τῶν πραέων ἐπαγγελία· τῇ τῶν ἐν ταύτῃ τῇ γῇ ἀγαθῶν ἐλπίδι παρακαλοῦσα καὶ ἀνακτωμένη τὴν τοιαύτην ψυχήν.

26. Ὥσπερ εἴ τις πηγὴν φράσσοι, καὶ ὕδατος ἔξοδον λυμαίνοιτο, οὕτως ἄκοσμον δίκαιον πεπτωκέναι ἐνώπιον ἀσεβοῦς.

Καθάπερ ἐάν τις ἐμφράττοι πηγὴν, καὶ ὕδωρ ἐκ ταύτης κωλύοι ἐξέρχεσθαι, ἀπρεπῆ ταύτην ἐργάζεται, ἀφανίζων τὰ ἐξ αὐτῆς ἀναβλύζοντα διειδέστατα νάματα, οὕτως ἐστὶν ἀπρεπὲς τὸν κεκοσμημένον τῷ κάλλει τῶν ἀρετῶν, ἐν τῇ πρὸς τὸν μὴ τιμῶντα θεὸν, ἐχθρὸν τῶν ἡμετέρων ψυχῶν πάλῃ, ἁμαρτίας περιπεσεῖν πτώματι, καὶ τὸν κόσμον ἀποβαλέσθαι τῶν ἀρετῶν.

27. Ἐσθίειν μέλι πολὺ, οὐ καλόν· τιμᾷν δὲ χρὴ λόγους ἐνδόξους.

Εἰς κόρον μεταλαμβάνειν τῆς πνευματικῆς τῶν θείων μυστηρίων γλυκύτητος, ἀσύμφορον· ἡ περὶ ταῦτα γὰρ ἀχαλίνωτος θεωρία, φέρει κατὰ κρημνοῦ· εὐλαβεῖσθαι δ' ὑπάρχει ἁρμόδιον τὰ περὶ θεοῦ ὑψηλότατα δόγματα· καὶ μὴ ἐπιχειρεῖν καταλαμβάνειν τὸ κατ' οὐσίαν αὐτοῦ ἀκατάληπτον.

28. Ὥσπερ πόλις τὰ τείχη καταβεβλημένη, καὶ ἀτείχιστος, οὕτως ἀνὴρ ὃς οὐ μετὰ βουλῆς τι πράσσει.

Καθάπερ τις πόλις καθῃρημένη τὰ τείχη καὶ ἀφύλακτος τέλεον, οὕτως ὑπάρχει εὐεπιβούλευτος καὶ ὁ μὴ μετὰ λογικῆς διακρίσεως, πρὸς τοὺς ἀοράτους ἐχθροὺς ἀνταγωνιζόμενος· ἡ γὰρ ὡς πάντη ἀφύλακτος, εὐεπιχείρητος ἐστὶ τοῖς κατ' ἔλλειψιν τῆς

ἀρετῆς πάθεσιν· ἢ ὡς ἀπὸ τούτων μὲν φυλασσόμενος, ἐφ' οἷς δ' XXV.
ἐντεῦθεν τὸ ἀσφαλὲς ἑαυτῷ περιεποιήσατο, κατενεχθεὶς τῷ τῆς ἐπάρσεως πτώματι, τοῖς καθ' ὑπερβολὴν τῆς ἀρετῆς ἁλίσκεται πάθεσιν.

CAP. XXVI.

Ὥσπερ δρόσος ἐν ἀμητῷ, καὶ ὥσπερ ὑετὸς ἐν θέρει, οὕτως v. 1.
οὐκ ἔστιν ἄφρονι τιμή.

Καθάπερ δρόσος ἐν τοῖς δράγμασι τῶν ἀσταχύων, καὶ ὑετὸς ἐν καιρῷ θέρους αὐτῶν, οὐκ εἰσὶν ἐπαινετὰ· ὡς μηδ' ὁπωσοῦν ὠφελοῦντα, οὕτως οὐχ ὑπάρχει τῷ ἀλογίστως βιοῦντι οὔτε θανόντι, οὔτε θνήσκοντι κλέος· ἐντεῦθεν γὰρ τῆς μὲν ἀγήρω δόξης ἐστερημένος ἐστίν· ὅτι μὴ ἔσπευσε ταύτας δι' ἐναρέτου κτήσασθαι πολιτείας· συμβαίνει δ' αὐτῷ ἀποβαλέσθαι καὶ τὴν ἐπίκηρον.

Ὥσπερ ὄρνεα πέτανται καὶ στρουθοὶ, οὕτως ἀρὰ ματαία 2.
οὐκ ἐπελεύσεται οὐδενί.

Καθάπερ ἀφίπτανται ἅπαντα τὰ πτηνὰ, τάτε μεγάλα καὶ τὰ μικρὰ, τοῦ τόπου ἐν ᾧ ἀναπαυθῆναι μὴ δύνανται, οὕτως ἀφισταμένη πᾶσα κατάρα, διὰ μηδεμίαν εὔλογον αἰτίαν κατὰ τοῦ κατηραμένου κινουμένη, οὐκ ἐπέλθοι αὐτῷ· ἐκείνῳ δὲ πάντως ἐπέρχεται, κἂν μή τις αὐτῷ καταράσηται, τῷ ἔργοις κατάρας ἐμμένοντι.

Ὥσπερ μάστιξ ἵππῳ καὶ κέντρον ὄνῳ, οὕτως ῥάβδος ἔθνει 3.
παρανόμῳ.

Καθάπερ πλήττουσα μάστιξ ἵππον, τὸ θυλυμανὲς τούτου καὶ φιλόνεικον ἀποκρούεται, καὶ νύττον κέντρον ὄνον, διεγείρει τοῦτον πρὸς ταχυτέραν πορείαν, οὕτω παιδεύει ὥς τις ῥάβδος, ἡ κατὰ λόγον τῆς σαρκὸς τιμωρία λαὸν τὸν τοὺς θείους παραβαίνοντα νόμους· καὶ καταπαύει μὲν τὸ τούτου κατὰ τὸ ἐπιθυμητικὸν, ἀκόλαστον, καὶ τὸ κατὰ τὸ θυμικὸν, μάχιμον· διε-

XXVI. γείρει δὲ τὸ διὰ τὴν ἀσθένειαν τῆς σαρκὸς νωθρὸν αὐτοῦ, πρὸς ἐπιμέλειαν τῆς κατὰ πρᾶξιν τῶν θείων ἐντολῶν τρίβου.

4. Μὴ ἀποκρίνου ἄφρονι πρὸς τὴν ἐκείνου ἀφροσύνην· ἵνα μὴ
5. ὅμοιος γένῃ αὐτῷ· ἀλλ' ἀποκρίνου ἄφρονι κατὰ τὴν ἀφροσύνην
αὐτοῦ· ἵνα μὴ φαίνηται σοφὸς παρ' ἑαυτῷ.

Μὴ τῷ θεὸν οὐ περιφέροντι ἐν καρδίᾳ ἀπολογοῦ ἀκολούθως τῇ ἀνοίᾳ αὐτοῦ· ὡς ἂν μὴ τῇ πλάνῃ τούτου συνυπαχθῇς· μᾶλλον μὲν οὖν καὶ ἀντίλεγε αὐτῷ, τῇ τούτῳ καταλλήλως ἀνοίᾳ, ὅπως μὴ τὴν οἰκείαν μωρίαν νομίσῃ σοφίαν, καὶ μέχρι τέλους παραμείνῃ αὐτῇ· ἀλλ' ἐκφυγεῖν ταύτην δυνήσεται, ἑαυτοῦ ἐπιγνώμων γενόμενος.

6. Ἐκ τῶν ἑαυτοῦ ὁδῶν ὄνειδος ποιεῖται, ὁ ἀποστείλας δι' ἀγγέλου ἄφρονος λόγον.

Ἀπὸ τῶν ἀσόφων διανοημάτων αὐτοῦ μέμψιν περιποιεῖται ἑαυτῷ, ὁ διὰ τοῦ ταῦτα καταγγέλλοντος ἄφρονος λόγου διδασκαλίαν τινὰ προβαλλόμενος νοῦς· ὁ γὰρ ἐν αἰσθήσει τοῦ τοιούτου λόγου γενόμενος, ἐπιμέμφεται τῷ τοῦτον ἀποτεκόντι νοΐ, ὡς μὴ διανοουμένῳ τὰ δέοντα.

7. Ἀφελοῦ πορείαν σκελῶν, καὶ παρανομίαν ἐκ στόματος ἀφρόνων.

Ἐξάλειψον τὴν μὲν ἐνέργειαν τῆς κακίας, ἀπό τε τοῦ ἐπιθυμητικοῦ τῶν ἀμνημονούντων θεοῦ, καὶ τοῦ θυμικοῦ· δι' ὧν δυνάμεων, ὡς τινων σκελῶν, ἡ ψυχὴ διώκει τε ἅπερ ποθεῖ, καὶ φεύγει ἅπερ μισεῖ· τὴν δὲ ἕξιν ταύτης, ἀπὸ τοῦ δίκην στόματος, τὴν ποιὰν ταῖς εἰρημέναις δυνάμεσι κίνησιν ὑποτιθεμένου διανοητικοῦ τῶν τοιούτων ἀνθρώπων· δέον δὲ πάντως ἐξαλεῖψαι αὐτάς· διὰ τὸ σπαρῆναι παρὰ τοῦ πονηροῦ τὴν τῆς κακίας ἕξιν· καὶ καρποφορῆσαι τὴν οἰκείαν ἐνέργειαν.

8. Ὃς ἀποδεσμεύει λίθον ἐν σφενδόνῃ, ὅμοιός ἐστι τῷ διδόντι ἄφρονι δόξαν.

Ὁ λίθον ἀσφαλῶς ἐντιθεὶς τῇ σφενδόνῃ, τοῦ ἀφεῖναι τοῦτον προθυμουμένου κατά τινος, παρόμοιός ἐστι τῷ παρέχοντι τιμὴν περιποιητικὴν δυναστείας τῷ ἀλογίστως βιοῦντι· ταύτης γὰρ ὁ

τοιοῦτος δραξάμενος, οὐκ ἀμελήσει τὰ πρὸς βλάβην ἀνθρώπων ἐργάζεσθαι· κἀντεῦθεν ὁ τὴν τιμὴν αὐτῷ παρασχὼν, συμμέτοχος ἔσται τούτῳ τῆς κατακρίσεως. XXVI.

9. Ἄκανθαι φύονται ἐν χειρὶ τοῦ μεθύσου· δουλεία δὲ, ἐν χειρὶ τῶν ἀφρόνων.

Ἐμμέριμνοι μὲν ἀναφύονται ἔννοιαι τῇ ψυχῇ ἐν τῇ κατ᾽ αἴσθησιν ἐνεργείᾳ, τοῦ τῇ σχέσει τῶν ὁρατῶν ἐξεστηκότος τῆς ἑαυτοῦ σοφίας νοὸς, ἀκανθῶν δίκην πλήττουσαι καὶ λυποῦσαι αὐτήν· δουλεία δὲ παθῶν, ἐν τῇ κατ᾽ ἐπιθυμίαν καὶ θυμὸν ἐνεργείᾳ, τῶν μὴ ἐμφρόνως ταῖς δυνάμεσι ταύταις ἐπιστατούντων λογισμῶν· καὶ μὴ πειθόντων τὴν μὲν ἐπιθυμίαν, ἀνδρείως ὑπομένειν τὰ λυπηρά.

10. Πολλὰ χειμάζεται πᾶσα σὰρξ ἀφρόνων· συντρίβεται γὰρ ἡ ἔκτασις αὐτῶν.

Πολλῷ χειμῶνι πειρασμῶν ἑκουσίων τε καὶ ἀκουσίων συνέχεται δίκην σκάφους ἡ σὰρξ τῶν μὴ ἔμφροσι λογισμοῖς οἷά τισιν οἴαξιν ἐπιστημόνως κυβερνώντων αὐτήν· τούτων γὰρ ἡ ἀπὸ τοῦ κατὰ φύσιν εἰς τὸ παρὰ φύσιν καθ᾽ ἡδονὴν καὶ ὀδύνην παρεκτροπὴ, πρὸς ἑαυτὴν προσκρούει καὶ φθείρεται· ὅτι περ τὰ κατ᾽ ὀδύνην πάθη, τοῖς καθ᾽ ἡδονὴν ἀντικείμενα, φθείρουσι ταῦτα, καὶ τούτοις συμφθείρεται.

11. Ὥσπερ κύων ὅταν ἐπέλθῃ ἐπὶ τὸν ἑαυτοῦ ἔμετον, καὶ μισητὸς γένηται, οὕτως ἄφρων, τῇ ἑαυτοῦ κακίᾳ ἀναστρέψας ἐπὶ τὴν ἑαυτοῦ ἁμαρτίαν.

Καθάπερ κύων ὅταν ἐφ᾽ ὅπερ φαγὼν βρῶμα, καὶ βδελυξάμενος ἀπήμεσεν, ἐπαναστρέψῃ τοῦτο αὖθις τρεφόμενος, πᾶσιν ἔσται τοῖς βλέπουσι βδελυκτὸς, ὡς ἀηδίας τούτους πληρῶν, οὕτω καὶ ὁ ἀλογίστως βεῶν, τῇ συνηθείᾳ τῆς ἁμαρτίας, ἐπὶ τὴν ἑαυτοῦ ἐπιστρέψας κακίαν, ἧς ἀποσχέσθαι ὑπέσχετο, ἔσται Θεῷ τε καὶ τοῖς ἁγίοις ἀγγέλοις αὐτοῦ βδελυκτός.

Ἔστιν αἰσχύνη ἐπάγουσα ἁμαρτίαν· καὶ ἔστιν αἰσχύνη, δόξα καὶ χάρις.

XXVI. Ὑπάρχει φόβος ἐπ' αἰσχρῷ πεπραγμένῳ βλάβην ἐπάγων ψυχικὴν ὁμοῦ καὶ σωματικὴν, πάντως ὁ τὸν διαπραξάμενον τὸ αἰσχρὸν, ὡς τὴν παρ' ἀνθρώπων αἰσχύνην μὴ φέροντα, συνωθῶν εἰς τὸ ἐπιβουλεύσασθαι τῇ ἰδίᾳ ζωῇ· καὶ ὑπάρχει αὖθις φόβος ἐπ' αἰσχρῷ πεπραγμένῳ, ὃς τιμὴ μὲν ἐστὶ τοῦ τυχόντος αὐτοῦ, ὡς ἀπὸ τῶν ἀτιμοποιῶν παθῶν διαφυλάττων αὐτόν· χάρις δὲ, ὡς τούτῳ διδόμενος παρὰ Θεοῦ δῶρον κωλυτικὸν τῆς πρὸς τὰ αἰσχρὰ ῥοπῆς· ἀνθ' ἧς μᾶλλον ὤφειλε τιμωρηθῆναι.

12. Εἶδον ἄνδρα δόξαντα παρ' ἑαυτῷ σοφὸν εἶναι· ἐλπίδα μέντοι ἔσχε μᾶλλον ἄφρων αὐτοῦ.

Ἐθεασάμην τινὰ τοῖς κατ' ἔλλειψιν τῆς ἀρετῆς πάθεσιν ἀπτόητον, οἴκοθεν ἔχειν νομίσαντα τὸν ἀναιρετικὸν τῶν παθῶν λόγον, καὶ μὴ παρὰ Θεοῦ τοῦτον λαβεῖν· πλέον μέν τοι γε τοῦ τοιούτου ἀνθρώπου σωτηρίας ἐλπίδα ἐκτήσατο, ὁ τοῖς κατ' ἔλλειψιν τῆς ἀρετῆς πάθεσιν ἀλογίστως ἐγκυλινδούμενος· ὅτι οὗτος μὲν, τὴν οἰκείαν ἐπιγινώσκων ἀσθένειαν, μετανοίας ἀναμένει καιρὸν, δι' ἧς ἐλπίζει τυχεῖν σωτηρίας παρὰ Θεοῦ· ἐκεῖνος δὲ, τὸ καθ' ὑπερβολὴν τῆς ἀρετῆς διάκενον οἴημα ἀγνοῶν, ὡς δυσφόρητον, ἐστὶ δυσθεράπευτος.

13. Λέγει ὀκνηρὸς ἀποστελλόμενος εἰς ὁδὸν, λέων ἐν ταῖς ὁδοῖς· ἐν δὲ ταῖς πλατείαις φονευταί.

Ὁ ῥᾴθυμος, προτρεπόμενος διά τε τοῦ γραπτοῦ νόμου, καὶ τοῦ φυσικοῦ ἐν τῷ δεσποτικῷ καὶ σωτηρίῳ πορευθῆναι θελήματι, παρ' αὐτοῦ πάντως τοῦ εἰς τὸ εἶναι τοῦτον παραγαγόντος, καὶ πᾶσιν ἐννόμως ἐπιστατοῦντος ποιητοῦ καὶ δεσπότου τῶν ὅλων Θεοῦ, προφασίζεται φοβεῖσθαι· ἐν μὲν ταῖς κατὰ πρᾶξιν τρίβοις τῶν ἐν τῷ γραπτῷ νόμῳ θείων ἐντολῶν, διὰ τὸ τῆς ἀρετῆς ἐπίπονον, τὸν δίκην λέοντος τὰς τῶν ἀνθρώπων ψυχὰς ἁρπάζοντα θάνατον· ἐν δὲ τῷ τῆς φυσικῆς τῶν ὄντων θεωρίας πλάτει, τοὺς ἐν τούτῳ διὰ τὸ ἀπατηλὸν τῆς αἰσθήσεως λῃστρικῶς ἐνεδρεύοντας δαίμονας, καὶ ταῖς ψευδέσι περὶ τῶν φαινομένων δόξαις, ἀποστεροῦντας τὸν νοῦν τῆς τούτου ἐν πνεύματι ζωῆς.

Ὥσπερ θύρα ςρέφεται ἐπὶ τοῦ στρόφιγγος, οὕτως ὀκνηρὸς XXVI. 14.
ἐπὶ τῆς κλίνης αὐτοῦ.

Καθάπερ θύρα ἐν μόνῳ τῷ ἰδίῳ ςρόφιγγι περιςρέφεται ἀνοιγομένη, οὕτω καὶ ὁ πρὸς τὴν ἐργασίαν τῶν τοῦ Θεοῦ ἐντολῶν διὰ τὸ τῆς ἀρετῆς ἐπίπονον, ῥᾴθυμος, τῇ σαρκὶ ὥς τινι κλίνῃ, διὰ φιληδονίαν ἐπαναπαυόμενος, μόνῃ τῇ ἐμμερίμνῳ σχέσει ταύτης ἐμπεριστρέφεται· κατὰ μὲν ἐπιθυμίαν ἀκόλαστον, τῶν ἐνηδόνων ὀρέξεων ἐπιστρεφόμενος· κατὰ δὲ θυμὸν μὴ ἀνδρείως, τὰς ἐπιφορὰς τῶν ὀδυνηρῶν ἀποστρεφόμενος· καὶ ὑπάρχων πρὸς μὲν γνῶσιν ἀκίνητος, πρὸς δὲ ἀρετὴν ἀνενέργητος.

Κρύψας ὀκνηρὸς τὴν χεῖρα αὐτοῦ ἐν τῷ κόλπῳ αὐτοῦ, οὐ 15.
δύναται ἐπενεγκεῖν εἰς τὸ στόμα.

Καλύψας ὁ πρὸς ἐργασίαν τῶν ἐντολῶν ῥᾴθυμος, ἐν τῷ κατὰ ψυχὴν ταμιείῳ αὐτοῦ, τὴν παρὰ Θεοῦ δοθεῖσαν πρακτικὴν δύναμιν, ἅτε μὴ ἐκτείνων ταύτην πρὸς τὴν τῶν θείων ἐντολῶν ἐνέργειαν, φειδοῖ τῆς σαρκὸς, διὰ τὸ τῆς ἀρετῆς ἐπίπονον, οὐ δύναται ἢ θρέψαι ἑαυτὸν τῇ τῶν αὐτῶν ἐντολῶν κατὰ πρᾶξιν γεύσει, ἢ ὀρέξαι χεῖρα βοηθείας τῷ ἐπαγγελτικῷ τῆς ἀληθείας διδασκαλικῷ αὐτοῦ λόγῳ, δι' ἀκολούθων αὐτῷ πρακτικῶν σημείων εἰς βεβαίωσιν· ὥστε δύνασθαι αὐτὸν πληροφορεῖν τοὺς ἀκούοντας.

Σοφώτερος ἑαυτῷ ὀκνηρὸς φαίνεται, τοῦ ἐν πλησμονῇ ἀπο- 16.
κομίζοντος ἀγγελίαν.

Ὁ πρὸς τὴν ἐργασίαν τοῦ ἀγαθοῦ ῥᾴθυμος, συνετώτερον ἑαυτὸν οἴεται, τοῦ ἐν τῷ πεπληρῶσθαι συνέσεως, ταύτην δι' ἔργων δικαιοσύνης καταγγέλλοντος· ὅτι μὴ ὡς ἐκεῖνος τῷ τραχεῖ τοῦ κατὰ Θεὸν βίῳ, ἀλλὰ ταῖς σαρκικαῖς ἡδυπαθείαις μᾶλλον ἐκδέδωκεν ἑαυτόν· μὴ εἰδὼς γὰρ τὸ ὄντως ἀγαθὸν, νομίζει ἀγαθὸν. τὸ μὴ ὂν ἀγαθόν.

Ὥσπερ ὁ κρατῶν κέρκου κυνὸς, οὕτως ὁ προεστὼς ἀλλο- 17.
τρίας κρίσεως.

Καθάπερ ὁ ἀπτόμενος οὐραίου κυνὸς, κωλύειν τοῦτον ἐπι-

XXVI. χειρῶν τῆς ἐπὶ τὰ πρόσω φορᾶς, δάκνεται ὑπ' αὐτοῦ, σπεύδοντος ἔχειν ἀκώλυτον τὴν ὁρμὴν, οὕτως ὁ κατὰ τὴν λαχοῦσαν αὐτῷ ἀρχὴν ἀνακρίνων ἕτερον, καὶ ἐξετάζων τὰ κατ' αὐτὸν προεςὼς, ἐπέχειν τοῦτον ἐπιχειρῶν τῆς πρὸς κακίαν ῥοπῆς, ἐπιβουλεύεται παρ' αὐτοῦ, μὴ βουλομένου τοῦ κακίστου ἐπιχειρήματος εἴργεσθαι.

18. Ὥσπερ οἱ ἰώμενοι προβάλλουσι λόγους εἰς ἀνθρώπους, ὁ
19. δὲ ἀπαντήσας τῷ λόγῳ πρῶτος, ὑποσκελισθήσεται, οὕτω πάντες οἱ ἐνεδρεύοντες τοὺς ἑαυτῶν φίλους, ὅταν δὲ ὁραθῶσι, λέγουσιν ὅτι παίζων ἔπραξα.

Καθάπερ οἱ πλήρεις ἰοῦ βασκανίας, δολεροὺς λόγους πρὸς ἀνθρώπους προτείνουσιν, ὃς δ' ἂν πρῶτος κατασοφισθεὶς, συγκατάθοιτό τινι τῶν τοιούτων λόγων, περιτραπήσεται, καὶ τοὺς ἑτέρους διδάξει προσέχειν, ὥςε τῇ τῶν τοιούτων λόγων ἀπάτῃ μὴ συναρπάζεσθαι, οὕτως ἅπαντες οἱ λαθραίως ἐπιβουλεύοντες τοῖς ἀγαπῶσιν αὐτοὺς, περιεργάζονται τούτους, δι' ὧν λέγουσιν· ὁπόταν δὲ παρὰ τούτων διαγνωσθῶσιν, ἀπολογοῦνται ἕκαστος τούτων, ὡς χαριεντιζόμενος ἐπλάσατο τὴν ἐπιβουλήν· καὶ ἐν αὐτῷ τῷ τῆς διαγνώσεως φωτὶ, ἐπιχειροῦντες συσκιάζειν οἱ σκαιοὶ τὴν σκαιωρίαν αὐτῶν.

20. Ἐν πολλοῖς ξύλοις θάλλει πῦρ· ὅπου δὲ οὐκ ἔστι δίθυμος, ἡσυχάζει μάχη.

Οἶδεν ἡ τοῦ πυρὸς φύσις, ὕλῃ ξύλων πολλῇ ἐμπλατύνεσθαι, καὶ εἰς μέγιςον ὕψος ἐπαίρεσθαι· τὸν αὐτὸν πάντως τρόπον καὶ ὁ ἐνδομυχῶν θυμὸς, ὕλης προσφόρου δραξάμενος, διπλασιάζεται, μεγάλην ἔχθραν ἀνάπτων· ἔνθα δὲ ὁ ἔνδοθεν ἐμφωλεύοντα τὸν θυμὸν κεκτημένος, μὴ ὑπάρχει διπλασιάζειν αὐτὸν ἀπὸ τῶν ἔξωθεν ἀφορμῶν, ἔνδον τῆς τούτου ψυχῆς τὸ πρὸς τὸν πλησίον σχολάζει μῖσος· ὡς ἀπόντι τῷ μισουμένῳ μὴ διαδεικνύμενον κατ' ἐνέργειαν οἷα δι' ὀργάνου τοῦ σώματος.

21. Ἐσχάρα ἄνθραξι, καὶ ξύλα πυρί· ἀνὴρ δὲ λοίδορος, εἰς ταραχὴν εὐμάχης.

Ἐκπυροῦται μὲν ἰσχύρα ἐπ᾽ ἀνθράκων κειμένη· καὶ φλόγα XXVI.
ἐγείρουσιν ἐπιπλέον πυρὶ ξύλα ἐπιτιθέμενα· ἄνθρωπος δὲ ἀπόν-
τας εἰωθὼς διαβάλλειν, εὑρών τινας τῷ κατά τινος μίσει τετα-
ραγμένους, προσεπιτίθησι κατ᾽ ἐκείνων διαβολάς· καὶ τὴν τῶν
μισούντων κατὰ τῶν μισουμένων ἐκπύρωσιν σφοδρὰν ἐπεργάζεται·
καὶ τὸν κατ᾽ ἀλλήλων πόλεμον ἐπιπλέον ἐγείρει· κἀντεῦθεν ἀνθ᾽
ὅτου ὤφειλεν εἰρηνοποιεῖν, καὶ υἱὸς χρηματίζειν Θεοῦ, ἀλλο-
τριοῦται Θεοῦ.

Λόγοι κερκώπων, μαλακοί· οὗτοι δὲ τύπτουσιν εἰς ταμεῖα 22.
σπλάγχνων.

Τὰ ῥήματα τῶν πρὸς χάριν λεγόντων, ἀπήλλακται πάσης
σκληρότητος· οἱ δὲ ταῦτα προσφέροντες, τὰ δίκην (ταμείων) κε-
κλεισμένα τῶν σπλάγχνων ὑπανοίγειν ἐπιχειροῦσι πρὸς οἰκτιρ-
μούς· εἰ οὖν τὸ πρὸς χάριν λαλεῖν διὰ τὸ παρορᾶσθαι τὴν ἀλή-
θειαν, οὐ καλὸν, αἴτιοι πάντως οἱ ἄσπλαγχνοι.

Ἀργύριον διδόμενον μετὰ δόλου, ὥσπερ ὄστρακον ἡγητέον. 23.
Ὁ μεταδιδοὺς ἀργυρίου τινὶ, ἀπατῶν τοὺς ὁρῶντας, καὶ
τὸν παρὰ τούτων θηρώμενος ἔπαινον, νομιζέτω τοῦτο μηδὲν δια-
φέρειν ὀστράκου, ἐπειδὴ μὴ εὐαρεστεῖ Θεῷ διὰ τῆς πρὸς τὸν
ἀδελφὸν δίκην ἀργυρίου καθαρᾶς διαθέσεως· οἰκτίρμονας γὰρ ἡμᾶς
γίνεσθαι κατὰ μίμησιν θείαν, ὁ λόγος τοῦ Θεοῦ ἀπαιτεῖ.

Χείλη λεῖα καρδίαν καλύπτει λυπηράν. 24.
Στόμα λόγους προφέρον παραμυθητικοὺς, καὶ μηδεμίαν κε-
κτημένους τραχύτητα, λύπην ἀφανίζει ψυχῆς, εἰς παρηγορίαν
τινὰ δι᾽ αὐτῶν αὐτὴν ἐκκαλούμενον, καὶ συστέλλον τὸ ἄλγος
αὐτῆς.

Χείλεσι πάντα ἐπινεύει ἀποκλαιόμενος ἐχθρός· ἐν δὲ τῇ καρ-
δίᾳ τεκταίνεται δόλους.

Τοῖς λύπην ψυχῆς ἀπαγγέλλουσι λόγοις, ἐπὶ πᾶσι συγκα-
τατίθεται, ὡς δῆθεν συμπάσχων τῷ τούτους προσφέροντι, ὁ
ἀπεχθῶς πρὸς αὐτὸν διακείμενος· ἐντεῦθεν δὲ διὰ τὸ πρὸς αὐ-
τὸν μῖσος, κατασκευάζει βουλὰς ἐν τῇ ἑαυτοῦ ψυχῇ κατ᾽ αὐτοῦ,

XXVI. συνωθῶν εἰς βάραθρον ἀπονοίας αὐτόν· ὁ γὰρ ἀληθῶς συναλγῶν τῷ ἀλγοῦντι, οὐκ αὔξειν τὸ ἄλγος αὐτοῦ, ἀλλὰ κατακοιμίζειν μᾶλλον ἐπιχειρεῖ.

25. Ἐάν σου δέηται ὁ ἐχθρὸς μεγάλῃ τῇ φωνῇ, μὴ πεισθῇς· ἑπτὰ γάρ εἰσι πονηρίαι ἐν τῇ ψυχῇ αὐτοῦ.

Εἴπερ ὁ κοινὸς πάντων ἐχθρὸς, ἐκκαλεῖταί σε πρὸς συνέργειαν τοῦ ἐν ἡμῖν βλήματος αὐτοῦ, τὴν ἑαυτοῦ μεγαλύνων παράκλησιν, τῷ τε τῆς ἡδονῆς δελεάματι, καὶ τῷ τῆς ὀδύνης φόβῳ, ὥστε ποιῆσαί σοι αὐτὴν ἀκουστὴν, μὴ γένῃ τούτῳ καταπειθὴς, τρυφὰν ὑποτιθεμένῳ σοι, διὰ τὸ εὐφραίνειν καὶ λιπαίνειν τὴν σάρκα· ὡς μὴ εἶναι δῆθεν αὐτὴν τῇ φθορᾷ καὶ τῇ κατ' αὐτὴν ὀδύνῃ εὐεπιχείρητον· ἑπτὰ γάρ εἰσιν αἱ διὰ τῆς γαστριμαργίας κατὰ παντὸς τοῦ φιλοσάρκου πονηρόταται τούτου ἐπιβουλαί· ἡ τῆς πορνείας, ἡ τῆς λύπης, ἡ τῆς ὀργῆς, ἡ τῆς ἀκηδίας, ἡ τῆς κενοδοξίας, καὶ ἡ τῆς ὑπερηφανίας, αἷς περιπεσεῖ, πάντως καταδεξάμενος τὴν γαστριμαργίαν, ὡς φίλαυτος· εἰ δὲ ταύτην δυνηθῇς ἀνελεῖν, συνανεῖλες αὐτῇ καὶ τὰ δι' αὐτὴν παρυφιστάμενα πάθη.

26. Ὁ κρύπτων ἔχθραν, συνίστησι δόλον· ἐκκαλύπτει δὲ τὰς ἑαυτοῦ ἁμαρτίας, εὔγνωστος ἐν συνεδρίῳ.

Ὁ καλύπτων τὸ ἑαυτοῦ πρός τινας μῖσος, κατ' αὐτῶν συσκευάζει ἐπιβουλὴν· καὶ κέκρυπται ἵνα μὴ ἀπρακτήσῃ διαγνωσθείς· ἀνακαλύπτει δὲ τὰ ἑαυτοῦ παραπτώματα ὁ ἐν συνελεύσει διαφόρων ἀνδρῶν εὐδιάγνωστος· ὡς μὴ δυνάμενος πάντας ἀπελέγχειν ψεύστας, καὶ συσκιάζειν τὰ τούτοις κατάδηλα.

27. Ὁ ὀρύσσων βόθρον τῷ πλησίον, ἐμπεσεῖται εἰς αὐτόν· ὁ δὲ κυλίων λίθον, ἐφ' ἑαυτῷ κυλίσει.

Ὁ βλάβην λαθραίαν ἐπινοῶν κατὰ τοῦ ὁμοπίστου αὐτῷ, αὐτὸς εἰς ταύτην ἐμπίπτει κατὰ ψυχήν· ὁ δὲ φανερὰν βλάβην ἐπάγων αὐτῷ, ἑαυτῷ ταύτην καὶ ὁ τοιοῦτος ἐπάγει κατὰ ψυχήν· καθὼς γὰρ ἂν αὐτοὶ περὶ τὸν πλησίον διατεθῶμεν, οὕτω καὶ περὶ ἡμᾶς διατεθήσεται ὁ κύριος, ἀποδιδοὺς ἑκάστῳ κατὰ τὰ ἔργα αὐτοῦ, οἷα κριτὴς δικαιότατος.

Γλῶσσα ψευδὴς, μισεῖ ἀλήθειαν· στόμα δὲ ἄστεγον, ποιεῖ XXVI. 28.
ἀκαταστασίας.

Ὁ τὰ πρὸς χάριν λαλῶν, καὶ τὰ πρὸς χάριν ἀκούειν ἀσπάζεται, ἐν οἷς αὐτὸς θεραπεύεται, τούτοις καὶ ἄλλυς θεραπεύειν ἐπιχειρῶν· κἀντεῦθεν καὶ λέγειν καὶ ἀκούειν τὴν ἀλήθειαν ἀποςρέφεται· ὁ δ' ἐν λόγοις μὴ ἐγκρατευόμενος, ἀλλὰ φθεγγόμενος ἀπερισκέπτως τὰ τοὺς ἀκούοντας δάκνοντα ἢ διαχέοντα, ἀπάγει τοῦ καθεστηκότος τούτων ψυχὰς, εἰς λύπην ἀλόγιστον, ἢ ὁμοίαν χαρὰν περιτρέπων αὐτάς.

C A P. XXVII.

Μὴ καυχῶ τὰ εἰς αὔριον· οὐ γὰρ οἶδας τί τέξεται ἡ ἐπιοῦσα. v. 1.

Μὴ κατὰ μὲν τὸ ἐνεστὼς θεράπευε τὸν ἀπατεῶνα τῶν ψυχῶν δαίμονα, τοῖς καθ' ἡδονὴν πάθεσι· ταῖς δὲ κατὰ τὴν αὔριον ματαίαις ἐλπίσιν, ἐγκαυχῶ τὴν δικαιοσύνην ἐργάσασθαι· καὶ οὕτω τὰ κατ' ἔλλειψιν τῆς ἀρετῆς καὶ ὑπερβολὴν ἀντικείμενα πάθη, ἀλλήλοις συμφύρων, ἑαυτῷ κίρνα δηλητήριον φάρμακον, καὶ τῆς ἐν πνεύματι ζωῆς ἀναιρετικόν· ἀγνοεῖς γὰρ τί σοι συναντήσει κατὰ τὴν αὔριον· διὸ τῷ λέγοντι θεῷ, ὅτι σήμερον ἐὰν τῆς φωνῆς μου ἀκούσητε δεῖ πείθεσθαι, καὶ μὴ εἰς τὴν αὔριον ἀναβάλλεσθαι· ἧς οὐχ ὑπάρχομεν κύριοι.

Ἐγκωμιαζέτω ὁ πέλας, καὶ μὴ τὸ σὸν στόμα· ἀλλότριος, 2.
καὶ μὴ τὰ σὰ χείλη.

Ἐπαινείτω σε ὁ κατὰ πίςιν ᾠκειωμένος σοι, ἀγαθοεργοῦντα ὁρῶν, καὶ εὐαρεστοῦντα θεῷ· καὶ μὴ αὐτὸς ἑαυτὸν, μέγα τι οἰόμενος περὶ ἑαυτοῦ· καὶ ἐκθειαζέτω ὁ ἑτερόδοξος, ἀκούων περὶ τῆς σῆς ἀρετῆς, καὶ ταύτην αἰδούμενος· καὶ μὴ ἐκεῖνος μεν τὸ τοῦ θεοῦ ὄνομα βλασφημῇ διὰ σὲ, ὡς τῆς ἀνομίας ἐργάτην, αὐτὸς δὲ τοῖς οἰκείοις ἀποσεμνύνῃς ῥήμασι σεαυτόν· εἰ γὰρ δικαιοσύνης φέρεις καρπὸν, δικαίως ἔσῃ ἀξιοθαύμαστος πᾶσι τοῖς ὁπωσοῦν τούτου μεταλαμβάνουσιν· εἰδ' ἄκαρπος εἶ, ἄξιος λο-

XXVII. γισθήσῃ ἀξίνης τε καὶ πυρὸς, κᾂν μυρίοις ἐπαίνοις σεαυτὸν συσκιάζειν ἐπιχειρῇς.

3. Βαρὺ λίθος· καὶ δυσβάστακτον ἄμμος· ὀργὴ δὲ ἄφρονος, βαρυτέρα ἀμφοτέρων.

Βαρὺ καὶ ἡ τοῦ λογιστικοῦ διὰ φρονήσεως στέρησιν πώρωσις· καὶ δυσβάστακτον ἡ περὶ τὸ ἐπιθυμητικὸν δι' ἔνδειαν σωφροσύνης, τῇ ἐπιῤῥοῇ τῆς τῶν παθῶν ἅλμης κάθυγρον, ἡδονὴ· τὸ συνειδὸς ἐπιτρίβουσαί τε καὶ καταθλίβουσαι· κἀντεῦθεν ἀλύπως φέρεσθαι μὴ δυνάμεθα· ἀλλ' ἡ τοῦ θυμικοῦ ἀλόγιστος ἐνέργεια, ἀνθρώπου τοῦ μὴ ἐχέφρονι λογισμῷ, οἷά τινι λογισμῷ, ἢ χαλινῷ, τῆς τυραννικῆς κατὰ τῶν ὁμοφυῶν ὁρμῆς τοῦτο ὡς ἀγέρωχόν τινα ἵππον ἀναχαιτίζοντος, ἐπαχθεστέρα καὶ ἀμφοτέρων ἐστί· διὸ καὶ μεῖζον τὸ τοιούτου φορτίου ἀποσκευαστικὸν φάρμακον, ἡ ἐντολὴ τῆς ἀγάπης ὑπὸ τοῦ κυρίου ἐδόθη.

4. Ἀνελεήμων θυμὸς, καὶ ὀξεῖα ὀργή· ἀλλ' οὐδὲ ὑφίσταται ζῆλος.

Ὑπάρχει ἀσυμπαθὴς πρὸς ἀνθρώπους θυμὸς καὶ ὀργὴ φερομένη σφοδρὰ κατ' αὐτῶν ἐκ μικρᾶς ἀφορμῆς· ἀλλ' οὐδαμῶς ἐκ τούτων συνίσταται ζῆλος, ὡς μὴ κατά τινα αἰτίαν εὔλογον κινουμένων· θυμοῦ γὰρ ὀργῆς, εἰ μὴ λόγος προκαθηγεῖται, πῶς ἂν ὑποσταίη ὁ κατ' ἐπίγνωσιν ζῆλος;

5. Κρείσσους ἔλεγχοι ἀποκαλυπτόμενοι κρυπτομένης φιλίας.

Κρείττονές εἰσιν ὑπὲρ ἀληθείας παῤῥησιαζόμενοι λόγοι, καὶ τοῖς φιλουμένοις φανεροποιοῦντες, διορθώσεως χάριν, τὰ αὐτῶν ἐλαττώματα· κᾂν ἐν τῷ ἀποξέειν τὸν τῆς κακίας ἰχῶρα δριμύττωσιν, ὑπὲρ τὴν συστελλομένην ἀγάπην, διὰ τὸ ἐπαχθὲς τῶν ἐλέγχων, καὶ μὴ ἐξ ἔργων διαδεικνυμένην· ὅτι ἐκεῖνοι μὲν τὴν ἀχλὺν τῆς ἀγνοίας τῶν ὑπ' αὐτῶν ἐλεγχομένων, διασκεδάζουσι· καὶ φῶς γνώσεως αὐτοῖς ἀνατέλλουσιν ὑπ' ὄψιν αὐτῶν ἄγοντες τὰ τούτων ψυχικὰ τραύματα, ὡς ἂν τῆς προσηκούσης τεύξωνται θεραπείας· αὕτη δὲ ὑποστελλομένη ἀνεπιμελήτους τοὺς ἀπαγομένους ἐᾷ, μηδεμίαν ἐπάγουσα τούτοις ὠφέλειαν.

6. Ἀξιοπιστότερα ἐστὶ τραύματα φίλου, ἢ ἑκούσια φιλήματα ἐχθροῦ.

Τοῦ ἀγαπῶντος ἡμᾶς Θεοῦ, καὶ μὴ θέλοντος τὸν θάνατον τοῦ ἁμαρτωλοῦ, ὡς τὸ ἐπιστρέψαι καὶ ζῆν αὐτὸν, αἱ παιδεῖαι πλέον ἀσυγκρίτως εἰσὶν ἄξιαι πιστεύεσθαι συμφέρειν ἡμῖν, κἂν ἀκουσίως πρὸς κάθαρσιν ἡμῶν ἐπισυμβαίνωσιν, ὑπὲρ τὰς φιλουμένας ἡμῖν τῶν καθ' ἡδονὴν ἑκουσίων παθῶν ὑποθήκας τοῦ τὴν ἡμετέραν ἀπώλειαν θέλοντος δαίμονος· καὶ γὰρ οἱ μὲν κατὰ συγχώρησιν θεοῦ, πρὸς ἡμετέραν διόρθωσιν ἀκούσιοι πειρασμοὶ, σωτηρίας ἡμῖν εἰσι πρόξενοι· οἱ δὲ παρὰ τοῦ πονηροῦ, πρὸς ἡμετέραν ἀπώλειαν ἑκούσιοι, αἰωνίου κολάσεως· ἐγκρατευσώμεθα γοῦν τῆς ἡδονῆς, καὶ ὑπομείνωμεν τὴν ὀδύνην, ὅση δύναμις· ὅπως ἀπαλλαγῶμεν πάσης παθῶν ἐπινοίας, καὶ κακουργίας δαιμονιώδους, καὶ τῆς ἀνωλέθρου ζωῆς ἐπιτύχωμεν. XXVII.

Ψυχὴ ἐν πλησμονῇ οὖσα, κηρίοις ἐμπαίζει· ψυχῇ δὲ ἐν ἐνδείᾳ, καὶ τὰ πικρὰ γλυκέα φαίνεται. 7.

Ὥσπερ ὁ βρωμάτων πλησθεὶς, καὶ πρὸς αὐτὸ τὸ ἥδυτατον μετὰ κηρίου μέλι ἀνορεκτῶν, τούτου καταφρονεῖ· τῷ δὲ ἐνδεεῖ τοῦ ἄρτου, καὶ τὰ τῶν βρωμάτων ἀηδῆ, ἡδέα δοκεῖ, οὕτω καὶ ἡ τῇ τῶν προσκαίρων ἀπολαύσει πεπλησμένη ψυχὴ, τὰ κατὰ γνῶσιν ὑπὲρ μέλι καὶ κηρίον γλυκέα τῷ πνευματικῷ λάρυγγι θεῖα λόγια ἀποστρέφεται· τῇ δ' ἐγκρατῶς περὶ τὰ προσκαίρως ἡδέα διακειμένῃ ψυχῇ, καὶ τὸ τῆς ἀρετῆς ἐπίπονον καὶ ἀηδὲς τῇ σαρκὶ, κατὰ πνεῦμα ὁρᾶται ἥδυτατον· διὸ καὶ γενναίως τούτῳ ἐγκαρτερεῖ, ἀκορέστως ἔχουσα πρὸς γνῶσιν καὶ ἀρετήν.

Ὥσπερ ὅταν ὄρνεον καταπετασθῇ ἐκ τῆς ἰδίας νοσσιᾶς, οὕτως ἄνθρωπος δουλοῦται ὅταν ἀποξενωθῇ ἐκ τῶν ἰδίων τόπων. 8.

Καθάπερ τι πτηνὸν πρὸ τοῦ πτεροφυῆσαι τέλεον, πειρώμενον ἵπτασθαι, ἐκπίπτει τε τῆς ἑαυτοῦ καλιᾶς, καὶ τοῖς παρατυχοῦσιν ἁλίσκεται, οὕτω καὶ ὁ ἄνω πρὸς Θεὸν ὡς ἀρχέτυπον ὁρᾷν τε καὶ τούτου ἐρᾷν ὡς ἀληθοῦς γνωστοῦ καὶ ἐσχάτου ὀρεκτοῦ, πλασθεὶς ἄνθρωπος, ὁπόταν τῶν οἰκείων κατὰ νοῦν καὶ λόγον ἕξεων τῆς γνώσεως καὶ τῆς ἀρετῆς ἑκὼν ἀπαλλοτριωθῇ, τοῖς ἀτιμοποιοῖς δεδούλωται πάθεσιν.

XXVII. 9. Μύροις καὶ οἴνοις καὶ θυμιάμασι τέρπεται καρδία· καταῤῥήγνυται δὲ ὑπὸ συμπτωμάτων ψυχή.

Δόγμασί τε εὐσεβείας χριομένη πνευματικῶς ἡ ψυχὴ, καὶ ταῖς θείαις ἐντολαῖς, τῶν φυσικῶν ἐξιςαμένη ὀρέξεων, καὶ τοῖς τοῦ παναγίου πνεύματος εὐωδιαζομένη χαρίσμασιν, εὐφροσύνης πληροῦται πνευματικῆς· διασπᾶται δὲ τούτων, ὁμοῦ καταπίπτουσά τε εἰς τὴν τῶν δογμάτων ἀπιστίαν, καὶ τὴν τῶν ἐντολῶν παρακοὴν, πληρουμένη τῆς δυσωδίας τῶν ἀκαθάρτων παθῶν.

10. Φίλον σὸν καὶ φίλον πατρῷον μὴ ἐγκαταλίπῃς· εἰς δὲ οἶκον τοῦ ἀδελφοῦ σου μὴ εἰσέλθῃς ἀτυχῶν.

Τὸ σοὶ καὶ τῷ προπάτορι προσφιλὲς σαρκίον, μήτε τῇ ἀρετῇ μήτε τοῖς πρὸς σύστασιν ἀναγκαίοις καταλείψῃς ἀνεπιμέλητον· ὡς περιπεσεῖν τοῖς καθ' ἡδονὴν ἢ τοῖς κατ' ὀδύνην πάθεσιν· ἀλλ' ὅσον τὸ ἐπὶ σοὶ, ἀνήδονόν τε καὶ ἄνοσον τοῦτο διατηρῶν, ἔχε σύνδουλον πρὸς τὴν τῶν κρειττόνων ὑπηρεσίαν· εἰς δὲ τοῦ διὰ φιλανθρωπίαν ἀνασχομένου ἀδελφοῦ σοι τὸ κατὰ σάρκα γενέσθαι θεοῦ λόγου, τὸν κατ' ἀρετὴν ἅγιον οἶκον, ἔτι γε τοῦ κατ' αὐτὴν πνευματικοῦ πλούτου πενόμενος, μὴ τολμήσῃς ὅλως μεθ' ὑποκρίσεως εἰσελθεῖν· ὥςε τοῖς πολλοῖς δόξαι ἐνάρετος· ἵνα μὴ ἀναξίως εἰσελθὼν εἰς αὐτὸν, εἰς τὸ σκότος ἀποῤῥιφῇς τὸ ἐξώτερον.

Κρείσσων φίλος ἐγγὺς, ἢ ἀδελφὸς μακρὰν οἰκῶν.

Καλλίων ἐςὶ φίλος ὁμογνώμων, ἢ ἀδελφὸς ἑτερογνώμων, ὅτι ἐκείνῳ μὲν ἐςὶ συμβιοτεύειν εἰρηνικῶς, τούτῳ δ' οὐχ οὕτως, ἀλλὰ τεταραγμένως τὲ καὶ μαχίμως· οἱ φρονοῦντες γὰρ ἀδελφὰ, κἂν μὴ τυγχάνοιεν ἀδελφοὶ, πλέον τῶν κατὰ σάρκα ἀδελφῶν ὑπάρχουσιν ἀδελφοί· ὅπερ δηλῶν καὶ ὁ κύριος, εἴρηκεν· ὅτι μήτηρ μου καὶ ἀδελφοί μου εἰσὶν οἱ ποιοῦντες τὸ θέλημα τοῦ πατρός μου τοῦ ἐν οὐρανοῖς.

11. Σοφὸς γίνου υἱὲ, ἵνα εὐφραίνηταί σου ἡ καρδία· καὶ ἀπόστρεψον ἀπὸ σοῦ ἐπονειδίστους λόγους.

Τοῦ τελειοποιοῦ χαρίσματος τῆς σοφίας, ὁ διὰ τῆς ἐν πνεύ-

ματι διδασκαλίας υἱοθετούμενός μοι, μεταλάμβανε· ὅπως εὐφρο- XXVII.
σύνης πνευματικῆς ἀπολαύσῃ σου ἡ ψυχή· καθαιρομένη τε διὰ
πράξεως, καὶ φωτιζομένη διὰ τῆς τῶν ὄντων φυσικῆς ἐν πνεύμα-
τι θεωρίας· καὶ τελειουμένη ἐν τῷ ταῦτα κατὰ νοῦν διαβαίνειν,
καὶ εἰς τὸν ἀνεπιβούλευτον τόπον τῆς μακαρίας περὶ Θεὸν ἀει-
φεγγίας φθάνειν καὶ ἀδιαλείπτως τοῦ κάλλους τῆς θείας αὐτοῦ
κατατρυφᾷν ὡραιότητος· καὶ ἀπόπεμψον ἐντεῦθεν ἀπὸ σοῦ τῷ τού-
του φόβῳ καὶ πόθῳ, πάντας τὰς ἐξ ὑποθήκης τοῦ πονηροῦ κι-
νουμένους ἐν τῇ σῇ ψυχῇ πολλῆς ἀξίους μέμψεως καὶ κατακρί-
σεως λογισμούς.

Πανοῦργος, κακῶν ἐπερχομένων, ἀπεκρύβη· ἄφρονες δὲ ἐπελ- 12.
θόντες, ζημίαν τίσουσιν.

Ὁ οἷα ἐχέφρων, παντὶ τρόπῳ, τὸ καλὸν ἐργαζόμενος ἄν-
θρωπος, στοχαστικῶς προϊδὼν τὰ ἐπερχόμενα αὐτῷ παρά τε δαι-
μόνων καὶ ἀνθρώπων ὑπὸ τούτων ἠπατημένων κακὰ, ἐξέφυγεν
αὐτὰ, ὑπὸ τὴν θείαν τε σκέπην καταφυγὼν, καὶ ταῦτα εὐφυῶς
μετελθών· οἱ δ᾽ ἀλογίστως βιοῦντες, θρασέως τούτοις ἐπιπηδή-
σαντες, δίκας ὑπέρ τε τῆς ἑαυτῶν, καὶ τῆς τῶν διωκόντων αὐ-
τοὺς ἀνθρώπων ψυχικῆς βλάβης, ὑφέξουσιν.

Ἀφελοῦ τὸ ἱμάτιον αὐτοῦ· παρῆλθε γὰρ ὑβριστὴς, ὅς τις τὰ 13.
ἀλλότρια λυμαίνεται.

Περίελε δὲ ἐλέγχων τὸ ἐσχηματισμένον τοῦ λόγου τε καὶ τοῦ
τρόπου, ἀνθρώπου τοῦ ἐνδεδυμένου αὐτὸ οἷα προβάτου δορὰν,
καὶ τὰς τῶν εὐηθεστέρων ψυχὰς, δίκην λύκου ἁρπάζοντος· παρ-
έδραμε γὰρ τὴν ἀρετὴν, μόνον τὸ παρηλλαγμένον τῆς κεκρυμμένης
αὐτοῦ διαθέσεως ἔξωθεν σχῆμα αὐτῆς μετελθών· ὅς τις ἐντεῦθεν
καθυβρίζει τὴν ἀλήθειαν καὶ τὸ ἀγαθὸν· ἐπιχειρῶν τε λανθά-
νειν καὶ ἀπατητῶς περιφέρων τὸ τῆς ἠλλοτριωμένης ἐξ αὐτοῦ ἀρε-
τῆς μειλίχιον καὶ σεμνὸν· ἅπερ πάντως καὶ διαφθείρει ἐν τῷ τοιου-
τοτρόπως περιφέρειν αὐτά.

Ὃς ἂν εὐλογεῖ φίλον τὸ πρωῒ μεγάλῃ τῇ φωνῇ, καταρωμέ- 14.
νου οὐδὲν διαφέρειν δόξει.

XXVII. Ὅς ἂν ταχέως ὃν ἀγαπᾷ ἐπαινεῖ εἰς τὸ φανερὸν, μεγάλην βλάβην ἐπάγων αὐτῷ, τὴν ἀπὸ τῶν ἐπαίνων φυσίωσιν, κατευχομένου οὐδὲν διαφέρειν ὑποληφθήσεται· διὸ οὐ δεῖ πρὸ τελευτῆς μακαρίζειν τινὰ, διὰ τὸ τῆς προαιρέσεως εὐαλλοίωτον.

15. Σταγόνες ἐκβάλλουσιν ἄνθρωπον ἐν ἡμέρᾳ χειμερινῇ ἐκ τοῦ οἴκου αὐτοῦ· ὡσαύτως καὶ γυνὴ λοίδορος ἐκ τοῦ ἰδίου οἴκου.

Οἱ ἄνωθεν φερόμενοι θεῖοι λόγοι, τὸν ἄνθρωπον ἐν καιρῷ πειρασμοῦ, ἐξιστῶσι κατὰ νοῦν, σαρκὸς ἐν ᾗ παροικεῖ· πείθοντες τοῦτον ταύτης ὑπερορᾷν, διὰ τὴν μέλλουσαν μισθαποδοσίαν· ὡσαύτως δὲ καὶ ἡ αἴσθησις, τὴν ἀρετὴν διὰ τὸ ἐπίπονον διαβάλλουσα, τῆς ἐν ταύτῃ διαμονῆς αὐτὸν ἐξιστᾷ, τοῖς πόνοις μὴ ἐγκαρτερεῖν ἀναπείθουσα· εἴη δὲ ἀνθρώπῳ παντὶ πάσχειν τὴν κρείττονα ἔκστασιν, καὶ μὴ πειρᾶσθαι τῆς χείρονος· ἡ μὲν γὰρ ἀνάγει τὸν νοῦν πρὸς θεὸν, καὶ τῆς βασιλείας αὐτοῦ ἀξιοῖ· ἡ δὲ πρὸς γῆν κατασπᾷ, καὶ καταδικάζει εἰς γέενναν.

16. Βορέας σκληρὸς ἄνεμος· ὀνόματι δὲ, ἐπιδέξιος καλεῖται.

Τὸ κατὰ τὴν τοῦ βίου θάλασσαν, δίκην ἀνέμου βορέου ἀνεγεῖρον κλύδωνα πειρασμῶν, καὶ χειμάζον τὰς ψυχὰς πνεῦμα τῆς πονηρίας, ἀντιτυπὲς ὑπάρχει τῇ μὲν ψυχῇ, τοῖς ἀκουσίοις πειρασμοῖς, τοῖς ἑκουσίοις δὲ τῇ σαρκί· καὶ γὰρ οἱ μὲν ἑκούσιοι, εἰ καὶ περιποιοῦνται ἡδονὴν τῇ σαρκὶ, ἀλλά γε ἡ ψυχὴ, τῷ τοῦ συνειδότος ἐπὶ τούτοις ἐλέγχῳ, καὶ τῷ τῶν μελλουσῶν κολάσεων φόβῳ, οὐκ ἀναπαύεται· οἱ δ' ἀκούσιοι, εἰ καὶ τῇ ἐλπίδι τῆς τῶν μελλόντων ἀγαθῶν μισθαποδοσίας εὐφραίνουσι τὴν ψυχὴν, ἀλλ' ἡ σὰρξ δυσχεραίνει ἐπὶ τῷ ἐπιπόνῳ αὐτῶν· ἀμφότερα δὲ τὰ τοιαῦτα εἴδη τῶν πειρασμῶν περιέπει κακούργως ὁ πονηρός· τὸ μὲν ἐπαίρων καὶ διερεθίζων τὴν ψυχὴν, μηχανώμενος ἡδοναῖς σώματος ἀποστῆσαι τῆς θείας ἀγάπης τὴν ἔφεσιν· τὸ δὲ, σοφιστικῶς ἐξαιτούμενος, ὡς δι' ὀδύνης φθεῖραι τὴν φύσιν βουλόμενος ἵνα βιάσηται τὴν ψυχὴν, ἀτονίᾳ πόνων καταβληθεῖσαν, πρὸς τὴν τοῦ κτίσαντος διαβολὴν κινῆσαι τοὺς λογισμούς.

17. Σίδηρος σίδηρον ὀξύνει· ἀνὴρ δὲ παροξύνει πρόσωπον ἑτέρου.

Σιδήρῳ μὲν χαλκευτικὸν ἔτι σιδήριον παρατριβόμενον τεχνικῶς, XXVII.
τοῦτον ὀξύνει· ψυχὴ δὲ ἀνδρεία, καὶ πρὸς πόνυς ἀνένδοτος, αὐτὴν τὴν συνεργὸν αὐτῇ σάρκα κατ' ἐπιστήμονα λόγον λεπτύνουσα, διεγείρει πρὸς ἀρετήν.

Ὃς φυτεύσει συκῆν, φάγεται τοὺς καρποὺς αὐτῆς· ὃς δὲ φυ- 18.
λάσσει τὸν ἑαυτοῦ κύριον, τιμηθήσεται.

Ὁ τὸν θεῖον λόγον καταφυτεύων τῇ πίστει ἐν τῇ ψυχῇ αὐτοῦ, δίκην συκῆς φέροντα καρπὸν τῷ φόβῳ τῶν ἀπειλῶν, ὕστερον δὲ γλυκαίνοντα δίκην μέλιτος, τῇ ἐλπίδι τῶν ἐπαγγελιῶν, ἀπολαύσει τούτυ ἔξω σαρκὸς κατὰ πρᾶξιν γενόμενος· γευσάμενός τε καὶ μαθὼν ἐκ τῆς πείρας αὐτῆς, ὅτι χρεστὸς ὁ κύριος· ὁ δὲ τηρῶν τὸν αὐτοῦ ἡγεμόνα νοῦν ἀπὸ τῆς τῶν φαινομένων πλάνης ἀνεπιβούλευτον, ἔξω κόσμυ κατὰ θεωρίαν γενόμενος, καὶ ἐν θεῷ καταπαύσας, δοξασθήσεται ἐν τῷ ὀφθῆναι αὐτῷ τὴν δόξαν αὐτοῦ.

Ὥσπερ οὐχ' ὅμοια πρόσωπα προσώποις, οὕτως οὐδὲ αἱ καρ- 19.
δίαι τῶν ἀνθρώπων.

Καθάπερ διάφοροι τῶν προσώπων οἱ χαρακτῆρες, διαλλάττοντες κατὰ τὰ ἀχώριστα συμβεβηκότα, τό τε σιμὸν καὶ τὸ γρυπὸν, τὸ λευκὸν καὶ τὸ μέλαν, καὶ τὰ ὅμοια, οὕτω διαλλάττυσι καὶ αἱ τῶν ψυχῶν διαθέσεις κατὰ τὰς διαφόρους προαιρετικὰς ἀρετὰς καὶ κακίας.

Ἅδης καὶ ἀπώλεια οὐκ ἐμπίπλανται· ὡσαύτως καὶ οἱ ὀφθαλ- 20.
μοὶ τῶν ἀνθρώπων ἄπληστοι.

Καθάπερ ὁ τὰς ψυχὰς μετὰ τὴν ἀπὸ τῶν σωμάτων διάζευξιν ὑποδεχόμενος ᾅδης, καὶ ὁ ταύτας ἀπατῶν, καὶ θεοῦ ἐξεςῶν δαίμων, κἂν πάντας καταπίωσιν, οὐ κορέννυνται, κατὰ τὸν αὐτὸν τρόπον καὶ αἱ ὀπτικαὶ τῶν ἀνθρώπων δυνάμεις, οὐκ ἐμπίπλανται τῆς περὶ τὰ φαινόμενα ἀπάτης· ἕως ἂν τούτων ὑπεριδοῦσαι, τὴν δόξαν ὄψωνται τοῦ θεοῦ· τοῦ γὰρ ἐσχάτου ὀρεκτοῦ φυσικῶς πάντα ἐφίεται· κἂν τοῦτο τινὲς δι' ἀπάτην παραγνωρίζοντες, τοῦ μὴ ὄντος ὡς ὄντος κατὰ γνώμην ἀντέχονται.

Βδέλυγμα κυρίῳ ςηρίζων ὀφθαλμόν· καὶ οἱ ἀπαίδευτοι, ἀκρατεῖς γλώσσῃ.

XXVII. Οὐκ εὐάρεστος τῷ πάντων κυριεύοντι Θεῷ πᾶς ὁ τὸ νοερὸν ὄμμα τῆς ψυχῆς ἀπασχολῶν κατ᾽ αἴσθησιν τῇ ἐπιφανείᾳ τῶν ὁρατῶν· καὶ μὴ διαβαίνων ἐν πνεύματι πρὸς τὴν διὰ πάντων ὡς συμβόλων μηνυομένην ἀλήθειαν· καὶ οἱ ἐντεῦθεν μὴ πεπαιδευμένοι τὰ θεῖα ἀδόλεσχοι, κομψείᾳ λόγων τὰς ἀκοὰς τῶν πολλῶν καταγοητεύοντες, καὶ μὴ τρέφοντες τὰς ὀρεγομένας ψυχὰς τοῦ ἐκ τοῦ οὐρανοῦ καταβαίνοντος ἄρτου, καὶ ταύτας στηρίζοντος.

21. Δοκίμιον ἀργύρῳ καὶ χρυσῷ, πύρωσις· ἀνὴρ δὲ δοκιμάζεται διὰ στόματος ἐγκωμιαζόντων αὐτόν.

Δοκιμάζονται ὁ μὲν ἄργυρος καὶ ὁ χρυσὸς ἐν καμίνῳ πυρούμενοι, ἐὰν ὦσι καθαροὶ, καὶ μὴ κίβδηλοι· ὁ δ᾽ ἀνένδοτος τοῖς πάθεσιν ἄνθρωπος, ἐξετάζεται καὶ γνωρίζεται ἐν τοῖς τῶν ἐπαινούντων αὐτὸν ἐγκωμίοις, ἐὰν ταπεινόφρων εἴη, καὶ μὴ τούτοις ἐπαίρηται.

Καρδία ἀνόμου ἐκζητεῖ κακά· καρδία δὲ εὐθεῖα ἐκζητεῖ γνῶσιν.

Ἡ ψυχὴ τοῦ μὴ κατὰ λόγον ἐπιστατοῦντος τῇ ἐπιθυμίᾳ καὶ τῷ θυμῷ, ὧν ἡ μὲν διάλυσίς ἐστι τοῦ περὶ καρδίαν πνεύματος· ὁ δὲ, ζέσις τοῦ περὶ καρδίαν αἵματος, ἀκρατῶς τῶν τε ἡδέων ὀρέγεται, καὶ τῆς τῶν λυπησάντων ἀντιλυπήσεως· ἡ δὲ τῷ λόγῳ καὶ νόμῳ τῆς φύσεως, ἰθυτενὴς ψυχὴ, ὡς τὸ νοερὸν αὐτῆς ὄμμα πάσης ἀχλύος παθῶν ἀπηλλαγμένον διαφυλάττουσα καθαρῶς κατ᾽ ἐπιστήμην ἐφίεται τοῦ φωτισμοῦ τῆς γνώσεως τοῦ πάντων αἰτίου Θεοῦ.

22. Ἐὰν μαστιγοῖς ἄφρονα ἐν μέσῳ συνεδρίου ἀτιμάζων, οὐ μὴ περιέλῃς τὴν ἀφροσύνην αὐτοῦ.

Ἐὰν τὸν ἀλογίστως βιοῦντα τύπτῃς λόγοις ἐλεγκτικοῖς, καταισχύνων αὐτὸν ἐπ᾽ ὄψεσι συγκαθημένων πολλῶν, οὐ περιαιρήσεις τὴν ἄλογιστον τούτου πρὸς τὰ χείρω ῥοπήν· ἐντεῦθεν γὰρ τέλεον ἀπαναισχυντήσας, ἀναιδῶς ἂν πράττοι τὰ πονηρά.

23. Γνωστῶς ἐπιγνώσῃ ψυχὰς ποιμνίου σου· καὶ ἐπιστήσεις καρ-
24. δίαν σου ταῖς ἀγέλαις, ὅτι οὐκ εἰς τὸν αἰῶνα ἀνδρὶ κράτος καὶ ἰσχύς· οὐ δὲ παραδίδωσιν ἐκ γενεᾶς εἰς γενεάν.

Οὐχ ἁπλῶς ἀπὸ τῶν φαινομένων ἠθῶν, ὦ λογικῶν προβά- XXVII.
των ποιμὴν, δεῖ σε γινώσκειν τοὺς σοφοὺς φοιτητὰς, ἀλλὰ τὰς κατ᾽ αὐτοὺς ἀκριβῶς ἐξετάσαντα, ἐπιγνῶναι ὅπως ἔχουσιν αἱ κατὰ ψυχὴν κεκρυμμέναι διαθέσεις αὐτῶν, ἵνα τοῖς προσφόροις φαρμάκοις, τὰς μὲν καχεκτούσας ψυχὰς, τῶν διοχλούντων αὐτὰς ἀπαλλάξῃς παθῶν· τὰς δ᾽ εὐεκτούσας, ἐπὶ τοῦ καθεστηκότος διατηρήσῃς ὡς δυνατόν· καὶ τοὺς μὲν εἰσαγωγικοὺς, ὡς νηπίους ἔτι τὴν κατὰ Χριστὸν ἡλικίαν, οἷα γάλα τὴν ἠθικὴν ποτίσῃς φιλοσοφίαν· τοὺς δὲ προκόπτοντας, τὴν φυσικήν· καὶ τοὺς τελείους, θρέψῃς τῇ θεολογικῇ· τὸν ἐκ τοῦ οὐρανοῦ καταβαίνοντα ἄρτον θεὸν λόγον εἰς βρῶσιν πνευματικὴν διδασκαλικῶς προσφέρων αὐτοῖς, καὶ ταῖς τῶν μαθητῶν ὁμηγύρεσι χρεὼν σε τὴν σὴν ἐρεῖσαι ψυχὴν ἐπισκοποῦσαν ἐνδιαθέτως τὰ κατ᾽ αὐτοὺς, καὶ ὡς εἰκὸς θεραπεύειν ἐπιχειροῦσαν, διὰ τὸ μὴ εἶναι δυνατὸν κατὰ τὸν αἰῶνα τοῦτον τῷ κατὰ τῶν παθῶν ἀγωνιζομένῳ, τὴν κατ᾽ αὐτῶν νίκην τελείαν κομίσασθαι, ὡς μηδὲ προσβάλλειν ὅλως ταῦτα αὐτῷ· οὐδ᾽ ἀτρεψίας δύναμίς ἐστιν ἐν αὐτῷ, ἕως ἂν ὑπόκειται τῇ φθορᾷ· μὴ οὖσα δὲ κατὰ τὴν παροῦσαν ζωὴν, οὐδὲ παραπέμψοι ἂν ἐξ αὐτῆς πρὸς τὴν μέλλουσαν· ἀλλὰ κληρονομηθήσεται μᾶλλον σὺν τῇ ἀφθαρσίᾳ κατὰ τὴν μέλλουσαν· διὸ δεῖ σε μετὰ πάσης σπουδῆς ἐπιμελεῖσθαι τῶν ὑπὸ σὲ, ἕως ἂν ὦσι τρεπτοί.

Ἐπιμελοῦ τῶν ἐν τῷ πεδίῳ χλωρῶν, καὶ κερεῖς πόαν· καὶ 25.
σύναγε χόρτον ὀρεινὸν, ἵνα ἔχῃς πρόβατα εἰς ἱματισμόν· τίμα πε- 26.
δίον, ἵνα ὦσιν ἄρνες.

Καταφρονῶν τῆς κατ᾽ αἴσθησιν ἀντιλήψεως τῶν ἐν τῷ πλάτει τῆς φυσικῆς καὶ τῆς γραφικῆς θεωρίας παλαιουμένων τε καὶ παρερχομένων, τῆς ἐπιφανείας πάντως τῶν ὁρατῶν, καὶ τοῦ καθ᾽ ἱστορίαν γράμματος ἐπιμελοῦ κατὰ νοῦν τῶν ἐν τῷ τοιούτῳ πλάτει νεαζόντων τῷ καινοποιῷ πνεύματι λόγων τῶν ὄντων, καὶ γραφικῶν νοημάτων· καὶ δρέψῃ κατ᾽ ἐνέργειαν τῶν ἀρετῶν τὴν ἀειθαλῆ γνῶσιν τῶν ἐν πάσῃ τῇ γραφῇ καὶ τῇ κτίσει διαδεικνυμένων παναγάθων τοῦ θεοῦ θελημάτων· ἀλλὰ καὶ αὐτὴν σύλλεγε

XXVII. πανταχόθεν τὴν εὐμάραντον οἷα χόρτον παραδειγματικὴν ἱςορίαν τῶν ὑψηλοτέρων θεωρημάτων· ὅπως κέκτηται τὰ ἀγόμενά σοι κατ' ἐπιστήμην πνευματικὴν, λογικὰ πρόβατα· ἀναλόγῳ τούτοις τροφῇ τῇ καθ' ἱστορίαν διδασκαλίᾳ, τρεφόμενα παρὰ σοῦ, καὶ δίκην μαλλοῦ τοὺς τῆς ἠθικῆς φιλοσοφίας τρόπους φύοντα· ὥστε καὶ τοὺς χρήζοντας ταύτης, πρὸς θάλψιν μεταλαμβάνειν πνευματικήν· μὴ οὖν ἀπαξίου τὴν χθαμαλωτέραν διδασκαλίαν, ἀλλὰ καὶ ταύτης λόγον ποιοῦ· ἵνα ὑπάρχωσί σοι καὶ ἀτελέστεροι μαθηταὶ, ὡς γάλακτι ταύτῃ τρεφόμενοι, καὶ ταῖς καθ' ἡμέραν ἐπιδόσεσιν πρὸς τελειότητα ἀναγόμενοι, καὶ οὕτω τὸ λογικόν σου πλατύνηται ποίμνιον.

27. Υἱὲ, παρ' ἐμοῦ ἔχεις ῥήσεις ἰσχυρὰς εἰς τὴν ζωήν σου· καὶ εἰς τὴν ζωὴν σῶν θεραπόντων.

Ὁ πνεῦμα υἱοθεσίας λαβὼν, ἀναντιῤῥήτως ἐξ ἐμοῦ τῆς σοφίας κέκτησαι διδασκαλίας φερούσας σε κατὰ θεωρίαν καὶ πρᾶξιν, εἴς τε τὴν ἐν Χριστῷ κεκρυμμένην οἰκείαν σοι κατὰ πνεῦμα ζωήν· καὶ εἰς τὴν κατὰ τὸν τῆς φύσεως νόμον οἰκείαν ζωὴν, τοῖς δουλεύουσί σοι πρὸς ἐργασίαν τῶν τοῦ θεοῦ ἐντολῶν μέλεσι τῆς σαρκός σου· παροιμιωδῶς γάρ σε τὰ κεκρυμμένα διὰ τῶν φαινομένων διδάσκουσαν ἐπιστήμην θείων καὶ ἀνθρωπίνων πραγμάτων χαρίζομαι· ὡς ἂν καλῶς πρὸς θεὸν καὶ ἀνθρώπους διάκεισαι, εἰρήνην μετὰ πάντων διώκων καὶ τὸν ἁγιασμόν.

CAP. XXVIII.

v. 1. Φεύγει ὁ ἀσεβὴς μηδενὸς διώκοντος· δίκαιος δὲ, ὥσπερ λέων πέποιθεν.

Ὥσπερ ὁ τὰ πρὸς ἀτιμίαν ἀνθρώπων ποιῶν, πτοούμενος μήπως ἁλῷ φωραθεὶς, καὶ δίκας ὑφέξει ὧν πρὸς αὐτοὺς πεπλημμέληκε, δραπετεύει κἂν παρά τινος μήπω διώκηται· ὁ δὲ μήτε πρὸς λύπην τινὸς ἐργασάμενος, κἂν ὑπό τινος διαβάλληται, καὶ εἰς δικαςήριον ἕλκηται, ἔχων τὸ οἰκεῖον συνειδὸς ἀκατάγνωςον,

θαῤῥεῖ ὥσπερ θὴρ ὁ λέων ἐπὶ τῇ ἰδίᾳ ῥωμαλεότητι, οὕτω καὶ ὁ τὰ μὴ τιμῶντα θεὸν ἔργα διαπραττόμενος, καὶ πρὶν ἢ τὸ μέλλον ἐπιςῇ δικαςήριον, ἤδη καταδεδίκαςαι, ὑπὸ τοῦ ἰδίου συνειδότος κατακρινόμενος· ὁ δ' ἀμέμπτως πολιτευόμενος, κἂν ἑκουσίοις πειρασμοῖς περιπείρηται, ἀλλά γε τὴν ἐλπίδα τῆς μελλούσης μισθαποδοσίας οὐκ ἀποβάλλεται· ὅπερ δηλῶν καὶ ὁ μακάριος λέγει Δαβίδ· διὰ τοῦτο οὐ φοβηθησόμεθα ἐν τῷ ταράσσεσθαι τὴν γῆν, καὶ μετατίθεσθαι ὄρη ἐν καρδίαις θαλασσῶν. XXVIII.

Δι' ἁμαρτίας ἀσεβῶν, κρίσεις ἐγείρονται· ἀνὴρ δὲ πανοῦργος κατασβέσει αὐτάς. 2.

Τῶν μὴ τιμώντων κατὰ διάθεσιν τὸ ὄντως ἀγαθὸν ἀποτυγχανόντων πολλάκις τῶν αὐτοῖς ἐφετῶν, διενέξεις μεταξὺ τούτων ἐγείρονται, ἀλλήλοις προσαπτόντων τὰς τῶν ἀποτυχιῶν ἀφορμάς· ὁ δὲ φρόνιμος, τὰς ἐντεῦθεν ἔριδας μετελθὼν εὐφυῶς, καταπαύσει αὐτάς.

Ἀνδρεῖος ἐν ἀσεβείαις, συκοφαντεῖ πτωχούς. 3.

Ὥσπερ ὁ ἰσχυρὸς τῇ τε γλώττῃ τοῦ καταψεύδεσθαι, καὶ τῇ χειρὶ τοῦ καταδυναςεύειν, τοῖς ἀποροῦσι καὶ λόγου καὶ δυναστείας ἐπηρεαστικῶς ἐπιφύεται, οὕτω καὶ ὁ κατὰ προαίρεσιν ἡμετέραν ἰσχυρὸς τοῦ κακοποιεῖν σατανᾶς, τοῖς κατὰ γνώμην ἐκπεπτωκόσι τοῦ πλούτου τῆς γνώσεως καὶ τῆς ἀρετῆς, κἀντεῦθεν μὴ δυναμένοις ἀντιστῆναι αὐτῷ, φθονερῶς ἐπιτίθεται, τέλεον ἀπολέσαι τούτους ἐπιχειρῶν.

Ὥσπερ ὑετὸς λάβρος καὶ ἀνωφελὴς, οὕτως οἱ ἐγκαταλειπόντες τὸν νόμον, ἐγκωμιάζουσιν ἀσέβειαν· οἱ δὲ ἀγαπῶντες τὸν νόμον, περιβάλλουσιν ἑαυτοῖς τεῖχος. 4.

Καθάπερ ὄμβρος ῥαγδαῖος, καὶ μὴ κατὰ καιρὸν φερόμενος τὸν προσήκοντα, πάντως παρασύρει τὴν γῆν, καὶ προσζημιοῖ τῷ κεφαλαίῳ τὸν γεωργὸν, οὕτως οἱ τὰς θείας ἐντολὰς ἀθετήσαντες, πρὸς κακίαν τὰς ψυχικὰς διαθέσεις τῶν ἀκροατῶν παρασύροντες, καὶ τὸν παρὰ τοῦ δημιουργοῦ ἐντεθέντα τῇ φύσει τῶν ἀνθρώπων σπόρον τοῦ ἀγαθοῦ διαφθείροντες, τὰ μὴ τιμῶντα

XXVIII. θεὸν ἔργα ἐπαινοῦσι, μὴ αἰσχυνόμενοι· οἱ δὲ περὶ τὰς τοιαύτας ἐντολὰς καλῶς διακείμενοι, ἑαυτοῖς τὸν θεῖον φόβον περιτεθείασι δίκην τείχους ἀπὸ τῶν τοιούτων φθοροποιῶν λόγων τὰς ψυχὰς τούτων περιφυλάττοντα.

5. Ἄνδρες κακοὶ, οὐ νοήσουσι κρίμα· οἱ δε ζητοῦντες τὸν κύριον, συνήσουσιν ἐν παντί.

Οἱ τῆς ἀνομίας ἐργάται, τυφλώττοντες κατὰ ψυχὴν, οἷα τὸν τοῦ θεοῦ νόμȣ ἀποςρεφόμενοι· ὃς, κατὰ τὸν ψαλμῳδὸν, φῶς ἐςι τῶν τρίβων ἡμῶν, οὐ διακρινοῦσι τὸ κρεῖττον ἀπὸ τοῦ χείρονος· οἱ δὲ πρὸς τὴν ἰδίαν αἰτίαν, τὸν τοῦ παντὸς δεσπότην θεὸν, ἁπλῶς κατὰ νοῦν κινούμενοι μετ᾽ ἐφέσεως, ὑπ᾽ αὐτοῦ τοῦ τῆς δικαιοσύνης ἡλίου τὸ νοερὸν ὄμμα καταλαμπόμενοι, πᾶν τὸ παρατυχὸν καλῶς γνώσονται, τὴν καθόλου κεκτημένοι διάκρισιν.

6. Κρείσσων πτωχὸς πορευομενος ἐν ἀληθείᾳ, πλουσίȣ ψευδους.

Ὁ τῆς μὲν κατὰ προφορὰν ψιλῆς γνώσεως ἐνδεὴς, κατὰ πρᾶξιν δὲ, τῶν θείων ἐντολῶν τὴν τῆς ἀληθείας ὁδὸν διερχόμενος, βελτίων ἐστι τοῦ λόγων ἔχοντος περιουσίαν πολλὴν, μὴ ἐξ ἔργων δικαιοσύνης βεβαιȣμένων· ὅτι περ ὁ μὲν ποιῶν, καὶ τῷ τρόπῳ διδάσκων, μακάριος· ὡς καὶ ἑαυτὸν ὠφελῶν, καὶ τοὺς ὁρῶντας ἐνάγων εἰς δόξαν θεοῦ· ὁ δὲ διδάσκων καὶ μὴ ποιῶν, ἄθλιος· βλάπτων τε ἑαυτὸν, καὶ τοὺς λόγους αὐτοῦ διὰ τῆς τῶν ἔργων ἐναντιότητος ἀκύρους ποιῶν· ἡ γὰρ ψιλὴ γνῶσις φυσιοῖ· ἡ δὲ ἀγάπη οἰκοδομεῖ, κατὰ τὸν μέγαν ἀπόστολον.

7. Φυλάσσει νόμον υἱὸς συνετός· ὃς δὲ ποιμαίνει ἀσωτίαν, ἀτιμάζει πατέρα.

Τηρεῖ τὴν θείαν ἐντολὴν ὁ τῆς κατὰ χάριν υἱοθεσίας ἀξιωθεὶς· μὴ κέκτημένος τὴν πίστιν ψιλὴν, ἀλλ᾽ ἔργοις δικαιοσύνης προκοψας εἰς τὸ κατὰ τὰς ψυχικὰς δυνάμεις συννεύειν τε καὶ συνδιατίθεσθαι πρὸς τοὺς λόγους καὶ τοὺς τρόπους τῶν ἐντολῶν· ὃς δὲ περιέπει τὴν ἑαυτοῦ κατὰ διεφθαρμένον βίον ἀπώλειαν, εἰς ὕβριν γίνεται τοῦ ἐκ μὴ ὄντος εἰς τὸ εἶναι τοῦτον παραγαγόντος θεοῦ· οἱ γὰρ ἐν πείρᾳ τῆς αὐτοῦ κακίας γενόμενοι, δι᾽ αὐτὴν τὸν τούτου πλάστην ἀναγκάζονται βλασφημεῖν.

Ὁ πληθύνων τὸν πλοῦτον αὐτοῦ μετὰ τόκων καὶ πλεονασμῶν, XXVIII. 8.
τῷ ἐλεοῦντι πτωχοὺς συνάγει αὐτόν.

Ὁ αὐξάνων τὸν κατὰ γνῶσιν καὶ ἀρετὴν πνευματικὸν πλοῦτον αὐτοῦ, ἐν τῷ διδασκαλικῶς τούτου μεταδιδόναι τοῖς χρήζουσι, καὶ καρπίζεσθαι τὴν ἀπὸ τούτων ὠφέλειαν, κἀντεῦθεν πολλαπλασιάζειν αὐτὸν, συγκομίζει τοῦτον Θεῷ, τῷ τοὺς ἐστερημένους τοῦ τοιούτου πλούτου οἰκτείροντι, συνεργὸς τούτῳ πρὸς τὴν τῶν πολλῶν σωτηρίαν γενόμενος.

Ὁ ἐκκλίνων τὸ οὖς αὐτοῦ τοῦ μὴ εἰσακοῦσαι νόμον, αὐτὸς 9.
τὴν προσευχὴν αὐτοῦ ἐβδέλυκται.

Ὁ ἀποστρέφων τὰ ὦτα αὐτοῦ τοῦ μὴ ὑπακούειν τῇ ἐντολῇ τοῦ Θεοῦ, τούτῳ καὶ αὐτὸς κατὰ τὴν ἑαυτοῦ δέησιν ἐβδελυγμένος ἐστιν· αἰτεῖ γὰρ καὶ οὐ λαμβάνει, ὅτι κακῶς αἰτεῖ· κἂν γὰρ ὑπὲρ τῆς ἰδίας σωτηρίας παρακαλῇ, ἣν καὶ Θεὸς παρέχειν βούλεται, ἀλλ' ἐπεὶ μὴ ἐνεργουμένην ποιεῖ τὴν ἑαυτοῦ δέησιν, ἅτε μὴ ἐργαζόμενος τὰ θεῖα προστάγματα, δικαίως ἀποτυγχάνει αὐτῆς.

Ὃς πλανᾷ εὐθεῖς ἐν ὁδῷ κακῇ, εἰς διαφθορὰν αὐτὸς ἐμπε- 10.
σεῖται· οἱ δὲ ἄνομοι διελεύσονται ἀγαθὰ, καὶ οὐκ εἰσελεύσονται εἰς αὐτά.

Ὁ τοὺς ἁπλουστέρους ἀπὸ τῆς πρὸς σωτηρίαν φερούσης ἐν νόμου πολιτείας διαστρέφων ἀπατηλῶς πρὸς τὴν ἄγουσαν εἰς ἀπώλειαν, αὐτὸς μὲν καὶ περὶ αὐτὴν τὴν ζωὴν κινδυνεύσει ὡς λυμεὼν· ταύτης προαναρπασθεὶς δικαίᾳ ψήφῳ Θεοῦ, οἷά περ ἀνὴρ δολιότητος, ἵνα μὴ πολλοῖς ἀπωλείας γένηται πρόξενος· αὐτοὶ δὲ, οἱ μὴ ἐξ αὐθαιρέτου γνώμης, ἀλλ' ἐξ ἀπάτης τῆς κατὰ λόγον πολιτείας παρεκτρεπόμενοι, τὰ τούτοις συμφέροντα παραδράμωσι· καὶ πεῖραν τούτων πολιτείας οὐ λήψονται.

Σοφὸς παρ' ἑαυτῷ ἀνὴρ πλούσιος· πένης δὲ νοήμων, κατα- 11.
γνώσεται αὐτοῦ.

Οἴεται εἶναι σοφὸν ἑαυτὸν, ὁ τὴν κατὰ προφορὰν ψιλὴν γνῶσιν πλουτῶν· ὁ δὲ ταύτης μὲν ἐνδεὴς, προσέχων δὲ καὶ κατα-

XXVIII. λαμβάνων τῶν κεκομψευμένων λόγων τούτȣ τὴν ἔννοιαν, εἰς μηδὲν χρησιμεύȣσαν, καταμέμψεται τούτȣ, ὡς τοῖς εἰς ἀέρα εἰκῆ χεομένοις λόγοις ἐναμβρυνομένου, καὶ ταῖς στροφαῖς ἐγκαλλωπιζομένου τῶν λέξεων.

12. Διὰ βοήθειαν δικαίων, πολλὴ γίνεται δόξα· ἐν δὲ τόποις ἀσεβῶν ἁλίσκονται ἄνθρωποι.

Διὰ τὴν παρὰ τῆς θείας χάριτος βοήθειαν τῶν ἐν φωτὶ γνώσεως προκρινόντων τὰ αἰώνια τῶν προσκαίρων, καὶ πολιτευομένων ἀμέμπτως, πολλὴ ἀναπέμπεται δόξα Θεῷ παρὰ τῶν τὰ καλὰ τούτων ἔργα ὁρώντων, καὶ γινωσκόντων ὅτι χωρὶς αὐτοῦ οὐδὲν οὗτοι δύνανται ποιεῖν· ἐν δὲ ταῖς τῆς ἀγνοίας καὶ τῆς κακίας ἕξεσι τῶν μὴ δι' ἀγαθοεργίας τιμώντων Θεὸν, κατακρατοῦνται οἱ τῶν αἰωνίων ἐπιλανθανόμενοι, καὶ ἀνθρωπίνως φρονοῦντες τὰ πρόσκαιρα.

13. Ὁ ἐπικαλύπτων ἀσέβειαν ἑαυτοῦ, οὐκ εὐοδωθήσεται· ὁ δὲ ἐξηγούμενος ἐλέγχους, ἀγαπηθήσεται.

Ὁ τὰ μὴ τιμῶντα Θεὸν οἰκεῖα ἔργα ἀρνούμενος, οὐκ εἰς ἅπαν λαθεῖν δυνηθῇ· κἂν γὰρ ἀνθρώπους πολλάκις ἐν τῷ μὴ ὁμολογῆσαι ἀποκρύψηται, ἀλλ' οὐ λήσεται καὶ τὸν ἀλάθητον ὀφθαλμὸν τοῦ Θεοῦ, ὃς ἀποδίδωσιν ἑκάστῳ κατὰ τὰ ἔργα αὐτοῦ· ὁ δ' ἀπαγγέλλων αὐτὰ κατὰ μέρος τοῖς τοῦτον ἐλέγχȣσιν, οἷα ἐπιγνώμως μεταμελόμενος, εἰ καὶ μὴ ἀφεθῇ παρ' ἀνθρώπων, παρὰ Θεοῦ καθαρὸς ἀφεθήσεται.

14. Μακάριος ἀνὴρ, ὃς καταπτύσει πάντα δι' εὐλάβειαν· ὁ δὲ σκληρὸς τὴν καρδίαν, ἐμπεσεῖται κακοῖς.

Εὐάρεστος Θεῷ ἄνθρωπος, ὃς μή τινος πράγματος καταφρονεῖ, διὰ τὸ φεύγειν μὲν τὰ ψυχὴν βλάπτοντα, ἀντιποιεῖσθαι δὲ τῶν σωζόντων αὐτὴν, φόβῳ τοῦ μὴ εἰς κόλασιν ἐμπεσεῖν, ἢ τῆς βασιλείας ἀποπεσεῖν· ὁ δ' ἀπαράδεκτος τοῦ θείου φόβου κατὰ ψυχὴν, εἰς ἁμαρτήματα περιπέσῃ, αἰωνίαν τούτῳ ἐπάγοντα κόλασιν.

15. Λέων πεινῶν, καὶ λύκος διψῶν, ὃς τυραννεῖ πτωχὸς ὢν ἔθνους πενιχροῦ.

Οἷά τις ἰσχυρότερος τῶν λοιπῶν θηρῶν λέων πεινῶν φαγεῖν σάρκας, καὶ πλέον αὐτῶν ἅρπαξ λύκος διψῶν πιεῖν αἷμα, ἐστὶν ὃς χρημάτων ἀπορῶν, τυραννικῶς ἄρχει πενομένου λαοῦ, ἀνηλεῶς καταρέχων καὶ διαφθείρων αὐτοὺς, ὥστε τὰ ἑαυτοῦ ταμεῖα πληρῶσαι θησαυρῶν. XXVIII.

Βασιλεὺς ἐνδεὴς προσόδων, μέγας συκοφάντης· ὁ δὲ μισῶν ἀδικίαν, μακρὸν χρόνον ζήσει. 16.

Ἀπορῶν πλούτου ῥέοντος ἐπιθυμητὴς βασιλεὺς, καταψεύδεται τοῦ οἰκείου λαοῦ αἰτιάματα τούτοις προσάπτων, ἃ μὴ ἐπίστανται· ὃς δὲ τὸ πλεονεκτεῖν ἀποστρέφεται, ἀνεπιβούλευτον καὶ τὴν παροῦσαν διαβιβάζει ζωὴν, καὶ ἡ αἰώνιος αὐτὸν διαδέχεται.

Ἄνδρα τὸν ἐν αἰτίᾳ φόνου ὁ ἐγγυώμενος, φυγὰς ἔσαι, καὶ 17.
οὐκ ἐν ἀσφαλείᾳ.

Ὁ ἐπαγγελλόμενος εἰς τὴν αὔριον παραδοῦναι εἰς νέκρωσιν τὸ κατεξαναστὰν φρόνημα τῆς σαρκὸς, τοῦ φρονήματος τῆς ψυχῆς, καὶ ταύτην τῇ κατ' ἐνέργειαν ἁμαρτίᾳ νεκρώσας, ἐκστήσεται τῆς παρούσης ζωῆς, καὶ φόβον ἕξει τῆς μελλούσης κολάσεως.

Παίδευε υἱὸν, καὶ ἀγαπήσει σε, καὶ δώσει κόσμον τῇ σῇ ψυχῇ· οὐδὲ μὴ ὑπακούσῃ ἔθνει παρανόμῳ.

Ὠφελίμως ἄγε κατὰ ψυχὴν τὸ ἐν κυρίῳ σου τέκνον, ἐπιπόνως πολλάκις τῶν ἀπὸ κακίας κηλίδων ἐκκαθαίρων αὐτὸ, καὶ διατεθήσεται καλῶς περὶ σέ· καὶ παράσχῃ τῇ ψυχῇ σου εὐπρέπειαν, τὰ ἐπ' αὐτῷ ταύτης βουλήματα κοσμοῦν ἐμπράκτως κατ' ἀρετήν· οὐ γὰρ τῷ μὴ τὸν λόγον, καθ' ὃν ἐκτίσθη, τηρήσαντι πλήθει τῶν δαιμόνων ὑποταγήσεται, ἀλλὰ ταῖς σαῖς ὑποθήκαις τῆς ἐπηρείας αὐτῶν ἀποστὰν, εἰς θεὸν καταφύγῃ τὴν σκέπην τὴν κραταιάν.

Ὁ πορευόμενος δικαίως βεβοηθήσεται· ὁ δὲ σκολιαῖς ὁδοῖς 18.
πορευόμενος ἐμπλακήσεται.

Ὁ μὲν τῆς εὐθείας τρίβου τῶν ἀρετῶν μηδαμῶς ἐκτρεπόμενος, πεπλούτηκε τὴν θείαν βοήθειαν· δι' ἧς τὰς τοῦ διαβόλου παγίδας ἐξέφυγεν· ὁ δὲ ταύτης ἐκτρεπόμενος, καὶ ποτὲ μὲν

XXVIII. τοῖς κατ' ἔλλειψιν τῆς ἀρετῆς ἐνδιατρίβων πάθεσι· ποτὲ δὲ τοῖς καθ' ὑπερβολὴν, ὥς τινι ἀφύκτῳ βρόχῳ τῇ παγίᾳ ἕξει τῶν τοιούτων παθῶν, συσχεθήσεται πρὸς ἀπώλειαν.

19. Ὁ ἐργαζόμενος τὴν ἑαυτοῦ γῆν, πλησθήσεται ἄρτων· ὁ δὲ διώκων σχολὴν, πλησθήσεται πενίας.

Ὁ περὶ τὴν γεώδη σάρκα αὐτοῦ, τῇ τῶν ἐντολῶν ἐργασίᾳ φιλοπονῶν, τῶν τὴν ψυχὴν στηριζόντων χαρισμάτων τοῦ πνεύματος γενήσεται ἔμπλεως· ὁ δὲ τὸν ἀνειμένον βίον παθῶν, οὐδαμῶς ἔσται τούτων ἐπιτυχὴς, καὶ λιμώξει ἰσχυρῶς.

20. Ἀνὴρ ἀξιόπιστος, πολλὰ εὐλογηθήσεται· ὁ δὲ κακὸς, οὐκ ἀτιμώρητος ἔσται.

Ὁ τῷ κυρίῳ πιστεύων, καὶ τῷ πρὸς αὐτὸν φόβῳ, ἀνενδότως ἐγκαρτερῶν τῷ ἐπιπόνῳ τῆς ἐργασίας τῶν αὐτοῦ ἐντολῶν, ἄξιος αὐτῷ λογισθεὶς τοῦ πιστευθῆναι τὰ ὑπὲρ νοῦν θεῖα τούτου μυστήρια, ἀκούσεται παρ' αὐτοῦ τοῦτο εὖ δοῦλε ἀγαθὲ καὶ πιστὲ, ἐπὶ ὀλίγα ἦς πιστὸς, ἐπὶ πολλῶν σε καταστήσω· εἴσελθε εἰς τὴν χαρὰν τοῦ κυρίου σου· ὁ δ' ἄπιστος καὶ παραβάτης τῶν αὐτοῦ ἐντολῶν, τὴν αἰώνιον οὐκ ἐκφεύξεται κόλασιν.

21. Ὃς οὐκ αἰσχύνεται πρόσωπα δικαίων, οὐκ ἀγαθός· ὁ τοιοῦτος ψωμοῦ ἄρτου ἀποδώσεται ἄνδρα.

Ὃς τὰς ὄψεις τῶν ἀμέμπτως πολιτευομένων οὐχ ὑποστέλλεται, ἀλλ' ἀνερυθριάστως τούτων ὑπερορᾷ, οὐκ ἀγαθὸς κατὰ γνώμην ἐστίν· ὁ τοιοῦτος γὰρ ἐπὶ βραχεῖ τεμαχίῳ ἄρτου ἀπεμπολήσει ἄνθρωπον τοῖς κατ' ἀρετὴν πόνοις ἀνένδοτον· παρορῶν τοῦτον, φειδοῖ κλάσματος ἄρτου, γενέσθαι λιμοῦ παρανάλωμα.

22. Σπεύδει πλουτεῖν ἀνὴρ βάσκανος, καὶ οὐκ οἶδεν ὅτι ἐλεήμων κρατήσει αὐτοῦ.

Σπουδάζει ὁ φθονερὸς κατέχειν ἃ πεπλούτηκε παρὰ θεοῦ ἀγαθὰ, τούτων ἑτέροις μὴ μεταδιδούς· καὶ ἀγνοεῖ ὅτι τοῖς χρῄζουσι καταβάλλων αὐτὰ, ἐπεὶ οὕτω καλῶς ταῦτα οἰκονομεῖ, πλείονα λήψεται· κἀντεῦθεν ἐπικρατέστερος τούτου γενήσεται.

23. Ὁ ἐλέγχων ἀνθρώπου ὁδοὺς, χάριτας ἕξει μᾶλλον τοῦ γλωσσοχαριτοῦντος.

Ὁ τὸν ἄνω ὁρῶντα πρὸς κύριον, καὶ κεκτημένον τὸν φόβον αὐτοῦ, κἀντεῦθεν σοφίας μὴ ἀμοιροῦντα, ἀπελέγχων μετὰ διαθέσεως ἀγαθῆς, ἐν οἷς ὁρᾷ τοῦτον ὡς ἄνθρωπον ἐνδέοντά που τοῦ πρέποντος, εὐχαριστήσεται παρ' αὐτοῦ πλέον τοῦ κολακεύοντος· ὡς τοῦ κατὰ δρόμου αὐτῷ συνεργός. XXVIII.

Ὃς ἀποβάλλεται πατέρα ἢ μητέρα, καὶ δοκεῖ μὴ ἁμαρτάνειν, οὗτος κοινωνός ἐστιν ἀνδρὸς ἀσεβοῦς. 24.

Ὃς ἀθετεῖ τὸν ἑαυτοῦ κατὰ χάριν πατέρα Θεὸν δι' ἀπιστίαν, ἢ τὴν κατὰ ψυχὴν τροφὸν ἑαυτοῦ διδασκαλίαν, διὰ τὴν τῶν θείων ἐντολῶν παράβασιν, καὶ οἴεται μὴ ποιεῖν κακὸν, ὁ τοιοῦτος ὅλης τῆς κακίας μεταλαμβάνει τοῦ ἰσχύϊ πάσῃ κακοποιοῦντος τοὺς ἑκουσίως πειθομένους αὐτῷ δαίμονος, καὶ μὴ τιμᾷν εἰδότος Θεόν.

Ἄπιστος ἀνὴρ, κρίνει εἰκῆ· ὃς δὲ πέποιθεν ἐπὶ κύριον, ἐν ἐπιμελείᾳ ἔσται. 25.

Ὁ περὶ τῆς αὔριον μεριμνῶν, καὶ μὴ πιστεύων τῷ προνοητῇ πάντων Θεῷ, μηδὲ τὰ καθ' ἑαυτὸν τούτῳ ἀνατιθεὶς, ἐπὶ πράγμασιν ἀδήλοις κρίνει ματαίως, ἐνδείας καὶ γήρους καιρὸν φανταζόμενος· καὶ ταῦτα τί τέξεται ἡ ἐπιοῦσα μὴ ἐπιστάμενος, κἀντεῦθεν τῆς ἑαυτοῦ ἀμελεῖ σωτηρίας, ἀνηνύτοις φροντίσιν ἐνασχολούμενος· ὃς δ' ἐπ' αὐτὸν ἐλπίζει τὸν τοῦ παντὸς δεσπότην Θεὸν, τῆς παρ' αὐτοῦ προνοίας ἀξιωθήσεται.

Ὃς πέποιθε θρασείᾳ καρδίᾳ, ὁ τοιοῦτος ἄφρων· ὃς δὲ πορεύεται σοφίᾳ, σωθήσεται. 26.

Ὃς ἐπὶ τῇ ἀλογίστῳ ὁρμῇ τῆς ἰδίας ἐλπίζει ψυχῆς, ὁ τοιοῦτος οὐ φέρει νόησιν, τὴν πείθουσαν τὸ μὲν ἐπιθυμητικὸν, τοῦ ὄντως καλοῦ ὀρέγεσθαι· τὸ δὲ θυμικὸν, τὸ ὄντως κακὸν ἀποστρέφεσθαι· ὃς δὲ πρῶτον κατὰ νοῦν, δυνάμει σοφίας τὰς τῶν πραγμάτων αἰτίας ὁρᾷ, καὶ οὕτω κατὰ λόγον, τοῦ μὲν, κατ' ἐπιθυμίαν ἐρᾷ· τὸ δὲ, κατὰ θυμὸν ἀποστρέφεται, ῥυσθήσεται τῆς εἰς κρημνοὺς κακίας καὶ βάραθρα φερούσης ἀλογίστου φορᾶς.

XXVIII. 27. Ὁ δίδωσι πτωχοῖς, οὐκ ἐνδεηθήσεται· ὃς δὲ ἀποςρέφει τὸν ὀφθαλμὸν αὐτοῦ, ἐν πολλῇ ἀπορίᾳ ἔσται.

Ὃς χρημάτων καὶ διδασκαλίας ἀφθόνως τοῖς χρῄζουσι μεταδίδωσιν, οὐδενὸς τούτων γενήσεται ἐνδεὴς, ἑκατονταπλασίονα ὧν μεταδέδωκεν ἄλλοις λαμβάνων παρὰ θεοῦ· ὃς δὲ τούτων ὑπερορᾷ, καταφρονῶν τῆς κατὰ σῶμα καὶ ψυχὴν σωτηρίας αὐτῶν, πάντων καὶ οὗτος τῶν πρὸς σωτηρίαν ὑπάρξει κατὰ πολὺ ἐνδεής· ἐπειδὴ τοὺς ὁμοφυεῖς οὐκ ἠλέησεν, οὐδ᾽ αὐτὸς ἐλεούμενος παρὰ τοῦ θεοῦ.

28. Ἐν τόποις ἀσεβῶν στένουσι δίκαιοι· ἐν δὲ τῇ ἐκείνων ἀπωλείᾳ, πληθυνθήσονται δίκαιοι.

Ἐν ταῖς χώραις τῶν μὴ δι᾽ ἀγαθοεργίας τιμώντων θεὸν ἡγεμόνων, θλιβόμενοι ςενάζουσιν οἱ ἀμέμπτως πολιτευόμενοι· ὁπόταν δὲ ψήφῳ δικαίᾳ θεοῦ παραδοθῶσιν οἱ τοιοῦτοι ἀρχηγοὶ ὀλέθρῳ, καὶ τιμῶντες τὴν ἀρετὴν, εἰς πλῆθος ἐπιδώσουσιν οἱ ἐνάρετοι· ἐπειδὴ φιλεῖ ὡς τὰ πολλα τὸ ὑπήκοον συνεξομοιοῦσθαι τοῖς ἄρχουσιν.

CAP. XXIX.

v. 1. Κρείσσων ἀνὴρ ἐλέγχων, ἀνδρὸς σκληροτραχήλου· ἐξαπίνης γὰρ φλεγομένου αὐτοῦ οὐκ ἔστιν ἴασις.

Εἰ καὶ ἀνεπιστημόνως ποιεῖ ὁ ἐλέγχων τὸν ἀκαμπῆ τε καὶ ἀνυπότακτον, εἰς τὸ καθ᾽ ἑαυτοῦ μῖσος διεγείρων αὐτὸν, καὶ βλάπτων μᾶλλον ἢ ὠφελῶν, ἀλλ᾽ ὅμως τούτου καλλίων ἐςὶν, ὡς ἐλέγχους ἀκοῦσαι ὁ ἀπειθὴς, καὶ πρὸς ὀργὴν εὐθὺς δι᾽ οἰκείαν αὐθάδειαν ἐμπυρούμενος, οὐδεμιᾶς θεραπείας ἐπιτυγχάνει τοῦ πρὸς τὸν ἐλέγχοντα μίσους.

2. Ἐγκωμιαζομένων δικαίων, εὐφρανθήσονται λαοί· ἀρχόντων δὲ ἀσεβῶν, στένουσιν ἄνδρες.

Ἐπαινουμένων ἀρχηγῶν, ἀπονεμόντων τὸ κατ᾽ ἀξίαν ἑκάστῳ τῶν ὑπ᾽ αὐτοὺς, χαρήσονται οἱ τούτοις ὑπήκοοι, μηδεμίαν ἐξ

αὐτῶν λύπης ἀφορμὴν εὔλογον ἔχοντες· εὐφημουμένων δὲ πάλιν XXIX.
ἀρχηγῶν κρατούντων τυραννικῶς, καὶ μὴ δι᾽ ἀγαθῶν ἔργων τιμώντων Θεὸν, στενάζουσιν οἱ γενναίως τὰ παρ᾽ αὐτῶν αὐτοῖς ἐπερχόμενα λυπηρὰ φέροντες.

Ἀνδρὸς φιλοῦντος σοφίαν, εὐφραίνεται πατὴρ αὐτοῦ· ὃς δὲ 3.
ποιμαίνει πόρνας, ἀπολεῖ πλοῦτον.

Τοῦ γενναίως τὰ πάθη κατὰ πρᾶξιν καταπαλαίσαντος, ποθοῦντος γνῶναι τὴν αἰτίαν τῶν ὅλων σοφίαν, κατὰ τὴν ἐν πνεύματι φυσικὴν θεωρίαν τῶν ὄντων, καὶ οὕτω πρὸς σωτηρίαν ἐπειγομένου, χαίρει διὰ φιλανθρωπίαν ὁ τοῦτον κατὰ χάριν υἱοθετησάμενος πανοικτίρμων Θεός· ὁ δ᾽ εἰς ἐπιθυμίας ἀλλοκότους προνοούμενος ἑαυτοῦ, κἀντεῦθεν τὰς πόῤῥω τοῦ λόγου νευούσας αἰσθήσεις ταῖς ἐμπαθείαις ἐκτρέφων, ζημιοῦται τὸν κατὰ γνῶσιν καὶ ἀρετὴν πνευματικὸν πλοῦτον.

Βασιλεὺς δίκαιος, ἀνίστησι χώραν· ἀνὴρ δὲ παράνομος κα- 4.
τασκάπτει.

. Ὁ τοῦ παντὸς δεσπότης καὶ δίκαιος τῶν ὅλων κριτὴς Θεὸς, τὸ τῶν ἀνθρώπων γένος τοῦ καθ᾽ ἁμαρτίαν ἐγείρει θανάτου, πρὸς ἐργασίαν τῶν αὐτοῦ ἐντολῶν, ταῖς τε τῶν κολάσεων ἀπειλαῖς, καὶ ταῖς ἐπαγγελίαις τῶν ἀγαθῶν· ὁ δὲ τὸν λόγον, καθ᾽ ὃν γέγονε, παραβὰς δαίμων, τῇ καταγγελτικῇ τοῦ θείου θελήματος δυνάμει, ἣν παρὰ Θεοῦ ἔλαβε παραχρώμενος, κἀντεῦθεν ὢν ἰσχυρὸς τοῦ κακοποιεῖν τοὺς αὐθαιρέτῳ γνώμῃ πειθομένους αὐτῷ, ἀντὶ τοῦ συνεργεῖν εἰς τὴν κατὰ Θεὸν ἡμετέραν οἰκοδομὴν, καθαιρεῖ τῷ κατ᾽ αἴσθησιν ἀπατηλῷ καὶ προσκαίρως ἡδεῖ.

Ὃς παρασκευάζει ἐπὶ πρόσωπον τοῦ ἑαυτοῦ φίλου δίκτυον, 5.
περιβάλλει αὐτὸ τοῖς ἑαυτοῦ ποσίν.

Ὃς δολίως ἐπιβουλεύων τῷ ἀγαπῶντι αὐτὸν, λάθρα πλέκει κατ᾽ αὐτοῦ βλάβην σώματος, ὃ ἐστι πρόσωπον τῆς ψυχῆς ὡς ταύτης χαρακτηριστικὸν, κατ᾽ ἐνέργειαν ἑαυτῷ προηγουμένως τὴν τοιαύτην περιτίθησι βλάβην κατὰ διάνοιαν· ἧς τοῖς κινήμασιν, ὥς τισι ποσὶ διήκει κατὰ ψυχὴν πρὸς ἀπώλειαν· καὶ τὸ μὲν βλα-

XXIX. βῆναι παρὰ τούτῳ τὸν ἐπιβουλευόμενον, ἄδηλον, ὡς παρὰ τῇ κρίσει κείμενον τοῦ Θεοῦ· τὸ δ᾽ ἐντεῦθεν αὐτὸν ὑφ᾽ ἑαυτοῦ τὰ μέγιστα καταβλάπτεσθαι, πρόδηλον· οἷα Θεοῦ τῆς αὐτοαγάπης κατὰ διάθεσιν ἀφιστάμενον, καὶ τῷ ἀνθρωποκτόνῳ σατανᾷ προστιθέμενον.

6. Ἁμαρτάνοντι ἀνδρὶ, μεγάλη παγίς· δίκαιος δὲ ἐν χαρᾷ, καὶ ἐν εὐφροσύνῃ ἔσται.

Τῷ μὲν πταίοντι κατὰ τὸ παραβαίνειν τὰς θείας ἐντολὰς ἀνθρώπῳ, μεγάλη τιμωρία ἔσεται κατὰ τὸ μέλλον, ἡ ἀπὸ Θεοῦ, τοῦ ἐσχάτου ὀρεκτοῦ, ἔκπτωσις· τῷ δ᾽ ἀμέμπτως κατὰ τὰς αὐτοῦ ἐντολὰς πολιτευομένῳ, ἀγαλλίασις καὶ ἀπόλαυσις, ἡ ἐπιτυχία, τοσοῦτον ἡ ἀποτυχία λυπεῖ.

7. Ἐπίσταται δίκαιος κρίνειν πενιχροῖς· ὁ δὲ ἀσεβὴς οὐ νοεῖ γνῶσιν· καὶ πτωχῷ οὐχ ὑπάρχει νοῦς ἐπιγνώμων.

Οἶδεν ἀπταίστως ὁ τὸν Θεὸν ἔργοις δικαιοσύνης τιμῶν, ἀποδιαστέλλειν τῶν κρειττόνων τὰ χείρονα, οἷα διαγινώσκων ἀπὸ τῆς πείρας τοῦ ἀγαθοῦ τὸ τούτῳ ἐναντίον κακόν· ὁ δὲ μὴ οὕτω τοῦτον τιμῶν, τὰ ἀπὸ τούτου μακρύνοντα διανοήματα τοῦ ἀρχεκάκου ἐχθροῦ ἀγνοεῖ, καὶ τούτοις ἁλίσκεται πρὸς ἀπώλειαν· καὶ τῷ ἐντεῦθεν κατὰ γνῶσιν πτωχεύοντι, οὐκ ἔστι νοῦς ἐπιγινώσκων τὸν κύριον ἀγαθόν· ἀλλὰ διαβάλλων αὐτὸν ὡς σκληρὸν, διὰ τὸ ἐπίπονον τῆς ἐργασίας τῶν αὐτοῦ ἐντολῶν.

8. Ἄνδρες ἄνομοι ἐξέκαυσαν πόλιν· σοφοὶ δὲ ἀπέστρεψαν ὀργήν.

Οἱ παρὰ τὴν θείαν ἐντολὴν, ὡς ἔν τινι πόλει τῇ ψυχῇ θρασέως στρεφόμενοι λογισμοὶ, κατ᾽ ἀνθρώπων ταύτην ἐξέμηναν· τούτους δὲ οἱ θείῳ φόβῳ ἐν αὐτῇ κινούμενοι, εἰς γαλήνην μετέστρεψαν, εἰρηνοποιήσαντες αὐτὴν, καὶ τὸν τάραχον τοῦ θυμοῦ κατασβέσαντες.

9. Ἀνὴρ σοφὸς, κρίνει ἔθνη· ἀνὴρ δὲ φαῦλος ὀργιζόμενος, καταγελᾶται, καὶ οὐ καταπτήσει.

Ὁ θείῳ φόβῳ, ὃς ἀρχὴ σοφίας ἐστὶ, τὸ ἀγαθὸν ἐργαζόμενος, κολάζει τὰ ἀλλόφυλα πάθη, τὴν ἐπιθυμίαν καὶ τὸν θυμὸν κατὰ λόγον πείθοντα, τὴν μὲν ἐπιθυμίαν, τῶν ἡδονῶν ἐγ-

κρατεύεσθαι· τὸν δὲ θυμὸν, τὰ ὀδυνηρὰ ὑπομένειν· ὁ δὲ τῆς XXIX.
κακίας ἐργάτης, εἰκῇ κατ᾿ ἀδελφοῦ ὀργιζόμενος, ἐμπαίζεται ὑπὸ τοῦ σατανᾶ· καὶ οὐχ ὑποστέλλεται λέγων τὰ πλήττοντα ψυχὰς, καὶ εἰς μῖσος ἑαυτοῦ αὐτὰς διεγείροντα.

Ἄνδρες αἱμάτων μέτοχοι, μισήσουσιν ὅσιον· οἱ δὲ εὐθεῖς ἐκ- 10.
ζητήσουσι ψυχὴν αὐτοῦ.

Οἱ ὡς τοῖς ἀνομίας ἐργάταις, τοῖς ἀδελφοῖς ἐπιτιθέμενοι καὶ φθείρειν τούτους ἀπανθρώπως ἐπιχειροῦντες, τὸν ὑπὲρ τῆς σωτηρίας μὴ δ᾿ αὐτῆς φειδόμενον τῆς ζωῆς, ἀποστραφήσονται, ἐπειδὴ ἀντιπράττει αὐτοῖς· οἱ δ᾿ εὖ τεθειμένοι τὰ ἑαυτῶν, καταλαβεῖν σπεύσουσι μιμητικῶς, τὴν κατὰ ψυχὴν κεκρυμμένην τούτου διάθεσιν.

Ὅλον τὸν θυμὸν αὐτοῦ ἐκφέρει ἄφρων· σοφὸς δὲ ταμιεύεται 11.
κατὰ μέρος.

Ὁ μὴ κατὰ λόγον τὸ τῆς ψυχῆς ἄλογον μέρος καθυποτάσσων, μὴ φέρων ὁποῖον ἂν εἴη τὸ παρά τινος ἐπισυμβαῖνον αὐτῷ θλιβερὸν, ὀργίλοις ῥήμασί τε καὶ ἔργοις αὐτοῖς, φανεροῖ ὅσην ἔχει τὴν ὄρεξιν τῆς κατὰ τοῦ λυπήσαντος τοῦτον ἀντιλυπήσεως· ὁ δὲ τὸ νοερὸν τῆς ψυχῆς ὄμμα τῇ χάριτι τοῦ παναγίου πνεύματος πεφωτισμένος, καὶ τὸ δέον ὁρῶν, λόγῳ τὸν θυμὸν ὑποτάσσων, συστέλλει τοῦτον καθ᾿ ἕκαστον τῶν θλιβερῶν, οἷα πᾶσι τούτοις γενναίως ἐγκαρτερῶν.

Βασιλέως ἐπακούοντος λόγον ἄδικον, πάντες οἱ ὑπ᾿ αὐτὸν 12.
παράνομοι.

Ὥσπερ τινὸς βασιλεύοντος ἀνθρώπων, παραδεχομένου ὑποθήκην τῷ δικαίῳ ἀντίθετον, οἱ ὑπ᾿ αὐτὸν αὐτῷ ὑπακούοντες, τὸ παράλογον διαπράττονται, οὕτω καὶ τοῦ πασῶν τῶν ψυχικῶν δυνάμεων ἡγεμονεύοντος νοῦ, ὑποκύπτοντος τῇ ἀντιθέτῳ τῇ θείᾳ ἐντολῇ ὑποθήκῃ τοῦ σατανᾶ, πᾶσαι αἱ εἰρημέναι δυνάμεις τὴν εἰρημένην ἐντολὴν παραβαίνουσι, τὸ κακὸν ἐργαζόμεναι.

Δανειστοῦ καὶ χρεωφειλέτου ἀλλήλοις συνελθόντων, ἐπισκο- 13.
πὴν ἀμφοτέρων ποιεῖται ὁ κύριος.

XXIX. Ἡ ψυχὴ μεταδιδοῦσα ζωῆς τῇ σαρκὶ, ἀπαιτεῖ μὲν αὐτὴν ὥς τι χρέος τὸ συνεργεῖσθαι παρ' αὐτῆς πρὸς τὰ κάλλιστα· οὐ βούλεται δὲ ὅλως μερίμναις δι' αὐτὴν περισπᾶσθαι τισίν· αὐτὴ δὲ ἡ σὰρξ, χρήζει μὲν τῆς παρὰ τῆς ψυχῆς προνοίας, πρὸς τὴν ἑαυτῆς σύστασιν· ἀπαναίνεται δὲ ὑπείκειν ὅλως αὐτῇ πρὸς τὴν τῶν θείων ἐντολῶν ἐργασίαν, διὰ τὸ ταύτης ἐπίπονον· συνελθουσῶν οὖν ἀλλήλαις, τῆς μὲν ψυχῆς τῇ σαρκὶ, πρὸς τὸ περιποιεῖσθαι αὐτῇ διατροφὰς, καὶ σκεπάσματα τὰ μόνον ἀναγκαιότατα· τῆς δὲ σαρκὸς τῇ ψυχῇ, εἰς τὸ ὑπείκειν ταύτῃ πρὸς πρᾶξιν τῶν ἀρετῶν, ἀμφοτέρας προνοητικῶς ἐπιβλέπει ὁ δεσπότης πάσης τῆς νοητῆς καὶ τῆς αἰσθητῆς κτίσεως, χορηγῶν αὐταῖς τὰ ἑκάτερα πρὸς σωτηρίαν πρόσφορα.

14. Βασιλέως ἐν ἀληθείᾳ κρίνοντος πτωχοὺς, ὁ θρόνος αὐτοῦ εἰς μαρτύριον κατασταθήσεται.

Ὥσπερ βασιλέως τινὸς κατὰ τὰς ψυχικὰς διαθέσεις, τοὺς ὑπ' αὐτὸν κρίνοντος, καὶ οὐχὶ κατὰ τὰς φαινομένας ἀξίας, κἂν τούτων ὑπάρχοντας τοὺς ὑπ' αὐτὸν ἐνδεεῖς, τὸ βασιλικὸν τούτου ἀξίωμα, ὅπερ ὁ θρόνος παραδηλοῖ, εἰς ἔλεγχον ἔσται τῶν τε ἀγαθῶν, καὶ τῶν μὴ τοιούτων, οὕτω καὶ τοῦ ἡγεμόνος (νοῦ) μὴ πρὸς τὰ φαινόμενα κάλλη, ἀλλὰ πρὸς τὰ ἀφανῆ βλέποντος, καὶ τὰ ὄντως ἀγαθὰ τῶν νομιζομένων προκρίνοντος, ἡ κατὰ τῶν παθῶν ἐξουσία τούτου, ἥ τις τοῦ παναγίου πνεύματος χάρις ἐστὶ φῶς ὑπάρχουσα γνώσεως λόγοις διδασκαλικοῖς διελέγξει τό τε ἀγαθὸν, καὶ τὸ πονηρόν.

15. Πληγαὶ καὶ ἔλεγχοι διδόασι σοφίαν· παῖς δὲ πλανώμενος, αἰσχύνει γονεῖς αὐτοῦ.

Τιμωρίαι υἱῷ πάντως παρὰ πατρὸς ἐπαγόμεναι, καὶ λόγοι μετὰ παῤῥησίας φανεροῦντες τὰ αἴτια τῶν τιμωριῶν ἁμαρτήματα, καὶ καταισχύνοντες αὐτὸν πρὸς διόρθωσιν, ἀληθείας γνῶσιν τούτῳ χαρίζεται· υἱὸς δὲ, τῆς ἀληθείας ἀποπλανώμενος, καὶ τῶν ὄντως ἀγαθῶν τὰ νομιζόμενα προτιμώμενος, ἐκ τοῦ πράττειν τὰ παράλογα, τοὺς ἰδίους καταισχύνει γεννήτορας, πολ-

λῶν μέμψεων τούτοις ὑπάρχων παραίτιος· ἐπειδὴ μὴ τῆς προσ- XXIX.
ηκούσης παιδείας τετύχηκε παρ᾽ αὐτῶν.

Πολλῶν ὄντων ἀσεβῶν, πολλαὶ γίνονται ἁμαρτίαι· οἱ δὲ δί- 16.
καιοι, ἐκείνων πεπτόντων, κατάφοβοι γίνονται.

Τῶν πολλῶν μὴ δι᾽ ἀγαθοεργίας τιμώντων Θεὸν, πολλὰ τού-
τῳ μὴ ἀρέσκοντα πράττονται· τούτους δὲ οἱ ἀμέμπτως πολιτευό-
μενοι ἐλεοῦντες τοῦ πτώματος, ἑαυτοὺς τῷ θείῳ φόβῳ κατασφα-
λίζονται, ὥστε μὴ τοῖς ὁμοίοις περιπεσῇ.

Παίδευε υἱόν σου, καὶ ἀναπαύσει σε· καὶ δώσει κόσμον τῇ 17.
ψυχῇ σου.

Ἄγε τὸν σὸν παῖδα ψυχωφελῶς, ἄν τε σαρκικὸς εἴη ἄν τε
πνευματικὸς, ἀγνοίας καὶ κακίας ἐπιπόνως καθαίρων αὐτόν· καὶ
θεραπεύσει σε, πληρῶν τὸ ἐπ᾽ αὐτῷ τὰ τῆς ψυχῆς σου βου-
λήματα· καὶ προσάψει αὐτῇ ὡς αἰτίᾳ τὴν ἐφ᾽ ἑαυτῷ ποικιλίαν
τῶν ἀρετῶν.

Οὐ μὴ ὑπάρξῃ ἐξηγητὴς ἔθνει παρανόμῳ· ὁ δὲ φυλάσσων τὸν 18.
νόμον, μακαριστός.

Οὐκ ἔσται ἑρμηνεὺς τῶν νομίμων πάντως διδαγμάτων τοῦ
πνεύματος, λαῷ ἔθει κακίας καὶ ἀγνοίᾳ δουλεύοντι, καὶ μηδό-
λως παραδεχομένῳ τὸν νόμον τοῦ πνεύματος· οἱ γὰρ μὴ τοῦτον
παραδεχόμενοι, οὐκ ἂν δεηθεῖεν τῆς αὐτοῦ ἐξηγήσεως· ἵνα καὶ
ἐξηγητὴν αὐτοῦ ἕξουσι· διὰ τὸ σκότος τῆς ἀγνοίας περικείμενοι,
τῷ ὀλέθρῳ τῆς κακίας περιπίπτουσιν· ὃς δὲ τῶν ἀνθρώπων, τὸν
τοιοῦτον νόμον τηρεῖ, ἀνώλεθρός ἐστιν, ὡς τῷ θανάτῳ τῆς ἁμαρ-
τίας ἀνάλωτος.

Λόγοις οὐ παιδευθήσεται οἰκέτης σκληρός· ἐὰν γὰρ καὶ νοή- 19.
σῃ, ἀλλ᾽ οὐχ᾽ ὑπακούσεται.

Ὥσπερ μόνοις ῥήμασι σκωπτικοῖς, δοῦλος ἀπειθὴς οὐ διορ-
θωθήσεται· εἰ γὰρ καὶ γνῷ τὸ καλὸν, οὐ πεισθήσεται τοῦτο
ποιῆσαι, ἀλλὰ δεηθήσεται καὶ πληγῶν, ὥστε γενέσθαι πρὸς τοῦ-
το καταπειθὴς, οὕτω καὶ ὁ πρὸς τὰς δεσποτικὰς, καὶ θείας ἐν-
τολὰς σκληρυνόμενος, καὶ μὴ ὑπακούων αὐταῖς, ἀκουσίων δεη-
θήσεται πόνων πρὸς τὴν ἐργασίαν αὐτῶν.

XXIX. 20. Ἐὰν ἴδῃς ἄνδρα ταχὺν ἐν λόγοις, γίνωσκε ὅτι ἐλπίδα ἔχει μᾶλλον ὁ ἄφρων αὐτοῦ.

Ἐὰν θεάσῃ τινὰ ἀπερισκέπτως φθεγγόμενον, γίνωσκε ὅτι πλέον ἐλπίς ἐστι τὸν μὴ φέροντα νόησιν, ταύτης παρ' ἄλλου τυχεῖν· ὁ γὰρ ἐν ταῖς ὁμιλίαις προπετὴς, νομίζων πάντα γινώσκειν, παρ' ἑτέρου τὸ καλὸν μαθεῖν οὐκ ἀνέχεται.

21. Ὃς κατασπαταλᾷ ἐκ παιδὸς, οἰκέτης ἔσται· ἔσχατον δὲ ὀδυνηθήσεται ἐφ' ἑαυτῷ.

Ὅς τις μὴ τῆς προσηκούσης ἀξιούμενος ἀγωγῆς, παιδόθεν τῶν κατ' αἴσθησιν ἡδέων κατατρυφᾷ, δοῦλος ἔσται πάντως τῶν παραλόγων παθῶν· ἐν συναισθήσει δὲ γενόμενος ἐν τῷ τέλει, ἀλγήσει εἰς ἑαυτὸν μεταγινώσκων ἐφ' οἷς κακῶς τὴν οἰκείαν ζωὴν κατηνάλωσεν, εἰς μηδὲν δέον ταύτῃ χρησάμενος.

22. Ἀνὴρ θυμώδης, ὀρύσσει νεῖκος· ἀνὴρ δὲ ὀργίλος, ἐξώρυξεν ἁμαρτίας.

Οὗ τινος τὸ περικάρδιον αἷμα εἴωθε ζέειν δι' ὑπολήψεις κακῶν, ὁ τοιοῦτος ψηλαφᾷ φιλονεικίαν· ὁ δ' εἰωθὼς ἔχειν τὸν θυμὸν ἐνεργούμενον, ἐν τῷ δι' ἑαυτοῦ ἢ δι' ἑτέρου τὸν λελυπηκότα ἀμύνασθαι, τὰ τοῦ τριμεροῦς τῆς ψυχῆς παραπτώματα ἐξεκάλυψεν· ἐὰν γὰρ μή τις ἔμφρονι λογισμῷ τῶν κατ' ἐπιθυμίαν παθῶν ἐγκρατεύοιτο, οὐχ' ὑπομένει κατὰ θυμὸν ἀνδρείως τὰ θλιβερά· ὅθεν ὁ τὸν λυπήσαντα ἀμυνόμενος, μὴ ὑπομένων αὐτὰ, ἐλέγχεται μὴ τῶν κατ' ἐπιθυμίαν παθῶν ἐγκρατευόμενος ἔμφρονι λογισμῷ.

23. Ὕβρις ἄνδρα ταπεινοῖ· τοὺς δὲ ταπεινόφρονας ἐρείδει δόξῃ κύριος.

Τὸν γενναίως τὰ κατ' ἔλλειψιν τῆς ἀρετῆς πάθη καταπαλαίσαντα, ἔστιν ὅτε τὸ καθ' ὑπερβολὴν ταύτης ὑβριστικὸν τῆς ὑπερηφανίας πάθος, τοῦ τῆς παρὰ θεῷ τιμῆς ὕψους κατάγει· τοὺς δὲ τῆς ἀνθρωπίνης ἀσθενείας ἐπιγνώμονας, καὶ μετριόφρονας, στηρίζει ἡ ἐνυπόστατος τοῦ θεοῦ σοφία καὶ δύναμις, τιμίους τούτους διατηροῦσα τῇ σωστικῇ τοῦ παναγίου πνεύματος χά-

ρετι· ὑπερηφάνοις γὰρ ὁ κύριος ἀντιτάσσεται· ταπεινοῖς δὲ δί- XXIX.
δωσι χάριν.

Ὃς μερίζεται κλέπτῃ, μισεῖ τὴν ἑαυτοῦ ψυχήν· ἐὰν γὰρ ὅρ- 24.
κου προτεθέντος, ἀκούσαντες μὴ ἀγγείλωσι, φοβηθέντες καὶ αἰ- 25.
σχυνθέντες ἀνθρώπους, ὑπεσκελίσθησαν· ὁ δὲ πεποιθὼς ἐπὶ κυ-
ρίῳ, εὐφρανθήσεται.

Ὁ τῷ συλῶντι τὰ ἀλλότρια συνευδοκῶν, ἢ καὶ συμπράττων, τούτῳ ταῦτα συμμεριζόμενος, τῇ ἰδίᾳ ἐπιβουλεύει ψυχῇ, αὐθαιρέτῳ γνώμῃ ταύτην παραδιδοὺς εἰς ἀπώλειαν· εἰ δ' οὗτοι, ὅρκοις ἀλλήλους καταδεσμήσαντες μὴ δημοσιεῦσαι τὸ τοιοῦτον σκαιώρημα, καὶ τὰς ἐπὶ κακῷ συνωμοσίας τηρήσαντες, μὴ τοῦτο ἀνακαλύψωσι, δεδοικότες μήπως φανερωθέντες, τῇ παρ' ἀνθρώπων προσηκούσῃ τιμωρίᾳ, καὶ αἰσχύνῃ ὑποπέσοιεν, ἠπατήθησαν· διὰ τὴν εἰρημένην αἰτίαν, τὸν ἀποκείμενον αὐτοῖς ψυχικόν τε καὶ σωματικὸν κίνδυνον ἐκφυγεῖν μὴ θελήσαντες· ὁ δὲ θαῤῥῶν ἐπὶ τῷ παντοδυνάμῳ Θεῷ, καὶ τοῦ ἀνθρωπίνου φόβου καταφρονῶν, χαρήσεται τῆς κατὰ ψυχὴν καὶ σῶμα βλάβης ἀπαλλαγείς· καὶ γὰρ ὁ πρὸ τῶν ἐλέγχων τὸ οἰκεῖον ἁμάρτημα ἐξομολογούμενος, οὐ μόνον τοῦ ψυχικοῦ κινδύνου, ἀλλὰ καὶ τοῦ σωματικοῦ, εἰ πρόκειται, ἀπαλλάττεται.

Ἀσέβεια ἀνδρὶ δίδωσι σφάλμα· ὃς δὲ πέποιθεν ἐπὶ τῷ δεσπότῃ, σωθήσεται.

Τὸ μὴ τιμᾷν τὸν Θεὸν, ἐν τῷ μὴ προκρίνειν πάντων τὴν αὐτοῦ εὐαρέστησιν, μηδὲ θαῤῥεῖν ἐπ' αὐτῷ ἐν πᾶσι τοῖς ἐγχειρήμασιν, προξενεῖ τῷ κατὰ θεωρίαν ἢ πρᾶξιν καρτερῶς ἐπιχειροῦντι, γνῶσιν ἢ ἀμελῆ κατορθοῦν, παρασφαλῆναι εἴτε τῆς ἀληθείας εἴτε τοῦ ἀγαθοῦ· τῆς μὲν, εἴπερ εἴη τὸ ἐγχείρημα θεωρητικὸν, ὅτι τέλος ἡ ἀλήθεια τῶν γνωστῶν, ὡς ἀλάθητον γνωστόν· τοῦ δὲ, εἴπερ ἐστὶ πρακτικὸν, ὅτι τέλος τῶν πρακτικῶν τὸ ἀγαθὸν, ὡς ἔσχατον ὀρεκτόν· ὁ δὲ θαῤῥῶν ἐπὶ τῷ κυριεύοντι πάντων Θεῷ, ὡς τοῦτον ἐν ἅπασι προτιμῶν, καὶ σπεύδων ἐπὶ πᾶσι τούτῳ εὐαρεστεῖν, μετάσχῃ τῶν ὑπὲρ φύσιν αὐτοῦ δωρεῶν

XXIX. ὅπερ ὡς πίςεως τέλος σωτηρία ἐςὶ, πᾶσαν ἄγνοιαν καὶ κακίαν διαφυγὼν, οἷά περ μὴ διαμαρτήσας Θεοῦ, ἀλλὰ κατὰ γνῶσιν καὶ ἀρετὴν τούτου ἐπιτυχὼν, ὅς ἐςιν ἡ ἀλήθεια καὶ τὸ ἀγαθόν· τὸ μὲν ὅταν ἐκ τῆς οὐσίας, τὸ δ' ὅταν ἐκ τῆς ἐνεργείας δοκεῖ σημαίνεσθαι· ἄτρεπτον γὰρ ἡ ἀλήθεια· εὐαρεστικὸν δὲ τὸ ἀγαθόν.

26. Πολλοὶ θεραπεύουσι πρόςωπα ἡγουμένων· παρὰ δὲ κυρίου γίνεται τὸ δίκαιον ἀνδρί.

Πλεῖστοι τοὺς προεστῶτας εἰς πρόσωπον θεραπεύειν ἐπιχειροῦσιν· ἵν' εὐνοϊκοὶ τούτοις δόξαντες, τὴν εὐμένειαν αὐτῶν ἐπισπάσωνται· παρὰ δὲ τοῦ τὰ πάντα εἰδότος δεσπότου τῶν ὅλων Θεοῦ, ἀποδίδοται ἑκάστῳ ἡ ἀνάλογος ἀντιμισθία τῇ διαθέσει αὐτοῦ· καὶ οὐκ ἔσται τινὶ ἐξ ὑποκρίσεως ὠφέλεια.

27. Βδέλυγμα δικαίῳ, ἀνὴρ ἄδικος· βδέλυγμα δὲ ἀνόμῳ κατευθύνουσα ὁδός.

Μισητὸς Θεῷ τῷ ἀποδιδόντι ἑκάςῳ κατὰ τὰ ἔργα αὐτοῦ, ὁ μὴ κατὰ τοὺς νόμους τούτου πολιτευόμενος, ὡς παραβάτης τῶν θείων αὐτοῦ ἐντολῶν· μισητὴ δὲ τῷ παραβαίνοντι ταύτας, ἡ πρὸς σωτηρίαν ἀπαρεγκλίτως ἄγουσα ἐνάρετος πολιτεία, ὡς τραχεῖά τε καὶ ἐπίπονος.

* Capitulum XXX. in capitulo XXIV. conclusum iam vidimus.

CAP. XXXI.

Γυναῖκα ἀνδρείαν τίς εὑρήσει.

Σύνοικον, τὴν τοὺς μὲν κατ' ὀδύνην ἀκουσίους πειρασμοὺς
10. γενναίως ὑπομένουσαν, τοῖς δὲ καθ' ἡδονὴν ἑκουσίοις μὴ ὑποπίπτουσαν, τελειοποιὸν σοφίαν, σπανίως νοῦς ἀνθρώπινος κτήσεται· ὅτι σπάνιον ἡ τοῦ ἀγαθοῦ κτῆσις, καὶ πρόσαντες· κἂν πολὺ τὸ μεθέλκον εἴη καὶ προκαλούμενον.

Τιμιωτέρα δέ ἐστι λίθων πολυτελῶν ἡ τοιαύτη.

Κρείττων δὲ ἀσυγκρίτως πάντων τῶν κατὰ τὸν βίον πολυτίμων τε καὶ λαμπρῶν αὕτη ἐστίν.

Θαῤῥεῖ ἐπ᾽ αὐτῇ ἡ καρδία τοῦ ἀνδρὸς αὐτῆς. XXXI.

Ἄφοβός ἐστιν ἐν αὐτῇ τοῦ ταύτῃ συμβιοτεύοντος ἡ διάνοια 11.
βοηθὸν αὐτὴν κεκτημένου, καὶ ἐπ᾽ αὐτῇ θαῤῥοῦντος, ὡς οὐθ᾽ ὑπὸ τῶν ἡδέων ἀπατηθήσεται, οὐθ᾽ ὑπὸ τῶν ἀλγεινῶν ἡττηθήσεται.

Ἡ τοιαύτη καλῶν σκύλων οὐκ ἀπορήσει· ἐνεργεῖ γὰρ τῷ ἀν- 12.
δρὶ ἀγαθὰ πάντα τὸν βίον, μηρυομένη ἔρια καὶ λῖνον, ἐποίησεν εὔχρηστα ταῖς χερσὶν αὐτῆς. 13.

Ἡ τοιαύτη ἐν τοῖς τοῦ συνοίκου αὐτῆς κατὰ τῶν νοητῶν ἐχθρῶν ἀγωνίσμασιν, οἷά τινων ἀγαθῶν λαφύρων, εὐπορήσει τῶν ἀρετῶν· περιποιεῖται γὰρ ταύτας αὐτῷ, ἐν τοῖς κατ᾽ αὐτῶν τροπαίοις· παρ᾽ ὅλην τε τὴν παροῦσαν ζωὴν ἐργαζομένη τό τε δίκην μαλλοῦ τραχὺ τῶν διαφόρων ἐπιτηδευμάτων τοῦ κατὰ θεὸν βίου, καὶ τὴν οἷα λῖνον λεπτυνομένην, ἐν πνεύματι εἰς τὰ νοήματα τῶν ἐν τοῖς οὖσι λόγων φυσικὴν θεωρίαν αὐτῶν, ἐχρήσατο τούτοις δεόντως, ταῖς ἑαυτῶν κατ᾽ ἀρετὴν καὶ γνῶσιν ἐνεργείαις, εἰς ἔκφασιν πάντως τοῦ ἀγαθοῦ, καὶ κατάληψιν τῆς ἀληθείας.

Ἐγένετο ὡσεὶ ναῦς ἐμπορευομένη μακρόθεν. 14.

Ὡμοιώθη καὶ τοῦ βίου τὴν θάλασσαν διαπλεύσασα, καὶ πραγματευομένη ἐν τῷ παρόντι τῆς πανηγύρεως καιρῷ, τὰ τοῖς δικαίοις κατὰ τὸ μέλλον ἀποκείμενα ἀγαθά.

Συνάγει δὲ αὕτη τὸν βίον, καὶ ἀνίσταται ἐκ νυκτῶν· καὶ 15.
ἔδωκε βρώματα τοῖς ἐν τῷ οἴκῳ, καὶ ἔργα ταῖς θεραπαίναις.

Συλλέγει δὲ ἡ τοιαύτη κατὰ νοῦν τὸν πνευματικὸν πλοῦτον τῆς γνώσεως τοῦ ποιητοῦ, ἐκ τῶν ποιημάτων αὐτοῦ· καὶ πρὸς τὸν πόθον τούτου ἐκ τῶν περὶ ταῦτα ἐγείρεται σχέσεων, αἷς ὡς ἐν νυξὶν ἐκάθευδε· τοῦ νοὸς μήτε κινουμένου πρὸς γνῶσιν, μήτε ἐνεργοῦντος τὰς ἀρετάς· καὶ οὕτω πρὸς τὸν θεῖον διεγερθεῖσα πόθον, παρέσχε τῷ μὲν οἰκητηρίῳ ἑαυτῆς νοΐ, τροφὰς διαφόρων πνευματικῶν θεωρημάτων τοῦ ψυχὰς στηρίζοντος θείου λόγου· ταῖς δὲ διακονούσαις τῷ λόγῳ δυνάμεσιν, οἷα ἐπιπειθέσιν αὐτῷ, τῇ τε ἐπιθυμίᾳ καὶ τῷ θυμῷ, τὰς ἐργασίας τῶν

XXXI. τοῦ Θεοῦ ἐντολῶν· ὡς πείσασα τὴν μὲν ἐπιθυμίαν, ὀρέγεσθαι τῶν ἐφ' ἅπερ αὗται προτρέπουσι· τὸν δὲ θυμὸν, ἀποτρέπεσθαι τὰ ἀφ' ὧν ἀποτρέπουσι.

16. Θεωρήσασα γεώργιον, ἐπρίατο· ἀπὸ δὲ καρπῶν χειρῶν αὐτῆς, κατεφύτευσε κτῆμα.

Κατανοήσασα γνωστικῶς τὸν ἐν ὅλῃ τῇ φύσει καὶ τῇ γραφῇ γεωργούμενον θεῖον λόγον, ἐκτήσατο τοῦτον καθ' ἕξιν· τὴν κατὰ ψυχὴν διάθεσιν, ὥς τινα καταβαλλομένη δραχμήν· ἀφ' ὧν δὲ τρόπων καρποφοροῦσιν αἱ παρὰ ταύτης κινούμεναι πρακτικαὶ τῆς ψυχῆς δυνάμεις, ὡς ἀγρόν τινα κατεφύτευσε τὸ σαρκίον, τῇ ἐναρέτῳ πολιτείᾳ.

17. Ἀναζωσαμένη ἰσχυρῶς τὴν ὀσφὺν αὐτῆς, ἤρεισε τοὺς βρα-
18. χίονας αὐτῆς εἰς ἔργον· καὶ ἐγεύσατο, ὅτι καλόν ἐστι τὸ ἐργάζεσθαι, καὶ οὐκ ἀποσβέννυται ὁ λύχνος αὐτῆς ὅλην τὴν νύκτα.

Ἀναστείλασα σωφρόνως τὴν ἐπιθυμίαν ἀπὸ τῆς τῶν προσκαίρων ὀρέξεως, καὶ περισφίγξασα ταύτην κατὰ θυμὸν ἀνδρικῶς, ἐστήριξε ταύτας τὰς παρ' αὐτῆς κινουμένας πρακτικὰς δυνάμεις, κατ' ἔμφρονα λόγον, ἐν τῇ ἐργασίᾳ τῶν τοῦ Θεοῦ ἐντολῶν· τὸ μὲν ἐπιθυμητικὸν, πρὸς τὴν τοῦ Θεοῦ καὶ τοῦ πλησίον ἀγάπην ἐπιμόνως κινήσασα· τὸ δὲ θυμικὸν, κατὰ τοῦ ποικίλως ταύτῃ ἐπιβουλεύοντος νοητοῦ ὄφεως καὶ ἔργοις αὐτοῖς κατὰ νοῦν ἐπειράθη, ὅτι ἀγαθὸν τὸ ποιεῖν τὰ θεῖα προστάγματα· καὶ διαφυλάττει ἄσβεστον τὸν παρ' αὐτῆς τῇ ψυχῇ πυρσευόμενον κατὰ πρᾶξιν ἐν πνεύματι λόγον τῆς γνώσεως· ἤγουν τὸν νόμον τοῦ πνεύματος, λάμποντα ταῖς ἀστραπαῖς τῶν ἔργων τῆς δικαιοσύνης, καὶ ὅλον διασκεδάζοντα τὸν σκοτασμὸν τοῦ χοϊκοῦ φρονήματος τῆς σαρκός.

19. Τοὺς πήχεις αὐτῆς ἐκτείνει ἐπὶ τὰ συμφέροντα· τὰς δὲ χεῖρας αὐτῆς ἐρείδει εἰς ἄτρακτον.

Τὰς κρίσεις ἑαυτῆς, πρὸς τὰς συντεινούσας εἰς σωτηρίαν ψυχῶν ἀρετὰς, ὑφαπλοῖ ταύταις πάντως ταῖς διακρίσεσιν, ὥς τισι πήχεσι δεξιῷ τε καὶ εὐωνύμῳ, μετροῦσα τὰς τῶν ἀρετῶν συμμετρίας· καὶ περιαιροῦσα τὰς ἐκ δεξιῶν ὑπερβολὰς, καὶ τὰς

ἐξ εὐωνύμων ἐλλείψεις αὐτῶν· τὰς δὲ κινουμένας ὑπ᾽ αὐτῆς, ὥστε XXXI.
μὴ ἀλόγως φέρεσθαι πρακτικὰς δυνάμεις, στηρίζει εἰς τὸν δίκην ἀτράκτου συμπλέκοντα λόγον τὴν αἴσθησιν τῷ νοΐ, ἐν τῷ τοὺς κατ᾽ αἴσθησιν τύπους πρὸς τὴν κατὰ νοῦν ἀνάγειν ἀλήθειαν ταῖς ἑαυτοῦ συστροφαῖς.

Χεῖρας αὐτῆς διήνοιξε πένητι· καρπὸν δὲ ἐξέτεινε πτωχῷ. 20.

Δαψιλῶς ταῖς κατ᾽ ἐπιστήμην αὐτῆς ἐνεργείαις τῶν κατ᾽ ἀρετὴν τρόπων, τοῦ πλούτου μετέδωκε τοῦ κατὰ πρᾶξιν ἤθους, τῷ συντραφέντι τῇ τούτου ἐνδείᾳ δι᾽ ἀλογίαν σαρκίῳ, κατὰ λόγον τοῦτο ῥυθμίσασα· καὶ τῆς φθοροποιοῦ ἡδυπαθείας ἐξαναστήσασα· τὸ δὲ θεωρητικὸν, οὗ ἐξήρτηται τὸ πρακτικὸν οἷα καρποῦ χεὶρ, ἐξήπλωσε κατὰ γνῶσιν, τῷ εἰς ἄγνοιαν τοῦ ὄντως καλοῦ, διὰ τὴν πρὸς τὰ ὑλικὰ σχέσιν περιπεσόντι νοΐ· ἀνακαλεσαμένη καὶ ἐγείρασα τοῦτον τοῦ πτώματος, ὡς αὐτοῦ βοηθός.

Οὐ φροντίζει τῶν ἐν οἴκῳ ὁ ἀνὴρ αὐτῆς, ὅταν που χρονί- 21.
ζει· πάντες γὰρ οἱ παρ᾽ αὐτῇ ἐνδιδύσκονται.

Οὐ μεριμνᾷ ὁ ταύτῃ σύνοικος νοῦς περὶ τῶν ἐν τῷ οἰκητηρίῳ αὐτοῦ σαρκίῳ παθημάτων, ὁπόταν ταῖς πνευματικαῖς θεωρίαις ἐνασχολῆται· πάντες γὰρ οἱ τούτου ἐν αὐτῷ λογισμοὶ, περιβάλλονται διὰ σωφροσύνην καὶ ἀνδρείαν, τό ἐκ τε τοῦ φλογμοῦ τῶν καθ᾽ ἡδονὴν ἑκουσίων πειρασμῶν, καὶ τοῦ κρυμοῦ τῶν κατ᾽ ὀδύνην ἀκουσίων, ἀπαθές.

Δισσὰς χλαίνας ἐποίησε τῷ ἀνδρὶ αὐτῆς. 22.

Κατεσκεύασε τῷ συνοίκῳ αὐτῆς νοΐ, κατά τε θεωρίαν καὶ πρᾶξιν διττὰ περιβλήματα· τοῖς λόγοις ταῦτα τῶν ὄντων, καὶ τοῖς τρόποις τῶν ἀρετῶν ἐξυφάνασα.

Ἐκ δὲ βύσσου καὶ πορφύρας, ἑαυτῇ ἐνδύματα.

Ἑαυτῇ δὲ οἷά τινα περιβόλαια, τά περί τε τῆς οἰκονομίας καὶ τῆς θεολογίας ὑπὲρ νοῦν δόγματα· παραδηλοῖ γὰρ βύσσος διὰ τὸ ἀπὸ γῆς ἔχειν τὴν γένεσιν, τὰ περὶ τῆς τοῦ θεοῦ λόγου ἐν σαρκὶ οἰκονομίας δόγματα· ἡ δὲ πορφύρα, διὰ τὸ βασιλικὸν, τὰ περὶ τῆς πάντων δεσπότιδος τρισυποστάτου θεότητος.

XXXI. 23. Περίβλεπτος δὲ γίνεται ἐν πύλαις ὁ ἀνὴρ αὐτῆς ἡνίκα ἂν καθίσῃ ἐν συνεδρίῳ μετὰ τῶν γερόντων κατοίκων τῆς γῆς.

Περιφανὴς δὲ γίνεται ὁ ταύτῃ συνοικῶν νοῦς, ἐν ταῖς ὥς τισι πύλαις εἰσαγωγοῖς τῆς τῶν ὁρατῶν φαντασίας αἰσθήσεσιν, ὁπόταν περὶ ταύτας συνεδριάσῃ τῇ ἐπιθυμίᾳ καὶ τῷ θυμῷ, ταῖς οἷα προηγουμέναις ἐκ γενέσεως τῆς λογικῆς ἐνεργείας πρεσβυτέραις δυνάμεσιν· ἔμφρονι λογισμῷ δι' ἐγκρατείας καὶ ὑπομονῆς ὑποτάσσων αὐτάς· αἵπερ ψυχικαὶ δυνάμεις, τῷ παθητῷ τοῦ χοϊκοῦ ἡμῶν σαρκίου παραμένουσιν, ὡς τῆς ψυχῆς φύσει, τῆς μὲν συστάσεως τοῦ σώματος κατ' ἐπιθυμίας ὀρεγομένης, τὴν δὲ φθορὰν τούτου κατὰ θυμὸν ἀποστρεφομένην.

24. Σινδόνας ἐποίησε καὶ ἀπέδοτο τοῖς φοίνιξι· περιζώματα, τοῖς χαναναίοις.

Νεκρώσεως τῶν ἐμπαθῶν λογισμῶν εἰργάσατο περιβόλαια· καὶ τοῖς καθαρθεῖσι μὲν ἀπὸ τῶν κατ' ἐνέργειαν παθῶν, πεφοινιγμένοις δ' ἔτι τοῖς κατὰ διάνοιαν, ἀπημπόλησε· καταβαλοῦσι πρὸς αὐτὴν οἷόν τι τίμημα τὴν ἀπὸ τῶν κατ' ἐνέργειαν παθῶν ἐγκρατευσαμένην προαίρεσιν· ἐγκράτειαν δὲ καὶ ὑπομονὴν τῆς κατὰ θεὸν σκληρᾶς ἀγωγῆς, περισφιγγούσας τὸ παθητικὸν τῆς ψυχῆς μέρος ἀπεργασαμένη, κατ' ἔμφρονα λογισμὸν τῶν τοῖς κατ' ἐνέργειαν ἁμαρτήμασι τεταπεινωμένων, ταπεινοὶ γὰρ οἱ χαναναῖοι ἑρμηνεύονται, ἀπέδοτο τούτοις αὐτάς, λαβοῦσα τὸ ἐπιθυμητικὸν αὐτῶν, καὶ τὸ θυμικὸν τῷ λόγῳ ἐπιπειθῆ.

Στόμα δὲ αὐτῆς διήνοιξε προσεχόντως καὶ ἐννόμως· καὶ τάξιν ἐστείλατο τῇ γλώσσῃ αὐτῆς.

Στόμα τὸ ἐκφέρον τὰ ταύτης διδάγματα, ἐκώλυσε μὲν προφέρειν τὰ ὡς ἔτυχε παρεμπίπτοντα, διέθετο δὲ τὰ τοῦ θεοῦ ἐντάλματα φθέγγεσθαι· κἀντεῦθεν ἔταξε τὴν γλῶτταν λαλεῖν κατὰ καιρὸν τὰ προσήκοντα.

25. Ἰσχὺν καὶ εὐπρέπειαν ἐνεδύσατο, καὶ εὐφράνθη ἐν ἡμέραις ἐσχάταις.

Δύναμιν καὶ κάλλος περιεβάλετο, καθ' ἕξιν τοῦ ἀγαθοῦ νοερὰν τῆς ψυχῆς, καὶ ἐν σαρκὶ ἐνέργειαν· σχοῦσα γὰρ κατὰ τὸ

τριμερὲς τῆς ψυχῆς ἐνδιάθετον τὸ ἀγαθόν, ἐνδιάθετον δὲ ἀγα- XXXI.
θὸν ἡ πίςις ἐστὶ, ταύτην κέκτηται δύναμιν ἐνεργητικὴν ἐν σώματι, τοῦ κόσμου τῶν ἀρετῶν, ἐνεργουμένην ταύτην τοῖς τούτων τρόποις ἀποδεικνύουσα· κἀντεῦθεν ἐν οἷς τισιν οὕτως αὐτὴν ἀποδεικνύει, ἠγαλλιάσατο περὶ τὸ τέλος τῆς παρούσης αὐτῶν ζωῆς, ὡς τὸν κατὰ θεὸν δρόμον τετελεκότων.

Στεγναὶ διατριβαὶ οἴκων αὐτῆς.

Ἐπιμελουμένη τοῦ κατὰ ψυχὴν νοεροῦ οἰκητηρίου αὐτῆς, καὶ τοῦ κατὰ σῶμα αἰσθητικοῦ, ἀποκαθαίρει τούτων, ταῖς κατὰ θεωρίαν καὶ πρᾶξιν ἐν τούτοις κινήσεσιν αὐτῆς, πάντα χαῦνον καὶ ἄνανδρον λογισμὸν, καὶ βίον διακεχυμένον καὶ βορβορώδη.

Σῖτα δὲ ὀκνηρὰ, οὐκ ἔφαγε.

Λογισμοὺς δὲ τρέφοντα κατ' ἀρετὴν τὴν ψυχὴν ἀνεξετάςως, οὐδαμῶς παρεδέξατο· φυλαττομένη ἐκ τῶν ἀπὸ δεξιᾶς δι' ἀπροσεξίαν ἐκ ῥαθυμίας τὴν ψυχὴν ἀπατώντων.

Στόμα δὲ ἀνοίγει σοφῶς καὶ νομοθέσμως. 26.

Διδάσκει δὲ τὰ ἀληθῆ δόγματα, καὶ τὰ θεῖα ἐντάλματα.

Ἡ δὲ ἐλεημοσύνη αὐτῆς ἀνέστησε τὰ τέκνα αὐτῆς καὶ ἐπλού- 27.
τησαν· καὶ ὁ ἀνὴρ αὐτῆς ᾔνεσεν αὐτήν. 28.

Καὶ ἡ ἐκ ταύτης μετάδοσις τῆς τούτων διδασκαλίας, ἐξήγειρε τῆς αὐτῶν ἀπορίας τοὺς παρ' αὐτῆς διδασκομένους· κἀντεῦθεν οὗτοι τὸν πνευματικὸν κατὰ γνῶσιν καὶ ἀρετὴν ἐκτήσαντο πλοῦτον· καὶ ὁ συνοικῶν ταύτῃ νοῦς ἐπῄνεσεν αὐτὴν, ταῦτα περὶ αὐτῆς διαλογισάμενος.

Πολλαὶ θυγατέρες ἐποίησαν δύναμιν. 29.

Πλεῖσται ἐπιςῆμαι τῶν ἀνθρωπίνων πραγμάτων, τὴν φύσιν τῶν ἀνθρώπων ἐνεδυνάμωσαν.

Πολλαὶ ἐκτήσαντο πλοῦτον.

Πλεῖσται περιεποιήσαντο ταύτῃ, ἀφθόνως τὰ χρειώδη τῷ σώματι.

Σὺ δὲ ὑπέρκεισαι, καὶ ὑπερῇρας πάσας.

Αὕτη δὲ ἡ σοφία, οἷα ἐπιστήμη ἐπιστημῶν, ὑπὲρ πάσας τὰς τῶν ἀνθρωπίνων πραγμάτων ἐπιστήμας ὑπάρχει, ὡς τού-

XXXI. των αἰτία, καὶ ταῖς κατὰ γνῶσιν καὶ ἀρετὴν ἐνεργείαις ὑπερβέβηκε πάσας, θείων πραγμάτων ἐπιστήμη ὑπάρχουσα.

30. Ψευδεῖς ἀρέσκειαι, καὶ μάταιον κάλλος γυναικὸς οὐκ ἔστιν ἐν σοί.

Ἐπὶ γὰρ τοῖς οὐκ οὖσιν ἀλλὰ δοκοῦσι καλοῖς, οὐκ ἀρέσκῃ· καὶ ἀνόνητος κομψεία σοφίας τῆς ἐν λόγῳ κειμένης καὶ στροφαῖς λέξεων, ἐκ τέχνης ἐν προφορᾷ κατ᾽ εὐγλωττίαν πρὸς ἀκοῆς ἡδονὴν γοητευομένη, οὐχ ὑπάρχει ἐν σοὶ τῇ ὄντως σοφίᾳ, ὡς τὸ φιλότιμον ἅπαν καταλυούσῃ.

Γυνὴ γὰρ συνετὴ, εὐλογημένη.

Οὕτω δὲ ταύτην ὁ σύνοικος αὐτῆς νοῦς ἐπῄνεσεν, ἐπειδὴ σοφία ἡ τὰς ὀρεκτικὰς τῆς ψυχῆς δυνάμεις συννεύειν ποιοῦσα πρὸς τοὺς λόγους καὶ τοὺς τρόπους τῶν ἐντολῶν ἐπαινεῖται· καταλαμβάνοντος τοῦ νοὸς, τῇ τῶν θείων ἐντολῶν πείρᾳ, ὅτι εὐεργετοῦσιν αὐτὸν τὰ θεῖα ταύτης διδάγματα, ὡς τῶν φθοροποιῶν παθῶν ἀπαλλάττοντα, καὶ εἰς τὴν ἀνώλεθρον τοῦ θεοῦ βασιλείαν εἰσάγοντα.

Φόβον δὲ κυρίου αὕτη αἰνείτω.

Τὸν δὲ διαμένοντα εἰς αἰῶνα αἰῶνος ἁγνὸν φόβον τοῦ δεσπότου τῶν ὅλων θεοῦ, ἐν ὑμῖν δοξαζέτω· ἵνα μὴ εἰς καταφρόνησιν αὐτοῦ περιπέσητε.

31. Δότε αὐτῇ ἀπὸ καρπῶν χειλέων αὐτῆς.

Τέλειοι δ᾽ ἐντεῦθεν ὑπάρχοντες, ὡς ὅλοι τῆς σοφίας γενόμενοι, καὶ διαμένοντες ἄτρεπτοι, προσάγετε ταύτῃ καὶ ἑτέρους τοὺς ὠφελουμένους διὰ τῶν διδαγμάτων αὐτῆς, ἔργοις καὶ λόγοις ὑποδεικνύντες αὐτοῖς τὰ σωτήρια.

Καὶ αἰνείσθω ἐν πύλαις ὁ ἀνὴρ αὐτῆς.

Καὶ ὁ συνοικῶν ταύτῃ ὑμῶν τῶν διδασκάλων νοῦς, ἐν ταῖς δίκην πυλῶν εἰσαγωγοῖς αἰσθήσεσι τῶν παρ᾽ ὑμῖν διδασκομένων, εὐφημείσθω· ὁρώντων τὰ καλὰ ὑμῶν ἔργα, καὶ δοξαζόντων τὸν πατέρα ἡμῶν τὸν ἐν τοῖς οὐρανοῖς.

ΤΕΛΟΣ.

ΠΡΟΚΟΠΙΟΥ

ΧΡΙΣΤΙΑΝΟΥ ΣΟΦΙΣΤΟΥ

Εἰς τὰ ᾄσματα τῶν ᾀσμάτων ἐξηγητικῶν ἐκλογῶν ἐπιτομὴ ἀπὸ φωνῆς Γρηγορίου Νύσσης, καὶ Κυρίλλου Ἀλεξανδρείας, Ὠριγένους τὲ καὶ Φίλωνος τοῦ Καρπαθίου, Ἀπολιναρίου, Εὐσεβίου Καισαρείας, καὶ ἑτέρων διαφόρων, ἤγουν Διδύμου, τοῦ ἁγίου Ἰσιδώρου, Θεοδωρήτου, καὶ Θεοφίλου.

CAP. I.

Γρηγορίου Νύσσης.

Διὰ τῶν ἐνταῦθα γεγραμμένων νυμφοστολεῖται πῶς ἡ ψυχὴ πρὸς τὴν ἄϋλόν τε καὶ πνευματικὴν τοῦ Θεοῦ συζυγίαν· καὶ δεῖται λευχημονούντων ἀκροατῶν ἀμιάντοις νοήμασιν, ὡς ἐντὸς γενέσθαι τοῦ ἀκηράτου νυμφῶνος. Καὶ ἡ προγραφὴ γὰρ ἡμᾶς ἐπὶ τοῦτο προτρέπεται· ὡς γὰρ τὸ ἅγιον τῶν ἁγίων ὑπερῆρται τῇ ἁγιότητι, οὕτω τὸ νῦν ᾆσμα ὑπεραιρεῖ τά τε τοῦ Δαβὶδ καὶ τοῦ Μωϋσέως καὶ τῶν λοιπῶν προφητῶν· ἐν ἐπιθαλαμίου δὲ τρόπῳ τὴν πρὸς τὸ θεῖον ἀνάκρασιν τῆς ἀνθρωπίνης ὑφηγεῖται ψυχῆς· διὰ ταῦτα ὁ Σολωμὼν ἐμφαίνων διὰ τῶν γαμηλίων ῥημάτων, τήν τε ἄφατον ἐπιθυμίαν τὴν ὀφειλομένην Θεῷ, μείζων πάσης ὀρέξεως ἡ γαμικὴ, καὶ τὴν εἰς ἄκρον ἀπάθειαν· τοσοῦτον γὰρ δεῖ καθαρεύειν τὸν κολλώμενον τῷ Θεῷ, ὡς τὰς ἐμπαθεῖς ὁρμὰς ἀπαθείας ὑπόθεσιν τίθεσθαι· τάξει δὲ προῆλθεν

I. ὁ Σολομὼν τοιαύτῃ παιδεύων· τῇ γὰρ ἔτι νεαζούσῃ ψυχῇ παροιμίας ὑποθέμενος, κελεύει τῆς σοφίας ἐρᾶν· διὸ καὶ υἱέ μου λέγει πυκνῶς, καὶ μανιάκην ὡς νέῳ καὶ στέφανον ἐπαγγέλλεται· καὶ πρὸς τὸ τέλος τὴν ἀνδρείαν ἐπαινεῖ γυναῖκα· εἶτα τῷ οὕτως εἰσαχθέντι ἐν τῷ ἐκκλησιαστῇ πάντα καθαίρει τὰ ῥευστὰ καὶ ματαιότητα λέγων· ὅπως ἂν ἀναπτερώσει πρὸς τὰ μένοντα τὴν ψυχήν· καὶ νῦν τὴν οὕτω κεκαθαρμένην αὐτῷ συνάπτει τῷ ὄντως καὶ μόνῳ ἀγαθῷ· τὴν ψυχὴν ἐθέλων, μήτε κολάσεως φόβῳ, μήτε μισθῶν ἐλπίδι, δουλοπρεπεῖ γὰρ ἀμφότερα, ἀγάπης δὲ φίλτρῳ προσδραμεῖν τῷ θεῷ.

V. 1. Ἆσμα ἀσμάτων.

Νείλου.

Τὸ τῶν ἀσμάτων βιβλίον ἔοικε γυναικὶ φυσικῷ κάλλει φαιδρυνομένῃ, καὶ κόσμῳ πολυτελεῖ τὸ φυσικὸν προσεξησκημένῃ κάλλος, σεμνῇ δὲ τὸ ἦθος καὶ τῷ φαινομένῳ σχήματι, πολὺ κατὰ τὸ κεκρυμμένον ἐναντίως διακειμένῃ· ὡς γὰρ ἐπὶ τῆς τοιαύτης γυναικὸς ἡ μὲν ὄψις ἡδονὴν κινεῖ τοῖς ἀκολάστοις, ἡ δὲ πεῖρα διελέγχει τὴν σωφροσύνην οὐ συναινοῦσαν τῇ προχείρῳ σκηνῇ, οὕτως ἐπὶ τοῦ προκειμένου βιβλίου ἡ μὲν λέξις ἐρωτικότερον ἐσχηματισμένη, δοκεῖ πῶς δέλεαρ γίνεσθαι τοῖς ἀπαιδεύτοις, ἡ δὲ διάνοια τὸ αὐστηρὸν τῶν μυστηρίων ἀνακαλύπτουσα τοῖς προσεγγίζουσι, τὴν τῶν νοημάτων δυσχέρειαν ἀπαράδεκτον ποιεῖ, διὰ τῆς ἐν τῇ λέξει τέρψεως· καὶ δουλεύειν πείθουσα τῇ τῆς θεωρίας σεμνότητι, ἐκ τῆς περὶ τὸ γράμμα δοκούσης ἐμπαθείας, εὐμηχάνως ἐπὶ τῇ τῶν σεμαινομένων δογμάτων ὁδηγούσης μυσταγωγίαν.

2. Φιλησάτω με ἀπὸ φιλημάτων στόματος αὐτοῦ.

Πηγὴ ζωῆς ἐστὶ ὁ νυμφίος ὁ βοῶν, εἴ τις διψᾷ ἐρχέσθω πρός με καὶ πινέτω· ἐκ τοῦ στόματος δὲ αὐτοῦ τῆς ζωῆς ἀνομβροῦσιν οἱ λόγοι· ᾧ σπουδάζει προσερείσουσα τὸ ἴδιον ἡ ψυχὴ στόμα, κατὰ τὸν προφήτην ἑλκύσαι πνεῦμα· παντὸς γὰρ ῥύπου καθάρσιον τοῦτο τὸ φίλημα· διό μοι δοκεῖ τῷ λεπρῷ Σίμωνι τὸ τοιοῦ-

τον ὀνειδιστικῶς προσφέρειν ὁ κύριος, ὅτι φίλημά μοι οὐκ ἔδωκας· ἦ γὰρ ἂν ἐκαθάρθης τοῦ πάθους. Καὶ ἄλλως I.

Ὠριγένους.

Μὴ διὰ προφητῶν με μνηστευσάτω φησὶν, δι' ἑαυτοῦ δὲ ὁμιλησάτω, κατ' αἴσθησιν πνευματικὴν· δι' ἧς ὁ Ἰωάννης φησίν· καὶ αἱ χεῖρες ἡμῶν ἐψηλάφησαν περὶ τοῦ λόγου τῆς ζωῆς· ταῦτα δὲ φησὶν ὡς τῶν προφητῶν εἰπόντων ἀκούσασα· ἐπεθύμησεν ὁ βασιλεὺς τοῦ κάλλους σου· καὶ ἀλλαχοῦ· ὃν τρόπον εὐφρανθήσεται νυμφίος ἐπὶ νύμφην, οὕτως εὐφρανθήσεται κύριος ἐπὶ σοί· ὁσάκις δέ τι ζητοῦντες θεῖον δόγμα καταλαμβάνομεν, καταφιλῆσθαι ἀπὸ τοῦ στόματος τοῦ νυμφίου νομίσωμεν· ἐν ὅσῳ δὲ ἀποροῦμεν, ὑπολάβωμεν ἐχόμενοι λέγειν τὸ φιλησάτω με ἀπὸ φιλημάτων στόματος αὐτοῦ.

Ὅτι ἀγαθοὶ οἱ μαστοί σου ὑπὲρ οἶνον, καὶ ὀσμὴ μύρων σου ὑπὲρ πάντα τὰ ἀρώματα.

Ἤγουν αἱ ἀρεταί σου ὑπὲρ τὰς παρ' ἡμῖν ἀρετὰς κατὰ τὸ ἐκάλυψεν οὐρανοὺς ἡ ἀρετὴ αὐτοῦ· ἔστι γὰρ αὐτοσοφία καὶ δικαιοσύνη· ἡμεῖς δὲ κατὰ μέθεξιν σοφοί τε καὶ δίκαιοι, κατὰ προαίρεσίν τε καὶ δύναμιν, ἐν τῇ τούτων εὐωδίᾳ γινόμενοι.

Γρηγορίου.

Τὸ νηπιῶδες δίδαγμα τοῦ θεοῦ ὑπὲρ τὸ εὔτονον καὶ θερμότατον τοῦ κόσμου σόφισμα· ἐκ δὲ τῆς τοπικῆς θέσεως τῶν μαστῶν τὴν καρδίαν δηλοῖ καὶ τὴν κεκρυμμένην καὶ ἀπόῤῥητον τῆς θεότητος δύναμιν, δι' ἧς τιθηνεῖται τὴν ἑκάστου δύναμιν καὶ ζωὴν ὁ θεὸς, κατάλληλον ἑκάστῳ τῶν δεχομένων τὴν τροφὴν χαριζόμενος.

Φίλωνος.

Ἤγουν μαζοὶ, αἱ διαθῆκαι ὑπὲρ τὸν ἐπίγειον λόγον.

Ἀπολιναρίου.

Πολλῶν οἴνων ἐν τῇ γραφῇ κρειττόνων τε καὶ χειρόνων, νῦν τοῖς κρείττοσιν οἱ τοῦ νυμφίου μαστοὶ παρατίθενται· οὐ γὰρ ἂν τοῖς χείροσι συνεκρίθησαν· ἡ τοίνυν νύμφη πολλοῖς καὶ διαφόροις

I. οἴνοις εὐφρανθῆσασα καὶ σχοῦσα παρασκευὴν εἰς τὸ δέξασθαι τοὺς κρείττονας τούτων τοῦ νυμφίου μασθούς, τοῦτο φησὶν προτιμῶσα τούτους οἴνου τοῦ ἐν νόμῳ τε καὶ προφήταις· καὶ τὸ περὶ τῶν μύρων δὲ τῷ περὶ τοῦ οἴνου ταυτόν· ὅρα δὲ, ὡς ἐπὶ μὲν τῆς εὐαγγελικῆς πολιτείας, ὀσμὴν ἔφη· ἐπὶ δὲ τῆς νομικῆς λατρείας, αὐτὰ τέθεικε τὰ ἀρώματα· δηλῶν, ἐκείνης μὲν τὸ ὑπερέχον πνευματικὸν, ταύτης δὲ τὸ παχύ.

3. Μῦρον ἐκκενωθὲν ὄνομά σου.

Ὠριγένους καὶ Προκοπίου.

Τάχα προφητεύου τοῦ ὀνόματος τοῦ Χριστοῦ τὴν τὸν κόσμον πληρώσασαν δύναμιν, κατὰ τὴν αὐτοῦ παρουσίαν· ὥστε γενέσθαι κατὰ τὸν Παῦλον οἷς μὲν ὀσμὴ ἐκ θανάτου εἰς θάνατον, οἷς δὲ ζωῆς εἰς ζωὴν, εἴπεν ἂν ἡ νύμφη, διὰ τοῦτο πάντες ἠγάπησάν σε· ἀλλ' οὐ μόνον αἱ νεάνιδες ὁσημέραι ἀνανεούμεναι, καὶ μὴ ἔχουσαι ῥυτίδα ἢ σπῖλον· ἐξεκενώθη δὲ, ὡς μηκέτι σιωπᾶσθαι κατακεκλεισμένον ἐν ἀποῤῥήτοις.

Κυρίλλου.

Δηλοῖ δὲ καὶ τὴν εἰς πάντα τὰ ἔθνη τοῦ μονογενοῦς κληθεῖσαν ἐπωνυμίαν, καθ' ὃ πάντα τὰ ἔθνη εὐωδιάζουσα πρὸς αὐτὸν τὴν αὐτοῦ φέροντα προσηγορίαν.

Γρηγορίου.

Αὐτὸ μὲν τῆς θείας φύσεως τὸ μῦρον, εἴτ' οὖν τῆς οὐσίας κατάληψις, ὑπὲρ πᾶν ἐστι ὄνομά τε καὶ νόημα· ἐξ ὧν δὲ θαυμαστῶς ἐνεργῶν ὕλην τοῖς θείοις ὀνόμασι, πιότητα τινὰ βραχεῖαν τοῦ θείου μύρου σημαίνουσαν δι' ὧν σοφὸν, δυνατὸν, ἀγαθὸν, ἅγιον, μακάριόν τε καὶ κριτὴν καὶ σωτῆρα καὶ τὰ τοιαῦτα κατονομάζομεν. Ὥσπερ τὸ συνεχόμενον μῦρον κενούμενον δῆλον γίνεται τῇ εὐωδίᾳ, οὕτω τὸ σὸν ὄνομα, ὦ νυμφίε, ἔτι σοῦ ὄντος ἐν τοῖς πατρικοῖς κόλποις ἀγνοούμενον, μετὰ τὴν κένωσιν, ἴσα κενωθέντι μύρῳ αὐτόθεν ἔχει τὴν μαρτυρίαν, τῇ τῶν σημείων δυνάμει πιστούμενον· ἀλλ' αἱ μὲν νεάνιδες διὰ τοῦτο ἠγάπησάν σε ἐπειδὴ παρείλκυσάν σε ἐκ τῶν πατρικῶν κόλπων ἐπι-

δεόμεναι τῆς σῆς παρουσίας, μετὰ τὴν ἐκ τῆς ἐπιδημίας ὠφέ- I.
λειαν, μετὰ τὴν τῶν θαυμάτων πεῖραν ἐπιγνοῦσαι σου τὸ ὄνομα, καὶ ἀκολουθεῖν ὀπίσω σου μετὰ τὴν τῆς εὐεργεσίας αἴσθησιν· ἐγὼ δὲ ἡ σοι μεμνηστευμένη ἤδη κατὰ τὴν σὴν ἐπιφοίτησιν, τῆς ὀσμῆς τῶν μύρων σου καὶ πρὸ τῆς ἐπιδημίας ἀντελαβόμην· καὶ τῶν ἀγαθῶν μαστῶν σου ὕστερον γνωσθέντων πολλοῖς φθάσασαι τὴν γνῶσιν τῇ χάριτι· δύνανται δὲ καὶ νεάνιδες καὶ λέγεσθαι τὸν νυμφίον ὀπίσω ἕλκουσαι, ἥ τε αἱμοῤῥοοῦσα καὶ ἡ χαναναία, ἀμφότεραι γὰρ τὸ ἐκ συμπαθείας εἵλκυσαν μῦρον.

Ἀπολιναρίου.

Τῷ γὰρ ὀνόματι τοῦ Χριστοῦ καθαρίζονται πάντα, ἰῶνται, βαπτίζονται, τὴν ἀληθινὴν ἡμῖν εὐωδίαν ἐνοικίζονται· λέγει δὲ τὸ πνεῦμα τὸ ἅγιον, καὶ τὸ ἐκχυθὲν ὄνομα τὴν ἔκχυσιν τοῦ πνεύματος ἐπὶ πάντας ἐργάζεται· κατὰ τὸ ἡγιάσθητε καὶ ἐδικαιώθητε ἐν τῷ ὀνόματι τοῦ κύριου ἡμῶν Ἰησοῦ Χριστοῦ, καὶ ἐν τῷ πνεύματι τοῦ θεοῦ ἡμῶν· ἅπερ ποιοῦν τοὔνομα, μῦρον εἰκότως ἐκκενωθέν.

Διὰ τοῦτο νεάνιδες ἠγάπησάν σου, εἵλκυσάν σε ὀπίσω σου· 4.
εἰς ὀσμὴν μύρου σου δραμοῦμεν.

Γρηγορίου.

Τίς γὰρ τοιούτου κάλλους ἀνέραστος, εἰ μόνον ὀφθαλμὸν ἔχει τὸν ἐνατενίσαι τῇ ὥρᾳ δυνάμενον; εἵλκυσαν οὖν αὐτὸν εἰς ἀνταγάπησιν· φησὶν γὰρ ἡ σοφία· ἐγὼ τοὺς ἐμὲ φιλοῦντας ἀγαπῶ.

Κυρίλλου.

Νεάνις ἦν καὶ Παῦλος· πάντα λέγων ἰσχύω ἐν τῷ ἐνδυναμοῦντι με Χριστῷ, διὸ καὶ λίαν ἠγάπησε φάσκων· τίς ἡμᾶς χωρίσει ἀπὸ τῆς ἀγάπης τοῦ Χριστοῦ; πῶς δὲ αὐτὸν εἵλκυσαν; ἀκολουθήσασαι τοῖς ἴχνεσιν αὐτοῦ, καὶ τῶν εὐαγγελικῶν ἀπολαύσασαι μύρων· εἰ δὲ δραμοῦμεν, ἔχων τῶν νεανίδων ὁ λόγος, κατὰ τὸ ὀπίσω κύριου τοῦ θεοῦ πορευσόμεθα.

Εἰσήγαγέ με ὁ βασιλεὺς εἰς τὸ ταμιεῖον αὐτοῦ.

I. Γρηγορίου.

Αἱ μὲν ἔτι νηπιάζουσαι προστρέχουσαι τῇ εὐωδίᾳ· ἡ δὲ τελειωθεῖσα νύμφη εἰς τὰ ἄδυτα ὡς ὁ Παῦλος εἰσάγεται καὶ εἰς τὴν βασιλείαν τῶν οὐρανῶν.

Ὠριγένους.

Ἤγουν ἄδυτον τὴν ἀξιέραστον λέγει ψυχὴν ἢ ἐκκλησίαν ἢ τὸ ἡγεμονικὸν τοῦ Χριστοῦ· εἰς ὃ Παῦλος εἰσελθὼν ἔφη· ἡμεῖς δὲ νοῦν Χριστοῦ ἔχομεν ἵνα ἴδωμεν τὰ ὑπὸ θεοῦ χαρισθέντα ἡμῖν· τίνα δὲ ταῦτα; ἃ ὀφθαλμὸς οὐκ εἶδε καὶ οὖς οὐκ ἤκουσε, καὶ ἐπὶ καρδίαν ἀνθρώπου οὐκ ἀνέβη· ταῦτα γὰρ ἡτοίμασεν ὁ θεὸς τοῖς ἀγαπῶσιν αὐτόν· ἐν γὰρ τῷ ταμιείῳ τοῦ νυμφίου πάντες οἱ θησαυροὶ τῆς σοφίας καὶ τῆς γνώσεως ἀπόκρυφοι· αὕτη μὲν γὰρ ὡς προλαβοῦσα τὰς νεάνιδας εἰσήχθη, καὶ παρέστη ὡς βασίλισσα ἐκ δεξιῶν τοῦ βασιλέως· ἐν ἱματισμῷ διαχρύσῳ κατὰ τὸν Δαβίδ· περὶ δὲ τῶν νεανίδων ἀπενεχθήσονται τῷ βασιλεῖ παρθένοι ὀπίσω αὐτῆς, καὶ τὰ ἑξῆς.

Κυρίλλου.

Ἣν τινα βασιλείαν ταμιεῖον ἐν τοῖς παροῦσι προσαγορεύει.

Νείλου.

Ταμιεῖον, τὸ σῶμα λέγει τὸ κυριακὸν, εἰς ὃ εἰσῆκται ἡ μακαρία ψυχὴ συνοικήσασα τῷ θεῷ λόγῳ καὶ συμβασιλεύουσα σὺν αὐτῷ· εἰς ὅπερ παθεῖν ἦν εἰκὸς τὰς ἀπὸ τῆς συναγωγῆς ὁρώσας αὐτὴν ὡσανεὶ φρυαττομένην, καὶ μετὰ σχήματος σοβαροῦ τὸ εἰσήγαγέ με ὁ βασιλεὺς εἰς τὸ ταμιεῖον αὐτοῦ πρὸς τὰς νεάνιδας λέγουσαν· τοῦτ' εὐσκόπως τῇ γνώμῃ συνειδεῖα, καὶ τὴν κινηθεῖσαν αὐταῖς ἐκ τοῦ διηγήματος ζηλοτυπίαν στοχασαμένη· εἰ τῶν ἐκείναις καθηκόντων ταμιείων τοῦ βασιλέως ἡ δυσμενὴς καὶ μέλαινα ἠξιῶσθαι αὐχεῖ, ὅπερ εἶπον ἂν ἐκεῖναι, ἐξουδενοῦσαι αὐτὴν καὶ χλευάζουσαι τοῦτο εὐγνωμόνως ὁμολογεῖν αὕτη οὐκ αἰσχύνεται· μετὰ τοῦ προστιθέναι τὴν αἰτίαν, τοῦ εὐλόγως εἰρῆσθαι αὐτὴν παρὰ τοῦ νυμφίου· ἀγαλλιασώμεθα καὶ εὐφρανθῶμεν ἐν σοί.

Προκοπίου. I.

Αἱ νεάνιδες τῇ νύμφῃ φασί· μετάδος τῆς ἐπιγνώσεως· καθάπερ ὁ προσαναπαυσάμενος τῷ στήθει Χριςοῦ, καὶ φιληθεὶς ἐξ αὐτοῦ μετέδωκε τῆς θεολογίας ἡμῖν.

Γρηγορίου.

Διὰ ταύτης τῆς ῥήσεως τὴν ἐκκλησιαστικὴν οἰκονομίαν ἐκκαλύπτει ὁ λόγος· οἱ γὰρ πρῶτοι μαθητευθέντες τῇ χάριτι, καὶ αὐτόπται τοῦ λόγου γενόμενοι, οὐκ ἂν ἑαυτοῖς τὸ ἀγαθὸν περιώρισαν, ἀλλὰ καὶ τοῖς μετ' ἐκείνους ἐκ διαδόσεως τὴν αὐτὴν ἐποίησαν χάριν· διὰ τοῦτο πρὸς τὴν νύμφην φασὶν αἱ νεάνιδες τὴν πρώτην διὰ τοῦ κατὰ στόμα τοῦ λόγου γενέσθαι τῶν ἀγαθῶν πληρωθεῖσαν καὶ τῶν κεκρυμμένων μυστηρίων ἀξιωθεῖσαν· ὅτι ἀγαλλιασώμεθα καὶ εὐφρανθῶμεν ἐν σοι· κοινὴ γὰρ ἡμῶν ἐστὶ χαρὰ τὸ σὸν ἀγαλλίασμα.

Ἀγαπήσωμεν μασθοὺς συ ὑπὲρ οἶνον, εὐθύτης ἠγάπησέ σε.

Προκοπίου.

Ὡς ἀγαπᾷς σὺ φασὶν ὑπὲρ οἶνον τοὺς τοῦ νυμφίου μαστοὺς, οὕτω τοὺς σοὺς ἡμεῖς κατὰ μίμησιν σήν.

Ἀπολιναρίου.

Δι' ὧν τοὺς νηπίους ἐν Χριστῷ γάλα ποτίζεις, διὰ τοῦτο ὑπὲρ ἀνθρωπίνην ἀγαπῶμεν τὴν τῶν σῶν λόγων ἐπιῤῥοήν· ὅτι σε ἠγάπησεν ἡ εὐθύτης ὁ Ἰησοῦς· δι' οὗ τὸ σκολιὸν εἰς ὀρθὸν ἀπευθύνεται· τοιοῦτος ὁ μαθητὴς ὃν ἠγάπα ὁ Ἰησοῦς.

Ὠριγένους.

Ἤγουν εἰ καὶ νῦν δι' ἀσθένειαν ὑπὲρ τοὺς σοὺς μαστοὺς ἀγαπῶμεν ὦ νυμφίε τὸν οἶνον, ὅταν βελτιωθῶμεν ὑπὲρ τοῦτον αὐτοὺς ἀγαπᾷν· οἶνος μὲν οὖν εὐφραίνων νεάνιδας, τὰ νομικά· ἡ δὲ τελειότης τοῦ νυμφίου μαστοί· εἶτα εἰς ἀπολογίαν τοῦ μὴ εἴδη ἀγαπᾷν φησίν· εὐθύτης ἠγάπησέ σε· ἡμεῖς δὲ οὔπω τὰς ἑαυτῶν πορείας εὐθείας ἐποιησάμεθα.

Μέλαινά εἰμι καὶ καλὴ θυγατέρες Ἱερουσαλὴμ· ὡς σκηνώματα Κηδὰρ, ὡς δέῤῥεις Σαλομών. 5.

I. Νείλου.

Εἰ καὶ μέλαινα νῦν ὑμῖν εἶναι δοκῶ σημεῖα τινὰ τῆς προτέρας ἐπιφέρουσα καταστάσεως, ἴσϑι ὅτι ὡς ἐπὶ σκηνῆς τῷ αἰϑιοπικῷ δέρματι ἐγκέκρυπται κάλλος ἀμήχανον, ὅπερ ἀναλάμψει ἐν τῷ γαμικῷ λουτρῷ· ἐν γὰρ τῇ κολυμβήϑρᾳ τοῦ βαπτίσματος ὅταν με λούειν μέλλῃ, τότε ἀναβήσομαι λαμπρὰ, τὴν ἐπισυμβᾶσαν σκοτεινὴν ποιότητα ἀπονιψαμένη· ὡς καὶ ὑμᾶς τότε ὁρώσας ϑαμβεῖσϑαι καὶ λέγειν· Τίς αὕτη ἡ ἀναβαίνουσα λελευκασμένη; τί οὖν κομπάζετε ϑυγατέρες Ἱερουσαλὴμ, ἐπὶ τῇ τῶν πατέρων οἰκειότητι, ἔργοις ἀρνησάμεναι τὴν οἰκειότητα αὐτῶν, καὶ τὴν ἐκ πίστεως ἀπωσάμεναι δικαίωσιν; τὸ δὲ ὡς σκηνώματα Κηδὰρ καὶ δέῤῥεις, τῶν δύο ποιοτήτων τὰς ἀκρότητας ἐν αἷς γέγονε σημαίνει, ἀρετῆς καὶ κακίας, τὴν τῆς εἰδωλολατρείας μελανότητα μεταϑεμένη, καὶ καλὴ γενομένη ὡς τὰς Σολομῶντος δέῤῥεις· ἢ καὶ σκηνώματα Κηδὰρ τοὺς ἀπὸ ἐϑνῶν φησιν· δέῤῥεις δὲ Σολομὼν τοὺς ἐξ Ἰουδαίων συνελϑόντας καὶ προστεϑέντας τῇ πίστει.

Θεοδωρήτου.

Ἔστιν ἐξ ἐϑνῶν ἐκκλησία· μέλαινα μὲν ὡς ἐξηπατημένη καὶ τῇ κρίσει τῶν ἀλόγων κατεσποδωμένη· καλὴ δὲ περιμένουσά σε τὸν ἐξ οὐρανοῦ ἥξοντα διὰ τὴν ἐμὴν σωτηρίαν δεσπότην· δεδήλωκε δὲ κατὰ ταυτὸν, τῆς δυσσεβείας τὸν ζόφον καὶ τὴν δεδομένην ὑπὸ τῆς ϑείας χάριτος αὐτῇ ὥραν.

Ὠριγένους.

Λέγει δὲ ἡ ἐξ ἐϑνῶν ἐκκλησία ταῦτα πρὸς τὰς ἐξ Ἱερουσαλὴμ ψυχὰς, ἤ τοι τὴν Ἱερουσαλὴμ ὁμολογοῦσαν τὸ μέλαν, διὰ τὸ μὴ ἐκ λαμπρῶν μηδὲ πεφωτισμένων πατέρων· διὸ καὶ σκοτασμῷ παραβάλλεσϑαι· καλὴ δὲ διὰ τὸν λόγον ὃν παρεδέξατο· καὶ δέῤῥεσιν ἐοικέναι τοῦ Σαλομὼν ἃς εἶχεν, μεϑ᾽ ὧν ἄλλων ἐκέκτητο ἐν τῇ δόξῃ αὐτοῦ.

Γρηγορίου.

Μὴ ϑαυμάζητε, φησὶν, ὅτι εὐϑύτης ἠγάπησέ με· ἀλλ᾽ ὅτι καὶ μέλαιναν οὖσαν ἐλάμπρυνεν, διὰ τὴν ἐφ᾽ οἷς ἐμελανήνϑην

μετάνοιαν· καὶ ὑμεῖς τοίνυν εἰ καὶ πρώην ὑμῖν τὸ σκότος ἐνῴκησεν, τοῦτο γὰρ τὸ Κηδὰρ, γενέσθαι δέῤῥεις τοῦ Σαλομὼν, Χριςοῦ τοῦ εἰρηνικοῦ βασιλέως, καὶ τοῦ φωτὸς οἰκητήριον· ἀπὸ μέρους γὰρ δέῤῥεις τὴν βασιλικὴν ἔφη σκηνήν. I.

Μὴ βλέψητέ με ὅτι ἐγὼ εἰμι μεμελανωμένη ὅτι παρέβλεψέ με ὁ ἥλιος. 6.

Γρηγορίου.

Τὴν τῶν μαθητευομένων διάνοιαν μὴ τῷ δημιουργῷ τὴν αἰτίαν τοῦ σκοτεινοῦ εἴδους ἀνατιθέναι, ἀλλὰ τῇ ἑκάστου προαιρέσει καί φησιν· μὴ νομίσητε ὅτι μέλαινα ἐκτίσθην, ἀλλ' ὅτι τοιαύτην ὁ πονηρὸς ἀπέδειξεν ἥλιος· περὶ οὗ τὸ ἡμέρας ὁ ἥλιος οὐ συγκαύσει σε.

Ὠριγένους.

Ἢ ὅτι σκοτισθεῖσαν με τῇ ἁμαρτίᾳ, Χριστὸς παρεῖδε διὰ τὴν ἀπιστίαν· ὃν ἥλιον δικαιοσύνης ἀναγορεύουσιν αἱ γραφαί.

Υἱοὶ μητρός μου ἐμαχέσαντο ἐν ἐμοί· ἔθεντό μου φυλάκισσαν ἐν ἀμπελῶσιν· ἀμπελῶνα ἐμὸν οὐκ ἐφύλαξα.

Γρηγορίου.

Υἱοὺς μητρὸς, τοὺς νοητοὺς εἶπεν ἐχθρούς· λογικοὶ γὰρ ὁμοίως, καὶ ἐκ μιᾶς ἅπαντες αἰτίας τῆς θείας φύσεως· οἵ τινές με φησὶν ἐκβάλλοντες τοῦ καλοῦ ἀμπελῶνος, τουτέστι τοῦ παραδείσου, ἔθεντό με φυλάσσειν τοὺς αὐτῶν ἀμπελῶνας, ἐν οἷς βότρυς πικρίας καὶ σταφυλὴ χολῆς καὶ θυμὸς δρακόντων γεωργεῖται· ἐν ἀμπελῶσι δὲ εἶπε διὰ τὸ πολυσχεδὲς τῆς κακίας· μνησθήσασα δὲ τοῦ πάλαι πτώματος τὰς νεάνιδας ἀφεῖσα, πρὸς τὸν νυμφίον αὖθις ποιεῖται τὸν λόγον.

Ὠριγένους.

Ἤγουν οἱ διδάσκοντες μαθηταὶ τοῦ Χριςοῦ, καθάραι με τῶν πρὸς τούτου βουλόμενοι πονηρῶν λογισμῶν, καὶ τῶν συνεργούντων ταῦτα δαιμόνων, ἐμαχέσαντο τούτοις ἐν ἐμοὶ, τῆς αὐτῆς μοι μητρὸς ὄντες υἱοὶ, τῆς ἐλευθερίας φημί· οἱ μὲν εἰς τὸ κατ' ἐκλογὴν χάριτος λεῖμμα ἀναλαμβανόμενοι· ἐγὼ δὲ τὴν κατὰ τὴν ἄνω

I. Ἱερουσαλὴμ διαθήκην λαβοῦσα, καὶ ἐξ ἐπαγγελίας ἀναγεννωμένη· οὗ πρότερον δὲ ταύτην ἔθεντο φυλάκισσαν, εἶτα ἐμαχέσαντο· μαχεσάμενοι δὲ πρῶτον ἐπιτηδείαν ἐποίησαν τοῦ τεθῆναι ἐν ἀμπελῶσιν εἰς φυλακήν· Μωϋσῆς δὲ οὗτος καὶ οἱ προφῆται ὃν ἕκαστος ἀγρὸς ἦν πλήρης, ὃν εὐλόγησε κύριος· καὶ ἀμπελὼν ἐν οἷς τὶς γενόμενος, καὶ τὴν προτέραν ἔξιν ἑαυτοῦ μὴ τηρῶν ὡς ἐκ Σοδόμων ὑπάρχουσαν ἀμπελῶνα, τῷ παρόντι κέχρηται λόγῳ.

Κυρίλλου.

Τάχα δὲ κατηγορεῖ ἑαυτῆς, ὅτι τὸν ἴδιον οὐκ ἐφύλαξεν ἀμπελῶνα, πορθεῖν αὐτὸν ἀφεῖσα πάντα τὸν παραπορευόμενον τὴν ὁδόν· λυμήνασθαί τε αὐτὸν ὗν ἐκ δρυμοῦ, καὶ μονιὸν ἄγριον κατανεμήσασθαι αὐτόν· τάχα δὲ καὶ δοξάζει τὸν Θεόν, ὅτι μὴ δυνηθεῖσα φυλάξαι τὸν ἴδιον ἀμπελῶνα, τῷ μήτε γεωργῆσαι μήτε φυλάξαι ἐπὶ τοσοῦτον προέκοψεν, ὡς πολλοὺς ἀμπελῶνας δυνηθῆναι φυλάξαι.

Ἀπολιναρίου.

Ἀνάγοιτο δ' ἂν ταῦτα, καὶ ἐπὶ τοὺς πρότερον μὲν τὴν ἐκκλησίαν διώξαντας, ὕστερον δὲ διδάξαντας τοὺς ὑπ' αὐτῶν διωχθέντας, ὁποῖος ἦν ὁ Παῦλος· ἐνικῶς γὰρ ἐξέδωκεν ὁ Σύμμαχος εἰπών· υἱός μητρός μου ἐμαχέσατο ἐν ἐμοί, ἔθετό με φυλάκισσαν ἐν ἀμπελῶσι, τουτέστι μετὰ τὸ διῶξαι, ἔθετό με φυλάσσειν τὰς ἐντολὰς τοῦ Θεοῦ.

Κυρίλλου.

Ἡγεῖν υἱοὺς μητρός αὐτῆς λέγει τῆς συναγωγῆς, τοὺς γραμματεῖς καὶ φαρισαίους· οἵ τινες ἐπολέμουν τοῖς πιστεύουσιν εἰς Χριστόν· τηρεῖν ἐντελλόμενοι τὴν κατὰ τὸν νόμον λατρείαν· αὕτη γὰρ ἀμπελών· ἀλλ' ἐγὼ ταύτην φησὶν οὐκ ἐφύλαξα· ἅ τινα γὰρ ἦν μοι κέρδη, ταῦτα ἥγημαι διὰ τὸν Χριστὸν ζημίαν· ὡς φησὶν ὁ μακάριος Παῦλος.

7. Ἀπάγγειλόν μοι ὃν ἠγάπησεν ἡ ψυχή μου, ποῦ ποιμαίνεις, ποῦ κοιτάζεις ἐν μεσημβρίᾳ· μήποτε γένωμαι ὡσεὶ περιβαλλομένη ἐπ' ἀγέλαις ἑταίρων σου.

Γρηγορίου. I.

Τοὔνομά σου φησὶν ἀγνοῶ, ἐκ δὲ τῆς ἀγάπης καλῶ· ἀγαπῶ γὰρ εἰκότως τὸν ἀγαπήσαντα καὶ τὴν ψυχὴν θέντα ὑπὲρ ἐμοῦ· καὶ βούλομαί σου τὴν νομὴν εὑροῦσα ἐμφορηθῆναι τῆς αἰωνίου τρυφῆς, ἧς ὁ μὴ φαγὼν οὐ δύναται εἰς τὴν ζωὴν εἰσελθεῖν· ἔνθα με ἀναπαύσεις, ἐν ἀσκίῳ φωτὶ τῆς ἀναςάσεως· ἀλλὰ μὲ δίδαξον πῶς ἐστὶ τούτων τυχεῖν, μήπως ἀποσφαλεῖσα ταῖς ἀλλοτρίαις ἐμπέσω τῶν σῶν ποιμνίων ἀγέλαις· ἀγωνιᾷ γὰρ εἰς τὸ φυλάξαι μέχρι τέλους ὅπερ ἐκτήσατο κάλλος, καὶ περὶ τούτου πυνθάνεται· ὁ δὲ νυμφίος μείζω πόθον ἐξάπτων ἀναβάλλεται τὴν ἀπόκρισιν· οἱ φίλοι δε ἀποκρίνονται τοῦ νυμφίου, καὶ λέγουσι τὰ ἐπαγόμενα, τὸν τρόπον τῆς τῶν προσόντων ἀγαθῶν ἀσφαλείας, διὰ συμβουλῆς ὑφηγούμενοι· ἔστι δὲ κεκαλυμμένος ὁ παρ' ἐκείνων λόγος.

Κυρίλλου.

Ἑταίρους αὐτοῦ τοὺς ἀποστόλους καλεῖ· ἔφη γὰρ οὐκ ἔτι λέγω ὑμᾶς δούλους ἀλλὰ φίλους· φίλοι γὰρ ἐστὲ· περιβαλλομένη δὲ λέγει καλυπτομένη· λέγοντος Παύλου, ὅτι ἄχρι τῆς σήμερον ἡμέρας, ἡνίκα ἀναγινώσκεται Μωσῆς, κάλυμμα ἐπὶ τὴν καρδίαν αὐτῶν κεῖται· φωνὴ οὖν ἡ μετανοοῦσα συναγωγὴ πρὸς Χριστὸν, δήλωσόν μοι σαυτὸν, ὅπως μοι τῶν ἑταίρων σου ποιμαίνων τὰς ἐκκλησίας, ἐγὼ ἐπὶ τὴν καρδίαν μείνω τὸ κάλυμμα ἔχουσα.

Ἐὰν μὴ γνῷς σεαυτὴν ἡ καλὴ ἐν γυναιξὶν, ἔξελθε σὺ ἐν πτέρ- 8.
ναις τῶν ποιμνίων σου καὶ ποίμαινε τὰς ἐρίφους σου ἐπὶ σκηνώμασι τῶν ποιμένων.

Γρηγορίου.

Τοῦτο φυλακτήριον, τὸ σεαυτὴν ἐπιγνῶναι· ὁ δὲ τοῖς τῶν προοδευσάντων πεπλανημένοις ἴχνεσιν ἀκολουθήσας, λήσεται εἰς ἔριφον ἀντὶ προβάτου μεταβαλών· τοῦ νυμφίου τοίνυν οἱ φίλοι φασίν· ὡς ἐκ μελαίνης ψυχὴ γενομένη καλὴ, εἴ σοι μέλλει τοῦ φυλάξαι τὸ κάλλος, μὴ ἀκολούθει πεπλανημένοις, μήποτε προςεθῇς τῇ τῶν ἐρίφων ἀγέλῃ, τῇ λαβούσῃ τὴν ςάσιν τὴν ἐξ ἀριστερῶν·

I. ἔστι δὲ σαφεστέρα γραφὴ καὶ τηροῦσα τὴν σύνταξιν· ἐὰν μὴ γνῷς σεαυτὴν ἡ καλὴ ἐν γυναιξὶν, ἔξελθε ἐκ τῶν πτερνῶν τοῦ ποιμνίου, καὶ ποιμανεῖς ἐρίφους· ἀντὶ σκηνωμάτων ποιμνίων· ἵνα τὸ ἔξελθε ἀντὶ τοῦ ἐξελεύσει.

Φίλωνος.

Ἕτερος τὸν λόγον ὡς ἀπὸ τοῦ νυμφίου φησὶ πρὸς τὴν ἐν πάσαις ταῖς συναγωγαῖς μόνην οὖσαν καλήν· ὅτι γνῶθι ποῦ ἦς καὶ ποῦ νῦν εἶ, καὶ παρὰ τίνος ἔχεις τὸ κάλλος· εἰ δὲ σαυτὴν ἀναξίαν τῆς ἐμῆς δόξης ποιεῖς, ποίμαινε τῶν ἁμαρτωλῶν τὰς ψυχὰς ἐν τοῖς σκηνώμασι τῶν τοῦ Ἰσραὴλ βασιλέων.

Κυρίλλου.

Ἤγουν, εἰ μὴ μετανοήσῃς, φησὶν, ὀπίσω τῶν ἐθνῶν εὑρεθήσῃ· ἅτε μὴ ἔχουσα καρποὺς δικαιοσύνης, ἄκαρπος μένουσα, καὶ ὀπίσω ποιμνίων ὧν ἐμαυτὸν συνεστησάμην.

Ἀπολιναρίου.

Κατὰ δὲ τὴν ἔκδοσιν τοῦ Συμμάχου, τοιαύτην ἔχει τὴν ἔννοιαν· εἰ μήπω τὸν χαρακτῆρα τῆς ἐμῆς ἐπέγνωκας ποίμνης, καὶ κατὰ νόμους ἐμοὺς τὸν σεαυτῆς ποιμανεῖς ναὸν, ἐξελθοῦσα τοῖς ποιμνίοις ἀκολούθει· γνώσει γὰρ οὕτως, ὅτι μὴ κατὰ τὴν ποίμνην τὴν ἰουδαϊκὴν βαδίζει πρόβατα τὰ ἐμά· οὕτω γὰρ ποιμαινομένη, καὶ τὰ ἑαυτῆς νεαρὰ ποιμαίνουσα θρέμματα, ἅπερ εἶπεν ἐρίφους, γνώσει ποῦ νέμει Χριστὸς, καὶ τινες οἱ ὑπ' αὐτὸν νεμόμενοι, τὸν πνευματικὸν ἔχοντες καὶ κάλλιστον χαρακτῆρα, καθ' ὃν καλὴ ἐν γυναιξὶν ἡ ἐξαίρετος ἐκκλησία.

Ὠριγένους.

Τὸ πολυθρύλλητον δὲ παρ' ἕλλησιν ἐπίφθεγμα προείληπται παραδοθὲν τῷ σοφῷ Σολομῶντι, τὸ γνῶθι σαυτόν· καθ' ἣν ἀπειλεῖται νῦν ἡ ψυχὴ παρὰ τοῦ ἐράστου καὶ νυμφίου, εἰ μὴ τὸ δοθὲν αὐτῇ κατ' εἰκόνα θεοῦ φυλάξει κάλλος, τὴν ἔνδοθεν ἐκβολὴν, καὶ τὸ ἐν ἐσχάτοις τετάχθαι, τοὺς σκαιοὺς ἐρίφους ποιμαίνουσα. Ποιμανεῖς δὲ αὐτοὺς ἐπὶ τοῖς τῶν ποιμένων σκηνώμασιν, ποτὲ μὲν τοῦδε, ποτὲ δὲ ἐκείνου οἷα δή τις ἀλῆτις· μέχρι παιδευ-

θεῖσα τῇ πείρᾳ πρὸς τὴν σεαυτῆς ἐπιστρέψειας γνῶσιν· ἁρμόσει I.
δὲ καὶ πρὸς τὴν ἐκκλησίαν ὁ λόγος· γινώσκει δέ τις ἑαυτὸν εἰδὼς, εἰ ἀγαθὴν ἢ φαύλην ἔχει διάθεσιν· καὶ πολὺ τῆς ὁδοῦ τῆς ἐπὶ τὴν ἀρετὴν ἀπολείπεται· ἢ τοῖς ἔμπροσθεν ἐπεκτείνεται, τῶν ὄπισθεν ἐπιλανθανόμενος· εἰ δὲ καὶ μήπω ἔλαβεν ἢ τετελείωται, ἢ προσεγγίζει τοῖς ὁρίοις τοῦ κάλλους· ἔργον δὲ καὶ τὸ ἀφιστάνειν ἑκάστῃ πράξει ὅπως γεγένηνται λογισμῷ τε παντὶ καὶ λόγῳ· γυναῖκας δὲ τὰς μὴ καθαρὰς μηδὲ ἀδιαφόρους ψυχὰς λέγει· ἀμελοῦσα δὲ τῆς ἰδίας γνώσεως, γένοιτ᾽ ἂν κλυδωνιζομένη καὶ περιφερομένη παντὶ ἀνέμῳ τῆς διδασκαλίας ἐν τῇ κυβείᾳ τῶν ἀνθρώπων· καὶ πανταχοῦ μᾶλλον ποιμαίνειν τὰς ἰδίας σκαιὰς ἐρίφους ἢ παρὰ τῷ καλῷ ποιμαίνει λόγῳ· αὕτη δὲ προσηνὴς ὁ λόγος, εἰ καὶ μηδέποτε λεία λοιπὸν ἤδη ἐν γυναιξὶν ἐστὶ καλὴ, συγκαταριθμουμένη τῇ τοῦ θεοῦ ἐκκλησίᾳ, καὶ τῶν ἐν αὐτῇ μικρῶν οὖσα καλλίων· αἱ γὰρ οὕτω λεγόμεναι τῆς ἐκκλησίας γυναῖκες, τῶν ἐθνικῶν ψυχῶν ἀσυγκρίτως ἀμείνους πορευομένων ὀπίσω τῶν ἐραστῶν τῶν ἀντικειμένων δυνάμεων, γυναικῶν λεγομένων, ἀλλ᾽ οὐ παρθένων, πῶς γὰρ οὐκ ἀμείνων, ἡ πρὸς τὸν κτίστην τὸν σαυτῆς ἀναβλέψασα; ὅμοιον δὲ τὸ ἔξελθε, τῷ παραδοθῆναι τῷ σατανᾷ, εἰς ὄλεθρον τῆς σαρκὸς ἀφορισθέντα τῆς ἐκκλησίας· μετὰ τὸ καθάπερ ἔλεγε πρὸς τας νεάνιδας εἰσαχθῆναι παρὰ τοῦ βασιλέως εἰς τὸ ταμεῖον αὐτοῦ.

Τῇ ἵππῳ μου ἐν ἅρμασι Φαραὼ ὡμοίωσά σε ἡ πλησίον μου. 9.

Γρηγορίου.

Ἵππους θεοῦ ἀντιτασσομένη τοῖς ἅρμασι Φαραὼ δύναμίς τις ἀγγελικὴ καὶ ἀόρατος καταποντίζουσα τὸν αἰγύπτιον· ᾗ παρεικάζεται ἡ τῷ λουτρῷ κεκαθαρμένη ψυχὴ πᾶν αἰγύπτιον νόημα καὶ πᾶσαν τὴν ἀλλόφυλον κακίαν τοῖς ὕδασι καταποντίσασα· τὴν οὖν ποτὲ φησὶ γενομένην ἐν ἅρμασι Φαραὼ, τῇ ἵππῳ μου νῦν παρωμοίωσά σε.

Κυρίλλου.

Ἤγουν δεξαμένη τὴν ἐμὴν ὦ ἐκκλησία πίστιν τοῖς ἀποστό-

I. λοις εἰκάσθης· περὶ ὧν τὸ, ἐπιβήσῃ ἐπὶ τοὺς ἵππους σου, καὶ ἡ ἱππασία σου σωτηρία· οἳ καὶ κατὰ τῶν ἁρμάτων εὐτρεπίσθησαν τοῦ νοητοῦ Φαραώ.

10. Τί ὡραιώθησαν σιαγόνες σου ὡς τρυγόνος;

Γρηγορίου.

Ἐπείπερ ἵππος ἀκόλαστος, τῆς τρυγόνος αὐτὴν ἐκόσμησε σωφροσύνην· ἵππον γὰρ εἶπον, φησὶν, οὐχ' ὡς κημοῦ δεομένην καὶ χαλινοῦ· ἐμπρέπει γὰρ ἡ καθαρά σοι ζωή.

Κυρίλλου.

Ἤγουν τὴν αἰδῶ τὴν πρὸς τὸν νυμφίον παρίστησι διὰ τῆς τρυγόνος· ἐρυθραὶ γὰρ τῆς τρυγόνος αἱ σιαγόνες· τῇ δὲ συναγωγῇ τοὐναντίον· ὄψις πόρνης ἐγένετό σοι, ἀπηναισχύντησας πρὸς πάντας.

Ὠριγένους.

Ἀλλὰ καὶ μέλη Χριστοῦ ἐκκλησίαν νύμφην ὁ Παῦλος φησὶν· ἧς οἱονεὶ πρόσωπον, οἱ τῷ κάλλει τῶν λοιπῶν διαφέροντες, αἰσχρὸν οὐδὲν ἐννοοῦντες· τὴν δὲ τῆς σωφροσύνης αὐτῇ καρποφοροῦντες αἰδῶ, οἱ πρότερον ἴσως οὐκ ὄντες καλοὶ, τοσοῦτον μετέβαλον ὡς εἰρῆσθαι τῇ νύμφῃ· τί ὡραιώθησαν σιαγόνες σου, μὴ ἔχοντες σπῖλον ἢ ῥυτίδα; τάχα δὲ, καὶ τῷ τὸν ἕνα μόνον γινώσκειν θεόν· καὶ ἡ τρυγὼν γὰρ ἑνὶ μόνῳ συνέρχεται.

Τράχηλός σου ὡς ὁρμίσκοι.

Γρηγορίου.

Ἐπαινεῖ τὸν τράχηλον τὸν ἐν σχήματι κύκλου γυρούμενον, ὃ δὴ περὶ τοὺς γαύρους τῶν πώλων ὁρῶμεν γενόμενον· ἡ γὰρ τῶν ὁρμίσκων μνήμη τὸν κύκλον ἐνδείκνυται, οὗ τὸ σχῆμα ἐπὶ τοῦ αὐχένος δεικνύμενον, εὐπρεπέστερον αὐτοῦ τὸν πῶλον ποιεῖ· ὅρμος δὲ λέγεται, κυρίως μὲν ἐπὶ τῶν παραλίων τόπων ἐν οἷς ἡ ὄχθη καὶ τὸ ἐντὸς μονειδῶς κοιλανθεῖσα, ὑποδέχεται τῷ κόλπῳ τὴν θάλασσαν· καὶ ἀναπαύει δι' ἑαυτῆς τοὺς ἐκ τοῦ πελάγους προσπλέοντας· ἐκ μεταφορᾶς δὲ διὰ τοῦ σχήματος, ὁ περιτραχήλιος κόσμος ὅρμος λέγεται· ὡς δὲ εἰς κύκλου σχῆμα

κάμπτων ὁ πῶλος τὸν αὐχένα πρὸς τὰς ἰδίας τῶν ποδῶν βά- I.
σεις ὁρῶν, δι᾽ ὧν ἀπρόσκοπόν τε καὶ ἀσφαλῆ ποιεῖται τὸν δρόμον, μήτε τῷ λίθῳ προσπταίων, μήτε κενεμβατῶν ἐν τῷ βόθρῳ· τοῦτο δὲ οὐ μικρὸν εἰς εὐφημίαν ἐστὶ ψυχῆς τὸ πρὸς ἑαυτὴν βλέπειν· καὶ δι᾽ ἀσφαλείας ἁπάσης πρὸς τὸν θεῖον δρόμον ἐπείγεσθαι· εἰ δὲ ἦν ἑνὶ μόνῳ προσεικασμένη ὁρμίσκῳ, ἀτελὴς πάντως ὁ ἔπαινος ἦν, ὡς οὐ τὴν αὐτὴν καὶ ἐπὶ τῶν λοιπῶν ἀρετῶν τὴν μαρτυρίαν ἔχων· νῦν δὲ πᾶσαν συλλαμβάνει τῷ λόγῳ τῶν ἀρετῶν τὴν μαρτυρίαν, ἡ πρὸς τὸ πλῆθος τῶν ὁρμίσκων ὁμοίωσις.

Διδύμου.

Ὁρμίσκοι γὰρ, ἡ καθαρὰ πίστις ἡ ἀμόλυντος σωφροσύνη, ὁ καθαρὸς βίος· ἤγουν αὐτὸ χρῆμα κόσμος ἐστὶν, ἀλλ᾽ οὐ κόσμιον περικείμενος.

Κυρίλλου.

Λέγει τράχηλον τὸ ὑποτακτικὸν τῆς ψυχῆς· πῶς γὰρ κόσμος καλὸς, αὐχὴν μελετήσας φέρειν τοῦ Χριστοῦ τὸν ζυγόν.

Ὁμοιώματα χρυσίου ποιήσωμέν σοι μετὰ στιγμάτων τοῦ ἀρ- 11.
γυρίου· ἕως οὗ ὁ βασιλεὺς ἐν ἀνακλίσει αὐτοῦ. 12.

Ὠριγένους.

Τοῦτο δὲ, οὐ πολὺς ἦν οὐδὲ κεχυμένος ὁ ἄργυρος· ὀλίγα δὲ ἐν ἀπορρήτῳ παρὰ τῶν προφητῶν λέγομαι καὶ τῶν πάλαι σοφῶν· ἐπιδημήσαντος δὲ τὰ ἐν τοῖς ἀβάτοις τοῦ ναοῦ τεθεώρηται τῷ βλέποντι τὸ καταπέτασμα τὸ ἀληθινὸν σχιζόμενον ἄνωθεν ἕως κάτω ἐπὶ τῷ θεωρηθῆναι τὰ ἔνδον ἐπ᾽ ἂν ὁ ἀναπεσὼν κοιμηθεὶς ὡς λέων καὶ ὡς σκύμνος ἐγερθῇ. Καὶ μετὰ ταῦτα. Τότε γὰρ οἱ σύμμορφοι γενόμενοι τῆς ἀναστάσεως αὐτοῦ, παραλήψονται αὐτοὺς ἀνθομοιωμάτων χρυσὸν· πληθυνθήσονται γὰρ τῷ ἀργυρίῳ καὶ τῷ χρυσίῳ.

Γρηγορίου.

Ἄξιον δὲ τοῦτο μὴ παραδραμεῖν ἀθεώρητον· τί δήποτε οὐκ αὐτὸ τὸ χρυσίον εἰς κόσμον παραλαμβάνεται, ἀλλὰ τοῦ χρυσίου

I. τὰ ὁμοιώματα· καὶ οὐκ αὐτὸς ὁ ἄργυρος, ἀλλὰ τὰ ἐκ τῆς ὕλης ταύτης, τῷ ὁμοιώματι τοῦ ἀργυρίου συγκοτούμενα ςίγματα· τὸ τοίνυν διὰ τοῦτο δηλούμενον τοιοῦτόν ἐςιν, ὅτι ἡ θεία φύσις πάσης ὑπέρκειται καταληπτικῆς διανοίας· τὸ δὲ περὶ αὐτῆς ἡμῖν ἐγγινόμενον νόημα, ὁμοιώματά ἐςι τοῦ ζητουμένου· οὐ γὰρ αὐτὸ δείκνυσιν ἐκεῖνο τὸ εἶδος, ὃ οὔτε τίς οἶδεν οὔτε ἰδεῖν δύναται, ἀλλὰ δι' ἐσόπτρου καὶ δι' αἰνίγματος ἔμφασιν τινὰ σκιαγραφεῖ τοῦ ζητουμένου, ἔκ τινος εἰκασμοῦ ταῖς ψυχαῖς γινόμενον· πᾶς δὲ λόγος τῶν τοιούτων νοημάτων σημαντικὸς, στιγμῆς τινὸς ἀμεροῦς δύναμιν ἔχει· μὴ δυνάμενος ἐμφῆναι ὅπερ ἡ διάνοια βούλεται· ὡς εἶναι πᾶσαν μὲν διάνοιαν κατωτέραν τῆς ἀληθείας κατανοήσεως· πάντα δὲ λόγον ἑρμηνευτικὸν ςιγμὴν βραχεῖαν δοκεῖν, μὴ δυνάμενον τῷ πλάτει τῆς διανοίας ἐπεκτείνεσθαι· τὴν οὖν διὰ τῶν τοιούτων ῥημάτων χειραγωγουμένην ψυχὴν πρὸς τὴν τῶν ἀλήπτων περίνοιαν, διὰ μόνης πίςεως εἰσοικίζειν ἐν ἑαυτῇ λέγει δεῖν τὴν πάντα νοῦν ὑπερέχουσαν φύσιν· καὶ τοῦτό ἐςι τὸ παρὰ τῶν φίλων λεγόμενον· ὅτι σὺ ποιήσωμεν ὦ ψυχὴ τῇ καλῶς πρὸς τὸν ἵππον ἀπεικασθείσῃ, ἰνδάλματά τινα τῆς ἀληθείας καὶ ὁμοιώματα· τοιαύτη γὰρ καὶ τοῦ τῶν λόγων ἀργυρίου ἡ δύναμις ὡς ἐναυγαύσματα σπινθηροειδῆ δοκεῖν εἶναι τὰ ῥήματα, μὴ δυνάμενα δι' ἀκριβείας ἐμφῆναι τὸ ἐγκείμενον νόημα· σὺ δὲ ταῦτα δεξαμένη, ὑποζύγιόν τε καὶ οἰκητήριον γενήσῃ διὰ πίςεως, τοῦ σοὶ ἐν ἀνακλίνεσθαι μέλλοντος διὰ τῆς ἐν σοὶ κατοικήσεως· τοῦ γὰρ αὐτοῦ καὶ θρόνος ἔσῃ καὶ οἶκος γενήσῃ· ταῦτα τῶν φίλων τοῦ νυμφίου τῇ καθαρᾷ καὶ παρθένῳ χαρισαμένων ψυχῇ, εἶεν δ' ἂν οὗτοι τὰ λειτουργικὰ πνεύματα εἰς διακονίαν ἀποςελλόμενα διὰ τοὺς μέλλοντας κληρονομεῖν σωτηρίαν.

Φίλωνος.

Καὶ ὁμοιώματα χρυσίου οἱ μάρτυρες, ὡς χρυσὸς ἐν πυρὶ δοκιμασθέντες· φέροντες ἐπὶ τοῦ σώματος τὰ ςίγματα τοῦ Χριστοῦ καὶ ἐν καιρῷ δὲ εἰρήνης οὐ μόνον ἐν διωγμοῖς· διὰ τὸ

ἑλέσθαι τὴν ϛενὴν καὶ τεθλιμμένην ἕως οὗ ὁ βασιλεὺς ἐν τῇ παλιγγεσίᾳ παραγένηται. I.

Κυρίλλου.

Ἤγουν ἀργύριον μὲν ἐν τῇ γραφῇ συνήθως, ἡ θεία διδασκαλία· χρυσίον δὲ τὰ θεῖα χαρίσματα· πάντα δὲ πρὸ τῆς ἐπιδημίας Χριστοῦ, ὁμοιώματά ἦν καὶ σκιὰ τῶν μελλόντων κατὰ τὸν ἀπόστολον ἀγαθῶν· ἀναϛὰς δὲ Χριϛὸς τὰ τέλεια τοῖς ἀνθρώποις δεδώρηται· πρὸ δὲ τῆς ἀναϛάσεως ὁμοιώματα εἴχομεν, παρὰ τῶν ἐπαίνων αὐτοῦ, τοῦ τε νόμου καὶ τῶν προφητῶν.

Νάρδος ἔδωκεν ὀσμὴν αὐτοῦ.

Προκοπίου.

Εὐωδίαν φησὶν ἐκ ποικίλων ἀρετῶν καθάπερ ἐξ ἀνθέων συναγομένην τῇ νύμφῃ· ἐν ἑαυτῇ γὰρ ὀσφραίνεται τῆς εὐωδίας Χριστοῦ· καὶ εἰ τὸ πάθος εἶπεν αὐτοῦ, ἐφ᾽ ᾧ καὶ τὸ ἀλάβαϛρον τοῦ μύρου χυθὲν διέδωκε πανταχοῦ τὴν ὀσμήν.

Ὠριγένους.

Τὴν γὰρ τοῦ νυμφίου φησὶν ὀσμὴν ἡ ἐμὴ νάρδος ἐν ᾗ αὐτὸν ἤλειψα, δέδωκε· τῇ γὰρ ἑαυτῆς νάρδῳ τοὺς πόδας ἀλείψασα τοῦ Ἰησοῦ, καὶ ταῖς θριξὶν ἀπομάξασα, μεταπεποιημένην ἐκ τῆς ὀσμῆς τοῦ νυμφίου ταύτην ἀνέλαβεν· ἧς αἰσθανομένη φησὶν ἐπὶ τὴν κεφαλὴν ἐλθούσης ἡ ἐμὴ νάρδος ἔδωκέ μοι τὴν τοῦ νυμφίου ὀσμήν· διόπερ ὡς ἀπὸ τῶν χρωτῶν Ἰησοῦ τὴν οἰκίαν ὅλην ἐπλήρωσε τῆς μαθητρίας τὸ μῦρον.

Γρηγορίου.

Ὡς γὰρ ὑμεῖς φησὶ τὰ λειτουργικὰ πνεύματα, οὐκ αὐτὸ τὸ ἀκήρατον τῆς θεότητος χρυσίον, ἀλλ᾽ ὁμοιώματα διὰ τῶν χωρητικῶν ἡμῖν νοημάτων τοῦ χρυσίου χαρίζεσθε· οὐ τηλαυγεῖ τῷ λόγῳ τὰ κατ᾽ αὐτὸν ἐκκαλύπτοντες, ἀλλὰ διὰ τῆς βραχύτητος τῶν τοῦ λογικοῦ ἀργυρίου στιγμάτων ἐμφάσεις τινὰς παρασχόμενοι τοῦ ζητουμένου, οὕτω κἀγὼ διὰ τῆς ἐπιπνοίας τοῦ ἐμοῦ μύρου, τὴν αὐτοῦ ἐκείνου εὐωδίαν τῇ αἰσθήσει παρεδεξάμην· τοιοῦτον δέ μοι δοκεῖ νοῦν ἔχει· ὥσπερ ἐκ διαφόρων ἀρωμάτων,

I. ἄλλου κατ' ἄλλην ἰδιότητα εὐπνοούντων· τεχνική τις καὶ ἔμμετρος μίξις τὸ τοιοῦτον ἀπεργάζεται μῦρον μιᾶς τινὸς πόας εὐώδους ἐκ τῶν συνεμβαλλομένων, ᾗ ὄνομα νάρδος ἐστὶν, ὅλῳ τῷ κατασκευάσματι περιεχομένης τὸ ὄνομα· οὕτω καὶ εἴ τις πᾶν ἄνθος εὐωδίας ἐκ τῶν ποικίλων τῆς ἀρετῆς λειμώνων ἀνθολογήσας καὶ πάντα ἑαυτοῦ τὸν βίον ἓν μῦρον διὰ τῆς τῶν καθ' ἕκαστον ἐπιτηδευμάτων εὐοσμίας ἀπεργασάμενος, διὰ πάντων γένοιτο τέλειος, πρὸς αὐτὸν μὲν τὸν Θεὸν λόγον, ὡς πρὸς ἡλίου κύκλον ἀτενῶν ἐνιδεῖν φύσιν οὐκ ἔχει, διὰ τὸ ὑπερκείμενον τῆς οὐσίας, ἐν ἑαυτῷ δὲ καθάπερ ἐν κατόπτρῳ βλέπειν τὸν ἥλιον· αἱ γὰρ τῆς ἀληθινῆς καὶ θείας ἀρετῆς ἀκτῖνες τῷ κεκαθαρμένῳ βίῳ, διὰ τῆς ἀποῤῥεούσης αὐτῶν ἀπαθείας ἐκλάμπουσαι, ὁρατὸν ποιοῦσιν ἡμῖν τὸν ἀόρατον καὶ ληπτὸν τὸ ἀπρόσιτον· τῷ ἡμετέρῳ κατόπτρῳ ἐνζωγραφοῦσα τὸν ἥλιον· ᾗ καὶ τὸ πάθος αἰνίττεται τοῦ Χριστοῦ, ἐφ' ᾧ καὶ τὸ ἀλάβαστρον τοῦ μύρου χυθὲν, δέδωκεν τὴν ὀσμήν.

13. Ἀπόδεσμος τῆς στακτῆς ἀδελφιδός μου ἐμοὶ, ἀνὰ μέσον τῶν μαστῶν μου αὐλισθήσεται.

Γρηγορίου.

Διὰ τούτων μείζονα καὶ τελεωτέραν ἐμφαίνει σοφίαν, ἣν κατορθῶσαι μόνων τῶν ἤδη τετελειωμένων ἐστίν· ἐπειδὴ γὰρ ἔθος ταῖς φιλοκόσμοις γυναιξὶ μὴ τοῖς ἔξωθεν προκοσμήσασι μόνον ἐπινοεῖν ἑαυταῖς τὸ ἐπὶ τῶν συμβιούντων ἐράσμιον, ἀλλ' ἐπιτηδεύειν διά τινος εὐπνοίας, ἥδιω τὰ σώματα τοῖς ἑαυτῶν ἀνδράσι φαίνεσθαι, τὸ καταλλήλως ἐνεργοῦν πρὸς τὴν τοιαύτην χρείαν ἄρωμα, ἐντὸς τῆς κατὰ τὴν αἰσθητὰ περιβολῆς ἐγκρύπτουσαι· οὗ τὸν οἰκεῖον ἀτμὸν ἐκδιδόντος, καὶ τὸ σῶμα τῇ τοῦ ἀρώματος εὐπνοίᾳ συγκαταχρώννυται τοῦ ἐμοῦ αὐχένος ἀπόδεσμος, καὶ κατὰ τοῦ στήθους εὐωδιάζων τὸ σῶμα· αὐτός ἐστιν ὁ κύριος οὐχ' ἕτερον ἄρωμα· στακτὴ γὰρ γενόμενος ἔγκειται τῷ ἀποδέσμῳ τῆς συνειδήσεως αὐτῇ μου τῇ καρδίᾳ νῦν αὐλιζόμενος, οἱονεὶ ἐν τῷ βαθεῖ καὶ μεσαιτάτῳ, ἐν ᾧ τόπῳ τὸ ἀγαθὸν θησαυρίζεται, καὶ ζω-

πυρεῖ τὰ τοῦ σώματος μέλη· μηδὲ μιᾶς ἀνομίας τὴν κατὰ Θεὸν I.
ἀγάπην ἀποψυχούσης· ςακτὴ δὲ γέγονεν, ὡς ἄτευκτος ἐπὶ πόκον, καὶ ὡσεὶ σταγόνες ςάζουσαι ἐπὶ τὴν γῆν· λέγει δὲ καὶ ἐν ψαλμοῖς, σμύρνα καὶ στακτὴ καὶ κασία ἀπὸ ἱματίων σου· μή ποτε οὖν τοῦ δεσποτικοῦ θανάτου σύμβολον ἡ στάκτη καὶ σμύρνα, ἣν ἀπόδεσμον τῇ ἑαυτῆς περιφέρει καρδίᾳ ἡ νύμφη;

Ὠριγένους.

Εἰποῦσα τὴν νάρδον τοῦ νυμφίου δεδωκέναι μοι τὴν ὀσμὴν, νῦν φημὶ τὸν ἀδελφιδόν μου πνέειν ςακτῆς οὐ διαχεομένης, οὐδ' ἔξω πνεούσης· ἀλλ' ἀποδεδέμενης καὶ πυκνότερον τὴν εὐωδίαν διδούσης· ἀδελφὸν δὲ τὸν πρῶτον ἐσχηκυῖα λαὸν ἡ ἐξ ἐθνῶν ἐκκλησία, ἐπείπερ ἐξ αὐτοῦ τὸ κατὰ σάρκα ἦν ὁ Χριστὸς, υἱὸν κέκληκεν ἀδελφοῦ καὶ νυμφίου· τοῦ δὲ Ἀκύλα ἐκδεδωκότος πατράδελφον, λεκτέον πατέρα εἶναι τῆς ἐξ ἐθνῶν ἐκκλησίας τὸν πάλαι λαόν· ἐπεὶ ἐκ τοῦ παρ' ἐκείνοις νόμου καὶ τῶν προφητῶν ἡ ἐν Θεῷ γένεσις, καὶ ἡ ἐξ ἡμῶν εἰς εὐσέβειαν ὑπῆρξε προαγωγή· τούτου τοίνυν οὕτως ἀποδεδομένου τῆς νύμφης πατρὸς, ἀδελφὸς ὁ σωτὴρ ὁμοίως ἐκείνοις ὑπὸ νόμον γενόμενος.

Κυρίλλου.

Νάρδῳ καὶ ἀποδέσμῳ στακτῆς, ὁ ἐνταφιασμὸς σημαίνεται Χριστοῦ· ἃ Νικόδημος φέρων ἐνετύλιξε τὸ σῶμα αὐτοῦ· μαζοὺς δὲ φέρει τὰς δύο διαθήκας ἡ νύμφη, ὧν ὁ Χριστὸς ἀνὰ μέσον αὐλίζεται.

Βότρυς τῆς κύπρου ἀδελφιδός μου ἐμοὶ, ἐν ἀμπελῶσιν Ἐν- 14.
γαδδί.

Γρηγορίου.

Τίς οὕτω μακάριος ὥςε τὸν ἴδιον καρπὸν βλέπων ἐν αὐτῷ τῷ βότρυϊ τῆς ἑαυτοῦ ψυχῆς, ὁρᾷν τοῦ ἀμπελῶνος δεσπότην; ἰδοὺ γὰρ ὅσον ηὐξύνθη ἡ ἐν τῇ ἰδίᾳ νάρδῳ τοῦ νυμφίου ἐπιγνοῦσα τὴν εὔπνοιαν, ἡ στακτὴν αὐτὸν εὐώδη ποιησαμένη, καὶ διαλαβοῦσα τῷ τῆς καρδίας ἐνδέσμῳ τὸ ἄρωμα, ὡς ἂν παραμένῃ αὐτῇ τὸ ἀγαθὸν διὰ παντὸς ἀδιάπνευςον, μήτηρ τοῦ θείου

I. βότρυος γίνεται, τοῦ πρὸς μὲν τοῦ πάθους κυπρίζοντος, ὅπέρ ἐςιν ἀνθοῦντος, ἐν δὲ τῷ πάθει τὸν οἶνον προχέοντος· ὁ γὰρ τὴν καρδίαν ἡμῶν εὐφραίνων οἶνος, αἷμα ςαφυλῆς μετὰ τὴν τοῦ πάθους οἰκονομίαν γίνεται καὶ ὀνομάζεται· διπλῆς οὖν οὔσης ἐν τῷ βότρυϊ τῆς ἀπολαύσεως, τῆς μὲν ἐκ τοῦ ἄνθους, ὅταν εὐφραίνῃ τῇ εὐωδίᾳ τὰ αἰσθητήρια, τῆς δὲ διὰ τοῦ τελειωθέντος ἤδη καρποῦ, ὅταν ὑπάρχῃ κατ' ἐξουσίαν, ἢ τῆς βρώσεως κατατρυφᾷν, ἢ συμποσίοις τῷ οἴνῳ φαιδρύνεσθαι· ἐνταῦθα ἡ νύμφη ἔτι τὸν ἀνθοῦντα βότρυν καρποφορεῖ· κύπρον τὴν οἰνάνθην κατονομάζουσι· τὸ γὰρ γεννηθὲν ἡμῖν παιδίον Ἰησοῦς ἐν τοῖς δεξαμένοις αὐτὸν, διαφόρως προκόπτων σοφίᾳ καὶ ἡλικίᾳ καὶ χάριτι, οὐχ ἐν πᾶσιν ὁ αὐτὸς ἐστὶν, ἀλλὰ πρὸς τὸ μέτρον ἐν ᾧ γίνεται· καθὼς ἂν ὁ χωρῶν ἱκανότητος ἔχῃ, τοιοῦτος φαίνεται, ἢ νηπιάζων, ἢ προκόπτων, ἢ τελειούμενος, κατὰ τὴν τοῦ βότρυος φύσιν· ὃς οὐ πάντοτε μετὰ τοῦ αὐτοῦ εἴδους ἐπὶ τῆς ἀμπέλου ὁρᾶται· ἀλλὰ καὶ συνεξαλλάσσει τῷ χρόνῳ τὸ εἶδος, ἀνθῶν, κυπρίζων τελειούμενος, πεπαινόμενος, οἶνος γενόμενος· οὕτως τοίνυν ὁ τῆς Κύπρου βότρυς, ἐστὶ βότρυς οἶνον ἐπαγγελλόμενος, οὔπω δὲ οἶνος, ἀλλὰ διὰ τοῦ ἄνθους γινόμενος· ἡ δὲ ἐλπὶς τὸ ἄνθος ἐστὶ, τὴν ἐσομένην χάριν πιστούμενος· τὴν ὄσφρησιν γὰρ εὐφραίνει ἀντὶ τῆς γεύσεως τῇ προσδοκίᾳ τῶν ἀγαθῶν, τοῖς ἀτμοῖς τῶν ἐλπίδων ἡδύνοντα τῆς ψυχῆς αἰσθητήρια· ἡ δὲ τοῦ Γαδδὶ προσθήκη, σημαίνει τὸν πίονα χωρίον, ᾧ ἐριζωθεῖσα ἡ ἄμπελος, εὔτροφον καὶ ἡδὺν καρπὸν ἀπεργάζεται· οὕτω γὰρ καὶ οἱ τοπικῶς ἱςορήσαντες λέγουσι τὸν κλῆρον τοῦ Γαδδὶ ἐπιτηδείως ἔχειν πρὸς εὐτροφίαν βοτρύων· ἐπειδὴ τοίνυν ὁ τῷ νόμῳ κυρίου σύμφωνον ἔχων τὸ θέλημα, καὶ διὰ πάσης νυκτός τε καὶ ἡμέρας ταύτην τὴν μελέτην ποιούμενος, ἀειθαλὲς γίνεται δένδρον, ταῖς τῶν ὑδάτων ἐπιῤῥοαῖς πιαινόμενος· τούτου χάριν καὶ ἡ τοῦ νυμφίου ἄμπελος ἐν τῷ Γαδδὶ τῷ πίονι τόπῳ ἐῤῥιζομένη βαθείᾳ τῇ διανοίᾳ διὰ τῶν θείων διδαγμάτων καταρδομένη καὶ αὔξουσα τὸν εὐανθῆ τοῦτον καὶ κυπρίζοντα βότρυν

ἐξήνθησε, πρὸς τὴν τὸν νυμφίου μορφὴν ὁμοιούμενον· εἰ γὰρ αὐτὸς μὲν ἡ ἄμπελος, ἡμεῖς δὲ τὰ κλήματα, ἐν αὐτῇ δηλονότι τῇ ἀμπέλῳ καρποφοροῦμεν. I.

Νείλου.

Βότρυν Κύπρου ἢ τὴν ἀνθοῦσαν λέγει σταφυλὴν, ἢ τὸν ἐκ τῆς Κύπρου βότρυν, ἴσως ἐξαίρετόν τι ἐχούσης τῆς πατρίδος, εὐτοκίᾳ βοτρύων· ὁπότερον δὲ τούτων ἂν λέγηται παρὰ τῆς νύμφης, τῷ ὀπίσω συνᾴδει νοήματι, καὶ γὰρ ἀνθοῦσαν λέγει σταφυλὴν τὸν ἑαυτῆς ἀδελφιδὸν, τοιοῦτο λέγει· ὅτι ἕως ἐστὶν ἐν τοῖς δοκοῦσι περιςατικοῖς, κυπρίζων ἐστὶ βότρυς· πλὴν τῶν δὲ ἐλπίδος ἀπεκδεχομένων τὴν τούτου τελείωσιν· ἐμοὶ δὲ καὶ ἐν τῷ ἄνθει ὢν, εἰ καὶ μὴ τὴν ἐκ τῆς βρώσεως, ἀλλὰ γοῦν τὴν ἐκ τῆς εὐωδίας παρέχει ἀπόλαυσιν, καὶ τὴν τῆς ἀναστάσεως ὑποφαίνει εὐφροσύνην· τῷ ἄνθει λεληθότως τὸν καρπὸν ὑποκυλίων, καὶ τῇ εὐωδίᾳ τοῦ ἄνθους τέως παραμυθούμενος· ἐν ἀμπελῶσι γάρ ἐςιν ἐν Γαδδὶ, ὅπερ ἑρμηνεύεται ὀφθαλμὸς πειρατηρίου· καὶ γὰρ ὁ κύριος κρεμάμενος ἐν σταυρῷ ὡς ἐν πειρατηρίῳ τοῖς ἁπάντων ὀφθαλμοῖς, πολλὴν ἀμηχανίαν παρέχων τοῖς ὁρῶσιν· ἀλλ᾿ οὐκ ἐσκανδαλίζετο ἡ τελεία ψυχὴ, τελείαν ἔχουσα τὴν εἰς αὐτὸν ἀγάπην, καὶ ἐκ τῶν προφητειῶν πεπεισμένη, ὅτι ταῦτα ἔδει γενέσθαι· καὶ γὰρ πολλοὺς φησὶν, ἢ καὶ πάντας ἐτάραξε τὰ γεγενημένα, ἀλλ᾿ οὐδὲν ἐμὲ τούτων παρεκίνησεν· οὐδὲ διςάσαι παρεσκεύασεν· εἰ δὲ καὶ κατὰ τὴν ἄλλην ἐκδοχὴν, βότρυς Κύπρου ἐστὶ, σκεπτέον πῶς τῆς Κύπρου βότρυς ὢν, οὐκ ἐν ἀμπελῶσι Κύπρου, ἀλλ᾿ ἐν Γαδδὶ λέγεται εἶναι· τάχα οὖν ὅτε ἦν ἐν τοῖς κόλποις τοῦ πατρὸς πρὸ τῆς ἐνανθρωπήσεως, βότρυς ἦν τῆς Κύπρου θεὸς λόγος ὤν· ὅτε δὲ τῷ κόσμῳ διὰ σαρκὸς ἐπεδήμησεν, ἐν ἀμπελῶσι γέγονε τῇ Γαδδὶ· ἐν ᾗ οἱ ὀφθαλμοὶ τοῦ πειρατηρίου οὐκ ἔχοντες ἀκριβῆ τὴν τῆς ἀληθείας κατάληψιν, δυσδιάγνωστον ἐποίουν τὸ φαινόμενον, ἰσοῤῥεπῶς τῆς διανοίας ἐφ᾿ ἑκάτερα κινούσης, ἐπί τε τὴν θεϊκὴν ἀξίαν διὰ τὸ μέγεθος τῶν θαυμάτων, ἐπί τε τὴν ἀνθρωπίνην εὐτέλειαν διὰ τὰ

I. πάθη· μετὰ γοῦν τὴν τοιαύτην, ἔν τε ταῖς πράξεσιν, ἔν τε τοῖς δόγμασιν αὐτοῖς ἀκρίβειαν ἀμειβόμενος αὐτὴν ὁ νυμφίος, μᾶλλον δὲ τὰ προσόντα αὐτῇ φησὶ μαρτυρῶν, ἰδοὺ εἶ καλὴ καὶ τὰ ἑξῆς.

15. Ἰδοὺ εἶ καλὴ ἡ πλησίον μου, ἰδοὺ εἶ καλὴ, ὀφθαλμοί σου περιστεραί.

Γρηγορίου.

Ἐν μὲν τοῖς φθάσασιν, ἵππου τινὸς εὐμορφίαν τῷ φαινομένῳ προσεμαρτύρησε· νῦν δὲ ὡς παρθένου λοιπὸν ἀποδέχεται τὸ ἀναφανὲν κάλλος, καί φησιν· ἰδοὺ εἶ καλὴ ἡ πλησίον μου· παιδεύει δὲ διὰ τούτων ὁ λόγος, ταύτην εἶναι τοῦ κάλλους τὴν ἐπανάληψιν, τὸ πλησίον τῆς τοῦ καλοῦ γενέσθαι πηγῆς· πρότερον μὲν γάρ φησιν οὐκ ἦς καλή· διότι τοῦ ἀρχετύπου κάλλους ἀποξενωθεῖσα τῇ πονηρᾷ γειτνιάσει τῆς κακίας πρὸς τὸ εἰδεχθὲς ἠλλοιώθης· ἀποστᾶσα δὲ νῦν τῆς τοῦ κακοῦ κοινωνίας, καὶ ἐμοὶ πλησιάσασα τῷ ἀρχετύπῳ κάλλει, καὶ αὐτὴ καλὴ γέγονας, οἷόν τι κάτοπτρον τῷ ἐμῷ χαρακτῆρι ἐμμορφωθεῖσα· εἶτα ἐπισχὼν, καὶ οἷον ἐν προσθήκῃ τινὶ καὶ ἐπιτάσει γενομένην τοῦ κάλλους αὐτὴν θεασάμενος, πάλιν τὸν αὐτὸν ἐπαναλάμβανει λόγον εἰπών· ἰδοὺ εἶ καλή· ἀλλ' ἐν τῷ προτέρῳ τὴν πλησίον ὠνόμασεν· ἐνταῦθα δὲ τὴν ἐκ τοῦ ὀνόματος τῶν εἰδῶν γνωριζομένην· ὀφθαλμοί σου γάρ φησι περιστεραί· πρότερον μὲν γὰρ ὅτε τῷ ἵππῳ ἀφωμοιώθη, ἐν σιαγόνι τε καὶ τραχήλῳ ὁ ἔπαινος ἦν· νῦν δὲ ὅτε τὸ ἴδιον αὐτῆς ἀνεφάνη κάλλος, ἡ τῶν ὀφθαλμῶν χάρις ἐγκωμιάζεται· ὁ δὲ τῶν ὀφθαλμῶν ἔπαινος, τὸ περιστερᾶς εἶναι τὰ ὄμματα· ἐπειδὴ πρὸς ὃ ἄν τις ἐνατενίσῃ, τούτου δέχεται ἐν ἑαυτῷ τὸ ὁμοίωμα· καὶ γάρ φασιν οἱ τὰ τοιαῦτα φυσιολόγων ἐπιστήμονες, ὡς τὰς τῶν εἰδώλων ἐμπτώσεις δεχόμενος ὁ ὀφθαλμὸς αἱ τῶν ὁρατῶν ἀποῤῥέουσιν, οὕτως ἐνεργεῖ τὴν ὄψιν· ἢ μηκέτι αἷμα καὶ σάρκα, τουτέστι τὸν σωματικὸν βίον, βλέπουσα νύμφη, ἀλλὰ τῆς σωματικῆς προσπαθείας ἀπηλλαγμένη, εἰκότως τὸ τῆς περιστερᾶς εἶδος ἐν τοῖς ὄμμασιν ἔχειν λέγεται· τουτέστιν

τὸν χαρακτῆρα τῆς πνευματικῆς ζωῆς, τῷ διορατικῷ τῆς ψυχῆς I.
ἐναυγάσασα· καὶ ἐπείπερ ὁ καθαρὸς αὐτῆς ὀφθαλμὸς, δεκτικὸς τοῦ τῆς περιστερᾶς χαρακτῆρος γέγονεν, ἤγουν τοῦ ἁγίου πνεύματος, διὰ τοῦτο χωρεῖ καὶ τὸ τοῦ νυμφίου κάλλος θεάσασθαι· οὐδεὶς γὰρ δύναται εἰπεῖν κύριον Ἰησοῦν, εἰ μὴ ἐν πνεύματι ἁγίῳ.

Νείλου.

Δὶς, τὸ καλὴ λέγει· διὸ τὴν ἐν ἀμφοτέροις τοῖς ἀνθρωποῖς αὐτοῖς τῷ τε ἔσω καὶ τῷ ἔξω καθαρότητα· περιστερὰς δὲ τοὺς ὀφθαλμοὺς αὐτῆς εἰκότως προσαγορεύει· ἐπειδὴ πάντων τῇ διαφορᾷ τῶν περὶ αὐτὸν οἰκονομηθέντων συμμεταβαλλόντων τὴν γνώμην· καὶ ἄλλα μὲν πρὸ τοῦ πάθους, ἄλλα δὲ ἐν τῷ πάθει περὶ αὐτοῦ ὑπολαβόντων· καὶ ἑτεροδόξοις ταῖς κατ' ἐναντιότητα φαντασίαις τὸ ἰσχυρὸν τῆς προαιρέσεως κλονησάντων, μόνη πνευματικῶς ἐνόει τὰ τελούμενα· οὐδὲν συμβαινόντων κατὰ τὴν τῶν πολλῶν ὑπόληψιν κρίνουσα· τὴν δὲ ἐξ ἀρχῆς περὶ αὐτοῦ ὡς θεοῦ δόξαν ἐν ἑκατέρῳ φυλάξασα τοῖς καιροῖς· πλησίον δὲ αὐτὴν λέγει διὰ τὴν ἐνανθρώπησιν, ἐπειδὴ τὸ ἐκείνης ἀνέλαβε σῶμα· καλεῖ δὲ αὐτὴν καὶ ἀδελφὴν, διὰ τὸ τῆς συναφείας ἁγνόν· καὶ νύμφην, διὰ τὸ ἀδιάφθορον· ἀεὶ γὰρ οὖσα νύμφη, ἀκμάζοντα καὶ νεαρὸν ἔχει τὸν πόθον, ἀγαπῶσα καὶ ἀγαπωμένη.

Κυρίλλου.

Καλὴν αὐτὴν φησὶν, οὐχ ὡς πρότερον ἐν γυναιξὶ λέγων μόνον, ἀλλ' ἤδη καὶ ὡς πλησίον αὐτοῦ ἀναδιπλασιάζει τῆς νύμφης ὁ νυμφίος τὸν ἔπαινον· τό τε θεωρητικὸν αὐτῆς ἐπαινῶν, καὶ τὸ πρακτικόν· ὀφθαλμοὺς δὲ τοὺς εἰς νοῦν καὶ καρδίαν φησίν· καὶ περιστερᾶς τὸ διορατικοὺς καθὸ καὶ εἰς πνεῦμα λαμβάνεται· λέγει οὖν ὡς ἐδέξατο νοῦν ἡ νύμφη, μόνον ὁρῶντα θεόν· ὀφθαλμοὶ δὲ καὶ οἱ ἄκακοι καὶ ὀξυδερκεῖς τῆς ἐκκλησίας διδάσκαλοι.

Ἰδοὺ εἶ καλὸς ἀδελφιδός μου, καί γε ὡραῖος· κλίνη ἡμῶν 16.
σύσκιος· δοκοὶ ἡμῶν κέδροι· φατνώματα ἡμῶν κυπάρισσοι. 17.

Φίλωνος.

Ἤγουν καλὸς ἐν νόμῳ, ὡραῖος ἐν εὐαγγελίοις, καλὸς ἐν προ-

I. φῆταις, ὡραῖος ἐν ἀποστόλοις, καλὸς ἐν ἀγαθοῖς τοῦ παρόντος αἰῶνος, ὡραῖος ἐν τοῖς τοῦ μέλλοντος· προσκλίνη δὲ ἡμῶν σύσκιος, σὺ δὲ ἡμᾶς καὶ ἐν θανάτῳ σκέπεις· ἐὰν γὰρ πορευθῶ ἐν μέσῳ σκιᾶς θανάτου, οὐ φοβηθήσομαι κακὰ, ὅτι σὺ μετ᾽ ἐμοῦ εἶ· ἐγκαλλωπιζομένη δὲ ἡ νύμφη τῷ οἰκοδομηθέντι αὐτῇ παρὰ τοῦ νυμφίου οἴκῳ, ταῦτα φησίν· δοκοὺς μὲν λέγουσα τοὺς ἁγίους προφήτας· δίκαιος γὰρ ὡς φοῖνιξ ἀνθήσει, ὡσεὶ κέδρος ἡ ἐν τῷ λιβάνῳ πληθυνθήσεται· φατνώματα γὰρ ἡ τῶν σανίδων εὐαρμοστία πρὸς γλυφὴν τεκτόνων ἐπιτηδεία.

Γρηγορίου.

Πάντα γὰρ ὅσα μοι πρότερον ἐν καλοῖς ἐνομίζετο, φησὶν, οἷον δόξα ἢ κάλλος ἢ δυναστεία ἤ τι τοιοῦτον, ἀπεστράφην καὶ οὐκ ἔτι μοι πεπλάνηται ἡ τοῦ καλοῦ κρίσις, ὥστε παρὰ σὲ, ἀλλ᾽ ὅτι καλὸν οἴεσθαι· σὺ γὰρ ὁ ἀληθὴς καλός· οὐ καλὸς δὲ μόνον, ἀλλ᾽ αὐτὴ τοῦ καλοῦ ἡ οὐσία, ὁ τῇ ἀϊδιότητι τῆς ζωῆς συμπαρατείνων τὴν ὥραν, ᾧ ὄνομα ἡ φιλανθρωπία ἐγένετο· ὡς δὲ ἐξ Ἰούδα ἀνατείλας ἡμῖν· ἀδελφὸς γὰρ ὁ ἐξ ἰουδαίων λαὸς τοῦ ἐξ ἐθνῶν σοι προσιόντος, καλῶς διὰ τὴν ἐν σαρκὶ γεγενημένην τῆς θεότητός σου φανέρωσιν, ἀδελφιδὸς τῆς ποθούσης κατωνομάσθης. Εἶτα ἐπήγαγε· πρὸς κλίνη ἡμῶν σύσκιος· τουτέστιν ἔγνων σου, ἤτοι γνώσεται ἡ ἀνθρωπεία φύσις σύσκιον τῇ οἰκονομίᾳ γενόμενον· ἦλθες γὰρ σὺ φησὶν ὁ καλὸς ἀδελφιδὸς, ὡραῖος πρὸς τῇ κλίνῃ ἡμῶν σύσκιος γενόμενος· ὡραῖος ἀλλ᾽ ὡς χωροῦμεν δέξασθαι· καὶ γὰρ ἡ πρὸς τὴν ἀνθρωπότητα ἐπανάπαυσίς σου, συνεσκίασε τῇ σαρκὶ τὴν θεότητα· ἐπεὶ τίς ἂν ὑπέστησε τὴν ἐμφάνειαν; κλίνην δὲ ὀνομάζει, ὡς νύμφη, τῇ τροπικῇ σημασίᾳ τὴν πρὸς τὸ θεῖον ἀνάκρασιν, καὶ κοινωνίαν ἀνθρωπίνης οὐσίας ἑρμηνεύουσα· ταύτην δὲ οὐκ ἂν ἄλλως ἦν δυνατὸν γενέσθαι, εἰ μὴ διὰ τοῦ συσκίου ἡμῖν φανῆναι τὸν κύριον· ὃς οὐ νυμφίος μόνον, ἀλλὰ καὶ οἰκοδόμος ἐστίν· αὐτὸν ἡμῖν καὶ τεχνιτεύων τὸν οἶκον, καὶ ὕλη τῆς τέχνης γινόμενος· ὄροφον γὰρ ἐπιβάλλει τῷ οἴκῳ, διὰ τῆς ἀσήπτου ὕλης καλλωπίζων τὸ

ἔργον· τοιαύτη δέ ἐστιν ἡ κέδρος καὶ ἡ κυπάρισσος· κέδροι μὲν I.
γὰρ διὰ τὸ ἐπιμήκεις εἶναι τῷ πλάτει τοῦ οἴκου τῷ ὀρόφῳ δια-
λαμβάνουσι· κυπάρισσοι δὲ διὰ τῆς γενομένης φατνώσεως, τὴν
ἔνδοθεν τοῦ οἴκου κατασκευὴν ὡραΐζουσιν· ἐπειδὴ γὰρ ἐν τῷ
εὐαγγελίῳ ὁ κύριος βροχὴν ὀνομάζει τὰς ποικίλας τῶν πειρα-
σμῶν προσβολὰς ἐπὶ τοῦ καλῶς τὴν οἰκίαν ἐπὶ τὴν πέτραν οἰ-
κοδομήσαντος· ὅτι κατέβη ἡ βροχὴ, καὶ ἔπνευσαν οἱ ἄνεμοι,
καὶ ἦλθον οἱ ποταμοὶ, καὶ ἀπαθὶς ἔμεινεν ἐν τούτοις τὰ οἰκο-
δομήματα· χρεία τοιούτων ἡμῖν δοκῶν, αἵ τινες εἰσὶν αἱ ἀρε-
ταὶ αἱ τὰς πειρασμῶν ἐπιῤῥοὰς οὐ προσίονται, στερεαὶ οὖσαι
καὶ ἀνένδοτοι· καὶ τὸ πρὸς κακίαν ἀμέθεκτον ἐν τοῖς πειρασμοῖς
διασώζουσαι· μήποτε μαλακισθέντες διὰ τῆς τῶν παθημάτων ἐμ-
πτώσεως, κοῖλοι γενώμεθα, καὶ τὴν ἐπιῤῥοὴν τῶν τοιούτων ὑδά-
των ἔξωθεν ἐπὶ τὴν καρδίαν εἰσρέυσαν ἐντὸς τῶν ταμιείων πα-
ραδεξώμεθα, δι' ὧν φθείρεται ἡμῖν τὰ ἀπόθετα· αἰνίττεται δὲ
διὰ τῶν δοκῶν καὶ τοῦ φατνώματος ὁ λόγος, ὅπερ ἐστὶν εὔ-
ρυθμός τις καὶ διάγλυφος σανίδων πῆξις, τὸ τῆς ὀρόφου κάλ-
λος διαποικίλουσα· καὶ τῆς εὐπνοίας τῆς φυσικῶς παρακολου-
θούσης τῇ κυπαρίσσῳ, ἥ τις καὶ σηπεδόνος ἐστὶν ἀπαράδεκτος,
καὶ πρὸς πᾶσαν τεκτονικὴν φιλοτεχνίαν ἐπιτήδειος· τῷ μὴ μό-
νον ἐν τῇ ψυχῇ τὰς ἀρετὰς ἐν ἕξει κατορθοῦσθαι κατὰ τὸ ἄδη-
λον, ἀλλὰ μηδὲ τῆς κατὰ τὸ φαινόμενον εὐσχημοσύνης ἀμελῶς
ἔχειν· χρὴ γὰρ προνοεῖν καλὰ ἐνώπιον θεοῦ καὶ ἀνθρώπων· καὶ
θεῷ μὲν πεφανερῶσθαι, ἀνθρώπους δὲ πείθειν καὶ καλὴν μαρ-
τυρίαν ἔχειν ἀπὸ τῶν ἔξωθεν· λάμπειν τε τοῖς φωτεινοῖς ἔργοις
ἔμπροσθεν τῶν ἀνθρώπων, καὶ εὐσχημόνως περιπατεῖν πρὸς τοὺς
ἔξωθεν· ταῦτα ἐστὶ τὰ φατνώματα τὰ διὰ τῆς τοῦ Χριστοῦ εὐω-
δίας, ἧς αἴνιγμά ἐστιν ἡ κυπάρισσος ἐν τῇ εὐσχημοσύνῃ τοῦ
βίου φιλοτεχνούμενα.

Νείλου.

Συγγνωμόνως πάλιν αὐτὴ, μᾶλλον δὲ ἐκπλησσομένη, ἐπὶ τῷ
ἀκοῦσαι καλὴ παρὰ τοῦ νυμφίου· μόνῳ γὰρ ἐκείνῳ τὴν τοιαύ-

I. την ἐπίκλησιν ἁρμόζειν ἐνόμιζε, θνητῷ δὲ οὐδενί· εὐθέως ἐπ' αὐτὸν ἀναστρέφει τὴν μαρτυρίαν· ἰδοὺ εἶ καλὸς ὁ ἀδελφιδός μου λέγουσα, καί γε ὡραῖος πρὸς, ἀντὶ τοῦ περισσῶς· οὕτω γάρ τισι διαιρεῖν ἔδοξε· καὶ μετὰ τοῦτο ἡ κλίνη ἡμῶν σύσκιος· τὸ σῶμα λέγοντες τὸ κοινὸν, ἐν ᾧ ἀνεπαύοντο ἀμφότεροι, ὅ τε θεὸς λόγος καὶ ἡ μακαρία ψυχὴ· φειδομένου τοῦ νυμφίου ὕπαιθρον αὐτὴν ἔχειν· μὴ πάλιν ἐξ ἐπηρείας τοῦ ἐναντίου ἡλίου ἀκτῖνος πάθῃ τι τῆς παλαιᾶς μελανότητος· κατὰ δὲ τὴν ἑτέραν διαίρεσιν, οὕτω νοηθήσεται· ὡσανεὶ τῆς νύμφης λεγούσης· ὅτι ὦ νυμφίε, σὺ μόνος ἂν ἐνδίκως λέγοιο καλὸς καί γε ὡραῖος, μὴ ἐπίκτητον ἀλλὰ φυσικὸν ἔχων τὸ κάλλος· καὶ πρὸς κλίνῃ δὲ ἡμῶν γενόμενος, ὡραῖος εἶ καὶ σύσκιος, τὴν μὲν θείαν τῆς θεότητος καὶ ἀνρεφνῆ ἔχων μορφὴν, καὶ ὡς ὑπὸ παραπετάσματι τῇ σαρκὶ, ἐνεργῶν μὲν τὰ τῆς θεότητος ἴδια· διὸ διάγνωστος δὲ γενόμενος διὰ τὴν ἐπικρύπτουσαν τὰ ἐπιτελούμενα παραδόξως τοῦ σώματος περιβολήν.

Ὠριγένους.

Νῦν ἔοικε πρότερον ἑνεωρακέναι τρανώτερον τῷ τοῦ νυμφίου κάλλει ἡ νύμφη· καὶ διὰ τῶν περιστερῶν αὐτῆς ὀφθαλμῶν αἰσθέσθαι τῆς ἐν τῷ κάλλει τοῦ λόγου καὶ ὑπεροχῆς· τάχα δὲ καὶ κλίνην κοινὴν ἑαυτῆς καὶ τοῦ νυμφίου τὸ σῶμα αἰνίττεται, ἐν ᾧ ἔτι οὖσα ἡ ψυχὴ ἀξιοῦται τῆς τοῦ λόγου κοινωνίας· λέγει οὖν Παῦλος τὰ σώματα ὑμῶν μέλη Χριστοῦ ἐστι· διὰ γὰρ τοῦ ὑμῶν τῆς νύμφης εἶναι λέγει τὸ σῶμα· διὰ δὲ τοῦ μέλη Χριστοῦ, τοῦ νυμφίου· σύσκιον δέ φησι τὸν νυμφίον διὰ τὴν πυκνότητα τῶν ἐν τῷ λόγῳ καὶ τῇ σοφίᾳ θεωρημάτων· ἐὰν δὲ ᾖ ἡ κοινὴ νύμφη ἀμφοῖν εὐθαλὴς, οὐδὲν θαυμαστὸν καὶ ἐπὶ τὸ σῶμα πᾶσαν τὴν διὰ τοῦ σώματος πρᾶξιν ἀγαθὴν δηλοῦσθαι.

CAP. II.

Ἐγὼ ἄνθος τοῦ πεδίου, κρίνον τῶν κοιλάδων. v. 1.

Κυρίλλου.

Ὡς δεξαμένη ἡ νύμφη τὸν ἄνωθεν ὑετὸν, καὶ τεκοῦσα τὴν ἀρετὴν, ἄνθει ἑαυτὴν παραβάλλει πεδίου· δείκνυσι δὲ ὅσον ὠφέλησεν ἡ τοῦ Χριστοῦ ἐπιδημία, ὅπου γε καὶ τὰς κοιλάδας τὰς ἀνεπιτηδείυς πρὸς ἃ παντασπόρον, τοιούτων μεστὰς ἔδειξεν ἀνθέων· κοιλάδα γὰρ λέγει τὴν ἀποκοιλανθεῖσαν ἀπὸ τῶν οἰκησάντων αὐτὴν πάλαι δαιμόνων.

Φίλωνος.

Ταῦτα φησὶν ἡ νύμφη ἀκούσασα παρὰ Ἡσαΐου, ἀγαλλιάσθω ἔρημος, καὶ ὡς κρίνον ἀνθείτω· καὶ παρὰ τοῦ κυρίυ, καταμάθετε τὰ κρίνα τοῦ ἀγροῦ· λέγει δ᾽ ἂν ὁ κύριος ἐπὶ γῆς γεγονέναι, ὡς ἀνθήσωσιν οἱ πιςοὶ καὶ ἐν τῷ ᾅδῃ· τοῦτο γὰρ κοιλάδων κρίνον ὅ ἐστι νεκρός.

Γρηγορίου.

Ταῦτα ἡ νύμφη περὶ ἑαυτῆς διεξέρχεται λέγουσα· ἐγὼ μετὰ τὸ γενέσθαι ἐν τῇ κλίνῃ ἡμῶν τὸν νυμφίον συσκιασθέντα τῷ σώματι, ὃς ᾠκοδόμησεν ἐν ἑαυτῷ τὸν οἶκον ἐμὲ, ταῖς τῶν ἀρετῶν κέδροις ὠρόφωσε, γέγονα, φησὶν, ἄνθος εὔοσμόν τε καὶ καθαρὸν καὶ λαμπρὸν, ἐκ τῆς ἐν τῷ πλάτει ἀνθρωπίνης φύσεως τοῦ πεδίου, εὐχροίας τὲ καὶ εὐωδίας, τῶν λοιπῶν ἀνθῶν διαφέρον, ὃ λέγεται κρίνον, τὴν τῆς σωφροσύνης ἀπαςράπτον μαρμαρυγήν· τὸ πεδίον τοῦτο συγκρίσει τῆς οὐρανίας ἀψῖδος κοιλὰς ὀνομάζεται· ἐν ᾧ ἡ γεωργηθεῖσα καλῶς ἐκ τοῦ κοίλου πρὸς τὸ ὕψος ἐκδίδοται, ὡς καὶ τοῦ κρίνυ ἡ φύσις· ὡς ἂν ἐν μετεώρῳ καθαρὸν αὐτῇ διαμένῃ τὸ κάλλος τῇ πρὸς τὴν γῆν ἐπιμεξίᾳ μὴ μολυνόμενον, μηδὲ συμπνιγόμενον ταῖς ἀκάνθαις τοῦ βίου, ταῖς πονηραῖς δυνάμεσιν· ἃς τοῦ διαβόλου θυγατέρας κατὰ τὸ σιωπώμενον ᾐνίξατο.

II. Νείλου.

2. Κρίνον ἑαυτὴν φησὶν, ἢ διὰ τὸ ἐμπρέπειν ταῖς διὰ ταπεινότητα πράξεων ἢ νοημάτων κοίλαις ὀνομαζομέναις, φαιδρῶς ἐν ἑκατέροις κεκοσμημένη καὶ λάμπουσα· ἢ ὅτι κρίνειν μέλλει τὰς τοιαύτας ψυχὰς ἐν τῷ μέλλοντι ἐκ συγκρίσεως τῶν ἰδίων κατορθωμάτων, οὐδὲν ἔχουσα ἐν τῇ φύσει πλέον ἐκείνων ὡς νινευῖται, καὶ βασίλισσα νότου κατακρινεῖ τὴν ἄπιστον γενεάν· ἄνθος δὲ τοῦ πεδίου εἶναι λέγεται, τάχα μὲν τῶν κοιλάδων σημαινουσῶν, καὶ διὰ τὸ ταπεινὸν καὶ ἀγεώργητον, καὶ διὰ τὸ πληθυντικῶς ὀνομάζεσθαι τὰ ἐκ βάθους ἀσεβείας εἰς ἐπίγνωσιν ἐλθόντα ἔθνη· τοῦ δὲ πεδίου τοῦ Ἰσραὴλ διὰ τὸ ἐξομαλεῖσθαι πρὸς ἐπιτηδειότητα γεωργίας, τοῖς προφητικοῖς καὶ νομικοῖς παιδεύμασιν· καλῶς δὲ καὶ τούτων, οὐχὶ καρπὸς ἀλλ' ἄνθος, εἶναι λέγεται· οὔπω γὰρ τὸ τοῦ σταυροῦ τὴν γῆν ἀνατέμνει ἄροτρον, ὅπερ ἐπέθηκε τοῖς ἀποστόλοις ὡς βουσὶν ὁ κύριος, ζυγάδην ἐπὶ τὴν γεωργίαν ἀποστείλας αὐτοὺς, οὐδέπω αἵματι πεπότιστο δεσποτικῷ· διὸ ἄκαρπος ἦν καὶ στεῖρα.

Ὠριγένους.

Ἄνθος λέγει τὸ ὁδεῦον ἐπὶ τὸ γενέσθαι καρπός· ἐν οὖν τῷ περιγείῳ τόπῳ πεδίῳ ῥηθέντι, ἄνθος ἐστὶν ὁ νυμφίος λόγος ὡς πρὸς τὰ μέλλοντα· ὅταν γὰρ ἔλθῃ τὸ τέλειον, μεταβαλεῖ τὸ ἄνθος εἰς τὸ γενέσθαι καρπός· καὶ ἐπεὶ μὴ πλέον χωροῦσι τοῦ ἄνθους, λέγει ἐπὶ γῆς· διὰ τοῦτο γέγονεν ὁ νυμφίος ὡς ἄνθος τοῦ πεδίου· ἑαυτὸν γὰρ ἐκένωσεν μορφὴν δούλου λαβὼν, πρὸς τὸ δυνηθῆναι τὴν δόξαν αὐτοῦ μετὰ ταῦτα ἡμᾶς θεάσασθαι· μήποτε δὲ τοῖς μὲν εὐγενεστέροις καὶ ὁμαλέσι πεδίοις ὀνομαζομένοις, ἄνθος ἐστὶ, τοῖς δὲ τούτων κατωτέροις καὶ κοιλωτέροις κρίνον· ταῦτα φήσας ὁ νυμφίος παραβάλλει τὴν πλησίον αὐτοῦ ἄλλαις θυγατράσι ταῖς λοιπαῖς ψυχαῖς, αἵ τινες εἰσὶν ἄκανθαι ταύτῃ παραβαλλόμεναι· τοιαῦται δὲ αἱ μὴ πλησίον τοῦ νυμφίου ψυχαί· ἡ δὲ πλησίον κρίνον ἐν μέσῳ διαλάμπον αὐτοῦ.

Ὡς κρίνον ἐν μέσῳ ἀκανθῶν, οὕτω ἡ πλησίον μου ἀνὰ μέσον τῶν θυγατέρων.

Γρηγορίου. II.

Ὅσην ὁρῶμεν τῆς πρὸς τὸ ὕψος ἀνόδου τὴν προκοπὴν τῆς ψυχῆς γινομένην· πρώτη ἄνοδος, τὸ πρὸς τὴν καθαιρετικὴν τῆς ἐναντίας δυνάμεως στρατιὰς ἀγγέλων ἢ ἀποστόλων, ἵππον ὀνομασθῆναι· δευτέρα τὸ πλησίον γενέσθαι καὶ περιστερᾶς ποιῆσαι τὰ ὄμματα· τρίτη νῦν ἄνοδος, τὸ καὶ ἀδελφὴν τοῦ δεσπότου κληθῆναι· ὃς γὰρ ἂν ποιήσῃ τὸ θέλημα τοῦ πατρός μου, οὗτος ἀδελφὸς καὶ μήτηρ ἐστίν· ἐπεὶ οὖν γέγονεν ἄνθος, μηδὲν ὑπὸ τῶν ἀκανθηφόρων πειρασμῶν πρὸς τὸ γενέσθαι κρίνον παραβλαβεῖσα, ἐπιλαθομένη δὲ τοῦ λαοῦ καὶ τοῦ οἴκου πατρὸς αὐτῆς, πρὸς τὸν ἀληθινὸν εἶδε πατέρα· διὸ καὶ ἀδελφὴ τοῦ υἱοῦ ὀνομάζεται διὰ τῆς υἱοθεσίας πρὸς τὴν συγγένειαν ταύτην μεταποιηθεῖσα, καὶ τῆς τοῦ ψευδωνύμου πατρὸς ἀπαλλαγεῖσα, πάλιν ἑαυτῆς γίνεται ὑψηλοτέρα, καὶ βλέπει τὸ μυστήριον διὰ τῶν τῆς περιστερᾶς ὀφθαλμῶν, λέγω δὴ τῷ πνεύματι τῆς προφητείας. Αὕτη τοῦ νυμφίου ἐστὶν ἡ φωνὴ, μαρτυροῦσα τῇ νύμφῃ πλέον ὧν ἑαυτῇ προσεμαρτύρησεν· ἐπειδὴ γὰρ ἑαυτὴν εἶπε κρίνον, τὰς δὲ λοιπὰς ψυχὰς κοιλάδας, ἡ μετριοφρονοῦσα, ἢ καὶ ἀγνοήσασα· οὐ πάνυ στοχαζομένη τῆς ἀληθείας τὴν σύγκρισιν ἐποιήσατο αὐτὸς ὁ μᾶλλον εἰδὼς τῶν γινομένων καταστάσεων τὰς ἰδιότητας· καὶ κρίνῳ μὲν ταύτην παρεικάζει, διὰ τὸ μηδόλως τῶν ἀπὸ τῶν σωματικῶν μέριμναν ἀναδέχεσθαι, ἀφροντίστως δὲ τοῖς παρατυχοῦσι, τὴν τοῦ σώματος ἐκπληροῦν χρείαν, ἀταλαίπωρον καὶ αὐτοσχέδιον τὴν διαγωγὴν ἑλομένην διὰ τὴν περὶ τῆς βασιλείας τῶν οὐρανῶν φροντίδα, ὡς ἐν εὐαγγελίοις δείκνυται· ἀκάνθαις δὲ τὰς λοιπὰς ὁμοιῶν, διὰ τὸ πᾶσαν τὴν μέριμναν περὶ τὰ βιωτικὰ ἐσχηκέναι· καὶ μηκέτι ἐν ταῖς φροντίσι γενέσθαι ἀκάνθας, ἀλλ' αὐτὰς ἐκείνας τῷ ἐκ πολλῆς τῆς περὶ τὰς μερίμνας σπουδῆς πεποιῆσθαι κατὰ ταύτας.

Ὡς μῆλον ἐν τοῖς ξύλοις τοῦ δρυμοῦ, οὕτως ἀδελφιδός μου 3.
ἀνὰ μέσον τῶν υἱῶν· ὑπὸ τὴν σκιὰν αὐτοῦ ἐπεθύμησα καὶ ἐκάθισα, καὶ ὁ καρπὸς αὐτοῦ γλυκὺς ἐν τῷ λάρυγγί μου.

II. Γρηγορίου.

Τί οὖν ἐστὶν ὃ τεθέαται; δρυμὸν ὀνομάζει συνήθως ἡ θεία γραφὴ, τὸν ὑλώδη τῶν ἀνθρώπων βίον τὸν τὰ ποικίλα εἴδη τῶν παθημάτων ὑλομανήσαντα· ἐν ᾧ τὰ φθαρτικὰ θηρία φωλεύει, καὶ τοὺς ἀνθρώπους λυμαίνεται· ὧν ἡ φύσις ἐν φωτὶ καὶ ἡλίῳ ἀνενέργητος μένουσα, διὰ σκότους τὴν ἰσχὺν ἔχει· διὰ τοῦτο φύεται ἐν τῷ δρυμῷ τὸ μῆλον· καθὸ μὲν ξύλον τοῖς λοιποῖς ὁμοούσιον ὑπάρχον· ἐπειράθη γὰρ καθ' ὁμοιότητα πάντων, χωρὶς ἁμαρτίας· καθὸ δὲ γλυκαίνει τῷ καρπῷ τὰ τῆς ψυχῆς αἰσθητήρια, πλείονα τὴν πρὸς τὸν δρυμὸν ἔχει παραλλαγὴν· ἢ ὅσον ἔχει πρὸς τὰς ἀκάνθας τὸ κρίνον, ὅπερ εὔπνουν ἐστὶ μόνον καὶ τέρπει τῇ θέᾳ· τὸ δὲ μῆλον ἡδὺ πρὸς ὀσμὴν τὴν καὶ γεῦσιν καὶ θέαν· καλῶς οὖν εἶδεν ἡ νύμφη τὸ ἑαυτῆς πρὸς τὸν δεσπότην διάφορον, ὅτι ἐκεῖνος μὲν ἡμῖν καὶ ὀφθαλμῶν γίνεται χάρις, φῶς γενόμενος καὶ μύρον ἐν τῇ ὀσφρήσει, ζωὴ τοῖς ἐσθίουσιν· ἡ ἀνθρωπίνη δὲ φύσις δι' ἀρετῆς τελειωθεῖσα, ἄνθος γίνεται μόνον· οὐ τὸν γεωργὸν τρέφουσα, ἀλλ' ἑαυτὴν καλλωπίζουσα· τροφὴν δὲ μὴ γεωργοῦσα τῷ χορηγῷ· τῶν γὰρ ἀγαθῶν μου οὐ χρείαν ἔχεις, ὁ θεοπάτωρ φησίν· κρίνον μὲν οὖν ὡς ἔφαμεν ἡ τελειουμένη ψυχὴ, ἑαυτὴν μόνην ὡς ἔφημεν καλλωπίζουσα· ὁ δὲ κύριος ὡς μῆλον γέγονεν ἐν δρυμῷ· ὅτι τὴν ἀνθρωπίνην ἐνεκέντρισεν φύσιν, πρὸς τὸ ὡραῖον τε καὶ εὐῶδες καὶ βρώσιμον· ἡμεῖς γὰρ τῶν ἐκείνου δεόμεθα· διὸ φησὶν ἡ νύμφη ὅτι ὁ καρπὸς αὐτοῦ γλυκὺς ἐν τῷ λάρυγγί μου· καρπὸς δὲ ἡ διδασκαλία περὶ ἧς λέγει Δαβίδ· ὡς γλυκέα τῷ λάρυγγί μου τὰ λόγιά σου, ὑπὲρ μέλι τῷ στόματί μου· υἱῶν δὲ λέγει οὐ φίλων τινῶν τοῦ νυμφίου, ἀλλὰ τοῦ σκότους, οἱ καὶ τέκνα ὀργῆς τῇ κοινωνίᾳ τῶν ἔργων ὀνομάζονται.

Νείλου.

Δείκνυσι τὴν ὑπεροχήν· πάντας γὰρ ἀνθρώπους εἶπε ξύλα δρυμοῦ ἡ νύμφη ὡς ἄκαρπα· μῆλον δὲ εἶπεν ὡς ἔγκαρπον τὸν ἑαυτῆς νυμφίον· ἐκείνου γὰρ ἤδη φθάσαντος, αὐτὴν τοῖς ἐπαί-

νοις καὶ κρίνῳ παρεικάσαντος, ὡς ἐν μέσῳ ἀκανθῶν τῶν λοιπῶν γυναικῶν, αὕτη πάλιν ἀνταμείβεται μῆλον αὐτὸν ἐν μέσῳ ξύλων δρυμοῦ προσαγορεύϩσα, ὅτι αὐτὸς μὲν ἔγκαρπον ἐςὶ φυτὸν, τὰ δὲ ξύλα τοῦ δρυμοῦ ἄκαρπα· καὶ τῷ ἀφ' οὗ ποτίζονται ὕδατι, τὴν πρὸς αὐτὰ διαφορὰν σαφῶς ἐνδεικνύμενος· περὶ μὲν γὰρ τούτων ὁ ἐκκλησιαςής· ἐποιησάμην κολυμβήθρας φησὶν ὑδάτων, τοῦ ποτίσαι ἀπ' αὐτῶν δρυμὸν βλαςῶν καὶ τὰ ξύλα· περὶ δὲ τούτου Δαβὶδ φησὶ, καὶ ἔςαι ὡς τὸ ξύλον τὸ πεφυτευμένον παρὰ τὰς διεξόδους τῶν ὑδάτων· οὐχ' ὅμοιον δὲ ἀεννάοις περιῤῥεόμενον ὕδασι ϖοτίζεσθαι, καὶ ἐπινοίαις ἀνθρωπίναις ἐν κολυμβήθρᾳ συναχθεῖσιν ἀρδεύεσθαι ὕδασι· τὸ μὲν γὰρ τὸν οὐράνιον σημαίνει λόγον, τὸ δὲ τὴν ἀνθρωπίνην διδασκαλίαν· ἔπειθ' ὥσπερ τὸ μῆλον ἐμπεριεχομένην τῷ δέρματι φυλάττων τὴν εὐωδίαν, καὶ ἐϖὶ τὸ ἔξω αὐτὴν διαδίδωσιν, οὕτω καὶ ἡ θεότης ἐνεκρύπτετο τῷ σώματι· ὅμως τὴν ἐνέργειαν διεδίδϩ, καὶ ἐπὶ τοῦ ἔξω φαινομένου σαρκίου· σκιὰ δὲ ἐν ᾗ ἐϖεθύμησεν καθίσαι ἡ νύμφη, ἐπειδὴ μᾶλλον ἐκ τῶν φύλων ἡ σκιὰ πέφυκεν ὡς ἐπὶ τὸ πλεῖςον γίνεσθαι, τῷ συνκραιφνεῖ τῆς τῶν πετάλων ἑνώσεως, τὴν ἡλιακὴν ἀκτῖνα ἀποτειχείζουσα· ὅσα οὖν κατὰ φύσιν τῆς ἀνθρωπότητος ἐπετέλει ὁ κυριακὸς ἄνθρωπος ἐσθίων καὶ πίνων, καὶ ὅσα φύσεως ἦν ἔργα· ἐϖειδὴ μετά τινος ὠφελείας ἐϖοίει καὶ ταῦτα μέτρον, αὐτοῦ τῆς ὀρέξεως τὸ ἄϖληστον, ἀλλὰ τῆς χρείας γινώσκων τὸ αὔταρκες· καρπὸς γὰρ τοῦ μήλϩ αἱ κατ' ἀρετὴν πράξεις, ὃς καὶ γλυκὺς γεγένηται ἐν τῷ λάρυγγι αὐτῆς· τὴν τῆς ψυχῆς αἴσθησιν εὐφράνας τῇ χρηστῇ πιότητι τῆς γεύσεως· ἔχει δὲ ϖρὸς τῇ ἠθικῇ ταύτῃ θεωρίᾳ, καὶ δογματικὴν τὸ ῥητὸν· εἰ γὰρ σκιὰν ἔχει ὁ νόμος τῶν μελλόντων ἀγαθῶν, καὶ ἔστι τινὰ τῶν μελλόντων· τὸ δὲ σῶμα Χριστοῦ, ἀφ' οὗ καὶ ἡ σκιὰ παρυφίσταται, ἐν τῇ σκιᾷ τοῦ νόμου, καὶ ὡς ἐκάθισεν ἡ νύμφη· οὐκ αὐτὸν τὸν νόμον ποιοῦσα σωματικῶς ἀλλὰ τὰ ἐξ αὐτοῦ σημαινόμενα· ἀργοῦσα μὲν τῶν τυπικῶν παραγγελμάτων· ἀργίαν γὰρ ἡ κάθισις σημαίνει, τοῦ καρϖοῦ δὲ ἀϖολαύϩσα ϖλουσίως καὶ τούτῳ ἐνευω- II.

II. χουμένη, καὶ ὀσφρήσει, καὶ γεύσει, καὶ τέρψει καὶ ἀπολαύσει· ἐπειδὴ τροφῆς μὲν ἡ γεῦσις ὄργανον, τέρψεως ἡ ὄσφρησις.

Ὠριγένους.

Ἔπρεπε τῇ νύμφῃ τοῦ κάλλους ὅλῃ τοῦ νυμφίου γεγενημένῃ, περὶ αὐτῆς μὲν λέγειν οὐδὲν, πρὸς οἷς δὲ ὁ νυμφίος ἔφη περὶ ἑαυτοῦ, μήλῳ παραβάλλειν αὐτόν· τοὺς παρ' αὐτῶν δὲ υἱοὺς, ξύλοις δρυμοῦ· ὑπερβολῇ δὲ τοῦ πόθου, τὸ καὶ σκιᾶς ἐπιθυμεῖν τῆς αὐτοῦ, καὶ παραπέμψαι τῷ βάθει τὴν τούτου ποιότητα· ἔοικε δὲ ταῦτα λέγειν πρὸς τὰς νεάνιδας, ὡς πρὸς τοὺς ἑταίρους ὁ νυμφίος τὰ πρῶτα· υἱοὺς δὲ, ἢ τοὺς ἑταίρους λέγει οὓς παραθέσει τοῦ νυμφίου ξύλοις ἀκάρποις παρείκασεν· ἢ τοὺς ἀλλοτρίους αὐτοῦ· ὑπὸ σκιὰν δὲ αὐτοῦ ἐπεθύμησέ τε καὶ κεκάθικεν· λέγει δὲ καὶ Ἱερεμίας ἐν Θρήνοις· πνεῦμα πρὸ προσώπου ἡμῶν χρηστὸς κύριος, συνελήφθη ἐν ταῖς διαφθοραῖς ἡμῶν· οὗ εἴπωμεν ἐν τῇ σκιᾷ αὐτοῦ ζησώμεθα ἐν τοῖς ἔθνεσι· πῶς γὰρ οὐκ ἔμελλε ζωῆς ἡμῖν αἰτία ἡ σκιὰ αὐτοῦ γενέσθαι, γενομένοις ἐλευθέροις τῆς τοῦ νόμου σκιᾶς; σκιὰν γὰρ εἶχεν ὁ νόμος τῶν μελλόντων ἀγαθῶν, μηκέτι οὖσιν ὑπὸ νόμον, ἀλλ' ὑπὸ χάριν, εἰ καὶ νῦν ἐσμὲν ὑπὸ σκιὰν πολλῷ διαφέρουσαν· μετὰ τὸν παρόντα γὰρ βίον, οὐκ ἔτι δι' ἐσόπτρου καὶ αἰνίγματι, ἀλλὰ πρόσωπον πρὸς πρόσωπον τὴν ἀλήθειαν θεωρήσωμεν· λέξει δὲ καὶ ἡ νύμφη ἕως οὗ διαυγάσῃ ἡμέρα, καὶ κινηθῶσιν αἱ σκιαί· ἔστι γὰρ ὁ βίος ἡμῶν ὡς σκιὰ, καὶ ἐν σκιᾷ θανάτου ὁ ἐξ ἐθνῶν ἐκαθέζετο, καὶ οἱ ἀπιστοῦντες ἔτι καθέζονται.

Φίλωνος.

Ἤγουν υἱῶν τῶν Ἰουδαίων φησὶν, κατὰ τὸ υἱοὺς ἐγέννησα, οὓς ὡς ἀκάρπους καὶ ξύλα δρυμοῦ προσωνόμασεν· ὧν ἐν μέσῳ κατὰ σάρκα Χριστός· ἅτε μετασχηκὼς αἵματος καὶ σαρκὸς, ὧν τὸ μῆλον εἰκὼν ἐν ἑαυτῷ φέρον τὸ ἐρυθρὸν καὶ λευκὸν, καὶ μὲν καὶ εὐωδιάζον.

Ἀπολιναρίου.

Τότε δὲ ἀληθῶς γλυκαίνεται τὰ τῆς ψυχῆς μου αἰσθητήρια,

ὅταν ἡμᾶς πρὸς τὸν ἐκ τῶν πειρασμῶν φλογμὸν ἡ τοῦ μήλου σκιὰ II.
διατειχίσῃ, ὡς μὴ ὑπὸ τοῦ τοιούτου ἡλίου συγκαίεσθαι· οὐκ ἔστι δὲ ἄλλως ὡς ὑπὸ τὴν σκιὰν τοῦ ξύλου τῆς ζωῆς ἀναψύξαι· μὴ τῆς ἐπιθυμίας πρὸς τοῦτο τὴν ψυχὴν ἀναγούσης.

Εἰσαγάγετέ με εἰς οἶκον τοῦ οἴνου. 4.

Ὠριγένους.

Ταῦτα πρὸς τοὺς φίλους τοῦ νυμφίου φησὶ τοὺς ἁγίους ἀγγέλους ἢ ἀποστόλους τε καὶ προφήτας· μονονουχὶ λέγουσα συγκεράσατέ με τῷ σώματι τοῦ Χριστοῦ.

Γρηγορίου.

Ἢ πῶς τρέχει τὸν καλὸν δρόμον καὶ θεῖον ἡ καλῶς τῇ ἵππῳ παρεικασθεῖσα ψυχή; τοῖς γὰρ ἔμπροσθεν ἐπεκτεινομένη, οὐκ ἀρκεῖται τῷ τῆς σοφίας κρατῆρι· ἀλλ' εἰς αὐτὴν τὴν ληνὸν τοῦ μυστικοῦ οἴνου γενέσθαι ποθεῖ· καὶ τὴν ἄμπελον ἐκείνην τὴν τοιοῦτον βότρυν ἐκτρέφουσα.

Νείλου.

Εἰκότως ἀπαιτεῖ ἡ νύμφη λοιπὸν, τὸ εἰσαχθῆναι εἰς τὸν οἶκον τοῦ οἴνου· ἐπειδὴ γὰρ ἐν τῷ σταυρῷ τὸν βότρυν κρεμάμενον, καὶ παρὰ πάντων ἐξουθενηθέντα διὰ τὸ ἔτι κυπρίζοντα, μὴ πᾶσιν ἐπιφαίνειν τὴν τοῦ οἴνου χρῆσιν μόνη τὸ ὕστερον ἀποδειχθησόμενον προεπίστευσεν ἐν τῷ λογισμῷ τὴν τοιαύτην προκαθιδρύσασα εὔνοιαν· ὡς πρὸ καιροῦ τοῦ οἴνου ἐν τῇ κυπριζούσῃ σταφυλῇ θεωρεῖν ἐν τῷ σταυρῷ ὄντι ἄνω, θεότητα προσμαρτυρεῖν, καὶ τὸ ἐκθλίβεσθαι μέλλον τῆς ἐν τῷ σταυρῷ σταφυλῆς κήρυγμα, ὡς ἤδη λαλούμενον βεβαίως κατέχουσα· κἀκεῖνο παθοῦσα πρὸ τῆς τῶν πραγμάτων ἐκβάσεως, ὅπερ οἱ πολλοὶ μετὰ τὴν ἔκβασιν ἔπαθον· ὅπερ γέρας ἐξαίρετον τῆς τοιαύτης κρίσεως, αἰτεῖ τὴν ἐν τῷ οἴκῳ τοῦ οἴνου εἴσοδον· εἰ δὲ οἶνος ἐστὶν ὁ λόγος, οἶκος τοῦ οἴνου εἴη ἂν ὁ πατήρ· ἐν τούτῳ γὰρ εὑρίσκεται ὁ λόγος· μετὰ δὲ τὸ γενέσθαι ἐν τῷ τοιούτῳ οἴκῳ καλῶς, καὶ ταγῆναι τὴν ἀγάπην ἐπ' αὐτῇ βούλεται, ἀξίαν ἀγάπης ἤδη διὰ τὴν τοιαύτην ἔνστασιν γεγενημένην· ὥστε ταγῆναι ἐπ'

II. αὐτῇ τὴν ἀγάπην, μηκέτι ὡς ἔτυχεν αὐτὴν ἀγαπώντων, ἀλλ' ἐν τοῖς τεταγμένοις καὶ ὡρισμένοις τῶν ἐξ ὀφειλῆς λοιπὸν ἀγαπωμένων οὖσαν, ἀριθμεῖν καὶ ἔχειν· καὶ οἶνος εἰς εὐφροσύνην καρδίας κατὰ τὸν ψαλμῳδὸν λέγεται· καὶ οἶνος εὐωδιάζων κατὰ τὸν Ζαχαρίαν.

Ἀπολιναρίου.

Ἥρμοζε δὲ τῇ ἐπήλυδι νύμφῃ τὸ εἰσαγάγετέ με εἰς οἶκον τοῦ οἴνου· οὐ γὰρ ἦν τὸ πρότερον εἴσω τοῦ ἀμπελῶνος· μετὰ γὰρ τὰς περὶ τρίτην καὶ ἕκτην καὶ ἐννάτην κληθέντας, ὑπὸ τὴν ἐνδεκάτην αὕτη καλεῖται· ἀκούσασα τί ὧδε ἑστήκατε ὅλην τὴν ἡμέραν ἀργοί; πορεύεσθε εἰς τὸν ἀμπελῶνα· ἤργει γὰρ, ὅτε μὴ τὰ οἰκεῖα εἰργάζετο, ἀλλοτρίας ἀμπέλους φυλάττουσα· καὶ λαμβάνει πρῶτον τὴν ἐξ ἀγάπης τιμὴν, τὸν χαρακτῆρα τὸν βασιλικὸν, τὸ δῶρον τὸ πνευματικόν· διὸ καὶ Ἀκύλας, ἔταξεν ἐπ' ἐμὲ ἀγάπην φησίν· ἀγάπης γὰρ, τὸ θέλω τούτῳ τῷ ἐσχάτῳ δοῦναι ὡς καὶ σοί.

Τάξατε ἐπ' ἐμὲ ἀγάπην.

Γρηγορίου.

Ἐντὸς τοῦ ποθουμένου γενομένη, ἐπὶ τὸ μεῖζον πάλιν ἐξάλλεται, καὶ φησίν· ἐπείπερ γέγονα ἐν τῷ οἴκῳ τοῦ οἴνου, ὑποτάξατέ με τῇ ἀγάπῃ, ἥ τις ἐςὶν ὁ Θεός· ἢ τάξατε ἐπὶ ἐμὲ τὴν ἀγάπην· ταυτὸν γάρ ἐστι τὸ σημαινόμενον δι' ἑκατέρου, ὅπως ἂν χρήσῃ τῇ ἀναστροφῇ τοῦ λόγου, ἔκ τε τοῦ ὑπὸ τὴν ἀγάπην ταχθῆναι, καὶ ἐν τῇ τοῦ τὴν ἀγάπην αὐτῇ ταχθῆναι· ἢ τάχα καὶ διδασκόμεθα οἵαν ἀνατεθῆναι προσήκει τῷ Θεῷ τὴν ἀγάπην, καὶ ὅπως πρὸς τοὺς ἄλλους ἔχειν· μήποτε ἄτακτός τις καὶ ἀνηλλαγμένη γένηται τῆς ἀγάπης ἡ ἀποπλήρωσις· Θεὸν γὰρ δὴ ἀγαπᾷν ἐξ ὅλης ψυχῆς καὶ καρδίας καὶ δυνάμεως, τὸν δὲ πλησίον ὡς ἑαυτόν· γυναῖκα δὲ, εἰ μέν τις ἐςὶ, καθαρωτέραν ψυχῆς, ὡς ὁ Χριστὸς τὴν ἐκκλησίαν· ὁ δὲ ἐμπαθέστερος, ὡς τὸ ἴδιον σῶμα· τὸν ἐχθρὸν δὲ, ἐν τῷ μὴ κακὸν ἀντὶ κακοῦ δοῦναι, ἀλλ' εὐεργεσίᾳ τὴν ἀδικίαν ἀμείψασθαι· φησὶ οὖν ἀγάπην τε-

ταγμένην ποιήσατε· μὴ καὶ πάλιν ἐκπέσω, συντηροῦντες τὴν πρὸς II.
τὸ κρεῖττον ῥοπήν· καὶ πῶς μὲν ἀγαπᾷν τὸν Θεὸν χρὴ, πῶς δὲ τὸν πλησίον διδάσκοντα, ἢ καὶ τοῦτο τυχὸν ἐστιν ὑπονοῆσαι διὰ τοῦ λόγου· ἐπειδὴ ἀγαπηθεῖσα παρὰ τὴν πρώτην διὰ τῆς παρακοῆς, ἐν τοῖς ἐχθροῖς ἐλογίσθην· νῦν δὲ πάλιν εἰς τὴν αὐτὴν ἐπανῆλθον χάριν δι' ἀγάπης τῷ δεσπότῃ συναρμοσθεῖσα· κυρώσατέ μοι τὸ διὰ τῆς χάριτος τεταγμένον καὶ ἀμετάςατον, ὑμεῖς οἱ φίλοι τοῦ νυμφίου, δι' ἐπιμελείας καὶ προσοχῆς ἐν τῷ παγίῳ συντηροῦντες μοι τὴν πρὸς τὸ κρεῖττον μονήν.

Στηρίσατέ με ἐν μύροις. 5.

Γρηγορίου.

Τουτέστι ταῖς ἀρεταῖς· καὶ οὐ μόνον τὸ βλέπειν τὸ ἀγαθὸν, καὶ ἐν μετουσίᾳ τοῦ κρείττονος γίνεσθαι ἐςιν ἀρετὴ, ἀλλὰ καὶ τὸ ἀμετάπτωτον ἐν τῷ καλῷ διασώσασθαι· ὁ τοίνυν ςηριχθῆναι βουλόμενος ἐν τοῖς μύροις, τὸ βέβαιον ἐν ταῖς ἀρεταῖς αὐτῷ προσγενέσθαι ζητεῖ· ἀρετὴ γαρ τὸ μῦρον, διότι πάσης δυσωδίας ἁμαρτημάτων κεχώρισται· ἡ γὰρ ἁμαρτία δυσώδης.

Διὰ τοῦτο σ7ηρίσατέ με ἐν μύροις, στιβάσατέ με ἐν μήλοις· ὅτι τετρωμένη ἀγάπης ἐγώ.

Νείλου.

Τάχα, ἢ ὡς ἀμοιβὴν τῶν κατορθωμένων ἀπαιτεῖ τὸ ἐν τούτοις γενέσθαι, ἢ ὡς ἐπιτετρωμένη τῷ πόθῳ, παραμυθίαν ὡς ἂν εἴποι τὶς καὶ ψυχαγωγίαν· ἐπειδὴ γὰρ ὥσπερ ἐξελύετο ὑπὸ τῆς πρὸς τὸν ἀγαπώμενον μνήμης, στηριχθῆναι μὲν ἐν μύροις τῆς θεωρίας, στοιβασθῆναι δὲ ἐν μήλοις τῶν θαυμάτων τοῦ νυμφίου καὶ τοῦ καρποῦ τῶν πράξεων ἐπιθυμεῖ· ἐπειδὴ ἡ μὲν θεωρία τῇ τῶν νοημάτων 7έρπουσα γλαφυρότητι ὀσμὴ μύρων· ἡ δὲ πρᾶξις μετὰ τοῦ τροφίμου, καὶ τὸ εὐῶδες ἔχει. ποιεῖ γὰρ καὶ τὰ τῆς ἀρετῆς ἔργα χαρὰν, τῇ τῶν ἀμοιβῶν ἐλπίδι τὴν συνείδησιν τοῦ ἐργαζομένου εὐφραίνοντα· τινὲς δὲ τὸ σ7ιβάσατέ με ἐν μήλοις, περὶ τοῦ θανάτου εἶπον· ὡς τῆς νύμφης βουλομένης

II. μετὰ τῶν ἁγίων ἀξιωθῆναι ταφῆς· πάντως ἐκείνους μῆλα νοήσαντες τοὺς εἰπόντας Χριστοῦ εὐωδία ἐσμέν.

Σταβάσατέ με ἐν μήλοις.

Κυρίλλου.

Τοῖς εὐαγγελικοῖς με ἀσφαλίσατε λόγοις· οὗτοι γὰρ ἡμῖν εὐωδιάζουσι Χριςόν· συνταχθεῖσαν δέ φησι κἀγὼ μετὰ τῶν ἁγίων αὐτοῦ· ὡς γὰρ αὐτὸς μῆλον, οὕτως σύσσωμοι καὶ συμμέτοχοι αὐτοῦ μῆλα.

Προκοπίου.

Τοῖς κατὰ θεὸν πλεονεκτήμασιν.

Γρηγορίου.

Ἵνα πάντοτε εἰς ὕψος ὁρῶσα, βλέπω πρὸς τὰ τῶν ἀγαθῶν ὑποδείγματα, ἐν τῷ νυμφίῳ δεικνύμενα· ἐκεῖ γὰρ πρᾳότης, ἐκεῖ τὸ ἀόργητον, ἐκεῖ τὸ πρὸς τοὺς ἐχθροὺς ἀμνησίκακον, καὶ τὸ πρὸς τοὺς λυποῦντας φιλάνθρωπον· ἐκεῖ τὸ ἐγκρατὲς καὶ μακρόθυμον, καὶ τὰ ὅμοια· ἃ κατὰ τάξιν ἐπισυναπτόμενα, χαριεστάτην θέαν ἐργάζεται, πρὸς ὕψος πολιτείας ἐπανάγοντα· μῆλον δὲ ὁ Χριστὸς, διὰ τὸ λευκὸν τῆς σαρκὸς καὶ τὸ ἐρυθρὸν τοῦ αἵματος, καὶ τὴν τοῦ κηρύγματος εὐωδίαν.

Ὠριγένους.

Ὁ Σύμμαχος οὕτως ἐκδέδωκεν· ἐπανακλίνατέ με οἰνάνθῃ, τουτέστιν εὐώδεσι δένδροις, ταῖς καλὸν καρπὸν ποιοῦσιν, ἀνθοῦντα· τῶν φαύλων λεγομένων δένδρων ἀκάρπων ἢ κακοκάρπων ὄντων· τινὰ δὲ τῶν ἀντιγράφων ἔχει· στηρίσατέ με ἐν ἀμύροις· ὃ νοητέον, ἢ πιςοὺς μὲν, οὐ μὴν ὡς χρηματίζειν μέλη τῆς μὴ ἐχούσης σπῖλον ἢ ῥυτίδα, ἢ ἀλλοτρίους τῆς πίστεως χρηστούς· τὸ δὲ ςοιβάσατέ με ἐν μήλοις, σαφηνίζων ὁ Σύμμαχος, περικυλίσατέ με μῆλα εἶπε· βούλεται γὰρ ἡ νύμφη ἐν πολλοῖς περικυλιομένοις αὐτὸν μήλοις ἀναπαύεσθαι· ἅ τινα οἶμαι καρπός ἐςι τοῦ μήλου ἐν τοῖς ξύλοις τοῦ δρυμοῦ νυμφίου, ἵνα τῆς αὐτῶν μεταλάβῃ ποιότητος· τέτρωμαι γὰρ φίλτρῳ φησὶ κατὰ τὸν Σύμμαχον· ἀπὸ τοῦ ἐκλεκτοῦ βέλους, κατὰ τὸν Ἡσαίαν.

Ὅτι τετρωμένη ἀγάπης ἐγώ. II.

Γρηγορίου.

Ταῦτα εἰποῦσα, ἐπαινεῖ τὸν τοξότην τῆς εὐστοχίας ὡς καλῶς ἐπ' αὐτὴν τὸ τέλος ἰθύνοντα· τετρωμένη γάρ φησιν ἀγάπης ἐγώ· δείκνυσι τῷ λόγῳ τὸ βέλος τὸ τῇ καρδίᾳ βάθους ἐγκείμενον· ὁ δὲ τοξότης τοῦ βέλους, ἡ ἀγάπη ἐστί· τὴν δὲ ἀγάπην τὸν θεὸν εἶναι παρὰ τῆς γραφῆς μεμαθήκαμεν, ὃς τὸ ἐκλεκτὸν βέλος τὸν μονογενῆ υἱὸν ἐπὶ τοὺς σωζομένους ἐκπέμπει, τῷ πνεύματι τῆς ζωῆς· τὴν τριπλῆν τῆς ἀκίδος ἀκμὴν περιχρώσαν· ἀκὶς δὲ ἡ πίστις ἐστίν· ἵνα ἐν ᾧ ἂν γένηται συνεισαγάγῃ μετὰ τοῦ βέλους καὶ τὸν τοξότην, ὥς φησιν ὁ κύριος· ἐγὼ καὶ ὁ πατὴρ ἐλευσόμεθα, καὶ μονὴν παρ' αὐτῷ ποιήσωμεν· ὁρᾷ τοίνυν ἡ διὰ τῶν θείων ἀναβάσεων ὑψωθεῖσα ψυχὴ τὸ γλυκὺ τῆς ἀγάπης βέλος ἐν ἑαυτῇ ᾧ ἐτρώθη· καὶ καύχημα ποιεῖται τὴν τοιαύτην πληγὴν λέγουσα· ὅτι τετρωμένη ἀγάπης ἐγώ· οὐ μὴν ἀλλὰ καὶ αὐτὴ γίνεται βέλος ἐν ταῖς χερσὶ τοῦ τοξότου, τῆς μὲν εὐωνύμου τὴν κεφαλὴν πρὸς τὸν ἄνω σκοπὸν εὐθυνούσης, τῆς δεξιᾶς δὲ πρὸς ἑαυτὴν διαλαμβανούσης τὸ βέλος· φωνὴ οὖν.

Εὐώνυμος αὐτοῦ ὑπὸ τὴν κεφαλήν μου, καὶ ἡ δεξιὰ αὐτοῦ 6.
περιλήψεταί με.

Κυρίλλου.

Εὐώνυμος ὁ νόμος, δεξιὰ τὸ εὐαγγέλιον· ἢ καὶ εὐώνυμος ὁ παρὼν βίος, δεξιὰ ὁ μέλλων· ἥ τις με περιλήψεται, ὅταν τοῖς ἐκ δεξιῶν εἴπῃ, δεῦτε οἱ εὐλογημένοι τοῦ πατρός μου. Λέγει δὲ καὶ ἑτέρωθι μῆκος βίου καὶ ἔτη ζωῆς ἐν τῇ δεξιᾷ τῆς σοφίας· ἐν δὲ τῇ ἀριστερᾷ, πλοῦτος καὶ δόξα· δεξιὰ γοῦν αὐτῆς ἡ τῶν θείων ἐπιστήμη· ἐξ ἧς ἡ αἰώνιος ζωή· ἀριστερὰ δὲ ἡ τῶν ἀνθρωπίνων γνῶσις, ἐξ ὧν πλοῦτος καὶ δόξα· λέγει τοίνυν ὅτι ὑπερέχει ὁ νοῦς μου τὰ ἀνθρώπινα· καὶ ἡ θεία γνῶσις καλύψει με· καὶ γὰρ εἴρηται πάλιν· τίμησον αὐτὴν, ἵνα σε περιλάβῃ· δείκνυσι τοίνυν, ὅτι ὁ αὐτὸς καὶ νυμφίος καὶ τοξότης ἡμῶν ἐστὶ νύμφη τε καὶ βέλος ἡ κεκαθαρμένη ψυχή· ὡς βέλος οὖν πρὸς

II. τὸν ἀγαθὸν εὐθύνει σκοπόν· ὡς νύμφην εἰς κοινωνίαν ἀναλαμβάνει τῆς ἀφθάρτου ἀϊδιότητος· μῆκος βίου καὶ ἔτη ζωῆς, διὰ τῆς δεξιᾶς χαριζόμενος· διὰ δὲ τῆς ἀριστερᾶς, τὸν τῶν αἰωνίων ἀγαθῶν πλοῦτον καὶ τὴν τοῦ θεοῦ δόξαν, ἧς οἱ τὴν τοῦ κόσμου ζητοῦντες δόξαν ἀμέτοχοι γίνονται· διὰ τοῦτο φησὶν, ὅτε εὐώνυμος αὐτοῦ ἐπὶ τὴν κεφαλήν μου, δι᾽ ἧς εὐθύνεται ὑπὸ τὸν σκοπὸν τὸ βέλος. ἡ δὲ δεξιὰ αὐτοῦ πρὸς ἑαυτόν με διαλαβοῦσα καὶ ἐφελκυσαμένη, κούφην με πρὸς τὴν ἄνω φορὰν ἀπεργάζεται· κἀκεῖ πεμπομένην, καὶ τοῦ τοξότου μὴ χωριζομένην, μᾶλλον ἐπαναπαύεσθαι· εἶτα πρὸς τὰς θυγατέρας τῆς ἄνω Ἱερουσαλὴμ τρέπει τὸν λόγον· ὁ δὲ λόγος παράκλησίς ἐστιν ἐν ὅρκῳ προσαγομένη, τοῦ πλεονάζειν καὶ ἐπαύξειν ἀεὶ τὴν ἀγάπην· ἕως ἂν ἐνεργὸν ἑαυτοῦ ποιήσῃ τὸ θέλημα, ὁ θέλων πάντας ἀνθρώπους σωθῆναι καὶ εἰς ἐπίγνωσιν ἀληθείας ἐλθεῖν. Διὰ μὲν τοῦ εὐωνύμου τὰ τοῦ παρόντος βίου αἰνίττεται, ὡς ἔοικε καλὰ, ὧν τὴν ἀπόλαυσιν ἤδη ἔχει· διὰ δὲ τῆς δεξιᾶς, τὴν τῶν μελλόντων ἐν ἐπαγγελίαις προσδοκίαν· ὧν τὴν χρῆσιν ἐν ἐπαγγελίαις ὡς λέλεκται καὶ ἐλπίσι προσκεῖσθαι φησὶν, εὖ δὲ καὶ τὸ φάναι, τῇ μὲν δεξιᾷ περιλαμβάνεσθαι, τῇ δὲ ἀριστερᾷ τὴν κεφαλὴν ἐπαναπαύεσθαι· δεῖ γὰρ τὰ τοῦ παρόντος βίου κἂν πολὺ νομίζηται χρηστὰ καὶ περίβλεπτα, ὑποτετάχθαι τῇ κεφαλῇ τῆς τελείας ψυχῆς, μόνην τὴν ἀναγκαίαν χρείαν παρέχοντα τῷ σώματι, ὡς τὸ προσκεφάλαιον τῇ κεφαλῇ· τὰ δὲ τοῦ μέλλοντος αἰῶνος, ἐπειδὴ θεῖα ὄντα ἐπάνω τῆς ἀνθρωπίνης ἐφέστηκε φύσεως, διὰ τῆς περιλήψεως τὸ ὑπερέχον ᾐνίξατο· τάχα δὲ, ἐπειδήπερ αἱ χεῖρες πράξεων εἰσὶ σύμβολον, αἱ δὲ τῆς ἀριστερᾶς χειρὸς πράξεις, τὰ τοῦ σώματος σημαίνουσιν· αἱ δὲ τῆς δεξιᾶς τὰ τῆς ψυχῆς· δεξιὰ ὄντα τὸν ἀμείνω κλῆρον εἴληχε, περιέχονται τὰς σωματικὰς ἀνάγκας· ὡς γὰρ ἡ περιλαμβάνουσα χεὶρ, καὶ ἐπάνω ἐστὶ καὶ ἐντὸς ἀγκάλην ἔχει τὸ περιληφθὲν, οὕτως αἱ πρὸς τὸν σκοπὸν τῆς μελλούσης ζωῆς ἀποτεταγμέναι πράξεις, πᾶν κίνημα τοῦ σώματος ἄλογον περισφίγγουσαι, εὔτακτον καὶ συνδεδομένην

φυλάττουσα τὴν ζωὴν· οὐδ' ἑνὸς ἐπιβουλεύειν δυναμένου, τῇ περι- II.
ληφθείσῃ ὑπὸ τοῦ νυμφίου ψυχῇ.

Ὥρκισα ὑμᾶς θυγατέρες Ἱερουσαλὴμ ἐν ταῖς δυνάμεσι καὶ 7.
ἐν ταῖς ἰσχύεσι τοῦ ἀγροῦ· ἐὰν ἐγείρητε καὶ ἐξεγείρητε τὴν ἀγάπην ἕως οὗ θελήσῃ.

Φίλωνος.

Τὰς τῶν ἁγίων ὁρκίζει ψυχὰς κατὰ τῶν θεοσημειῶν ἃς ἔδειξεν ἐν βίῳ Χριστὸς· πρεσβείαις ἐξεγείρων τὸν πόθον αὐτοῦ πρὸς αὐτήν. Ἀκύλας δὲ φησὶ καὶ Σύμμαχος, καὶ ἡ πέμπτη ἔκδοσις· ὥρκισα ὑμᾶς θυγατέρες Ἱερουσαλὴμ, ἐν δορκάσιν, ἢ ἐν ἐλάφοις τῆς χώρας ἐκδεδόασιν· καὶ ἴσως οἱ μὲν διορατικοὶ δορκάδες, ἀπὸ τοῦ δέρκειν καὶ βλέπειν· οἱ δὲ γενναῖοι κατὰ τῆς κακίας ἀγωνισταὶ, καὶ ἀβλαβῶς ἀναιροῦν αὐτῆς τὰ γεννήματα, ἔλαφοι ἐπεὶ καὶ τὸ ζῶον ὄφεων ἐστὶν ἀναιρετικὸν πρὸς τοῦ τούτων ἰοῦ μὴ βλαπτόμενον· καθ' ὧν ὁρκεῖ τὴν ἀγάπην ἐξεγεῖραι μέχρι θελήσει χρηματίσαι ταύταις ἡ τοῦ νυμφίου φωνή.

Γρηγορίου.

Ἡ πρὸς τὸ ὕψος ἀναδραμοῦσα ψυχὴ ταῖς μαθητευομέναις ψυχαῖς, τὴν πρὸς τὸ τέλειον πρόοδον ὑφηγουμένη διὰ τοῦ ὁρκισμοῦ πρὸς τὸν κατ' ἀρετὴν χειραγωγεῖ βίον φάσκουσα· ὅτι ἐὰν αἱ μαθητευόμεναι ψυχαὶ προκόπτητε ταῖς ἀρεταῖς μέχρις ἂν ἐγείρητε καὶ ἐξεγείρητε τὴν ἀγάπην, ὅπερ ἐστὶν ὑψουμένης τε καὶ ἀεὶ διὰ προσθήκης πρὸς τὸ μεῖζον ἐπαυξουμένης, καὶ εἰς πέρας ἔλθῃ τὸ ἀγαθὸν αὐτοῦ θέλημα, ὥστε ἐν σαρκὶ ζῶσαν, μηκέτι κατὰ σάρκα ζῆν, καὶ ἐν τῷ ἀγρῷ τοῦ κόσμου διαγούσαν, πρὸς τὰς δυνάμεις βλέπειν τὰς ἀγγελικὰς· μεμυημένας δι' ἀπαθείας τὴν ἀγγελικὴν καθαρότητα· δυνάμεις γὰρ τοῦ ἀγροῦ ἤτοι τοῦ κόσμου, ἀγγελικαὶ δυνάμεις· πιστούμεναι ἡμᾶς ἀγγελικὴν ἕξειν ἐν τῇ παλιγγενεσίᾳ κατάστασιν· ἰσχὺς δὲ καὶ δύναμις εἰ μὲν ἑνικῶς λέγεται, πρὸς τὸ θεῖον ἀναπέμπεται ἡ διάνοια τῆς τοιαύτης φωνῆς· εἰ δὲ πληθυντικῶς, τὴν ἀγγελικὴν φύσιν παρίστησι· τὸ δὲ ὥρκισα, ἀντὶ τοῦ ὁρκίζω· ὅρκος δέ ἐστι λόγος πιστού-

II. μενος δι' ἑαυτοῦ τὴν ἀλήθειαν· ὅρκος δὲ λέγεται, κἂν ὀμνυσί τις κἂν ὁρκωθῇ.

Νείλου.

Τὸ μὲν διεγεῖραι, σαφῶς ταῖς θυγατράσιν Ἱερουσαλὴμ εἴρηται· τὴν ἐν τίνι δὲ ἀγάπην, τὴν ἐν αὐταῖς, ἢ τὴν ἐν τῷ νυμφίῳ, ἢ τὴν αὐτῇ λεγούσῃ, ἄδηλον· εἰ μὲν οὖν τὴν ἐν ἐκείναις ἀγάπην διεγερθῆναι βούλεται, δύναται τοιουτόν τι λέγειν· ὅτι ὦ βραδεῖς καὶ ἀσυναίσθητοι τῶν συμφερόντων, πόσον κέρδος παροράτε διὰ ἀπειρίαν; ὅπερ τοῖς ἀγαπῶσι τὸν νυμφίον, ἐκ τοῦ ἀγαπᾷν περιγίνεται· ὁρκίζω ὑμᾶς κατὰ τῶν δυνάμεων τοῦ ἀγροῦ, τῶν τὰ τοῦ κόσμου διοικουσῶν, καὶ τῆς ἰσχύος αὐτῶν ᾗ καταργοῦσι τοὺς ἐναντίους, ἐγεῖραι καθευδοῦσαν ἐν ἡμῖν, καὶ ἐξεγεῖραι τὴν πρὸς τὸν νυμφίον ἀγάπην· καὶ γνῶναι τὴν ἡδονὴν τὴν ἐμὴν, ἐκ τοῦ ἐν πείρᾳ γενέσθαι αὐτῆς· παρακαλεῖ δὲ αὐτὰς τὸ ἐκείνων κέρδος σκοποῦσα, καὶ τὴν ὠφέλειαν αὐτῶν λογιζομένη· ἐὰν δὲ τὴν τοῦ νυμφίου ἀγάπην διεγερθῆναι θέλῃ, τοῦτο φησίν· ὁρκίζω ὑμᾶς θυγατέρες Ἱερουσαλὴμ, προσελθεῖν τῷ ὑπ' ἐμοῦ ἠγαπημένῳ, καὶ τὸ ἐμὸν πάθος ἀναγγεῖλαι αὐτῷ· ὅπως αὐτὸν ἀγαπῶσα οἴκοι μένειν οὐ δύναμαι, ἐξελαύνοντός μου τοῦ πόθου, καὶ πάσας ἐπιέναι τὰς ὁδοὺς ἀναγκάζοντος, μήπω καὶ ἐκ τύχης συναντῇ τῷ ποθουμένῳ· ἀμφιβάλῃ γὰρ τάχα, μή ποτε οὐκ ἀληθῶς ἀγαπᾶται· καὶ ἤδη φαίνεται καὶ συντυχοῦσα καὶ λόγον ἀκούσασα παρὰ τοῦ νυμφίου τὴν ἀγάπην δηλοῦντος· ὑποχωρεῖ γὰρ ὁ νυμφίος πολλάκις, πλεῖον αὐτῆς τὸν ἔρωτα διεγείρων, καὶ τὸ μαραινόμενον τῆς ἐπιθυμίας ἀναῤῥιπίζων· ἔν τισι δὲ τῶν ἀντιγράφων ἔχει, μὴ ἐγείρητε, μηδὲ ἐξεγείρητε, ἐὰν μὲν τὴν πρὸς ἑαυτὴν τοῦ νυμφίου, ὅτι οὐ χρείαν ἔχω μεσίτου· οἶδα γὰρ ὅτι ἀξία γενομένη αὐτοῦ, τὸ θέλημα αὐτοῦ πρὸς τὴν ἐμὴν ἀγάπην διεγείρω· οὐ γὰρ μαστροπεύεται ὁ οὐράνιος ἔρως· αὐτὸς δὲ ἐπιφοιτᾷ τῷ κάλλει τῆς ψυχῆς ἑλκόμενος, καὶ τοῖς ἔργοις τῶν ἀρετῶν πληροφορούμενος, οὐχὶ δὲ φήμαις τῶν γενομένων πειθόμενος· ἐὰν δὲ τὴν ἐκείνων μὴ ἐγείρητε τὴν πρὸς αὐτὸν ἀγάπην· ἔτι γὰρ ἡμῖν χρεία καιροῦ

τοῦ ἐν φόβῳ δυλεύειν αὐτῷ, οὐκ ἐχούσαις τέως βεβηκυῖαν τὴν τῶν II.
ἀγαπώντων κατάςασιν, μήπως ἀώρως τὴν ἀγάπην κινήσασα κατα-
ςυνιάσητε αὐτοῦ· ἅτε μηδέπω μαθῦσα κεχρῆσθαι τῇ ἀγάπῃ καλῶς.

Φωνὴ τοῦ ἀδελφιδοῦ μυ· ἰδοὺ οὗτος ἥκει πηδῶν ἐπὶ τὰ ὄρη, 8.
διαλλόμενος ἐπὶ τοὺς βουνούς.

Γρηγορίου.

Ἐν τοσαύταις ἀνόδοις ὑψωθεῖσα δι᾽ ἀγάπης πρὸς τὴν τῶν ἀγαθῶν μετουσίαν ἡ κεκαθάρμενη ψυχὴ, οὔπω κατειληφέναι δοκεῖ τὸ ζητούμενον· πάσας γὰρ τὰς ἀναβάσεις ἐκείνας, οὐ θεωρίαν τε καὶ καλάληψιν τῆς ἀληθείας, ἀλλὰ φωνὴν τοῦ ποθυμένου κατονομάζει, διὰ τῆς ἀκοῆς χαρακτηριζομένην τοῖς ἰδιώμασιν, οὐ διὰ τῆς κατανοήσεως γινωσκομένην τε καὶ εὐφραίνυσαν· φωνὴ, φησὶν, οὐκ εἶδος, οὐ πρόσωπον, οὐ χαρακτὴρ ἐμφαίνων τοῦ ζητουμένου τὴν φύσιν· ἀλλὰ φωνὴ, ςοχασμὸν μᾶλλον ἢ βεβαίωσιν ἐμποιοῦσα περὶ τοῦ φθεγγομένου ὅς τις ἐστί· τοῦτο δὲ παρίςησι καὶ τὸ ποικίλον τῆς ὀπτασίας· ἰδοὺ γὰρ φησὶν οὗτος ἥκει, οὐχ᾽ ἑςὼς οὐδὲ περιμένων, ὡς διὰ τῆς ἐπιμονῆς γνωρισθῆναι τῷ ἀτενίζοντι, ἀλλ᾽ ἀφαρπάζων ἑαυτὸν τῶν ὄψεων, τῷ πηδᾷν καὶ διάλλεσθαι, καὶ νῦν μὲν δορκάδι, νῦν δὲ νεβρῷ παρεικάζεσθαι· τάχα τοίνυν προβλέπει τὴν πόῤῥωθεν κηρυχθεῖσαν, ὕστερον δὲ φανερωθεῖσαν, τοῦ θεοῦ λόγου διὰ σαρκὸς οἰκονομίαν· μαρτυρεῖται γὰρ τοῖς ἔργοις ἡ θεία φωνὴ, καὶ συνάπτεται τῷ λόγῳ τῆς ἐπαγγελίας ἡ ἔκβασις καθὼς φησὶν ὁ Δαβίδ· ὅτι καθάπερ ἠκούσαμεν οὕτω καὶ ἴδωμεν· φωνὴ τοῦ ἀδελφιδοῦ μου, τουτέςιν οὗ ἠκούσαμεν, ἰδοὺ οὗτος ἥκει· τοῦτον οὖν τοῖς ὀφθαλμοῖς εἰσδεξάμεθα· γέγονεν οὖν ἡ φωνὴ τοῦ νυμφίυ διὰ τῶν προφητῶν ἐν οἷς ἐλάλησεν ὁ θεός· καὶ μετὰ τὴν φωνὴν ἦλθεν ὁ λόγος, ἐπιπηδῶν τοῖς ἀντικειμένοις ὄρεσι, καὶ τῶν βουνῶν καθαλλόμενος, τουτέςι καταπατῶν καὶ καταλύων τὰ πονηρὰ τῆς τῶν δαιμόνων κακίας ὑψώματα.

Νείλου.

Ἐπειδὴ θεὸς ἦν ὁ ἀγαπώμενος, οὐ τεκμηρίοις σωματικοῖς

II. πιεζούμενος, διαθέσεως δὲ προσέχων, καὶ λογισμοῖς ἐμβατεύων, εὐθὺς ἐπιφαίνεται παραμυθούμενος τῆς ἀγαπώσης τὸν πόθον· ὡς ἐκείνην αἰσθομένην τοῦ κατὰ τὴν φωνὴν ἰδιώματος, εἰπεῖν ἐκ πολλῆς τῆς περιχαρείας· φωνὴ τοῦ ἀδελφιδοῦ μου, ἰδοὺ οὗτος ἥκει· τὸν γὰρ Ἰωάννην θεασάμενος ὃς ἦν ἡ φωνὴ, καὶ τὸν λόγον φαντάζεται, καὶ δεικτικῶς φησίν· ἰδοὺ οὗτος ἥκει· λόγου γὰρ παρουσίαν σημαίνει ἡ φωνή· καὶ τὴν ἀκοὴν ἐπιστρέφουσα τῇ ὄψει, δείκνυσι τὸ ἀκουσθέν· τὸ δὲ πηδῶν ἐπὶ τὰ ὄρη, διαλλόμενος ἐπὶ τοὺς βουνοὺς, τοιοῦτόν ἐστι· τῆς μὲν φωνῆς αὐτοῦ πόῤῥωθεν ἀκήκοα· ἤδη δὲ καὶ αὐτὸν ἐκεῖνον ὁρῶ πηδῶντα ἐπὶ τὰ ὄρη, καὶ διαλλόμενον ἐπὶ τοὺς βουνοὺς, ὅπερ ἐπληροῦτο ἐπὶ τῆς ἐνανθρωπήσεως τοῦ Χριστοῦ· αἱ γὰρ ἐκβάσεις τῶν περὶ αὐτοῦ προφητειῶν, πηδήματα ἦν καὶ ἅλματα· ὄρη δὲ καὶ βουνοὶ οἱ περὶ αὐτοῦ εἰπόντες προφῆται· ἐφ᾽ ὧν διαλλόμενος, καὶ ἀφ᾽ ἑτέρων εἰς ἕτερα πηδῶν, τὴν ἑκάστου προφητείαν ᾠκείου πρὸς τὴν ἑτέραν· ἓν σῶμα τὰς διαφόρους ποιῶν προφητείας, καὶ συνάπτων τοῖς ἅλμασι τῶν νοημάτων, τὰ διεστάναι δοκοῦντα ὄρη τῶν λέξεων· ὄρη δὲ λέγοιντ᾽ ἂν οἱ τὰ τῆς θεότητος αὐτοῦ λέγοντες προφῆται· βουνοὶ δὲ οἱ κατὰ τῆς οἰκονομίας· οἱ γὰρ βουνοὶ κᾂν ὑπερανέχωσι τῆς ἄλλης γῆς· ὅμως ἔχουσι τὶ γεῶδες· τα δὲ ὄρη, λίθος ἐστὶν ἀκρεφνὴς γεώδους οὐσίας ἀμέτοχος.

Ὠριγένους.

Τοῦτο τινὲς τοῖς προλαβοῦσιν ἀπέδωκαν, τὸ δὲ ἑβραϊκὸν ἐξ ἰδίας τάττει περικοπῆς· καὶ δῆλόν ἐστιν ὡς ἡ νύμφη διαλεγομένη ταῖς θυγατράσιν Ἱερουσαλὴμ, αἰφνίδιον αἰσθάνεται τῆς τοῦ νυμφίου φωνῆς, διαλεγομένου τισὶν ὡς εἰκός· ἧς αἰσθανομένης ἐπὶ τῶν ὀρῶν καὶ τῶν βουνῶν τῶν παρακειμένων τῷ τόπῳ τῆς νύμφης διαλέγεσθαι, ὡς μηδὲν ἀπᾴδειν νεβρῷ· εἶτα σπουδῇ τῇ περὶ τὴν νύμφην, ἐγένετο πλησίον τοῦ οἴκου καὶ παρέφηνεν ὄπισθεν αὐτοῦ· εἶτα πηδήσας μέχρι τῶν τοῦ οἴκου φθάνει θυρίδων, ἐρωτικῶς ὥσπερ ἐθέλων εἰς αὐτὴν παρακύψαι· ἐγγὺς δὲ τῆς οἰκίας ἔνθα ἡ νύμφη, δίκτυα πολλὰ ἐπενέδρα τῆς

νύμφης καὶ τῶν περὶ αὐτὴν ἐκπεπέτασαι, ἅπερ διακόψας ὁ νυμ- II.
φίος ὡς ἰσχυρότερος, διέκυψε δι' αὐτῶν· καὶ καλεῖ τὴν νύμφην πλησίον ἐλθεῖν· παραθαῤῥύνων ἔργῳ τῶν δικτύων καταφρονεῖν, ὡς ἤδη σχισθέντων, καὶ τοῦ χαλεποῦ δι' αὐτῶν παραδραμόντος καιροῦ, ὃν χειμῶνα καλεῖ, ἀνωφελῆ φέροντα καὶ σφοδρὸν ὑετόν· προτρέπεται δὲ καὶ διὰ τῶν καλῶν τοῦ παρόντος καιροῦ, ἄνθη λέγων ὡς ἐν ἔαρι καὶ θεραπείαν ἀμπέλων· τρυγόνος τε φωνὴν, καὶ συκῆς ὀλύνθους, καὶ κυπριζούσας ἀμπέλους διαγράφει· καὶ τὸν ἔνθα συναναπαύσεται τόπον· ἔνθα γενομένην ἐβούλετο αὐτὴν ὅλῳ προσώπῳ τῷ νυμφίῳ φανῆναι, καὶ τῆς ἡδείας αὐτῇ παρέχειν ἀκοῦσαι φωνῆς.

Κυρίλλου.

Ταῦτα πρὸς τὴν τῶν δραγματικῶς εἰσαγομένων σαφήνειαν, μέχρι τοῦ ἡ φωνή σου ἡδεῖα, καὶ ἡ ὄψις σου ὡραία· καὶ δῆλον ὡς ἡ νύμφη τοῦ λόγου ψυχὴ, ἤγουν ἐκκλησία Χριστοῦ, φωνῆς πρὶν νοῆσαι αὐτὴν ὡς θείας ἀντιλαμβάνεται, ὅπερ πάσχομεν οἱ πιστοὶ, πρὶν νοῆσαι τὰς νομικὰς καὶ προφητικὰς φωνὰς ὡς θείας χάριτος πλήρεις καταπληττόμενοι· τοιοῦτόν ἐστι τὸ φωνὴ τοῦ ἀδελφιδοῦ μου προστεταγμένον τῆς μακρόθεν ἐπιφανείας τοῦ λόγου· ὃν ἰδοῦσα μεγάλων θεωρημάτων ἁπτόμενον, μετὰ τοῦ μὴ δὲ τῶν βραχυτέρων καταφρονεῖν, φησίν· ἰδοὺ αὐτὸς ἥκει πηδῶν ἐπὶ ὄρη, διαλλόμενος ἐπὶ τοὺς βουνούς· δι' ὅλου δὲ τοῦ λόγου, τινὰ μὲν ὡς παρόντι λέγεται τῷ νυμφίῳ· τινὰ δὲ ὥσπερ ζητουμένου παρὰ τῆς νύμφης· ἐπεὶ καὶ τῶν προβλημάτων, ποτὲ μὲν τινὰ ζητοῦμεν ἀποροῦντες τῆς λύσεως· ποτὲ δὲ τῆς λύσεως ἀπολαύομεν, τοῦ νυμφίου λόγου καταυγάζοντος ἡμῶν τὰς καρδίας· εἶτα πάλιν ἀποροῦμεν ἐν ἑτέροις, καὶ πάλιν ἡμῖν ἐπιφαίνεται· καὶ τοῦτο πολλάκις, μέχρι τελειωθέντες τοῦ νυμφίου τύχωμεν οὐ μόνον ἐρχομένου πρὸς ἡμᾶς, ἀλλὰ καὶ μονὴν ποιουμένου· καὶ ἡ ἐκκλησία ποθεῖ μὲν ἐγκαταλειπομένη τοῖς πειρασμοῖς, ἐπιφαίνεται δὲ αὐτῇ τοῖς χαρίσμασι· διό φησιν· ἰδοὺ φησὶν οὗτος ἥκει πηδῶν ἐπὶ τὰ ὄρη· ἔρχεται δὲ καὶ ἐπὶ τὰ δίκτυα

II. τὰ πετασμένα ὑπὸ τοῦ πονηροῦ πλησίον τῆς ἐκκλησίας· ἅπερ σχίσας καταφρονητικῶς αὐτῶν ἐπιβαίνειν διδάσκει τῇ ὑπερβάσει ἐκκλησία πάντα χειμῶνα πειρασμοῦ, τὰ σημεῖα τοῦ ἀέρος δείκνυται, καὶ τὸ ἐγγίζειν τὸ θέρος, περὶ οὗ ἐν ψαλμοῖς· τὸ θέρος καὶ ἔαρ· ὤφθη γὰρ αὐτῇ ἄνθη, καὶ ἤγγισεν ἡ παντελὴς κάθαρσις, καιρὸς τῆς τομῆς ὀνομαζομένη.

9. Ὅμοιός ἐςιν ἀδελφιδός μου τῇ δορκάδι ἢ νεβρῷ ἐλάφων ἐπὶ τὰ ὄρη Βαιθήλ.

Γρηγορίου.

Διὰ τοῦτο σημαίνει τὴν ὀξυωπίαν τοῦ τὸ πᾶν ἐπιβλέποντος· ἀλλὰ νεβρῷ ἐλάφων, διὰ τὸ φυγαδεύειν τῷ ἄσθματι καὶ τῇ τοῦ χρωτὸς ἰδιότητι, τὴν τῶν ἰοβόλων ἐνέργειαν, ἣν ὄρη καὶ βουνοὺς ἐπωνόμασεν, τήν τε ὑποδεεστέραν καὶ τὴν προάγουσαν· τοῦτο γὰρ ἡ ἐκ τῶν βουνῶν πρὸς τὰ ὄρη διαςολὴ ὑπαινίττεται· ὁμοίως γὰρ καταπατεῖται ὅ τε λέων καὶ ὁ δράκων τὰ ὑπερέχοντα· καὶ ὄφις καὶ σκορπίος τὰ δοκοῦντα καταδεέςτερα· καὶ τοὺς μαθητὰς δὲ πρὸς τὴν τῶν ἐλάφων φύσιν καταρτίζειν εἰπών· ἰδοὺ δέδωκα ὑμῖν ἐξουσίαν τοῦ πατεῖν ἐπάνω ὄφεων καὶ σκορπίων, ὡς τῷ ὕψει τῆς ἀρετῆς, ὄρη γενέσθαι Βαιθήλ· ὅπερ ἡ τοῦ ὀνόματος ἔμφασις δείκνυσι τὸν ὑψηλὸν καὶ οὐράνιον βίον· ἡ γὰρ λέξις οἶκον σημαίνει θεοῦ.

Νείλου.

Βαιθὴλ ἐστὶ, καὶ ἑρμηνεύεται οἶκος θεοῦ· ὄρη δὲ ταύτης οἱ διὰ μέγεθος ἀρετῆς ὄρη χρηματίσαντες· ὡς γὰρ ὑπερανέστηκεν ὕψει καὶ διαφέρει κραταιότητι τῆς λοιπῆς γῆς τὰ ὄρη, οὕτως ἐν τοῖς ἀνθρώποις ὑπερέχουσιν ἅγιοι τῷ ὑψηλῷ τῆς πολιτείας διεγηγερμένοι· τούτοις οὖν ἐπιδιατρίβοντα τὸν ἀδελφιδὸν ἑαυτῆς ἡ νύμφη βλέπει, ὁμοιούμενον διὰ μὲν τὴν θεωρητικὴν δύναμιν, καὶ τὸ κριτικὸν εἶναι ἐνθυμήσεων καὶ ἐννοιῶν ἀνθρωπίνων, δορκάδι· διὰ δὲ τὴν πρακτικὴν καὶ τὴν πρὸς τὰς ἐναντίας δυνάμεις ἀντιπάθειαν, νεβρῷ ἐλάφων· ἀναιρετικὴ γὰρ τῶν ἰοβόλων ἑρπετῶν ἡ ἔλαφος· διὰ τί δὲ εἶπε νεβρῷ ἐλάφων

καὶ οὐκ ἔλαφον; ὅτι οἱ μὲν πολλοὶ τῶν ἀνθρώπων, ἢ πάντες σχεδὸν ἐν τῇ παιδικῇ ἡλικίᾳ, εἰ καὶ μὴ τῶν αἰσχρῶν, ἀλλ' οὖν τινῶν παθῶν ἡττήθησαν· ὀψὲ καὶ μόλις πρεσβυτικὸν ἀναλαβόντες καὶ σώφρονα λογισμόν· ὁ δὲ κυριακὸς ἄνθρωπος πρὶν ἢ γνῶναι καλεῖν πατέρα ἢ μητέρα, ἠπείθησε πονηρίαν, τὰς νεωτερικὰς ἐπιθυμίας πρεσβυτικῇ καταπατήσας γνώμῃ, τάχα δορκὰς ἦν, ὅτε ὀξεῖ τῷ βλέμματι τὰς ἐνθυμήσεις ἔλεγεν ὁρῶν τῶν ἀνθρώπων· ἵνα τί ὑμεῖς ἐνθυμεῖσθε ἐν ταῖς καρδίαις ὑμῶν πονηρά; νεβρὸς δὲ ἐλάφων ὅτε τῷ λεγεῶνι τῶν δαιμόνων ἔλεγεν· ἔξελθε ἐκ τοῦ ἀνθρώπου τὸ πνεῦμα τὸ ἀκάθαρτον ὡς ἐκ χηραμῶν τῶν ἀνθρωπίνων σωμάτων ἐνδομηχοῦντα, ἀνέλκων τὰ τῶν δαιμόνων συνεσπειραμένα συστήματα. II.

Φίλωνος καὶ Ὠριγένους.

Ἢ καὶ ὄρη τοὺς προφήτας φησὶν ἀρτίως τῷ φρονήματι, τῶν ἀληθινῶν θεωρητάς, οἶμαι δὲ καὶ τοὺς ἀποστόλους· ἐπεὶ κατὰ γενεὰν ἡ σοφία, εἰς ψυχὰς μεταβαίνει· ὄρη δὲ ἐπειδὴ ἀνίσχοντος ἡλίου, πρῶτα καταλάμπονται· βουνοὺς δὲ τοὺς ἔλαττον χωρήσαντας τὴν τοῦ πνεύματος ἐπιφάνειαν· λέγοις δ' ἂν καὶ ὄρη, τὰ ἐν νόμῳ νοήματα· βουνοὺς δὲ τὰ τῶν λοιπῶν προφητῶν· ἢ καὶ θεωρήσας τὸν ἐν καινῇ διαθήκῃ λόγον, βλέπει τὰ ὄρη πηδῶντα, ἐπὶ δὲ τοὺς βουνοὺς διαλλόμενον, τὸν ἐν τῷ παλαιῷ γράμματι· νεβρῷ δὲ ἐλάφων ὁ νυμφίος ἀπείκασαι, οὐ μόνον ὡς ἀναλίσκων τοὺς ὄφεις· ἀλλ' ὅτι καὶ παιδίον ἐγεννήθη ἡμῖν υἱὸς καὶ ἐδόθη ἡμῖν· καὶ ὅτι ἐταπείνωσεν ἑαυτόν· ἢ γὰρ ἂν ἔλαφος ὑπῆρχε τελεία.

Ἰδοὺ οὗτος ἕστηκεν ὀπίσω τοῦ τοίχου ἡμῶν παρακύπτων διὰ τῶν θυρίδων ἐκκύπτων διὰ τῶν δικτύων.

Κυρίλλου.

Ἴσως δὲ καὶ τοὺς ἀποστόλους ἐδήλωσεν διὰ τῆς ἁλιευτικῆς τέχνης· ταῦτα τοίνυν ἀκούει τοῦ λόγου ἡ ἐκκλησία διὰ τῶν προφητικῶν θυρίδων καὶ τῶν νομικῶν δικτύων δεχομένη τὴν τῆς ἀληθείας αὐγήν· ἔτι συνεστῶτος τοῦ τυπικοῦ τῆς διδασκαλίας

II. τοίχῳ, τοῦ νόμου λέγω, τοῦ τὴν σκιὰν ποιοῦντος τῶν μελλόντων ἀγαθῶν, οὐκ αὐτὴν τὴν εἰκόνα τῶν πραγμάτων δεικνύντος· οὗ ὀπίσω στᾶσα ἡ ἀλήθεια ἐχομένη τοῦ τόπου ὕστερον ἐπιλάμπει.

Γρηγορίου.

Κατὰ τὸ ῥητὸν ἔνδον οἰκουρούσῃ τῇ νύμφῃ διὰ τῶν θυρίδων ὁ ἐραστὴς διαλέγεται· καὶ τοῦ τοίχου ἀμφοτέρους κατὰ τὸ μέσον διείργοντος, ἀνεμπόδιστος γίνεται τοῦ λόγου ἡ κοινωνία· διὰ μὲν τῶν θυρίδων τῆς κεφαλῆς παρακυπτούσης, διὰ δὲ τῶν ἐν ταῖς θυρίσι δικτύων πρὸς τὰ ἐντὸς τοῦ ὀφθαλμοῦ διακύπτοντος· ὁδῷ δὲ καὶ ἀκολουθίᾳ τῆς ἀγωγῆς προσοικειοῖ τῷ θεῷ τὴν ἀνθρωπίνην φύσιν ὁ λόγος· πρῶτον μὲν αὐτὴν διὰ τῶν προφητῶν ὡς διὰ θυρίδων καταυγάζων· καὶ διὰ τῆς τῶν νομικῶν παραγγελμάτων πλοκῆς ὡς διὰ δικτύων· οὕτω γὰρ νοοῦμεν, θυρίδας μὲν τοὺς προφήτας τοὺς τὸ φῶς εἰσάγοντας, δίκτυα δὲ, τὴν τῶν νομικῶν παραγγελμάτων πλοκήν· δι' ὧν ἀμφοτέρων ἡ αὐγὴ τοῦ ἀληθινοῦ φωτὸς ἐπὶ τὰ ἐντὸς παραδύεται· μετὰ ταῦτα δὲ ἡ τελεία τοῦ φωτὸς ἔλλαμψις γίνεται· ὅταν ἐπιφανῇ αὐτὸς τὸ φῶς τὸ ἀληθινὸν διὰ τῆς πρὸς τὴν φύσιν ἡμῶν ἀνακράσεως.

Νείλου.

Τοῖχον, τὸ σῶμα τοῦ κυριακοῦ λέγει ἀνθρώπου, κρύπτοντος τοῦ θεοῦ λόγου τὴν ἐνανθρώπησιν· βλέπει δὲ αὐτὸν καὶ παρακύπτοντα διὰ τῶν θυρίδων, τῶν λόγων τῶν προφητικῶν· καὶ ἐγκύπτοντα διὰ τῶν δικτύων τοῦ ἀποστολικοῦ κηρύγματος· μερικῶς γὰρ αὐτὸν ὥσπερ ἀπὸ θυρίδος παρακύπτοντα οἱ προφητικοὶ παραφαίνουσι λόγοι· ὅλον δὲ τηλαυγῶς ἡ ἀποστολικὴ δείκνυσι διδασκαλία· μόνη οὖν αὕτη δεδύνηται ἐκ τῶν περὶ αὐτοῦ προφητευθέντων, καὶ ἐκ τῶν προηγγελμένων σημείων τῷ ὀφθαλμῷ τῆς ψυχῆς, διὰ τῆς παχύτητος τοῦ τοίχου διελάσαι καὶ ἰδεῖν τὸ κρυπτόμενον ἐν τῷ σώματι· ἔστι δὲ πάλιν τοῖχος ὁ νόμος, οὗ ὀπίσω ἕστηκεν ὁ νυμφίος κρυπτόμενος, θεσπίσας τὸν

νόμον καὶ οὐ γνωριζόμενος τοῖς νομοθετουμένοις· βλέπει δὲ αὐ- II.
τὸν ἡ νύμφη ὀπίσω ἑστῶτα τοῦ νόμου τοῖς πολλοῖς οὐχ᾽ ὁρώμενον, διὰ τό σαφῶς ἐν τούτῳ τὰ περὶ αὐτοῦ, καὶ συνεσκιασμένης εἰρῆσθαι· ὡς ἡ πέτρα ἐδήλου Χριστὸν, καὶ θάλασσα τὸ βάπτισμα· δύναται δὲ πάλιν θυρίδας τίς λέγειν, καὶ τῆς νύμφης τὰ αἰσθητήρια· ἅπερ ἔχουσα καθορᾷ ἥλιον δι᾽ αὐτῶν, καὶ ζωὴν ἐδέχετο, τῶν ἁμαρτωλῶν θάνατον δι᾽ αὐτῶν εἰσδεχομένων· κατὰ τὸ, θάνατος ἀνέβη διὰ τῶν θυρίδων ὑμῶν· δίκτυα δὲ, τοὺς ἐν τῇ ἐρήμῳ προσαχθέντας αὐτῷ παρὰ τοῦ σατανᾶ πειρασμούς· ὅτε πειράζων αὐτὸν καθάπερ δικτύοις περιέχειν ἐνόμιζε τοῖς πειρασμοῖς· ὧν ἀνώτερος φανεὶς ὁ κύριος, καὶ συντρίψας τὰς παγίδας καὶ τὰ δίκτυα, καὶ ταῖς εὐθυβόλοις ἀποκρύψεσιν ὑπερκόψας, ἐξέκυπτε διὰ τῶν δικτύων, τὴν τῆς θεότητος δύναμιν ὑποφαίνων τῇ διορατικῇ ψυχῇ· ὅθεν λοιπὸν διηγεῖται ταῖς θυγατράσιν Ἱερουσαλὴμ ἡ νύμφη· ὃ παρουσίᾳ μὲν ἔλεγεν ἐκείνων ὁ νυμφίος, ἤκουε δὲ πλὴν ἐκείνης οὐδεὶς τὰ ἐπαγόμενα. Λέγοιντο δ᾽ ἂν θυρίδες καὶ τὰ αἰσθητήρια, δι᾽ ὧν ἐπὶ μὲν τῶν ἁμαρτωλῶν θάνατος διαβαίνει· ἐπὶ δὲ τῆς ἐρωτικῶς διακειμένης ψυχῆς πρὸς τὸν λόγον, παρακύπτει ὁ λόγος εἰς τὰ δέοντα ταῖς αἰσθήσεσι κεχρημένης, καὶ δικτύῳ κατασκευάσματα ἐχούσης ἐν ὑπερῴῳ αὐτῆς· ἐφ᾽ ἃ φθάνων ὁ νυμφίος, δι᾽ αὐτῶν ἐκκύπτει καλῶν τὴν νύμφην πρὸς ἑαυτὸν ἐπὶ τὰ ἔξω τῶν αἰσθήσεων ἀόρατα καὶ ἀσώματα· τοῦτο τάχα δηλοῦντος καὶ τοῦ ἐπαγομένου ῥητοῦ, ἀνάστα ἐλθέ.

Ἀποκρίνεται ἀδελφιδός μου καὶ λέγει μοι· ἀνάστα, ἐλθὲ ἡ 10.
πλησίον μου, καλή μου, περιστερά μου· ὅτι ἰδοὺ ὁ χειμὼν παρ- 11.
ῆλθεν· ὁ ὑετὸς ἀπῆλθεν ἐπορεύθη ἑαυτῷ· τὰ ἄνθη ὤφθη ἐν τῇ 12.
γῇ· καιρὸς τῆς τομῆς ἔφθακε· φωνὴ τῆς τρυγόνος ἠκούσθη ἐν τῇ 13.
γῇ ἡμῶν· ἡ συκὴ ἐξήνεγκεν ὀλύνθους αὐτῆς· αἱ ἄμπελοι κυπρίζουσιν, ἔδωκαν ὀσμήν.

Γρηγορίου.

Τὸ κατὰ φύσιν εὐκίνητον ἀπολέσαν τὸ τῶν ἀνθρώπων γέ-

II. νος, τῷ τῆς εἰδωλολατρείας ἐπιπήγη κρυμῷ· τῷ χαλεπῷ δὲ τούτῳ χειμῶνι, ὁ ἥλιος τῆς δικαιοσύνης ἐπανέτειλεν, ἵνα διαθερμάνῃ τὸν λιθωθέντα τῷ κρύει, καὶ γένηται πάλιν ὑποθαλφθεὶς τῇ ἀκτῖνι τοῦ λόγου, ὕδωρ ἀλλόμενον εἰς ζωὴν αἰώνιον· διὰ τοῦτο ἐμβοᾷ διὰ τῶν φωταγωγῶν θυρίδων, εἴτ' οὖν προφητικῶν λόγων τῇ ἐκκλησίᾳ ὁ νυμφίος, ὁ λόγος ὁ ἀνορθῶν τοὺς κατεῤῥαγμένους· ἀνάϛηθι δηλαδὴ ἐκ τοῦ πτώματος, ἡ συμποδισθεῖσα καὶ πεσοῦσα εἰς γῆν διὰ τοῦ ὄφεως· οὐκ ἀρκεῖ δέ σοι τὸ ἀνορθωθῆναι μόνον, ἀλλὰ καὶ πρόελθε διὰ τῆς τῶν ἀγαθῶν προκοπῆς, τὸν ἐν ἀρετῇ διανύσα δρόμον· ἡ δὲ ἅμα τοῦ δέξασθαι τοῦ λόγου τὴν δύναμιν, ἀνίσταται καὶ παρίϛαται τῷ φωτί· καὶ πλησιάζει καὶ καλὴ γίνεται, καὶ περιϛερὰ ὀνομάζεται· καὶ πρὸς ὃ βλέπει καὶ σχηματίζεται· καὶ ὅλη γενομένη πνευματική· τῷ γὰρ φωτὶ προσεγγίσασα, φῶς γίνεται· τῷ δὲ φωτὶ τὸ καλὸν τῆς περιστερᾶς εἶδος ἐνεικονίζεται· ἐκείνης λέγω τῆς περιστερᾶς ἧς τὸ εἶδος τὴν τοῦ ἁγίȣ πνεύματος παρουσίαν ἐγνώρισεν· οὕτω τοίνυν αὐτῇ προσφωνήσας ὁ λόγος, καὶ ὀνομάσας αὐτὴν, καλὴν μὲν διὰ τὸ πλησίον, περιϛερὰν δὲ διὰ τὸ κάλλος, καὶ τὰ ἐφεξῆς διέρχεται· οὐκ ἔτι λέγων κρατεῖν τοῦ χειμῶνος τῶν ψυχῶν τὴν κατήφειαν· ἰδοὺ γάρ φησιν ὁ χειμὼν παρῆλθεν· ὁ ὑετὸς ἀπῆλθε καὶ ἐπορεύθη ἑαυτῷ· πολυώνυμον δὲ ποιεῖ τὸ κακὸν, κατὰ τὰς τῶν ἐνεργημάτων διαφορὰς· καὶ χειμὼν λέγεται μὲν, διὰ τὴν πολυειδῆ τῶν κακῶν σημασίαν· πάντα γὰρ ἐν αὐτῷ μιμεῖται τὴν τοῦ θανάτου κατήφειαν· φυτά τε ξηραινόμενα, καὶ ζῶα τῆς ᾠδῆς ἀποπαυόμενα καὶ τῆς ἐνεργείας· ἀγριαίνεται δὲ καὶ ἡ θάλασσα· διὰ δὲ τοῦ ἐπορεύθη, ἔμψυχόν πως καὶ προαιρετικὸν ἐμφαίνει τὸν ὑετόν· διὰ τούτων τοίνυν δείκνυσι, πῶς ἐτεθήλει κατ' ἀρχὰς ἡ ἀνθρωπίνη φύσις ἡ ἐν τῷ παραδείσῳ· τοῦ δὲ χειμῶνος τῆς παρακοῆς τῆς ἀθανασίας τὴν ῥίζαν, ἐξ οὗ τὴν φύσιν ὡραΐζων καρποῖς βεβλαϛήκει ἀποξηράναντος, ἀπετινάχθη τὸ ἄνθος, καὶ εἰς γῆν ἀνελύθη· καὶ ἐγυμνώθη τοῦ κάλλους τῆς ἀφθαρσίας ὁ ἄνθρωπος· καὶ ἡ τῶν ἀρετῶν πόα κατεξηράνθη τῆς πρὸς θεὸν ἀγάπης·

ὅθεν τὰ ποικίλα παθήματα, ταῖς ἀντικειμέναις δυνάμεσιν ἐν ἡμῖν Π.
ἀπεκορυφώθη· δι' ὧν τὰ πονηρὰ ναυάγια τῆς ψυχῆς γίνεται· ἀλλ' ἐλθόντος τοῦ τὸ ἔαρ τῶν ψυχῶν ἡμῖν ἐμποιήσαντος, καὶ τοῖς πνεύμασι καὶ τῇ θαλάσσῃ ἐπιτιμήσαντος, πάντα γέγονε γαλήνης μεςά· καὶ πάλιν ἔρχεται ἀναθάλλειν καὶ τοῖς ἰδίοις ἄνθεσιν ἡ φύσις ὡραΐζεσθαι, εἴτ' οὖν ταῖς ἀρεταῖς· αἱ νῦν μὲν ἀνθοῦσιν, ἰδίῳ δὲ καιρῷ παρέξουσι τὸν καρπόν· δεῖ οὖν ἐν τῷ ποικίλῳ τούτῳ χειμῶνι εἰσελθόντας ἐκ τῶν ἀνθέων τούτων δρέψασθαι, καὶ στεφάνους ἑαυτοῖς κατασκευάσαι· ὁ γὰρ καιρὸς τῆς τομῆς αὐτῶν ἔφθακε· τοῦτό σοι διαμαρτύρεται ἡ τοῦ τρυγόνος φωνή· τουτέστιν ἡ φωνὴ τοῦ βοῶντος ἐν τῇ ἐρήμῳ· Ἰωάννης γάρ ἐστιν ὁ τρυγὼν, ὁ τοῦ φαιδροῦ ἔαρος πρόδρομος, ὁ τὸ ἐκ ῥίζης Ἰεσσαὶ ἄνθος ὑποδεικνύων τὸν ἀμνὸν τοῦ θεοῦ τὸν αἴροντα τὴν ἁμαρτίαν τοῦ κόσμου, καὶ τὴν ἐκ τῶν κακῶν διδάσκων μετάνοιαν, καὶ τὴν κατ' ἀρετὴν πολιτείαν· ἠκούσθη γὰρ, φησὶν, φωνὴ τοῦ τρυγόνος ἐν τῇ γῇ ἡμῶν· τάχα γῆν, τοὺς κατεγνωσμένους ἐν κακίᾳ κατονομάζων, οὓς πόρνους καὶ τελώνας τὸ εὐαγγέλιον, ἐν οἷς ἠκούσθη τοῦ Ἰωάννου ὁ λόγος, τῶν λοιπῶν οὐ παραδεξαμένων τὸ κήρυγμα· τὸ δὲ περὶ τῆς συκῆς εἰρημένον ὅτι ἐξήνεγκεν ὀλύνθους αὐτῆς, οὑτωσὶ τῷ λόγῳ κατανοήσωμεν· ἑλκτικὴ τῆς ἐν τῷ βάθει νοτίδος διαφερόντως ὑπὸ θερμότητός ἐστιν ἡ συκῆ· πολλῆς δὲ κατὰ τὰς ἐντεριώνας τῆς ἰκμάδος συνισταμένης, ἀναγκαίως ἡ ῥύσις, διὰ τῆς τῶν ὑγρῶν πέψεως τῆς ἐν τῷ φυτῷ γινομένης, τὸ ἀχρεῖον τε καὶ γεῶδες τῆς ἰκμάδος, ἐκ τῶν ἀκραιμόνων ἀποσκευάζεται· πολλάκις τοῦτο ποιεῖ, ἕως ἂν τὸ εἰλικρινές τε καὶ τρόφιμον ἐν τῷ καθήκοντι καιρῷ προβάλλει κεκαθαρμένον τῆς ἀχρήστου ποιότητος· τὸ τοίνυν πρὸ τοῦ γλυκέος τε καὶ τροφίμου καὶ τελείου ὑπὸ τῆς συκῆς ἐν καρπῶν εἴδει προβαλλόμενον ὄλυνθος λέγεται, ὅπερ τοῦ καρποῦ προοίμιον γίνεται, οὐκ αὐτὸ καρπός· ὁ ταῦτα τοίνυν θεασάμενος καὶ τὸν καρπὸν ὅσον οὔπω ἐκδέχεται· ἐπειδὴ τοίνυν τὸ πνευματικὸν ἔαρ ὑπογράφει τῇ νύμφῃ ὁ λόγος· ὁ δὲ καιρὸς οὗτος μεθ-

II. ὁριός ἐστι, τῆς τε χειμερινῆς κατηφείας, καὶ τῆς ἐν τῷ θέρει τῶν καρπῶν μετουσίας· διὰ τοῦτο τὸ μὲν παρῳχηκέναι τὰ κακὰ, διαῤῥήδην εὐαγγελίζεται, τοὺς δὲ καρποὺς τῆς ἀρετῆς, οὔπω τελείως προδείκνυσιν· ἀλλὰ τούτες μὲν ἐν τῷ καθήκοντι καιρῷ ταμιεύεται, ὅταν ἐνστῇ τὸ θέρος ὅπέρ ἐστι συντέλεια τοῦ αἰῶνος· νῦν δὲ τὰς ἐλπίδας δείκνυσι διὰ τῶν ἀρετῶν ἀνθοῦσας, ὧν ὁ καρπὸς ἐν τῷ ἰδίῳ καιρῷ προφαίνεται· τῆς τοίνυν ἀνθρωπίνης φύσεως κατὰ τὴν μνημονευθεῖσαν ἐνταῦθα συκῆν, πολλὴν διὰ τοῦ νοηθέντος ἡμῖν χειμῶνος τὴν κακὴν ἰκμάδα συλλεξαμένης· καὶ ὡς τὸ ψυχικὸν ἔαρ ἐργασάμενος, πρῶτον μὲν ἐκβάλλει τῆς φύσεως πᾶν ὅσον γεῶδες καὶ ἄχρηστον, ἀντὶ ἀκραιμόνων δι᾽ ἐξομολογήσεως ἀποσκευάζων τὰ περιπτώματα, εἶθ᾽ οὕτω χαρακτῆρα τινὰ τῆς ἐλπιζομένης μακαριότητος διὰ τῆς ἀςειοτέρας ζωῆς ἐπιβάλλων τῷ βίῳ, οἷον τισὶν ὀλύνθοις, τὴν μέλλουσαν γλυκύτητα τῶν συκῶν εὐαγγελίζεται· οὕτω νόησον καὶ τὴν κυπρίζουσαν ἄμπελον· ἧς ὁ μὲν οἶνος ὁ τὴν καρδίαν εὐφραίνων, πληρώσει ποτὲ τὸν τῆς σοφίας κρατῆρα, καὶ προκείσεται τοῖς συμπόταις εἰς ἀπόλαυσιν· νῦν μέν τοι κυπρίζει διὰ τοῦ ἄνθυς ἡ ἄμπελος· ταῦτα προδείκνυσι τῇ νύμφῃ ὁ λόγος τοῦ καλοῦ τῶν ψυχῶν ἔαρος τὰ γνωρίσματα· καὶ ἐπισπεύδει πρὸς τὴν τῶν προκειμένων ἀπόλαυσιν, διεγείρων αὐτὴν τῷ λόγῳ καὶ φησίν.

Νείλου.

Τὸ ἀνάςα, καλοῦντος ἐςὶ καὶ διεγείροντος, ἀπὸ γὰρ τῶν κατὰ τὸν νόμον ταπεινῶν παραγγελμάτων, ἐπὶ τὰ ὑψηλότερα μαθήματα τῶν εὐαγγελικῶν παραδόσεων αὐτὴν διεγείρων καλεῖ· κατάλιπε φησὶν τὸν νηπιώδη νόμον, τὸν τὴν ἐνέργειαν τῶν ἁμαρτημάτων κωλύοντα, καὶ ἐλθὲ ἐπὶ τὴν χάριν τὴν ἐκκόπτουσαν καὶ τὸ φαῦλον ἐνθύμιον· ἀνάςα ἀπὸ τῶν γηΐνων, πρόκοψον ἐπὶ τὰ οὐράνια· ἀνάςα ἀπὸ τῶν τύπων, πορεύθητι ἐπὶ τὴν ἀλήθειαν· ἀνάςηθι ἀπὸ τοῦ στοιχειώδους νόμου, φθάσον ἐπὶ τὴν τελειότητα· χειμόνα λέγει τὸν τοῦ πάθυς καιρὸν, ἐν ᾧ πάντες ἐχειμάσθησαν τῷ τῆς ἀπιστίας πνεύματι· καὶ γὰρ καὶ αἰσθητὸς

χειμὼν ἦν κατὰ τὸν καιρὸν ἐκεῖνον· οὗ παρελθόντος ὁ ὑετὸς ὁ προφητικὸς, καὶ ὁ νομικὸς λόγος ἐπαύσατο· τῆς γὰρ φωνῆς τοῦ τρυγόνος ἀκουσθείσης τῆς λεγούσης· δεῦτε πάντες οἱ κοπιῶντες καὶ πεφορτισμένοι, κἀγὼ ἀναπαύσω ὑμᾶς· οὐκ ἔτι ἦν χρεία τοῦ καταβαίνοντος ὡς ὑετοῦ ἀποφθέγματος νομικοῦ λόγου· καὶ τῶν ἀνθῶν ὀφθέντων ἐν τῇ γῇ τῶν ἐν τῷ χριστιανισμῷ ἁγίων ἀνδρῶν, καιρὸς τῆς τομῆς ἔφθακε τῆς ἀποβολῆς τῶν Ἰουδαίων· καὶ ἡ συκῆ ἣν κόψαι διὰ τὸ μὴ φέρειν καρπὸν ὁ οἰκοδεσπότης ἐκέλευσεν, τοὺς τῆς μετανοίας ἐξήνθησεν ὀλύνθους, μετὰ τὴν ἐπιδημίαν Χριστοῦ, τὰ τῆς ἰδιωτικῆς διδασκαλίας δεξαμένη κόπρια· καὶ ἡ ἄμπελος δὲ ἐκ τῆς ἀληθινῆς ἀμπέλου μεταφυτευθεῖσα ἐκ τοῦ κυπρισμοῦ ἔδωκεν ὀσμὴν, οἱ λέγοντες τοῦ Χριστοῦ εὐωδία ἐσμὲν τῷ θεῷ ἐν τοῖς σωζομένοις καὶ ἐν τοῖς ἀπολλυμένοις· καὶ αὐτοὶ γὰρ οἱ ἀπιστοῦντες τῷ εὐαγγελίῳ, καὶ τὸν λόγον ἐθαύμαζον τοῦ κηρύγματος, καὶ τῶν σημείων ἐξεπλήσσοντο τὴν δύναμιν. II.

Κυρίλλου.

Ἢ καὶ τὸ τῆς τομῆς ἔφη τοῦ νοητοῦ θερισμοῦ· περὶ οὗ ὁ σωτὴρ φησίν· ὁ μὲν θερισμὸς πολύς.

Ὠριγένους.

Ἀνάστα, φησὶν, ἀπὸ τῶν αἰσθητῶν πρὸς τὰ νοητὰ ἵνα συνῆμεν· ὁ ὑετὸς ἀπῆλθεν· εἴπομεν ἂν ὑετὸν γεγονέναι, τὸν πρὸ τῆς ἐπιδημίας καιρὸν, τοῦ θεοῦ ἐντειλαμένου ταῖς νεφέλαις ὕειν τὸν νομικὸν καὶ προφητικὸν λόγον· πεπαύσθαι δὲ τοῦτον, ἐπειδὴ ὁ νόμος καὶ οἱ προφῆται ἕως Ἰωάννου· ἔαρ δὲ καὶ θέρος μετὰ τὴν ἐπιδημίαν· ὅτε μηκέτι ὑετῶν χρεία ὅτε τὰ διὰ Χριστὸν ἄνθη ὤφθη ἐν τῇ γῇ· καὶ ἀπὸ τῆς ἐπιδημίας αὐτοῦ, ἡ συκῆ οὐκ ἐκκόπτεται ἄκαρπος ἐν τῷ προτέρῳ γενομένη καιρῷ· νυνὶ γὰρ ὀλύνθους ἐξήνεγκε, καὶ κυπρίζουσιν αἱ ἄμπελοι· διὸ φησὶν ἓν τῶν κλημάτων Χριστοῦ, εὐωδία ἐσμὲν τῷ θεῷ.

Ἄλλως.

Καὶ τρυγόνος λέγει τῆς ἀποῤῥήτου καὶ ἀγνώστου σοφίας· φιλέρημον γὰρ τὸ ζῶον, ἧς ἡ φωνὴ ἀκούεται τοῖς ἔτι γήϊνον

II. σῶμα περικειμένοις· τομῆς καιρὸς, ὁ τῆς τῶν περιττῶν ἀποθέσεως, οὗτος δέ ἐςιν ὁ τῆς αὐτοῦ παρȣσίας, ἐν ᾧ δεῖ τὰ σωματικὰ τοῦ νόμου, καὶ τὰς ἐν τοῖς προφήταις ἱστορίας, περιπεφυκότα τοῖς πνευματικοῖς περιτέμνεσθαι καὶ μεῖναι τὰ κρείττονα· καιρὸς δὲ πάλιν καὶ τῆς τῶν ἁμαρτημάτων ἐκκοπῆς καὶ ἀφέσεως διὰ λουτροῦ παλιγγενεσίας· καὶ μὴ θαυμάσῃς εἰ ὁ νυμφίος ὡς περὶ ἑτέρου λέγει τοῦ τρυγόνος, πολλαχοῦ γὰρ τοῦτο ἔθος τῆς γραφῆς ἐστι.

14. Ἀνάςα ἐλθὲ ἡ πλησίον μου, καλή μου, περιςερά μου· καὶ ἐλθὲ σὺ περιςερά μου ἐν σκέπῃ τῆς πέτρας ἐχόμενα τοῦ προτειχίσματος· δεῖξον μοι τὴν ὄψιν σου, καὶ ἀκούτισόν με τὴν φωνήν σου· ὅτι ἡ φωνή σου ἡδεῖα, καὶ ἡ ὄψις σου ὡραία.

Κυρίλλου.

Ἡ πέτρα ἐστὶν ὁ Χριςός· αὐτὸς γὰρ ἡμῖν καὶ τεῖχος γίνεται τοῖς πιςοῖς καὶ σκέπη, καὶ πᾶσα ἀσφάλεια διὰ τοῦ προτειχίσματος δηλουμένη· ἔνθα γενομένη, φησὶ, τεύξῃ πάσης ἐπικουρίας.

Ἀπολιναρίου.

Ἡ καὶ τεῖχισμα, τὸν ἐντὸς ἄνθρωπον· προτείχεισμα δὲ τὸν ἐκτὸς, ὅπερ Ἀκύλας ἐν ἀποκρύφοις ἐκδέδωκεν· ἐν ᾧ καὶ τὰς εὐχὰς ἐνεργεῖσθαι κελεύει Χριστός.

Γρηγορίου.

Οὔτε τῆς τοιαύτης ἀναστάσεως, οὔτε τοῦ τοιούτου δρόμȣ πέρας ἐςίν· ἀεί τε γὰρ ἀνίςασθαι χρὴ, καὶ μηδέποτε τῷ Θεῷ προσεγγίζοντας παύεσθαι· ὁσάκις οὖν λέγει τὸ ἀνάστηθι καὶ ἐλθὲ, τοσαυτάκις τῆς πρὸς τὸ κρεῖττον ἀναστάσεως τὴν δύναμιν δίδωσιν· ὡς ἐκ καλῆς γενέσθαι καλὴν, καὶ κατὰ τὸν ἀπόςολον τὴν αὐτὴν εἰκόνα ἀπὸ δόξης εἰς δόξαν μεταμορφοῦσθαι· οὕτω τοίνυν περιστερὰν οὖσαν ἐν τοῖς προκατορθωμένοις, οὐδὲν ἧττον περιςερὰν αὐτὴν πάλιν διὰ τῆς πρὸς τὸ κρεῖττον μεταμορφώσεως γενέσθαι διακελεύεται· λέγει γὰρ, δεῦρο· σεαυτῇ περιστερά μου, τουτέςι μηκέτι πρὸς τὴν τῶν ἐφελκομένων βλέπειν

σπουδὴν, ἀλλ᾽ ὁδηγὸν πρὸς τὸ κρεῖττον τὴν ἰδίαν ἐπιθυμίαν II.
ἔχειν· δεῦρο γάρ φησι, σεαυτῇ τοῖς ἰδίοις λογισμοῖς τὴν πρὸς τὸ καλὸν προθυμίαν ἐπιῤῥώσασα· οὐκ ἀνάγκης καθηγυμένης· ἀδέσποτον γὰρ ἡ ἀρετὴ καὶ ἑκούσιον, καὶ ἀνάγκης πάσης ἐλεύθερον· καὶ εἰ ἐγυμνάσθης ὦ ψυχὴ τῷ νόμῳ, εἰ τὰς διὰ τῶν προφητικῶν θυρίδων αὐγὰς τῇ διανοίᾳ τεθέασαι, μηκέτι ὑπὸ τὴν τοῦ νομικοῦ τείχου σκιὰν μένε· ἐπὶ δὲ τὴν πέτραν, ἥ τις ἐςὶ τὸ εὐαγγέλιον, ἀπὸ τούτυ μετάβηθι· ἔχεται γὰρ ἡ πέτρα τοῦ προτειχίσματος· ἐπειδὴ τῆς εὐαγγελικῆς πίστεως ὁ νόμος προτείχισμα γέγονε, καὶ ἔχεται ἀλλήλων τὰ δόγματα γειτνιῶντα κατὰ τὴν δύναμιν· πλὴν ὅτι πνευματικὴ μὲν ἡ πέτρα, χοϊκὸς δὲ ὁ τεῖχος ᾧ συμπέπλαςαι τὸ σωματικὸν καὶ γεῶδες· ἡ δὲ εὐαγγελικὴ πέτρα, τὸ σαρκῶδες τῶν νοημάτων πηλὸν οὐκ ἔχει· καὶ κατὰ τὸν ἀπόςολον Παῦλον, ὁ νόμος πνευματικός ἐστιν· ὁ γὰρ οὕτως ἐκλαμβάνων τὸν νόμον πνευματικῶς, ὑπὸ τὴν σκέπην τῆς εὐαγγελικῆς γίνεται πέτρας, τὴν ἐχομένην τοῦ σωματικοῦ προτειχίσματος. Ταῦτα διὰ τῶν θυρίδων τοῦ λόγου ἐμβοήσαντος, ἀποκρίνεται ἡ περιςερὰ ἡ περιλαμφθεῖσα διὰ τῆς τῶν νοημάτων αὐγῆς, καὶ τὴν πέτραν νοήσασα τὸν Χριςὸν, καὶ φησί· δεῖξόν μοι τὴν ὄψιν σῦ· μηκέτι διὰ τῶν παλαιῶν αἰνιγμάτων διαλεγόμενος· ὡς δὲ ἰδεῖν δύναμαι, δεῖξόν μοι σαυτὸν ἐμφανῶς ὡς ἂν ἐντός σου γένωμαι τῆς εὐαγγελικῆς πέτρας, καταλιποῦσα τὸ τοῦ νόμυ προτείχισμα· εἰ γὰρ ἡ διὰ τῶν θυρίδων φωνὴ οὕτως ἐςὶν ἐρασμία, πόσῳ μᾶλλον ἡ κατὰ πρόσωπον;

Νείλου.

Ἐν τοῖς πρὸ τούτων ἀναςήσας αὐτὴν, ἐπεὶ μὴ ἐσήμανε τόπον ἔνθα ἥκειν αὐτὴν ἐκέλευσε, νῦν πάλιν καλεῖ αὐτὴν καὶ τὸν τόπον δηλῶν· ἐπεὶ γὰρ ἦν ἐρωτήσασα τὸν νυμφίον ποῦ ποιμαίνεις, ποῦ κοιτάζεις, καὶ οὐκ ἀπεκρίνατο τότε, νῦν γνωρίζει τὸν τόπον αὐτῇ τῆς νομῆς· ἵνα ὅπερ ἐκείνη ἔλεγε γένηται ὡς περιβαλλομένη ἐπ᾽ ἀγέλαις ἑταίρων· ἐλθὲ λέγων ἐπὶ σκέπῃ τῆς πέτρας τῆς σημαινούσης Χριστόν· ἐφ᾽ ἧς ἴχνος κακίας ὁ ὄφις ποιῆσαι

II. οὐ δύναται· ἵνα σκεπαζομένη ἐν τῇ σκέπῃ ταύτης τῆς πέτρας μηδὲν αὐτῇ δέξηται ἐν τῷ διανοητικῷ παρὰ τῶν ἀντικειμένων δυνάμεων ἴχνος πονηρίας· καὶ ἐχόμενα δὲ τοῦ προτειχίσματος αὐτὴν καλεῖ, ἐκεῖ βȣλόμενος ἀκοῦσαι διὰ τῆς ἡδείας αὐτῆς φωνῆς, καὶ κατανοῆσαι τὸ ὡραῖον αὐτῆς πρόσωπον· φωνὴ δὲ ἡδεῖα ἐςὶν, ἠθικῶς μὲν, σεμνοὶ λόγοι καὶ χάριν διδόντες τοῖς ἀκούȣσι· δογματικῶς δὲ, ἡ τοῦ ἐν ςαυρῷ βοῶντος ληστοῦ, μνήσθητί μȣ κύριε ὅταν ἔλθῃς ἐν τῇ βασιλείᾳ σȣ· ὅθεν πρὸς μὲν τὴν ἐκκλησίαν φησὶν, ἡ φωνή σου ἡδεῖα βοῶσα διὰ τῆς ἀπαρχῆς τοῦ ληςοῦ τὸ μνήσθητι· πρὸς δὲ τὴν συναγωγὴν τὴν λέγουσαν σταύρωσον, ἣν καὶ μισεῖ, φησὶ διὰ τοῦ προφήτου· ὀψὲ φωνὴν αὐτῆς ὠλόλυζε, καὶ ἔδωκεν ἐπ' ἐμὲ τὴν φωνὴν αὐτῆς, διὰ τοῦτο ἐμίσησα αὐτήν· ὄψις δέ ἐςιν ὡραῖα, ἡ ἐκ τῆς εἰρηνικῆς καταςάσεως γαληνιάζȣσα· δεῖξόν μοι οὖν, φησὶν, τὴν ὄψιν σου, καὶ ἀκούτισόν με τὴν φωνήν σου· καὶ ἤθει καὶ λόγῳ πρὸς ἐμὴν κοσμουμένη ἀρέσκειαν, καὶ κάλλος πράξεων καὶ ἐπιμέλειαν δογμάτων σύμφωνον ἐπιδεικνυμένη· εἰ δέ τις εἴπῃ τεῖχος τὸν νόμον, προτείχισμα τὸν φυσικὸν ἐρεῖ νόμον, οὗ ἐχόμενα ἐστὶν ἡ πέτρα· μᾶλλον γὰρ τοῦ ῥητοῦ νόμȣ ὁ φυσικὸς πλησιέςερος ὢν, τυγχάνει Χριςοῦ· ἐν ᾧ πολιτευσάμενοι οἱ ἅγιοι εὐηρέςησαν τῷ Θεῷ· φυσικαῖς ὁρμαῖς γνῶντες τὸ δίκαιον· καὶ διδάσκαλοι τῶν καθηκόντων αὐτοὶ ἑαυτοῖς γενόμενοι· καὶ ὁ Παῦλος δέ φησι, νόμος δὲ παρεισῆλθε, τὴν ἀρχαίαν καὶ τὴν ὑστάτην μίαν οὖσαν μεσολαβήσας πολιτείαν.

Ὠριγένους.

Βούλεται τὴν ψυχὴν ὑπερβῆναι τὰ αἰσθητά· ὡς ἐπὶ πόλεως δὲ τεῖχος καὶ προτείχισμα, τὸν αἰσθητὸν κόσμον καλεῖ· δεῖ οὖν τὴν τῷ λόγῳ κοινωνοῦσαν ψυχὴν ἐν σκέπῃ τῆς πέτρας, οὐ μόνον ἔξω τοῦ τείχους τῆς πόλεως, ἀλλὰ καὶ τοῦ προτειχίσματος γενέσθαι· ὡς πλησίον γενομένην ἀνακεκαλυμμένῳ προσώπῳ τὴν δόξαν τοῦ κυρίου κατοπτρίζεσθαι· πειθομένην τῷ λέγοντι, δεῖξόν μοι τὴν ὄψιν σου· ἐπιθυμεῖ δὲ καὶ διαλεγομένης ἀκοῦσαι,

τὴν φωνὴν ὡς ἡδεῖαν θαυμάζων· προτείχισμα δέ ἐστιν, ὅπερ II.
Ἡσαΐας περίτειχον ὀνομάζει λέγων· θήσει τεῖχος ὁ περίτειχος·
βούλεται τοίνυν τῶν σωματικῶν ἐξελθοῦσαν, οὐ μόνον ἐν τῷ τεί-
χει γενέσθαι, ὅπερ εἶναι τὸν περὶ τοῦ κόσμου λόγον νομίζω,
ἀλλὰ καὶ ἐχόμενα τοῦ προτειχίσματος· ὃς λόγος μέν ἐστι τε-
λευταῖος τῶν σωματικῶν, ἀρχὴ δὲ τῶν ἀσωμάτων.

Πιάσατε ἡμῖν ἀλώπεκας μικροὺς ἀφανίζοντας ἀμπελῶνας· καὶ 15.
οἱ ἄμπελοι ἡμῶν κυπρίζουσιν.

Γρηγορίου.

Τὰ προγεγραμμένα τῆς νύμφης εἰπούσης, καὶ τῆς εὐχῆς αὐτῆς πρὸς τὸν νυμφίον κατευοδωθείσης, μέλλων αὐτὸς ἑαυτὸν ἐμφανῆ καθιστᾶν, πρῶτον τοὺς θηρευτὰς παρορμᾷ, εἴτε ἀγγελικάς τινας δυνάμεις, εἴτε καὶ ἀποστόλους πρὸς τὴν τῶν ἀλωπέκων ἄγραν, αἵ τινες εἰσὶν ἀποστατικαὶ δυνάμεις, διὰ τὸ δολερὸν οὕτω κατονομασθεῖσαι· μικροὺς μὲν ὄντας ἤδη τῇ δυνάμει τῆς χάριτος τοῦ Χριστοῦ, ἀφανιστικοὺς δὲ τῶν ἀμπελώνων ὑπάρχοντας· ὡς μηκέτι τὸν ἀμπελῶνα τὴν ἀνθρωπίνην φύσιν δι' αὐτῶν πρὸς κυπρισμὸν καὶ βοτρύων φορὰν ἐμποδίζεσθαι, εἴτ' οὖν τὴν διαγωγὴν τῆς ἐναρέτου πολιτείας· τούτου γὰρ γενομένου μεταχωρεῖ τὰ δύο εἰς ἄλληλα· ὅ τε γὰρ θεὸς ἐν τῇ ψυχῇ γίνεται, καὶ πάλιν εἰς τὸν θεὸν ἡ ψυχὴ μετοικίζεται· εἶδεν οὖν ἐν τῇ δυνάμει τοῦ κελεύσαντος ἑαυτὴν, τῆς ἐκ τῶν θηρίων λύμης τούτων κεκαθαρμένην, ἡ ὡς ἄμπελος εὐθυνοῦσα νύμφη, καὶ εὐθὺς δίδωσιν ἑαυτὴν τῷ γεωργῷ τὸ μεσότοιχον τοῦ φραγμοῦ λύσαντι· οὐκ ἔτι γὰρ τῷ τοίχῳ τοῦ νόμου πρὸς τὴν συνάφειαν τοῦ ποθουμένου διατειχίζεται, ἀλλά φησιν. Τοῖς τῆς ἐκκλησίας τροφίμοις προτάσσει λοιπὸν τοῖς ἔτι τὸ ἄνθος ἐπιδεικνυμένοις τῆς ἀρετῆς, καὶ δυναμένοις εὐχερῶς ἀδικηθῆναι ὑπὸ τῶν παθῶν· οὐχ' οὕτω γὰρ ἀνδρυνθεῖσα βλάπτεται ἡ ἄμπελος ὡς ἐν προοιμίοις ἐπιβουλευομένη· ὡς γὰρ ἡ ἀνθοῦσα σαφυλὴ ἐὰν τιναχθῇ, ἀφίησι μὲν τὰς ῥάγας, ἀσθενῶν ἐπὶ τῶν σεμφύλων ἐξηρτημένων, οὕτως ἄωρος ὑπὸ τῶν παθῶν κλονηθεῖσα ἡ ἀρετὴ, πρὸς ἀκμὴν τῆς

II. τελειότητος οὐκ ἔρχεται· τῶν πεπαυθῆναι ὀφειλόντων ἐπιτηδευμάτων διαῤῥυέντων, πρὸ τῆς βεβηκυίας καὶ ἑκτικῆς καταστάσεως· κενοδοξίᾳ γὰρ λυμαίνεσθαι πέφυκε τὸ τῶν ἀρετῶν ἄνθος· καὶ ἀλαζονεία τοῖς ἀρχομένοις τῆς θεοσεβίας ἐμπόδιον γίνεται προκοπῆς, τὰς βελτιώσεις τῇ οἰήσει ἀποτινάσσουσα, καὶ ἐν ἄνθει μαραινόμενον ἐμφανίζουσα τὸν καρπόν· συμβουλεύει τοίνυν ὁ λόγος, ἔτι μικρὰς πιάσαι ἀλώπεκας· τουτέστιν ἁπαλῶν ἔτι κρατῆσαι καὶ ἀσθενῶν τῶν παθῶν, πρὶν ἕξις δυσμετακίνητος τὸ ἔθος γένηται τοῦ κακοῦ· ἢ τοῦτο οὖν ἐστὶ τὸ λεγόμενον κατὰ τὴν εἰρημένην διαίρεσιν, ἢ διαιροῦντας ἀναγνῶναι, μικροὺς ἀφανίζον ἀμπελῶνας· εἴτουν κρατῆσαι καὶ πιάσαι τὰς ἀλώπεκας ἔτι μικρῶν οὐσῶν τῶν ἀμπελώνων· μεγάλους γὰρ ἀφανίζειν ἀμπελῶνας αἱ ἀλώπεκες οὐ δύνανται, ἐν ἕξει τοῦ ἀγαθοῦ γενομένους· καὶ γὰρ τῶν μικρῶν ἴδιον τὸ σκανδαλίζεσθαι· ὥσπερ δὲ ἐπιτείνων τὴν ἐκ τοῦ φόβου ἀπορίαν, φησί· καὶ αἱ ἄμπελοι ἡμῶν κυπρίζουσιν· οὐ μόνον γὰρ ἔοικε δεδοικέναι, ὅτι τρυφεροὶ καὶ νεοπαγεῖς εἰσὶν οἱ ἀμπελῶνες μικροὶ τυγχάνοντες, ἀλλ' ὅτι καὶ πρὸς κυπρισμὸν εὐχείρωτοι ταῖς ἐκτινασσούσαις τὸ ἄνθος ἐν ταῖς ἀλώπεξιν· τοιοῦτον ἐκτιναγμὸν οἶδεν ἡ γραφή· περὶ ὧν φησὶν, οὕτως υἱοὶ τῶν ἐκ τετιναγμένων· οὓς Παῦλος κλάδους ἐκκεκλασμένους ἐλαίας καλεῖ· ὁ δὲ Δαβὶδ χόρτον δωμάτων· ὁ δὲ κύριος, κλῆμα ἔξω τῆς ἀμπέλου βεβλημένον, τὸ ἄκαρπον καὶ ἀπόβλητον αὐτῶν αἰνιττόμενος.

Ὠριγένους.

Ταῦτα τοῖς φίλοις ὁ νυμφίος, ἤτοι ἀγγέλοις, ἢ ἀνδράσιν ἁγίοις, ὅσοι τῆς ἐκκλησίας διδάσκαλοι· ὑπὲρ σωτηρίας δὲ τῶν ἀμπελώνων ἡ προτροπή· ἵνα τῶν πανούργων συλλαμβανομένων δυνάμεων, αἳ διαφθείρουσαι τὴν ἀρχὴν τῆς ἐκ φύσεως τοῦ καρποῦ, δυνηθῶσιν αἱ ἄμπελοι προκόψαι ἀπὸ τοῦ κυπρίζειν μέχρι τῆς τοῦ καρποῦ τελειώσεως, ὑπὸ τοῦ θεοῦ γεωργούμεναι· διὰ δὲ τὸ αὐτεξούσιον δυνάμεναι ἐνέγκαι καρπόν τε, καὶ μή· ἢ τάχα καὶ ἄνθρωποι, ἀλώπεκές τινες δι' ἑτεροδόξου δριμύτητος ἐμποδίζον-

τες τοῖς ἀρξαμένοις τρέχειν καλῶς· οὓς ἔτι μικροὺς ὄντας βού- 11.
λεται συλληφθῆναι πρὶν ἐπιπλέον ἀσεβείας προκόψωσι· μέγας γὰρ ἀλώπηξ γενόμενος, ἐκείνοις μὲν ἀνάλωτος, ὑπὸ μόνου δὲ τοῦ νυμφίου θηρεύεται· ἀρχόμενοι γὰρ ἐνεργεῖν τὰ χείρονα, καὶ τοῖς φίλοις εὐάλωτοι· λέγει δ' ἂν καὶ μικροὺς τοὺς ἀμπελῶνας· οὐ δύναται γὰρ κατὰ τῶν μεγάλων ἀλώπηξ.

Ἀδελφιδός μου ἐμοὶ, κᾀγὼ αὐτῷ, ὁ ποιμένων ἐν τοῖς κρίνοις 16.
ἕως οὗ διαπνεύσῃ ἡμέρα καὶ κινηθῶσιν αἱ σκιαί. 17.

Γρηγορίου.

Εἶδον γὰρ αὐτόν φησιν πρὸς πρόσωπον, τὸν ἀεὶ μὲν ὄντα, δι' ἐμὲ δὲ ἐκ της ἀδελφῆς μου τῆς συναγωγῆς ἀνθρωπικῶς ἀνατείλαντα· καὶ ἐν αὐτῷ ἀναπαύομαι καὶ γίνομαι αὐτῷ κατοικητήριον· ὃς οὐ χόρτον ποιεῖται τὴν τῶν ποιμνίων νομὴν, ἀλλὰ καθαροῖς κρίνοις τρέφει τὰ πρόβατα, τουτέστι θείοις λογίοις· ὅπως ἂν οἱ τῇ καθαρᾷ τε καὶ εὐπνοούσῃ ταύτῃ τροφῇ τὴν ψυχὴν πιαινόμενος, πᾶσαν τε καὶ σκιοειδῆ φαντασίαν τῶν κατὰ τὸν βίον τοῦτον σπουδαζομένων ἑαυτῶν ἀποστήσαντες, ἃς σκιὰς ὁ λόγος ὠνόμασε, ταῖς τοῦ θεοῦ πνεύματος ἀκτῖσι, πρὸς τὴν ἀληθεινὴν τῶν πραγμάτων ὑπόστασιν διαβλέψωσιν, υἱοὶ φωτὸς καὶ ἡμέρας γενόμενοι· ταῦτα φθέγγεται ἡ ψυχὴ, ἣν ποιμαίνει ὁ λόγος, οὐκ ἐν ἀκάνθαις τισὶν ἢ χόρτοις, ἀλλ' ἐν τῇ εὐοσμίᾳ τῶν κρίνων τῆς καθαρᾶς πολιτείας, καὶ κατεπείγει τὸν λόγον διὰ τάχους εἰς ἔργον προάγειν τῶν ἀγαθῶν τὴν ἐλπίδα.

Νείλου.

Μόνῳ ἑαυτὴν ἀνατίθησι τῷ νυμφίῳ, καὶ τὸν νυμφίον πάλιν μόνης ἑαυτῆς λέγει, διὰ τὴν ἐκ τῶν κατορθωμάτων οἰκειότητα· ἐπειδὴ γὰρ τὸ σῶμα ἑαυτῆς οὐ τῇ πορνείᾳ ἀλλὰ τῷ κυρίῳ δέδωκε, διὰ τοῦτο καὶ ὁ κύριος τῷ ἐκείνης σώματι ἐνανθρωπήσας γεγένηται· ποιμαίνοντα δὲ αὐτὸν ἐν τοῖς κρίνοις, τὰς ἀμερίμνους λέγει ψυχὰς ὑπ' αὐτοῦ ποιμαίνεσθαι σημαίνουσα, ὡς τῶν περισπωμένων ὑπὸ τῆς σωματικῆς ἀσχολίας ἔξω τῆς τούτου ποιμαντικῆς ὄντων· ποιμαίνει δὲ ἐν κρίνοις οὐ διὰ παντὸς, ἀλλ'

II. ἕως τοῦ διαπνεῦσαι τὴν μέλλουσαν ἡμέραν, καὶ κινηθῆναι τὰς σκιὰς τῶν παρόντων πραγμάτων· ὁ δὲ Σύμμαχος, πεποιηκὼς ὁ ποιμαίνων τα ἄνθη ἔδειξεν, ὅτι οὐκ ἐν τόπῳ κρίνων, ἀλλ᾽ αὐτὰ τὰ κρίνα ποιμαίνει τὰς ἀμερίμνους ψυχὰς, καὶ τῶν γηΐνων οὐ φροντιζούσας, καθὼς ἀποδέδοται· ἔφαμεν δὲ ἀνωτέρω ἄνθη λέγεσθαι, τοὺς ἐν τῷ χριστιανισμῷ ἀνθήσαντας ἁγίους· καὶ ἐνταῦθα οὖν ταῦτα ποιμαίνει τὰ ἄνθη· καὶ τὸ κινηθῶσι δὲ αἱ σκιαὶ, τὴν τῶν νομικῶν ἔργων περιαίρεσιν σημαίνει, σκιὰς ὑπὸ τοῦ Παύλου πολλάκις εἰρημένας.

Ὠριγένους.

Ἡ νύμφη πρὸς τοὺς ἑταίρους τοῦ νυμφίου φησὶν ὡς οὐδὲ μίαν ἔχουσα πρὸς τοὺς ἀλώπεκας μετουσίαν· ἐκοινώνησαν γὰρ ἡμῖν, φησὶν, αἵματος καὶ σαρκὸς, καὶ ἡμεῖς αὐτῷ τῆς ἀφθαρσίας. Ἢ ὅτι ὁ Θεὸς ἐν ψυχῇ γίνεται, καὶ ἡ ψυχὴ εἰς Θεὸν μετοικίζεται· οὕτω καὶ ὁ Παῦλος· τὸ σῶμα οὐ τῇ πορνείᾳ, ἀλλὰ τῷ κυρίῳ, καὶ ὁ κύριος τῷ σώματι· σῶμα γὰρ ἡ νύμφη ἐκκλησία Χριστοῦ, τὸ μηδαμῶς τῇ πορνείᾳ, ἀεὶ δὲ τῷ κυρίῳ· καὶ αὐτὸς δὲ ὁ σωτὴρ, μείνατε ἐν ἐμοὶ κἀγὼ ἐν ὑμῖν· ἐν δὲ τοῖς ἑξῆς ἀνάπαλιν γέγραπται· ἐγὼ τῷ ἀδελφιδῷ μου, καὶ ὁ ἀδελφιδός μου ἐμοί. Ἢ τάχα διὰ τὸ τὴν ἀρχὴν τῆς εὐεργεσίας ἀπὸ τοῦ νυμφίου γενέσθαι· μὴ ἐμφανίσαντος γὰρ ἑαυτὸν αὐτῇ, οὐδ᾽ αὐτὴ τῷ νυμφίῳ ἀνέκειτο· τὸ γὰρ ἔνθεον αὐτοῦ κάλλος θεασαμένη, ἐπὶ σωτήριον ἀφίκετο φίλτρον, μεθὸ ἀνατεθεῖσα ἐκείνου τῷ κάλλει, λέγει, κἀγὼ αὐτῷ· εἶτα τὴν τάξιν ἀντέλαβε πρὶν μὲν ἐλθεῖν τὸ τέλειον λέγουσα, ἐγὼ τῷ ἀδελφιδῷ μου· ὅταν δὲ τελείως ἀποκαλυφθῇ, μηδὲν καταλίπῃ κεκρυμμένον, αἰσθανομένη τοῦτο λέγει· καὶ ἀδελφιδός μου ἐμοί· εἴρηται δὲ που ταῖς προφητείαις αὐτὸς κύριος ποιμανεῖ ἡμᾶς εἰς τους αἰῶνας, ἀλλ᾽ οὐχ᾽ ὡς νῦν. ἐν κρίνοις ἡμᾶς ποιμανεῖ τοῖς ἐν μέσῳ ἀκανθῶν· τοιγαροῦν εἰπὼν, ἐγὼ ἄνθος τοῦ πεδίου, κρίνον τῶν κοιλάδων, ἐπάγει· ὡς κρίνον ἐν μέσῳ ἀκανθῶν, οὕτως ἡ πλησίον μου ἀνὰ μέσον τῶν θυγατέρων· καὶ τήρει ὡς ἐπὶ τῆς νύμφης οὐκ ἔλεξεν· διὸ καὶ πα-

ραγέγονεν, εἰς τὸ ἀκάνθαις μὴ ἐμπαγῆναι τὰ ποιμαινόμενα, ἕως II.
οὗ διαπνεύσῃ ἡμέρα καὶ παρέλθωσιν αἱ σκιαί· διὸ καὶ αὐχεῖ μυστικῶς λέγειν ἐν Ἰακὼβ τὸ ἐγενόμην τῆς ἡμέρας συγκαιόμενος τῷ καύματι· ἐν τῷ τοῦ παρόντος γὰρ βίου καύματι δεόμεθα τοῦ ποιμαίνοντος, διὰ τὰ μεσημβρινὰ δαιμόνια. λέγει γὰρ πρὸς τὸν εὐπειθῆ· οὐ φοβηθήσεται ἀπὸ δαιμονίου μεσημβρινοῦ· ὁποῖον καὶ τὸ, ὁ ἥλιος οὐ συγκαύσει σε· ἐπείπερ ὁ τὰς ἀσθενείας ἡμῶν φέρων καὶ περὶ ἡμῶν ὀδυνηθεὶς ἐγένετο ὑπὲρ ἡμῶν συγκαιόμενος τῷ καύματι· ἵνα ἐξαγοράσῃ ἡμᾶς ἀπ' αὐτῶν· ὡς καὶ ἀπὸ τῆς κατάρας τοῦ νόμου, γενόμενος ὑπὲρ ἡμῶν κατάρα· ποιμαίνει δὲ καὶ ἐν κρίνοις καὶ μέχρι παρέλθωσιν αἱ σκιαὶ τοῦ βίου· κατὰ τὸ, ὡς σκιαὶ ἡμέραι ἡμῶν παράγουσιν· ἴσως δὲ καὶ πρὸ τῆς ἐπιδημίας αὐτοῦ, διὰ νόμου καὶ προφητῶν, ἐν κρίνοις ἐποίμανεν ἔτι καύσωνος ὄντος· μετὰ δὲ τὴν ἐπιδημίαν, ποιμαίνει μὲν, ἀλλ' οὐκ ἐν κρίνοις· ὡς γὰρ τῆς ἡμέρας διαπνευσάσης εἴρηται τὸ, ἀγαπητοὶ γινώσκετε ὅτι ἐσχάτη ὥρα ἐστίν.

Ἀπόστρεψον, ὁμοιώθητι σὺ ἀδελφιδέ μου τῇ δορκάδι ἢ νεβρῷ ἐλάφων ἐπὶ τὰ ὄρη τῶν κοιλωμάτων.

Γρηγορίου.

Ἀπόστρεψον τῶν κακῶν τὴν φοράν· ἴδε ὡς δορκὰς ὁ τὰς ἐνθυμήσεις τῶν ἀνθρωπίνων βλέπων· ἀφάνισον τὴν γονὴν τῆς κακίας ὡς νεβρὸς ἐλάφων ἐξαναλίσκων τὸ γένος τοῦ ὄφεως· ὁρᾷς γὰρ τὰ κοῖλα τοῦ ἀνθρωπείου βίου· πᾶν γὰρ τὸ κατὰ τῆς ἀληθείας ὑψούμενον βάραθρόν ἐστι καὶ οὐκ ὄρος, κοίλωμα καὶ οὐκ ἀνάστημα· ἐὰν οὖν ἐπιδράμῃς ἐπὶ ταῦτα, φησὶν, πᾶσα φάραγξ πληρωθήσεται, καὶ πᾶν τὸ τοιοῦτον ὄρος ταπεινωθήσεται.

Νείλου.

Πῶς ἤδη εἰποῦσα ὅτι ὅμοιος ἐστὶν ὁ ἀδελφιδός μου τῷ δόρκωνι, καὶ τὰ ἑξῆς, νῦν πάλιν φησὶν ἀπόστρεψον οὐκ ἐπὶ ὄρη Βαιθὴλ, ἀλλ' ἐπὶ ὄρη κοιλωμάτων; τὸ μὲν ὡς ἤδη γενόμενον εἰποῦσα, τὸ δὲ προστακτικῶς ἀναλαβεῖν αὐτὸν παρακελευομένη· ἀλλὰ μήποτε ἡ διαφορὰ τῆς τῶν ὀρῶν ὀνομασίας ἐν οἷς γίνεται

II. λύει τὸ ἀπορούμενον; ἐκεῖ γὰρ εἶπεν ἐπὶ τὰ ὄρη Βαιθὴλ, ἐνταῦθα δὲ, ἐπὶ τὰ ὄρη κοιλωμάτων· τάχα οὖν, τὸ μὲν σημαίνει τὸν περίγειον τόπον, τὸ δὲ τὸν ᾅδην, ἀπὸ τῆς κοιλότητος· ὡς εἶναι τὸ λεγόμενον τοιοῦτον· ἤδη μὲν φύσει ὡμοιώθης ὦ νυμφίε τῷ δόρκωνι καὶ νεβρῷ ἐλάφων ἐπὶ τὰ ὄρη Βαιθὴλ εὐεργετήσας τοὺς τῇδε, καὶ τὰς ἐναντίας δυνάμεις ὑποτάξας· λείπεται δὲ καὶ τοὺς ἐν καταχθονίῳ τόπῳ κατεχομένους διὰ τὸν ἐπὶ πάντας βασιλεύσαντα θάνατον ἀπολαῦσαι τῆς σῆς εὐεργείας, ἔτι δὲ καὶ τὰς ἐκεῖ κρατούσας δυνάμεις τῇ ὀσφρήσει καθάπερ ἔλαφος ἀναμνησάμενος κατάργησον.

Ὠριγένους.

Τὰ πρότερα πρὸς τὰς νεανίδας εἶπεν ἡ νύμφη, τὰ δὲ νῦν πρὸς τὸν νυμφίον· ὥστε τῷ παρόντι καιρῷ ἁρμόττουσαν ἀναλαβεῖν ὁμοιότητα πρὸς μὲν τὸν δόρκωνα, διὰ τὸ διορατικὸν· πρὸς δὲ νεβρὸν ἐλάφων, δι᾽ ἀφανισμὸν τοῦ τῶν ὄφεων γένους· ταῦτα δὲ ποιῶν ἐν τοῖς ὄρεσι τῶν κοιλωμάτων, ἀπόστρεψον λέγουσα, ἐκ τοῦ ἐν μορφῇ ὑπάρχειν θεοῦ· καὶ ἀνάλαβε ταῦτα διὰ τὴν ἀγάπην τὴν πρὸς ἐμὲ τοῖς ἀνθρώποις ἐπιδημῶν· ὧν οἱ πλείους διὰ τὴν κακίαν ἐν κοιλώμασι διατρίβουσιν· ὄρη δὲ κοιλωμάτων, οἱ τῶν κακῶν ὑπερανέχονται δίκαιοι· ἀποστρέψας δὲ ὁ λόγος ὁμοιοῦται, ἐν μὲν τοῖς ἀνακειμένοις τῇ θεωρίᾳ, δόρκωνι· ἐν τοῖς πρακτικωτέροις δὲ καὶ καθαιρετικοῖς τῶν ἀντικειμένων δυνάμεων, ἐλάφων νεβρῷ· τὸ δὲ, ἢ νεβρῷ, παραδιαζευκτικόν· ὁ δὲ Θεοδοτίων εἶπεν, ἐπὶ τὰ ὄρη θυμιαμάτων· οὐδὲν ἧττον τοὺς ἁγίους δηλῶν.

Φίλωνος.

Ἢ καὶ ἀπόστρεψον ἀπὸ τῶν Ἰουδαίων εἰς τὰ ἔθνη· ὄρη δὲ τοὺς δικαίους ἔφη διὰ τὸ ὑψηλὸν· κοιλωμάτων δὲ διὰ τὴν ταπεινοφροσύνην.

Κυρίλλου.

Αἰτεῖ τὸν νυμφίον, τὴν ἄκαρπον ἀπολεῖψαι συναγωγὴν, καὶ ἐλθεῖν ἐπὶ τοὺς ἐκ τῆς κοίλης καὶ τεταπεινωμένης πάλαι καὶ εἰδωλολατρούσης ψυχῆς ἐπὶ οὐράνιον ὕψος ἀναβάντας.

C A P. III.

'Επὶ τὴν κοίτην μϐ ἐν νυξὶν ἐξεζήτησα ὃν ἠγάπησεν ἡ ψυ- V. 1.
χή μου· ἐζήτησα αὐτὸν, καὶ οὐχ εὗρον αὐτόν· ἐκάλεσα αὐτὸν
καὶ οὐχ᾽ ὑπήκουσέ μου· ἀναςήσομαι δὴ καὶ κυκλώσω ἐν τῇ πό- 2.
λει, ἐν ταῖς ἀγοραῖς, καὶ ἐν ταῖς πλατείαις· καὶ ζητήσω ὃν
ἠγάπησεν ἡ ψυχή μου· ἐζήτησα αὐτὸν, καὶ οὐχ᾽ εὗρον αὐτόν·
ἐκάλεσα αὐτὸν, καὶ οὐχ᾽ ὑπήκουσέ μου· εὕροσάν με οἱ τηροῦν- 3.
τες, οἱ κυκλοῦντες ἐν τῇ πόλει· μὴ ὃν ἠγάπησεν ἡ ψυχή μϐ ἴδε-
τε; ὡς μικρὸν ὅτε παρῆλθον ἐπ᾽ αὐτῷ, ἕως οὗ εὗρον ὃν ἠγάπη- 4.
σεν ἡ ψυχή μου· ἐκράτησα αὐτὸν, καὶ οὐκ ἀφῆκα αὐτόν· ἕως
οὗ εἰσήγαγον αὐτὸν εἰς οἶκον μητρός μου καὶ εἰς τὸ ταμεῖον τῆς
συλλαβούσης με.

Γρηγορίου.

Τὸ τῆς νύμφης διήγημα, φιλοσοφίας ἐστί· δι᾽ ὧν τὰ περὶ αὐτὴν διεξέρχεται· ὅπως δεῖ περὶ τὸ θεῖον ἔχειν τοὺς ἐραςὰς τοῦ ὑπερκειμένου κάλλϐς δογματιζούσης· διχῇ γὰρ τέτρηται κατὰ τὴν ἀνωτάτω διαίρεσιν ἡ τῶν ὄντων φύσις· τὸ μὲν γὰρ ἐστιν αἰσθητὸν καὶ ὑλιῶδες, τὸ δὲ νοητὸν καὶ ἄϋλον· πάλιν δὲ τῆς νοητῆς φύσεως διχῇ διῃρημένης, ἡ μὲν ἄκτιστός ἐστι καὶ ποιητική, πάντοτε ὡσαύτως ἔχουσα· ἡ δὲ κτιστὴ, καὶ τῇ μετουσίᾳ τοῦ ὑπερέχοντος ἐν τῷ ἀγαθῷ διὰ παντὸς συντηρεῖται· καὶ πρὸς αὐτὸ αὔξεται καὶ πρὸς τὸ μεῖζον ἀλλοιοῦται· ἀεὶ πρὸς τὸ κρεῖττον ἐπεκτεινομένη, καὶ μηδέ ποτε τῆς ἐφέσεως λήγουσα· ἐπεὶ οὖν καὶ ἡ νύμφη τοσαύταις ἀνόδοις ὑψωθεῖσα, καὶ ἐκ δυνάμεως εἰς δύναμιν πορευομένη, τοῦ ἀκροτάτου τῶν ἀγαθῶν ἐλπίδος τετυχηκέναι ἐδόκει, ἐνδεᾶ δὲ ἑαυτὴν τοῦ ἀγαθοῦ καθεώρα, εἰκότως ἀποδύρεται· καὶ ὡς μήπω σχοῦσα τὸ τῆς προθυμίας προκείμενον ἀμηχανεῖται καὶ δυσχεραίνεται καὶ τὴν τοιαύτην ἀμηχανίαν δημοσιεύει τῷ διηγήματι· καὶ ὅπως εὗρε τὸν ζητούμενον ὑπογράφει τῷ λόγῳ· τὴν μὲν οὖν τελειοτέραν τοῦ ἀγαθοῦ μετϐ-

III. σίαν, κοίτην ὀνομάζει καὶ νύκτα λέγει τὸν τῆς κοίτης καιρόν· διὰ δὲ τοῦ ὀνόματος τῆς νυκτὸς, ἐνδείκνυται τῶν ἀοράτων τὴν θεωρίαν, κατὰ τὸν ἐν τῷ γνόφῳ Μωσέα, ἐν ᾧ ἦν ὁ Θεὸς ὃς ἔθετο σκότος ἀποκρυφὴν αὐτοῦ, κατὰ τὸν προφήτην, κύκλῳ αὐτοῦ· ἐν ᾧ καταστάσα τότε διδάσκεται τοσοῦτον ἀπέχουσα τοῦ ἐπιβῆναι τῆς τελειότητος, ὅσον οἱ μὴ δὲ τὴν ἀρχὴν ἐγχειρήσαντες· ἤδη γάρ φησιν ὡς τῶν τελείων ἀξιωθεῖσα, καθάπερ ἐπὶ κοίτης τινὸς τῆς τῶν ἐγνωσμένων καταλήψεως ἐμαυτὴν ἀναπαύσα· ὅτε τῶν ἀοράτων ἐντὸς ἐγενόμην καταλειποῦσα τὰ αἰσθητήρια· ὅτε περιεσχέθην τῇ θείᾳ νυκτὶ, τὸν γνόφῳ κεκρυμμένον ἀναζητοῦσα, τότε μὲν τὴν ἀγάπην πρὸς τὸ ποθούμενον ἔσχον· αὐτὸ δὲ τὸ ἀγαπώμενον, διέπη τῶν λογισμῶν τὴν συλλαβήν· ἐζήτουν γὰρ αὐτὸν ἐπὶ τὴν κοίτην μου ὥστε γνῶναι τίς ἐν νυξὶν ἡ οὐσία, πόθεν ἔρχεται, εἰς τί καταλήγει, ἐν τίνι ἔχει τὸ εἶναι, ἀλλ᾽ οὐχ᾽ εὗρον· εἶτα φησὶν, ἐκάλεσα αὐτὸν τὸν ἀκατανόμαστον ὡς ἐνῆν ὀνομάζουσα καὶ οὐχ᾽ ἐπήκουσέ μου· οὐ γὰρ ἦν ὀνόματος ἔμφασις ἡ καθικνουμένη τοῦ ζητουμένου· τότε τοίνυν ἔγνων, ὅτι τῆς μεγαλοπρεπείας τῆς δόξης τῆς ἁγιωσύνης αὐτοῦ οὐκ ἔστι πέρας· ὅθεν διανίστησιν ἑαυτὴν καὶ περιπολεῖ τῇ διανοίᾳ τὴν ὑπερκόσμιον φύσιν, ἣν ἐκάλεσε πόλιν, ἐν ᾗ ἀρχαὶ καὶ κυριότητες καὶ οἱ ταῖς ἐξουσίαις ἀποτεταγμένοι θρόνοι ἥ τε τῶν ἐπουρανίων πανήγυρις· ὃ τὸ τῆς πλατείας διασημαίνει ὀνόματι· μὴ εὑροῦσα δὲ ἐν αὐτοῖς τὸ ποθούμενον, καθ᾽ ἑαυτὴν ἐλογίσατο· μὴ ἄρα κᾂν ἐκείνοις ληπτόν ἐστι τὸ παρ᾽ ἐμοῦ ἀγαπώμενον· διὰ δὲ τῆς σιωπῆς ἐνδειξαμένη τὸ ἀκατάληπτον, πᾶν τὸ εὑρισκόμενον ἀφεῖσα μόλις ἔγνω τὸ ζητούμενον, ὡς ἐν τῷ μὴ εὑρίσκεσθαι τί ἐστιν, ὅτι ἐστὶ γινώσκεται· διό φησὶν, ὅτε μικρὸν παρῆλθον ἀπὸ πάσης κτίσεως, πᾶσαν ἀφεῖσα καταληπτικὴν ἔφοδον, τῇ πίστει τὸν ἀγαπώμενον εὗρον· δι᾽ ἧς αὐτὸν καὶ κρατήσω, ἕως ἂν ἐντὸς γένηται τοῦ ἐμοῦ ταμιείου, εἴτουν καρδίας· ἡ τότε γίνεται δεκτικὴ τῆς θείας αὐτοῦ ἐνοικήσεως, ὅταν ἔλθῃ πρὸς τὴν κατάστασιν ἐκείνην ἐν ᾗ τὸ κατ᾽ ἀρχὰς ἦν ὅτε ἐπλάσθην ὑπὸ τῆς

συλλαβούσης μητρός· ἥ τις ἐστὶν ἡ πρώτη τῆς συστάσεως ἡμῶν III. αἰτία.

Νείλου.

Καταστάσεις ἑαυτῆς ἐν αἷς ἐγένετο ἡ νύμφη διηγεῖται τὸν λόγον ζητοῦσα καὶ τὴν τελειότητα καὶ τὴν ἐν τελειότητι ἑπομένην· καὶ ταῦτα φησὶ πρὸς τὴν τῶν λοιπῶν ὠφέλειαν· διδάσκουσι ὅτι οὐκ ἔστι μετὰ ἀναπαύσεως ζητοῦντα τὸ ποθούμενον εὑρεῖν· ἀσκήσει γὰρ τῶν καλῶν ; ῥᾳστώνη πολέμιον· τὸ γὰρ ἐπὶ τὴν κοίτην μου ἐν νυξὶν ἐζήτησα ὃν ἠγάπησεν ἡ ψυχή μου, τοιοῦτον ἐστίν· ὡσανεὶ τῆς νύμφης διηγουμένης ταῖς νεάνισιν, ὅτι ἐνόμισα κοῦφον εἶναι καὶ εὐχερὲς, τὸ κτήσασθαι τὴν ἀρετὴν καὶ τὴν σοφίαν οἰκειώσασθαι· καὶ ἐζήτουν οὐ μετὰ πόνου, ἀλλ᾽ ἀνειμένως καὶ ῥᾳθύμως, καὶ τοῖς σωματικοῖς ὡς κλίνῃ ἐπαναπαυομένῃ· ἐπεὶ δὴ δὲ ἡ ζήτησις αὕτη τῆς καταλήψεως ἠστόχει, μετέβαλον ἐπὶ τὸ ἐργάζεσθαι τὴν ἀρετήν· διὸ εἶπον, ἀναστήσομαι δὴ, καὶ τὰ λοιπὰ, καταλιποῦσα τὴν κλίνην, ἐπὶ τῷ δι᾽ ἔργων ποιήσασθαι τὴν ζήτησιν· ἀλλ᾽ οὐδὲ τοῦτο με πρὸς τὴν εὕρεσιν ὡδήγησε· δέον γὰρ ἐργαζομένης τὰ τῆς ἀρετῆς κρύψαι τὸν πόνον, ἐπιδεικτιῶσα τοῦτον ἐδημοσίευον ἐν πλατείαις, καὶ ἀγοραῖς, τὸν τῶν ἀνθρώπων ἔπαινον θηρωμένη· διὸ οὐδ᾽ οὕτως εὑρεῖν δεδύνημαι· οὐδὲν γὰρ συντελεῖ πρὸς τὴν τῶν ἀγαθῶν κτῆσιν πόνος, ὅταν μετὰ φιλοδοξίας γίνηται· ἀλλ᾽ ὅταν εὗρον αὐτὴν οἱ φύλακες οἱ τηροῦντες ἐν τῇ πόλει· οὗτοι δὲ εἰσὶ λειτουργικὰ πνεύματα διακονοῦντα τῇ σωτηρίᾳ τῶν ἀνθρώπων, ἤτοι διοικήσει τοῦ βίου ἐφεστῶτα· καὶ ἐρωτηθέντες περὶ τοῦ ἀγαπωμένου, σιωπῇ παρῆλθον αὐτὴν ὡς οὐκ ἀξίαν ἀποκρίσεως· ἐκ τῆς ἀποστροφῆς στοχασαμένη ὡς οὐκ ἔστιν αὐτῆς εὐάρεστος ὁ τοιοῦτος βίος, ἐλογίσατο δεόντως μὴ ἀνόνητα μοχθεῖν· μὴ δὲ τὸ τραχὺ τῆς ἀρετῆς ὑπομένουσα, ὑστερίζειν τῆς προκοπῆς διὰ τῶν ὁρώντων ἔπαινον· καὶ οὕτως εὗρε τὸ ζητούμενον· οὐδενὸς ἑτέρου χάριν, ἢ αὐτοῦ τοῦ καλοῦ τὸ ἀγαθὸν ἐργαζομένη· καὶ δικαίως τὸ δίκαιον διώκουσα· ὅθεν καὶ οὐ μετὰ πολὺ, ἀλλ᾽ εὐθέως εὑρηκέναι λέγει· μικρὸν γὰρ

III. ὡς παρῆλθον ἀπ᾽ αὐτῶν, εὗρον ὃν ἠγάπησεν ἡ ψυχή μου· τῷ γὰρ παρελθόντι τὰς προειρημένας καταστάσεις, καὶ φθάσαντι ἐπὶ τὴν τελειότητα, ἀνυπερθέτως εὑρίσκεται ὁ Θεός· συνεργὸν ὡς φῶς τὴν κατάληψιν τοῦ ζητουμένου· ὅπερ γάρ ἐστι φῶς ὀφθαλμοῖς, τοῦτο νῷ ἀλήθεια· μέγα δὲ ἐγκώμιον ἐν τοῖς ἑξῆς εἴρηται τῆς νύμφης, τὸ ἐκράτησα αὐτὸν καὶ ἑξῆς· κτήσασθαι μὲν γὰρ πόνῳ τὸ καλὸν, ἴσως πολλῶν· φυλάξαι δὲ τὴν ἐπιμονὴν, ὀλίγων· οἱ μὲν γὰρ πολλοὶ ὅταν φθάσωσιν ἐπὶ τὸ σπουδαζόμενον, ἢ κόρον λαβόντες αὐτοῦ τῷ χρόνῳ, ἢ περὶ ἕτερα τὴν προθυμίαν ἀποκλίναντες, ἀφίστανται· καὶ μικρὸν ἀμελήσουσιν, ἐκπίπτουσι τῆς ἀρίστης ἕξεως, πολὺν ἀχρειοῦντες πόνον· αὕτη δὲ καμάτῳ εὑροῦσα τὸ ἀγαθὸν, οὐκ ἐνόστησεν εἰς τὰ ὀπίσω, ἀλλ᾽ ἴσην ἐτήρησε τὴν προθυμίαν, ἕως γνησίως ᾠκειώσατο τὸ ποθούμενον· μέχρι τῶν ἐνδοτάτων ταμιείων εἰσοικίσασα τὴν ἀρετὴν, εἰσήγαγεν αὐτὸν οὐκ ἐν προθύροις ἢ προαυλίοις, ἀλλ᾽ ἐν τῷ ταμιείῳ τοῦ οἴκου.

Ὠριγένους.

Περὶ τῶν πρὸ τοῦ γάμου μυστηρίων εἰπὼν, νῦν αὐτὸν διὰ νυκτὸς ἐπὶ τὴν κοίτην καλεῖ· ἀποῤῥητοτέρων ἐθέλων κοινωνεῖν, καὶ τῆς τελειοτέρας μετασχεῖν ἀναπαύσεως· τοῦτο γὰρ ἡ κοίτη· τὸ δὲ ἐν νυκτὶ, ἐν ἡσυχίας καιρῷ, καὶ πόῤῥω τῆς ὄψεως τῶν μὴ τὰ τοιαῦτα θεωρεῖν δυναμένων· δεῖ δὲ ἀγάπῃ τὴν ψυχὴν προτετρῶσθαι τοῦ ἐπὶ τὴν κοίτην ζητοῦντος τὰ τοῦ θείου λόγου βαθύτερα· περιμένειν δὲ τὴν τῆς ποθούσης ἀνάστασιν ὁ ποθούμενος· ὡς ἂν ἐπιτείνας τὸν ἔρωτα κατὰ καιρὸν ἑαυτὸν ἐμφανίσειε τῇ καμούσῃ πλεῖστα παρὰ τὴν ζήτησιν τὴν αὐτοῦ· εἰποῦσα γὰρ ὅτι ἐπὶ τὴν κοίτην μου ἐν νυξὶν ἐζήτησα ὃν ἠγάπησεν ἡ ψυχή μου, καὶ ὅτι ἐζήτησα αὐτὸν καὶ οὐχ εὗρον, ἐπάγει· ἀναστήσομαι δὴ καὶ κυκλώσω· οὐκοῦν ὑπτιασμὸν καὶ τὴν κατάμυσιν ἀποθέμενοι, διαναστῶμεν πειθόμενοι τῷ λέγοντι, ἔγειραι δὴ ὁ καθεύδων· ὅλος δὲ ὁ κόσμος, ἡ πόλις ὃν ἐκπεριελθὼν δεῖ τῇ περὶ αὐτοῦ θεωρίᾳ γινόμενον ἐν ταῖς σοφαῖς διδασκαλίαις· αὐ-

ται γὰρ αἱ ἀγοραί· ὅθεν τί χρήσιμόν ἐςι λαβεῖν, ἀλλὰ καὶ ἐν ταῖς πλατείαις· σοφία γὰρ ἐν ἐξόδοις ὑμνεῖται, ἐν δὲ πλατείαις παῤῥησίαν ἄγει· κεκελεύσμεθα δὲ καὶ ἡμεῖς ἐπὶ τὸ πλάτος τῆς καρδίας ἡμῶν γράψαι· μείζονα δὲ ζητοῦσα ἢ κατ᾽ ἀγορὰς καὶ πλατείας μὴ εὑρηκέναι φησί· πλὴν ὁδεύει ἐπὶ τὴν εὕρεσιν, εὑρισκομένη ὑπὸ τῶν τηρούντων τὴν πόλιν καὶ κυκλούντων αὐτήν· εἶεν ἂν τὰ λειτουργικὰ πνεύματα· οὗτοι εἰσὶν οὓς ἐξαπέστειλε κύριος περιοδεῦσαι τὴν γῆν· ὧν δὴ περὶ τοῦ ποθουμένου πυνθάνεται· οὐκ ἀναγέγραπται δὲ τούτων ἀπόκρισις· διδασκόμεθα δὲ εἰ μέλλοιμεν εὑρεῖν τὸν ποθούμενον, ὀλίγον τί παρελθεῖν, καὶ κρείττυς γενέσθαι τῶν τοιούτων ἀγέλων· περὶ ὧν ἔοικεν ἐν ἐπιστολῇ λέγειν ὁ Πέτρος διδάσκων τὴν ὑπεροχὴν τῶν τοῖς τελείοις ἀποκειμένων· εἰς ἃ ἐπιθυμοῦσιν ἄγγελοι παρακύψαι· ἀγαπητὸν δὲ βραχύ τι τοὺς τοιούτους παρενεγκεῖν, ἵν᾽ εὑρεθῇ τὸ ποθούμενον, καὶ εὑρεθὲν κρατηθῇ, καὶ κρατηθὲν μὴ νοηθῇ· ἀνόνητος γὰρ ἡ κράτησις, εἰ μὴ τὸ νοηθὲν συνεχὴς μελέτη κρατήσειε· διό φησιν, οὐκ ἀφῆκα αὐτὸν, ἕως οὗ εἰσήγαγον αὐτὸν εἰς οἶκον μητρός μου· ἵνα καὶ μετὰ τὴν ἐντεῦθεν ἔξοδον, εἰσέλθοι αὐτῷ εἰς τὸν οἶκον τῆς ἄνω Ἱερουσαλὴμ, ἔνθα εἰσάγῃ τὰ κοινότερα τῶν τοῦ λόγου θεωρημάτων· τὰ δὲ ἀποῤῥητότερα εἰς τὰ ταμιεῖα τῆς συλλαβούσης τὴν νύμφην· ἡ αὐτὴ δὲ μήτηρ καὶ συλλαβοῦσα δηλοῦται, διὰ τὸ ἐν τῇ συλλήψει τὴν ἀρχὴν τῆς συστάσεως εἶναι· μήτηρ δὲ λεγομένη μετὰ τὴν μόρφωσιν, καὶ τὴν τοῦ συλληφθέντος τελείωσιν. III.

Κυρίλλου.

Τὰς γυναῖκας δηλοῖ, τὰς ἐλθούσας μιᾷ σαββάτων ὄρθρου βαθέως ἐπὶ τὸ μνῆμα τοῦ Ἰησοῦ, καὶ μὴ εὑρούσας αὐτόν· τὸ οὖν ἐπὶ τὴν κοίτην, ἢ ἀπὸ κοίτης φησὶν, ἢ κοίτην ἑαυτῆς τὸ τοῦ κυρίου μνῆμα καλεῖ, καθὸ συνθαπτόμεθα αὐτῷ· ἀλλ᾽ οὐχ᾽ εὗρεν αὐτὸν ἀκούσασα, οὐκ ἔστιν ὧδε· ἠγέρθη γάρ· καὶ εὗρον αὐτὴν οἱ τηροῦντες ἄγγελοι, οὓς καὶ ἐρωτᾷ ποῦ τεθήκατε τὸν κύριον· ἀλλὰ παρελθοῦσῃ τοὺς ἐρωτηθέντας, ὑπήντησε λέγων,

III. χαίρετε· διό φησιν ὡς μικρὸν παρῆλθον ἀπ' αὐτῶν ἕως εὗρον· καὶ οὐκ ἀφήσω αὐτόν· ἐκράτησε γὰρ τοὺς πόδας αὐτοῦ, καὶ ἤκουσε μή μου ἅπτου· οἶκον δὲ μητρὸς τὴν συναγωγὴν ἀποστόλων φησί, εἰς ἣν ἀπελθοῦσα εὐαγγελίζετο τοῦ Χριστοῦ τὴν ἀνάστασιν.

5. Ὥρκισα ὑμᾶς θυγατέρες Ἱερουσαλὴμ ἐν ταῖς δυνάμεσι καὶ ἐν ταῖς ἰσχύσεσι τοῦ ἀγροῦ ἐὰν ἐγείρητε καὶ ἐξεγείρητε τὴν ἀγάπην, ἕως ἂν θελήσῃ.

Γρηγορίου.

Πάλιν ὑπὸ φιλαλληλίας, καὶ ταῖς μαθητευομέναις ψυχαῖς διαλέγεται· ἃς ἐν τοῖς ἔμπροσθεν συγκρίσει τοῦ τῆς νύμφης κάλλους τοῦ παρεικασθέντος τῷ κρίνῳ, ἀκάνθας ὁ λόγος ὠνόμασεν· καὶ διὰ τοῦ ὅρκου τῶν ἐν τῷ κόσμῳ δυνάμεων πρὸς τὸ ἴσον τῆς ἀγάπης διανίστησι μέτρον· ὥστε τὸ θέλημα τοῦ νυμφίου καὶ ἐπ' αὐτὸν ἐνεργὸν γενέσθαι· τὰ δὲ λοιπὰ ἐν τῷ φθάσαντι λόγῳ δεδήλωται.

Νείλου.

Τοῦτο δεύτερον ὁρκίζει τὰς θυγατέρας Ἱερουσαλὴμ ἡ νύμφη ἐξεγεῖραι τὴν ἀγάπην πάντως καθεύδουσαν· ἡ δὲ ἔννοια δεδήλωται.

6. Τίς αὕτη ἡ ἀναβαίνουσα ἐκ τῆς ἐρήμου ὡς στελέχη καπνοῦ τεθυμιαμένη; σμύρνα καὶ λίβανος ἀπὸ πάντων κονιορτῶν μυρεψοῦ.

Γρηγορίου.

Ἐν ταῖς κατ' ἀρετὴν προκοπαῖς οὐ πάντοτε τῷ αὐτῷ παραμένουσι χαρακτῆρι, οἱ ἀπὸ δόξης εἰς δόξαν διὰ τῆς τῶν ὑψηλοτέρων ἐπιθυμίαν μεταμορφούμενοι· ἀλλὰ πρὸς τὸν λόγον τῆς ἀεὶ κατορθωθείσης ἑκάστῳ διὰ τῆς τῶν ἀγαθῶν τελειότητος, ἴδιός τις χαρακτὴρ τῷ βίῳ ἐπιλάμπει, ἄλλος ἐξ ἄλλου γενόμενός τε καὶ φαινόμενος, διὰ τῆς τῶν ἀγαθῶν ἐπαυξήσεως· διό μοι δοκοῦσι ξενίζεσθαι πρὸς τὸ φαινόμενον οἱ φίλοι τοῦ νυμφίου· οἳ πρότερον μὲν αὐτὴν ἐγνωκότες καλὴν, ἀλλ' ὡς ἐν γυναιξὶ καλὴν, μετὰ δὲ ταῦτα δι' ὁμοιότητος χρυσίου μετὰ στιγμάτων ἀργυρίου, τὸ κάλλος αὐτῆς ὡραΐζοντες· νυνὶ δὲ μηδὲν τῶν προ-

λαβόντων σημείων περὶ αὐτὴν καθορῶντες, ἀλλὰ τὸ τῶν ὑψη- III.
λοτέρων χαρακτηρίζοντες, θαυμάζουσιν, οὐ μόνον τὴν ἄνοδον ἀλλὰ καὶ ὅθεν ἀνέδραμε· τοῦτο γάρ ἐστιν ὃ καὶ ἐπίτασιν ποιεῖ τῆς ἐκπλήξεως· ὅπερ μέγιστον τῇ νύμφῃ ἐγκώμιον, μαρτυροῦν τὴν πρὸς τὸ κρεῖττον παραλλαγὴν καὶ μετάστασιν· μέλαινα γὰρ ἡμῖν, φησὶν, ἑωρᾶτο πρότερον, αὕτη ἡ ἀναβαίνουσα ἐκ τῆς ἐρήμου· καὶ πῶς τὴν σκοτεινὴν μορφὴν ἀπεδύσατο; πῶς αὐτῇ χιονῶδες ἀπαστράπτει τὸ κάλλος; ἡ ἐρημός ἐστιν ὡς ἔοικεν καὶ αἰτία τούτων, ἡ καθάπερ ἔρνος ἀναθάλλειν αὐτὴν εἰς ὕψος ποιήσασα καὶ πρὸς τὸ τοιοῦτον μεταβάλλουσα κάλλος; ἐξ οἰκείων γὰρ πόνων δι᾽ ἐγκρατείας τὲ καὶ ἐπιμελείας ἐκτήσατο· τοῦτο γὰρ τὸ ἐκ τῆς ἐρήμου ἀναβαίνειν αὐτήν· οὕτω ποτὲ καὶ ἡ τοῦ προφήτου ψυχὴ διψώδης ἐγένετο τῆς θείας πηγῆς, ἐπειδὴ αὐτῷ ἡ σὰρξ ἄβατός τε καὶ ἔρημος καὶ ἄνυδρος γενομένη, τὸ θεῖον δίψος ἑαυτῇ παρεδέξατο· διὰ πολλῶν τοίνυν ὑποδειγμάτων τὸ κάλλος αὐτῆς ἑρμηνεύουσι· ἐπειδὴ δι᾽ ἑνὸς ἅπαν περιληφθῆναι οὐχ᾽ οἷόν τε ἦν· πρῶτον μὲν γὰρ στέλεχι τὴν ὥραν αὐτῆς εἰκάζουσι, καὶ οὐδὲ τοῦτο ἑνί· ἀλλὰ διὰ τοῦ πλήθους τὸ πολυειδὲς καὶ ποικίλον, τῶν ἀρετῶν ὑπογράφουσιν· εἶτα καπνὸς ἐκ θυμιαμάτων, εἰς τὴν εἰκόνα τοῦ κάλλους παραλαμβάνεται· καὶ οὐδὲ οὗτος ἁπλοῦς, ἀλλὰ σμύρνῃ καὶ λιβάνῳ συγκεκραμένος, ὡς μίαν γενέσθαι τῶν ἀτμῶν τὴν χάριν· ὁ τοίνυν μέλλων ἑαυτὸν ἀνατιθέναι τῇ τοῦ θεοῦ θεραπείᾳ, οὐκ ἄλλος ἐσται λίβανος τοῦ θεοῦ θυμιώμενος, τοῦτο γὰρ τῇ τοῦ θεοῦ τιμῇ ἀφιέρωται, εἰ μὴ πρότερον νεκρώσειε τὰ ἐπὶ τῆς γῆς μέλη· ἡ γὰρ σμύρνα πρὸς τὸν ἐνταφιασμὸν τῶν σωμάτων οἰκείως ἔχει· ὧν γενομένων, πᾶν εἶδος τῶν κατ᾽ ἀρετὴν ἀρωμάτων ἐν τῷ κύκλῳ τοῦ βίου, καθάπερ θυσίᾳ τινὶ λεπτυνθέντων τὸν ἡδὺν ἐκεῖνον κονιορτὸν, ὃν ἀναλαβὼν ἐν τῷ ἄσθματι εὔπνους γίνεται τοῦ μεμυρισμένου πνεύματος πλήρης γενόμενος.

Ὠριγένους.

Καλὴ λίαν ἡ ἀναβαίνουσα βίῳ καὶ λόγῳ ψυχὴ, φυγοῦσα τὰ παρὰ τοῖς πολλοῖς ἁμαρτήματα, ἅπερ ἐξ ἐρήμου λέγεται ἀναβαί-

III. νειν· τὸ δὲ τὸν δίκαιον εἶναι Χριστοῦ εὐωδίαν ἐν παντὶ τόπῳ τοῖς σωζομένοις, τεθυμιαμένη νοεῖται παραπλησίως στελέχεσι, καπνὸν ἡδὺν ἀναπέμπουσιν, εὐφραίνοντα τὰς τῶν μακαριζόντων ἀναπνοάς.

Νείλου.

Ἔκπληξιν παρέσχε τοῖς ὁρῶσιν ἡ νύμφη· ὅτι καὶ ἀπὸ ἐρήμου ἀνέβαινε, καὶ ὡς στελέχη καπνοῦ τεθυμιαμένη, καὶ ὅτι οὐκ ἄλλοθεν τεθυμίασται, ἀλλ' ἀπὸ σμύρνης καὶ λεβάνου, καὶ κονιορτῶν μυρεψοῦ· ταῦτα δὲ πάντα σημαίνει τὴν ἀναχώρησιν τῶν γηΐνων· ἡ γὰρ ἀποσχομένη τῆς κακίας ψυχὴ, καὶ τῶν φαύλων πράξεων ἀργίαν ἄγουσα, καὶ τὸν τῶν ζιζανίων σπορέα ἀρνησαμένη ἐν ἐρήμῳ ἐστὶ, προκόπτουσα ἐν τοῖς ἀγαθοῖς ἔργοις δὲ, ἄρχεται ἀναβαίνειν ἀπὸ τῆς ἐρήμου ὡς στελέχη καπνοῦ τεθυμιαμένη· ὡς γὰρ ὁ καπνὸς ἀρξάμενος ἀπὸ τῆς γῆς, στελεχοῦται δὲ ἐπὶ τὸν ἀέρα, ὅμως δέχεται ὡς ῥίζης τῆς συμπεπνιγμένοις τοῖς ξύλοις φλογός· ὅταν δὲ ἐκλίπῃ κάτωθεν ἡ ὕλη, διαζευχθεὶς τῆς γῆς, ὅλως ἀναχωρεῖ τῷ ἰδίῳ μέρει συνανακμιγνύμενος καὶ ἀναστοιχειούμενος εἰς ἑαυτὸν, οὕτως ἡ τῶν γηΐνων ἀναχωροῦσα ψυχὴ, κἂν προκόπτῃ ἐπὶ τὰ οὐράνια, οὐ πρότερον μεθίσταται τελείως ἐπ' αὐτὰ, πρὶν ὁλοσχερῶς ἐκλίπῃ τὰ γήϊνα· τὸ δὲ σμύρναν καὶ λίβανον εἶναι τὴν συναμεμιγμένην εὐωδίαν τῇ στελέχῃ τοῦ καπνοῦ, τὴν νέκρωσιν τοῦ σώματος, καὶ τὸν ἐξ ἐγκρατείας ὑποπιασμὸν δηλοῖ· μεθ' ὧν προκόπτουσα ἐμύριζε τοὺς παρατυγχάνοντας· καὶ ὁ κονιορτὸς δὲ τῶν ἀρωμάτων, σύμφωνός ἐστι τῷ τοῦ κηρύγματος νοήματι· καὶ γὰρ οὗτος ἀπὸ τριβῆς τῆς παχείας γῆς, λεπτὸς ἐπιπολάζει τῷ προσώπῳ ταύτης· κινούμενος δὲ τοῖς τῶν ὁδοιπορούντων ποσὶ μετέωρος αἴρεται, πρὸς ὕψος χωρῶν· ἀλλ' ἐὰν αἱρετικὴ ψυχὴ οὖσα τύχῃ, ἢ τὸ καλὸν διά τι ποιοῦσα καὶ τὸ δι' ἑαυτὸν, κονιορτός ἐστι γῆς, ὀλίγον ὑψουμένη, καὶ πάλιν εὐχερῶς πρὸς τὸν οἰκεῖον καταφερομένη τόπον, διὰ τὴν πρὸς τὰ κάτω προσπάθειαν· ἐὰν δὲ ἐκκλησιαστικῇ πίστει σκοπῷ τῆς πρὸς τὸ θεῖον εὐαρεστήσεως τὸ ἄνω φυτὸν ἔχουσα, κονιορτός

ἐςι μυρεψοῦ, τῇ ὑψηλῇ πολιτείᾳ τὴν τῶν δογμάτων εὐωδίαν ἀνακεκραμμένην ἔχουσα· δύναται δὲ καὶ δογματικῶς περὶ τῆς ἐκκλησίας λέγεσθαι· ἀπὸ ἐρήμȣ γὰρ τῆς μὴ ἐχούσης ἄνδρα, αὕτη ἀνέβη· σμύρναν καὶ λίβανον πνέουσα διὰ τὸ συντετάφθαι Χριςῷ· καὶ διὰ τὸ τὸν κονιορτὸν τῶν κοσμικῶν πραγμάτων τὸ εἰς δέον χρήσασθαι τούτοις, κονιορτὸν ποιῆσαι μυρεψοῦ· καὶ διὰ τὴν εὔλογον χρῆσιν, τὸ κονιορτῶδες μεταβαλεῖν εἰς εὐωδίαν Χριστοῦ· ὁ γὰρ τὰ μὴ ἑςῶτα ἀλλὰ φερόμενα ὑπὸ τῶν ἀνέμων τῆς κοσμικῆς αὔρας, διὰ ἐλεημοσύνην ποιῶν τίμια, τὸν κονιορτὸν τῆς γῆς ἐποίησε κονιορτὸν μυρεψοῦ· τῇ εὐλόγῳ χρήσει τῶν δεομένων, τὸ κονιορτῶδες αὐτῶν καὶ ἐσκεδασμένον, μεταβαλὼν εἰς ἀρωματικὴν εὐωδίαν καὶ φίλινον ὄντως Θεοῦ. III.

Κυρίλλου.

Σμύρνα μὲν, ὅτε συντέθαπται Χριςῷ διὰ τοῦ λιβάνȣ· λίβανος δὲ, ὅτε συναναστὰς αὐτῷ κεκοινώνηκε τῆς θεότητος αὐτοῦ· καὶ οὐ μόνοις τούτοις ἡ ἐκκλησιαστικὴ τεθυμίαςαι ψυχὴ, ἀλλὰ καὶ ποικίλοις γνώσεως θεωρήμασιν· ὁ γὰρ ἄκρως διαιρῶν καὶ μέχρι τοῦ τυχόντος λεπτῶς ἐρευνῶν τὰ πράγματα, λέγοιτ' ἂν μυρεψὸς πῶς εἶναι, λεπτύνων καὶ εἰς κόνιν ἄγων πάντα τὰ τῆς εὐωδίας λόγια· ἃ νῦν ἡ νύμφη λέγεται τεθυμίασται· τάχα δὲ καὶ ὁ μὴ κατὰ σάρκα βιοῦς, ἀλλὰ κατὰ πνεῦμα, μηδαμῶς παχυνθεὶς τὴν καρδίαν τὸ ποικίλον καὶ παντοδαπὸν σῶζον τῆς εὐωδίας, εὐωδίαν ἀπὸ πάντων ποιεῖ τῶν νῦν οὕτως ὀνομαζομένων κονιορτὸν μυρεψοῦ· λέγει δ' ἄν τις καὶ ὡς ἡ ἁγία καὶ ἐκκλησιαστικὴ ψυχὴ, τὸ τέκνον ποτὲ ἐρήμου θεοῦ, ἀπὸ συναγωγῆς ἐθνῶν ἀναβαίνει ἀπὸ τῆς ἐρήμου· καταλιποῦσα μὲν δόγματα καὶ λόγους καὶ πράξεις, τὰ ἔρημα θεοῦ· ἀναβαίνουσα ἐπὶ τὰ τοῦ θεοῦ.

Ἰδοὺ ἡ κλίνη Σαλωμών· ἑξήκοντα δυνατοὶ κύκλῳ αὐτῆς ἀπὸ 7.
δυνατῶν Ἰσραὴλ· πάντες κατέχοντες ῥομφαίαν, δεδιδαγμένοι πό- 8.
λεμον· ἀνὴρ ῥομφαίαν αὐτοῦ ἐπὶ τὸν μηρὸν αὐτοῦ ἀπὸ θάμβους
ἐν νυξίν.

III. Φίλωνος.

Κλίνην τὸ μνῆμα Χριστοῦ λέγει· ἑξήκοντα δυνατοὶ, τὸ πλήρωμα τῆς τελειώσεως οἱ τηροῦντες τὸν τάφον· οἳ καὶ τοῦ σεισμοῦ γενομένου, ἐξεθαμβήθησαν καθ᾽ ἣν ἀνέστη ὁ Χριστὸς νύκτα· δύο δὲ ῥομφαίας ἔχουσιν οἱ τοῦ Χριστοῦ· τὴν μὲν εἴργουσαν τὰ σπερματικὰ, ἥ τις ἐστὶν ἐπὶ μηρῶν, διὰ τὴν τῆς σωφροσύνης ἐγκράτειαν· τὴν δὲ τὰ ψευδῆ διακόπτουσαν δόγματα· ἡ δὲ ῥομφαία, πρὸς τὸ μὴ θαμβεῖσθαι τὸ σκότος.

Γρηγορίου.

Μετὰ τὴν ἐπὶ τῷ κάλλει μαρτυρίαν, οἱ φίλοι τοῦ νυμφίου, καὶ παρασκευασταὶ τοῦ ἁγίου θαλάμου, καὶ τῆς καθαρᾶς νύμφης προμνήστορες, ὑποδεικνύουσιν αὐτῇ τῆς βασιλικῆς κλίνης τὸ κάλλος ὡς μᾶλλον εἰς ἐπιθυμίαν τὴν νύμφην ἀγάγοιεν, τῆς θείας τε καὶ ἀχράντου μετ᾽ αὐτοῦ συμβιώσεως. Ὅτι μὲν οὖν ἐκ τῆς ἱστορίας ὁ περὶ τῆς κλίνης λόγος οὐκ ἔστιν, εὔδηλον ἐκ τῶν σωματικῶς περὶ τοῦ Σαλομῶντος ἱστορηθέντων, οὗ καὶ τὰ βασίλεια καὶ τὴν τράπεζαν, καὶ τὰ λοιπὰ, ὁ λόγος ὑπέγραψεν ἀκριβῶς· καινὸν γάρ τι καὶ παρηλλαγμένον περὶ τῆς κλίνης οὐδὲν εἶπεν· ὥστε ἀνάγκη μὴ παραμεῖναι τῷ γράμματι, ἀλλὰ δι᾽ ἀκριβοῦς κατανοήσεως μεταβαλεῖν τὸν λόγου εἰς πνευματικὴν θεωρίαν, τῆς ὑλικῆς ἐμφάσεως τὸν νοῦν ἀποστήσαντες· ἔοικε τὸ θεῖον κάλλος, ἐν τῷ φοβερῷ τὸ ἐράσμιον ἔχειν, ἀπὸ τῶν ἐναντίων τῷ σωματικῷ κάλλει δεικνύμενον· ἐπειδὴ γὰρ ἡ ἐμπαθὴς τῶν σωμάτων ἐπιθυμία τοῖς τῆς σαρκὸς μέλεσιν ἐγκαθημένη, καθαπέρ τι σύνταγμα λῃστρικὸν ἐνεδρεύει τὸν νοῦν καὶ αἰχμάλωτον ἄγει, πρὸς τὸ ἑαυτῆς βούλημα συναρπάσασα, διὰ τοῦτο ἀκόλουθόν ἐστιν ἐκ τῶν ἐναντίων τῆς σωματικῆς διαθέσεως τὸν θεῖον ἔρωτα γίνεσθαι· ὥστε εἰ ἐκ ταύτης γίνεται λύσις καὶ ἄνεσις καὶ βλακώδης διάθεσις, ἐκεῖ τὴν ἐπὶ φοβόν τε καὶ ἀκατάπληκτον ἀνδρείαν, ὕλην τοῦ θείου ἔρωτος γίνεσθαι· τοῦ γὰρ ἀνδρώδους θυμοῦ τὸν τῆς ἡδονῆς λόγον καταπτοήσαντός τε καὶ φυγαδεύσαντος, οὕτω τὸ καθαρὸν τῆς ψυχῆς ἀναφαίνεται κάλλος, μηδενὶ πάθει σωματι-

κῆς ἐπιθυμίας καταῤῥυπούμενον· οὐκοῦν ἀναγκαίως ἡ νυμφικὴ τοῦ III.
βασιλέως κλίνη, τοῖς ὁπλίταις ἐν κύκλῳ διαλαμβάνεται· ὧν ἡ τοῦ πολεμεῖν ἐμπειρία, καὶ τὸ πρόχειρον ἔχειν ἐπὶ τοῦ μηροῦ τὴν ῥομφαίαν, θάμβος καὶ ἔκπληξιν ἐμποιεῖ τοῖς σκοτεινοῖς λογισμοῖς, τοῖς ἐν νυξί τε καὶ σκοτομήνῃ τοῖς εὐθέσι τῇ καρδίᾳ λαχῶσι καὶ τοξεύουσιν· ὅτι γὰρ ἀναιρετικὴ τῶν ῥυπαρῶν ἡδονῶν λογισμῶν ἐστὶν, ἡ τῶν περιεστοιχισμένων τῇ κλίνῃ ἐξόπλησις, δῆλον ἂν γένοιτο διὰ τῆς ὑπογραφῆς τοῦ λόγου· πάντες γὰρ δεδιδαγμένοι πόλεμον, ἀνὴρ, καὶ ἡ ῥομφαία αὐτοῦ ἐπὶ τὸν μηρὸν αὐτοῦ· ἀληθῶς γὰρ εἰδότων ἐστὶν, ὅπως ἀντιστρατεύεσθαι χρὴ τῇ σαρκί τε καὶ τῷ αἵματι· ἐν τῷ τὴν ῥομφαίαν τῷ μηρῷ ἔχειν ἐφηρμοσμένην· ὁ τοίνυν τῇ τῆς σωφροσύνης ῥομφαίᾳ διεζωσμένος, οὗτός ἐστιν ὁ τῇ ἀφθάρτῳ κλίνῃ ἐράσμιος, εἷς τῶν δυνατῶν Ἰσραὴλ, καὶ τοῦ λόγου τῶν ἑξήκοντα ἄξιος· ἐπειδὴ δὲ Ἰσραὴλ γίνεται ἅπας ὁ σωζόμενος, ἤτοι νοῦς ὁρῶν τὸν θεόν· ὅσοι γὰρ βλέπουσι τὸν θεὸν ἐκ τῆς ἐνεργείας, κυρίως τῇ προσηγορίᾳ ταύτῃ κατονομάζονται· ἴδιον δὲ τοῦ τοιούτου, τὸ μηδενὶ τῶν αἰσθητηρίων πρὸς ἁμαρτίαν βλέπειν· τούτου χάριν μία κλίνη λέγεται γίνεσθαι τοῦ βασιλέως πᾶν τὸ σωζόμενον· δώδεκα γὰρ τῶν τοῦ Ἰσραὴλ φυλῶν ὄντων, ἑνὸς μὲν ἀφ' ἑκάστου μέρους λαμβανομένου τοῦ τῶν ἀριστερῶν πληρώματος· εἰς πᾶν τε δὲ ὁπλίτας κατὰ τὸν ἀριθμὸν τῶν αἰσθήσεων, τοῦ ἑνὸς τούτου μεριζομένου, αἱ δώδεκα φυλαὶ τοῦ Ἰσραὴλ ποιοῦσιν ἑξήκοντα· οἵτινες μία παράταξις, καὶ στρατὸς εἷς, καὶ μία κλίνη, τουτέστιν ἐκκλησία μία, καὶ λαὸς, καὶ νύμφη μία οἱ πάντες γενήσονται, ὑφ' ἑνὶ ταξιάρχῃ καὶ ἐκκλησιαστῇ καὶ νυμφίῳ πρὸς ἑνὸς σώματος κοινωνίαν προσαρμοζόμενοι, διὰ τῶν μηρῶν τὴν ῥομφαίαν προβαλλόμενοι· εἴτ' οὖν ἑκάστῃ αἰσθήσει τὴν πρόσφορον ἑαυτῇ ῥομφαίαν εἰς κατάπληξιν τῶν ἐναντίων λογισμῶν προβαλλόμενοι· τοσοῦτοι τοίνυν οἱ τὴν θείαν ἐν ταῖς αἰσθήσεσιν ἐνδυσάμενοι πανοπλίαν, κυκλοῦντες τοῦ βασιλέως τὴν ἰδίαν δηλονότι καρδίαν, ἐν ᾗ ἀναπαύεται ὁ νυμφίος· διὰ γὰρ τῆς κλίνης τὴν ἀνάπαυσιν

III. δηλοῖ, ἣν ὁπλῖται φυλάττουσιν ἐν ἀπαθείᾳ καὶ καθαρότητι· ὡς ἐκθαμβεῖν τοὺς ἐν σκότῳ καὶ νυξὶν ἐπηρεάζοντας δαίμονας· κλίνη δὲ ἄλλως ἐπίγνωσις θεοῦ, δι' ἧς ἐπαναπαύεται τοῖς πρὸς αὐτὸν ἐγγίζουσι.

Νείλου.

Κλίνην εἴρηκε τὸ κυριακὸν σῶμα· ἑξήκοντα δὲ δυνατοὺς, εἴτε τις τὰς ἁγίας ἐρεῖ δυνάμεις κύκλῳ τοῦ κυριακοῦ ἀνθρώπου, κατὰ τὸ, προσῆλθον καὶ διηκόνουν αὐτῷ· καὶ τοῖς ἀγγέλοις αὐτοῦ ἐντελεῖται περὶ σοῦ· εἴτε τὰς τῶν ἁγίων ψυχὰς τὰς διὰ τὸ δεδιδάχθαι τὸν πόλεμον τὸν κατὰ τοῦ ἐχθροῦ οὕτως ὠνομασμένας, οὐχ ἁμάρτῃ τοῦ προσήκοντος· οἵ τινες ῥομφαίαν ἐπὶ τοῦ μηροῦ κατέχουσιν· οἱ γὰρ καὶ τὸ πρακτικὸν λόγῳ κοσμήσαντες, καὶ τὸ παθητικὸν λόγῳ νεκρώσαντες, εὐλόγως κυκλοῦσι τὸν βασιλέα· τῷ ἑξήκοντα δὲ προσαγορεύονται ἀριθμῷ, τέλειοι κατὰ πάντα γεγενημένοι, καὶ βεβηκότες ἑδραίως καὶ παγίως· κύβος γὰρ καὶ τετράγωνος ἀριθμὸς, ὁ ἑξήκοντα, ἴσος πᾶσι τοῖς ἑαυτοῦ πάντοθεν μέρεσι· καὶ ἀσάλευτος, ἐκ τέσσαρων πέντε καὶ δεκάδων, καὶ ἓξ καὶ δεκάδων, καὶ πεντάδων δὲ καὶ δύο, καὶ τριάδων εἴκοσι συνεστὼς, καὶ τούτων ἔχων τὸ εἰρημένον πάγιον· διὰ τοῦτο γὰρ ὄντες τοιοῦτοι καὶ ἀπὸ δυνατῶν Ἰσραὴλ ἐξελέγησαν ὡς δυνατῶν δυνατώτεροι· τάχα δὲ καὶ οἱ νῦν προασπίζοντες τῆς ἐκκλησίας, καὶ λόγῳ καὶ πράξεσιν ὑπερμαχοῦντες τοῦ σώματος Χριστοῦ, κύκλῳ εἰσὶ τῆς κλίνης τοῦ Σαλομών· διὰ μὲν τοῦ ἀνθίστασθαι τῷ λόγῳ τοῖς αἱρετικοῖς, ἐν τῇ χειρὶ κατέχοντες ῥομφαίαν· διὰ δὲ τοῦ σωφρόνως καὶ ἐγκρατῶς βιοῦν, ἐπὶ μηροῦ τὴν ῥομφαίαν φοροῦντες διὰ τοὺς νυκτερινοὺς φόβους· ἀνὴρ γάρ φησι ῥομφαία αὐτοῦ ἐπὶ τὸν μηρὸν αὐτοῦ ἀπὸ θάμβους ἐν νυξίν· οὐ μόνον γὰρ τοὺς φανεροὺς ἐχθροὺς ἔβαλλον τοῖς τῆς ἀληθείας ἐλέγχοις, ἀλλὰ καὶ τὰς λαθραίως δεδοικότες ἐπηρείας, διὰ τοὺς ἐν σκοτομήνῃ τοξεύοντας, καὶ ἐν νυκτὶ ἔμενον ὁπλοφοροῦντες, τὰς ἐνεδρείας τῶν ἐπιβούλων ὑφορώμενοι.

9. Φορεῖον ἐποίησεν ἑαυτῷ ὁ βασιλεὺς Σαλομὼν, ἀπὸ ξύλων τοῦ

Λιβάνου· στύλους αὐτοῦ ἐποίησεν ἀργύριον, καὶ ἀνάκλιτον αὐ- III.
τοῦ χρυσίον· ἐπίβασις αὐτοῦ πορφύρα, ἐντὸς αὐτοῦ λιθόστρω- 10.
τον· ἀγάπην ἀπὸ θυγατέρων Ἱερουσαλήμ.

Θεοφίλου.

Ξύλον τοῦ Λιβάνου, Ῥοὺθ ἡ μωαβῖτις, ἐξ οὗ Ἰεσσαί· φορεῖον τοίνυν ἐστὶ τὸ σῶμα τὸ κυριακόν.

Γρηγορίου.

Ὅτι μὲν οὖν ἐν πολλοῖς Σαλομὼν, εἰς τύπον τοῦ ἀληθινοῦ βασιλέως παραλαμβάνεται, δῆλον καὶ τὸ περὶ τοῦ κυρίου μυστήριον ἐν ἐκείνῳ τῷ προσώπῳ διαγράφεται· διὰ τῆς τοῦ φορείου τοίνυν κατασκευῆς, ἡ περὶ ἡμῶν οἰκονομία τοῦ κυρίου διασημαίνεται· πολυτρόπως γὰρ ὁ θεὸς ἐν τοῖς ἀξίοις ἑαυτοῦ γίνεται· καθὼς ἂν ἕκαστος ἔχῃ δυνάμεώς τε καὶ ἀξίας, οὕτως ἐν ἑκάστῳ γινόμενος· ἢ ἵππος εὐήνιος δεχόμενος ἐφ' ἑαυτοῦ τὸν ἀγαθὸν ἀναβάτην· οὕτως οὖν καὶ ὁ τὸν θεὸν ἑαυτῷ φέρων, φορεῖον ἂν εἰκότως τοῦ εἰρηνικοῦ βασιλέως ὀνομάζοιτο· πολλαχοῦ δὲ πάλιν ὁ Λίβανος ἐν τῇ γραφῇ τὴν ἀντικειμένην ἐνδείκνυται δύναμιν· ὡς ἐν τῷ, συντρίψει κύριος τὰς κέδρους τοῦ Λιβάνου, καὶ λεπτυνεῖ αὐτὰς, καὶ τὰ ἑξῆς· δηλοῦντος τοῦ λόγου, ὅτι οὐ μόνον τὰ ἐκφυέντα παρὰ τῆς ἀντικειμένης δυνάμεως κακὰ, ἀλλὰ καὶ αὐτὸ τὸ ὄρος, ἡ πρώτη τοῦ κακοῦ ῥίζα, τὸ ὑποτρέφον τῶν τοιούτων κέδρων τὴν ὕλην εἰς τὸ μὴ ὂν περιστήσεται. Οὐκοῦν ἡμεῖς ἦμεν ποτὲ τοῦ Λιβάνου ξύλα, ἕως ἂν ἐκείνῳ ἦμεν ἐριζωμένοι, διά τε τοῦ πονηροῦ βίου καὶ τῆς τῶν εἰδώλων ἀπάτης· ἀλλ' ἐπειδὴ ἐκεῖθεν ὑπὸ τῆς λογικῆς ἀξίνης ἐτμήθημεν, καὶ ἐν ταῖς τοῦ τεχνίτου χερσὶν ἐγενόμεθα, φορεῖον ἡμᾶς ἑαυτοῦ ἐποίησε, μεταστοιχειώσας τοῦ ξύλου τὴν φύσιν, διὰ τῆς παλιγγενεσίας εἰς ἀργύριον καὶ χρυσίον, καὶ εἰς εὐανθῆ πορφύραν, καὶ εἰς τὰς τῶν χαρισμάτων διανομάς· ᾧ μὲν γὰρ δίδοται κατὰ τὸν ἀπόστολον λόγος σοφίας, ἄλλῳ χαρίσματα προφητείας, ἄλλῳ δὲ ἄλλό τι τῶν ἐνεργημάτων, πρὸς ὃ πέφυκέ τε καὶ δύναται ἕκαστος τὴν χάριν δέξασθαι· ἡ ὀφθαλμὸς τοῦ σώματος τῆς ἐκκλησίας γενόμενος

III. ἢ εἰς χεῖρας τασσόμενος, ἢ ἀντὶ ποδὸς ὑποστηρίζων· οὕτω καὶ ἐν τῇ τοῦ φορείου κατασκευῇ, ὁ μέν τις ςύλος, ὁ δὲ ἐπίβασις γίνεται, ἕτερος τὸ πρὸς τῇ κεφαλῇ μέρος, ὃ ἀνάκλιτον φησίν· εἰσὶ τοίνυν ἀργύρεοι μὲν, οἱ ςύλοι τοῦ φορείου· αἱ δὲ τούτων βάσεις, πορφύρα· ἐκ χρυσίȣ δὲ τὸ ἀνάκλιτον, ἐν ᾧ τὴν κεφαλὴν αὐτοῦ κλίνει ὁ νυμφίος· τοῖς δὲ τιμίοις λίθοις τὸ ἔνδον ἅπαν καταπεποίκιλται· οὐκοῦν ςύλȣς μὲν νοητέον, τῆς ἐκκλησίας τοὺς στύλους· οἷς ἀκριβῶς ἀργύριον καθαρὸν καὶ πεπυρωμένον ὁ λόγος ἐστὶν ὁ τῆς βασιλείας, ἐν τῷ ὑψηλῷ τῆς πολιτείας ἐπιβεβηκώς· ἐξαίρετον γὰρ γνώρισμα τῆς βασιλείας ἡ πορφύρα νομίζεται· τὸ δὲ ἡγεμονικὸν αὐτῶν ἐν ᾧ τὴν κεφαλὴν αὐτοῦ κλίνει ὁ τὸ φορεῖον κατασκευάσας, τὸ τῶν καθαρῶν δογμάτων χρυσίον ἐστίν· ὅσα δὲ ἀφανῆ τε καὶ κρύφια τῇ καθαρᾷ συνειδήσει τῶν τιμίων λίθων ἐνωραΐζεται· δι' ὧν ἁπάντων, ἀγάπη ἀπὸ τῶν θυγατέρων Ἱερȣσαλὴμ συνίςαται· εἰ δὲ βούλοιτό τις, φορεῖον μὲν πᾶσαν λέγει τὴν ἐκκλησίαν, καταμερίζει δὲ καὶ τὰς τῶν ἐνεργειῶν διαφορὰς εἰς πρόσωπα τινὰ τοῦ φορείȣ τὰ μέλη, πολλὴν καὶ οὕτως εὐκολίαν ὁ λόγος ἔχει, ἑκάςῳ τάγματι τῶν κατὰ τὴν ἐκκλησίαν τεταγμένων, ἐφαρμόσαι τοῦ φορείȣ τὰ μέρη· ἔθετο γὰρ ὁ θεὸς ἐν τῇ ἐκκλησίᾳ, πρῶτον ἀποστόλȣς, δεύτερον προφήτας, καὶ τὰ ἑξῆς· ὡς διὰ τῶν ὀνομάτων τούτων, τῶν πρὸς τὴν τοῦ φορείȣ κατασκευὴν συντελούντων, ἱερέας νοεῖσθαι, καὶ διδασκάλους, καὶ τὴν σεμνὴν παρθενίαν, τὴν ἐντὸς τοῦ φορείου τῇ καθαρότητι τῶν αὐγῶν, οἷόν τισι λίθων αὐγαῖς ἐναςράπτουσαν· καὶ διὰ τῆς τοῦ βίου καθαρότητος τῆς ἄνω Ἱερουσαλὴμ θυγατέρας δείκνυσθαι, ἐν αἷς ἡ τοῦ θεοῦ ἀγάπη ἐνεργὸς γίνεται.

Νείλου.

Τὸ φορεῖον, σκεῦος θρόνῳ παραπλήσιον δεχόμενον τὸν καθεζόμενον· τοῦτο δὲ τάχα ὁ Παῦλος ἐστὶ τὸ σκεῦος τῆς ἐκλογῆς· καὶ γὰρ θρόνον αὐτὸν καλεῖ ἡ σοφία λέγȣσα ἀλλαχοῦ· συμπαρήμην ἡνίκα ἀφώριζε τὸν ἑαυτοῦ θρόνον ἐπ' ἀνέμων· ἐπ' ἀνέμων δὲ ἀφωρίσθη, διὰ τὸ πλῆθος τῶν πειρασμῶν καὶ τῶν πε-

ριστάσεων· ἢ καὶ διὰ τὸ κούφοις ποσὶ περιδραμεῖν τὴν οἰκουμένην τῇ σπουδῇ τοῦ κηρύγματος. Φορεῖον οὖν ἐστιν οὗτος, τὸν III.
μὲν νοῦν ἔχων ἀνάκλιτον χρύσεον, ἐφ' οὗ ἀναπαύεται ὁ νυμφίος· τὸν δὲ λόγον στύλους ἀργυρίου· τῷ γὰρ ἀποστολικῷ λόγῳ στηρίζεται τὸ κήρυγμα τὸ ἐκκλησιαστικόν. Στῦλοι οὖν οἱ λόγοι, διὰ τὸ ἑδραῖον καὶ ἀμετάθετον· ἀργύρεον δὲ διὰ τὸ δόκιμον καὶ ἀνεπίληπτον τοῦ ἀποστόλου· καὶ ἡ ἐπίβασις δὲ τούτων ἐστὶ πορφύρα· οἱ γὰρ διὰ τῶν τούτου λόγων ὁδεύοντες εἰς βασιλείαν φθάνουσιν οὐρανῶν, τῷ ἀξιώματι ἐπιβαίνοντες ὡς πορφύρα, καὶ λέγοντες μετὰ τοῦ Παύλου, ἡμῶν δὲ τὸ πολίτευμα ἐν οὐρανῷ ὑπάρχει· καὶ τὸ ἐντὸς αὐτοῦ λιθόστρωτον, ἡ τιμία τῶν ἀρετῶν καὶ καλὴ ἐν ἀπορρήτῳ διάθεσις· ἃς ὅταν μὲν θεμέλιός ἐστιν ὁ Χριστὸς, ὡς λίθους τιμίους τούτῳ ἐποικοδομεῖ· ὅταν δὲ βάσις τῷ τοῦ φορείου ἐδάφει ψηφολογῇ, ποικίλην καὶ εὐανθεστάτην τοῖς βασιλικοῖς ποσὶ κατασκευάζει τὴν ἐπίβασιν· καὶ τοῖς πολιτευομένοις κατὰ τὴν ἀποστολικὴν παράδοσιν, εὐμαρῆ καὶ λείαν τὴν προκοπὴν ἐργαζόμενος· ἢ τάχα καὶ τὸ ἀνεπίφαντον καὶ ἀτράγῳδον δηλοῖ· τὴν γὰρ τοῦ ἐναρέτου πολιτείαν κρυφαίαν εἶναι βούλεται· ὅθεν καὶ διὰ τοῦ ἐντὸς εἰπεῖν, τὸ ἀδημοσίευτον ἐδήλωσε τῆς ἀρετῆς· καὶ ἀγάπην δὲ συγκατασκευάσθαι φησὶ τῇ τοῦ φορείου κατασκευῇ· χωρὶς γὰρ ταύτης οὐδὲν τῶν λοιπῶν ἀρετῶν ὄφελος· ἀπὸ ξύλων δὲ τοῦ Λιβάνου ἐστὶ τὸ φορεῖον ἐκ τῶν κατὰ σάρκα συγγενῶν αὐτοῦ Ἰσραηλιτῶν· τούτους γὰρ ὁ Λίβανος σημαίνει. Φορεῖον Σαλομὼν, οἱ ἅγιοι ἐν οἷς Χριστὸς ἀναπαύεται· ξύλα δὲ Λιβάνου οἱ ἀπὸ Ἰσραὴλ τροπικῶς· ἀλλ' ὅταν μὲν συντρίβει κύριος τὰς κέδρους τοῦ Λιβάνου καὶ λεπτύνει αὐτὰς ὡς τὸν μόσχον τὸν Λίβανον, περὶ τῶν μὴ τηρησάντων λέγει τὴν θεοσέβειαν ἐν ᾗ κατεφυτεύθησαν· περὶ ὧν καὶ Ἡσαΐας, ὁ δὲ Λίβανος σὺν τοῖς ὑψηλοῖς πεσεῖται· ὅταν δὲ διὰ τὴν τοῦ ναοῦ κατασκευὴν λέγει τῷ Χειρὰμ ὁ Σαλομὼν, καὶ νῦν ἔντειλαι καὶ κοψάτωσάν μοι ξύλα τοῦ Λιβάνου, περὶ τῶν ἀναφερομένων ὁ λόγος ἐπὶ τὴν πνευματικὴν ἐκ λίθων ζώντων οἰκοδομὴν, τοῖς

III. ζῶσι λίθοις ἀναλογούντων ξύλων· ὡς δὲ λόγῳ κεκοσμημένοι ἀργύριον λέγονται· εἰσὶ δὲ καὶ ἀνάκλιτον τοῦ ἀναπαυομένȣ λόγȣ, καὶ ἔχοντος ποῦ τὴν κεφαλὴν κλῖναι· τὸ δὲ χρυσίον ὁ νοῦς· ὁπηνίκα δὲ τυχὸν ὁ Παῦλος ἀπὸ τῶν ἐν ταῖς περιςάσεσι καμάτων μὴ νικηθῇ, οἱονεί τινι βαφῇ ἑαυτῷ πορίζεται νηχόμενος· πρέπȣσαν πορφύραν τῷ ἐν αὐτῷ βασιλεῖ λόγῳ ἐντρυφῶντι τῇ τῶν ἀποστόλων περὶ τὰς περιστάσεις ὑπομονῇ· τὸ δὲ ἐν τοῖς τοῦ φορείου λιθόστρωτον ἔστρωται, ἐξ ὧν ἕκαστος ἑαυτῷ συνάγει λίθων τιμίων ἐπικοδομῶν χρυσὸν ἄργυρον καὶ λίθους τιμίους.

Κυρίλλου.

Ἡ πνευματικὴ δὲ συνάφεια νοείσθω χρυσίον, ἡ τιμία καὶ θεία· καὶ τὴν κατὰ τὴν ἔρημον γὰρ κιβωτὸν ἔσωθεν καὶ ἔξωθεν, χρυσίον ὑπείληφεν εἰς ἐμφάνειαν τῆς θείας ἑνώσεως· ἐπιβαίνει δὲ πορφύρα τῷ πλήθει τῶν εἰς βασιλείαν κληθέντων· ἐπ᾽ ἂν δέ τις πιστεύσῃ, δέχεται τῇ καρδίᾳ Χριστὸν, ὅς ἐστι τίμιος μαργαρίτης· ἀλλὰ καὶ τὸ φορεῖον φησὶν, ἐκ τῶν θυγατέρων πεποίηται τῆς Ἱερουσαλὴμ διὰ μόνην ἀγάπην· οὕτω γὰρ ἠγάπησεν ὁ θεὸς τὸν κόσμον, ὥστε τὸν μονογενῆ αὐτοῦ ἀπέστειλεν υἱόν· ἵνα πᾶς ὁ πιςεύων εἰς αὐτὸν μὴ ἀπολῆται ἀλλ᾽ ἔχῃ ζωὴν αἰώνιον.

11. Ἐξέλθετε καὶ ἴδετε θυγατέρες Σιὼν ἐν τῷ βασιλεῖ Σαλομὼν, ἐν τῷ στεφάνῳ ᾧ ἐστεφάνωσεν αὐτὸν ἡ μήτηρ αὐτοῦ ἐν ἡμέρᾳ νυμφεύσεως αὐτοῦ καὶ ἐν ἡμέρᾳ εὐφροσύνης καρδίας αὐτοῦ.

Κυρίλλου.

Ἐξ ἐθνῶν ἐκκλησία φησὶ τὸ ἐξέλθετε καὶ ἴδετε· ἡμέραν δὲ νυμφεύσεως, τὴν ἡμέραν τοῦ πάθȣς καλεῖ· καθ᾽ ἣν ἐνυμφεύσατο τὴν ἐκκλησίαν διὰ τοῦ αἵματος αὐτοῦ.

Φίλωνος.

Ἐξέλθετε, φησὶ, τῆς κακίας τοῦ νόμȣ· ἴδετε Χριςὸν καὶ τὸν ἐξ ἀκανθῶν στέφανον ὃν ἐπέθηκεν αὐτῷ ἡ συναγωγὴ, ἐξ ἧς τὸ κατὰ σάρκα Χριςός· ἡμέρα μία ἐπεθύμησα τὸ πάσχα τοῦτο φαγεῖν μεθ᾽ ὑμῶν.

Γρηγορίου. ΠΙ.

Προτροπὴν ὁ λόγος οὗτος περιέχει πρὸς τὰς θυγατέρας Ἱερυσαλὴμ παρὰ τῆς νύμφης τῶν σαρκινῶν ἐξελθεῖν, αἵ τινες νοεῖντο ἂν καὶ τῶν σωζομένων ψυχαί· ἕως πότε, φησὶν, ἐν τῷ σπηλαίῳ τοῦ βίου συγκλείεσθε, ἐξέλθετε τῶν προκαλυμμάτων τῆς φύσεως, καὶ ἴδετε τὸ θαυμαστὸν θέαμα, Σιὼν θυγατέρες γινόμεναι, ὥςε ἀπὸ σκοπιᾶς ὑψηλῆς, οὕτω γὰρ ἡ Σιὼν ἑρμηνεύεται, δυνηθῆναι θεάσασθαι ςεφανηφοροῦντα τὸν νυμφίον· ςέφανος δὲ αὐτῷ ἡ ἐκκλησία γίνεται, διὰ τῶν ἐμψύχων λίθων τὴν κεφαλὴν ἐν κύκλῳ διαλαμβάνουσα· στεφανηπλόκος δὲ τοῦ τοιούτου στεφάνου ἡ ἀγάπη ἐςίν· ἣν εἴτε ἀγάπην, εἴτε μητέρα τίς λέγει, οὐχ' ἁμαρτήσεται· θεὸς γάρ ἐςιν ἀγάπη κατὰ τὴν Ἰωάννου φωνήν· οὐδὲν δὲ διαφέρει ἐπὶ θεοῦ λεγόμενον· οὔτε γὰρ ἄῤῥεν, οὔτε θῆλυ τὸ θεῖον· πῶς γὰρ ὁπόταν οὐδὲ ἡμῖν τοῖς ἀνθρώποις τοῦτο εἰς τὸ διηνεκὲς παραμένῃ, ἀλλ' ὅταν ἐν Χριστῷ ἓν πάντες γενόμεθα, τὰ σημεῖα τῆς διαφορᾶς ταύτης μετὰ ὅλου τοῦ παλαιοῦ ἀνθρώπου συνεκδυόμεθα· κἂν τῷ εὐαγγελίῳ ὁ πατὴρ λέγεται ποιεῖν τῷ υἱῷ τοὺς γάμους· καὶ ὁ προφήτης φησὶν, ὅτι ἔθηκας ἐπὶ τὴν κεφαλὴν αὐτοῦ στέφανον· ἐνταῦθα δὲ παρὰ τῆς μητρὸς φησὶ ἐπιτεθεῖσθαι τῷ νυμφίῳ τὸν ςέφανον· ἐπεὶ οὖν εἷς ἐστιν ὁ γάμος καὶ μία ἡ νύμφη, καὶ παρ' ἑνὸς ἐπιβάλλεται τῷ νυμφίῳ ςέφανος, οὐδὲν διαφέρει ἢ υἱὸν θεοῦ τὸν μονογενῆ λέγειν θεὸν, ἢ υἱὸν τῆς ἀγάπης αὐτοῦ· μιᾶς οὔσης καθ' ἑκάτερον ὄνομα τῆς νυμφοστολούσης αὐτὸν ἐπὶ τῇ ἡμετέρᾳ συνοικήσει δυνάμεως· ἐνευφραίνεσθαι δὲ τούτῳ τῷ στεφάνῳ λέγει αὐτὸν ἡ νύμφη τῷ νυμφικῷ κόσμῳ ἐναγαλλόμενον· χάριτι γὰρ ὡς ἀληθῶς σύνοικον ἑαυτοῦ τὴν ἐκκλησίαν ποιησάμενος, ταῖς ἀρεταῖς διαπρεπόντων ἐν αὐτῇ στεφανούμενος εὐφραίνεται.

Νείλου.

Τίς μὲν ὁ ταῦτα λέγων, ἄδηλον· ἴσως δὲ οἱ τοῦ νυμφίου φίλοι· πλὴν ὃς ἂν ᾖ, τοὺς ἀπὸ ἐθνῶν καλεῖ· Σιὼν γάρ ἐστιν ἡ τούτων μήτηρ ἡ τὸν τοῦ Χριςοῦ νόμον βλαςήσασα· ὁ μὲν γὰρ

III. πρότερος νόμος, ἀπὸ Σινᾶ, ὁ δὲ δεύτερος ἀπὸ Σιών· ἐπειδὴ τοίνυν ἐν σκότει καὶ σκιᾷ θανάτου ἐκάθητο τὰ ἔθνη, προσκαλεῖται αὐτοὺς τάχα ὁ ταῦτα εἰρηκὼς προφήτης λέγων· ὁ λαὸς ὁ καθήμενος ἐν σκότει ἐξέλθετε καὶ ἴδετε· τί δὲ, ἐπιφέρει θαυμάζων τὸ τόλμημα· ἐν τῷ στεφάνῳ ᾧ ἐστεφάνωσεν αὐτὸν ἡ μήτηρ αὐτοῦ ἐν ἡμέρᾳ νυμφεύσεως αὐτοῦ· ἡμέρα δὲ νυμφεύσεως τοῦ Χριστοῦ, καὶ ἡμέρα εὐφροσύνης καρδίας αὐτοῦ ἦν, ἡ τοῦ σταυροῦ ἡμέρα, ἐν ᾗ τὴν ἐξ ἐθνῶν ἐκκλησίαν ὡς νύμφην ἔλαβε μεμνηστευμένην αὐτῷ διὰ τῶν προφητῶν· ὁρῶν οὖν τὴν πολλάκις εὐηργετημένην συναγωγὴν ὁ προφήτης, οὐ δικαίας ἀμοιβὰς ἀποδιδοῦσαν τῷ Χριστῷ, ἀλλ' ἀκάνθινον ἐπιθεῖσα στέφανον τῇ κεφαλῇ, ἐκπληττόμενος ἐπὶ τῷ τοιούτων παρανομήματι φησίν· ἐξέλθετε καὶ ἴδετε ἐν τῷ βασιλεῖ Σαλομὼν, ἐν τῷ στεφάνῳ ᾧ ἐστεφάνωσεν αὐτὸν ἡ μήτηρ αὐτοῦ· μητέρα δὲ αὐτὴν λέγει Χριστοῦ, ἐπειδὴ ἐξ ἐκείνης κατάγεται καὶ τῇ γενεαλογίᾳ καὶ τῇ κατὰ σάρκα οἰκονομίᾳ.

CAP. IV.

v. 1. Ἰδοὺ εἶ καλὴ ἡ πλησίον μου, ἰδοὺ εἶ καλὴ οἱ ὀφθαλμοί σου περιστεραὶ, ἐκτὸς τῆς σιωπήσεώς σου.

Γρηγορίου.

Διὰ τῆς προτροπῆς τῶν προειρημένων τῆς νύμφης τὴν φιλανθρωπίαν ὁ λόγος ἀποδεξάμενος, ὅτι κατὰ μίμησιν τοῦ δεσπότου καὶ αὐτὴ θέλει πάντας σωθῆναι καὶ εἰς ἐπίγνωσιν ἀληθείας ἐλθεῖν, ὅλην ἀποσεμνύνει, καὶ θαυμάζει τὸ κάλλος, ἐμφιλοχωρῶν τῷ λόγῳ τοῖς καθ' ἕκαστον μέλεσιν· ἴδιον ἑκάστῳ μέλει διὰ συγκρίσεως τε καὶ ὁμοιώσεως χαριζόμενος τὸ ἐγκώμιον· καλὴ οὖν φησὶ πρὸς αὐτὴν ὁ λόγος, τῇ ἀγαθῇ προαιρέσει τῷ καλῷ προσεγγίσασα· πλησίον δὲ αὐτὴν καλεῖ, διὰ τὸ μεμιμῆσθαι τὴν αὐτοῦ φιλανθρωπίαν, καὶ ἐγκελεύσασθαι ταῖς λοιπαῖς ψυχαῖς καταλιπεῖν τὰ πρόσκαιρα, καὶ ἐξελθοῦσαν ἰδεῖν τὸν νυμφίον στε-

φανηφοροῦντα· διὰ δὲ τῆς ἐπαναλήψεως τοῦ ἐπαίνȣ τὸ ἄψευςον IV. τῆς μαρτυρίας ἐνδείκνυται· ἐν γὰρ τῇ διπλῇ μαρτυρίᾳ βεβαιοῦσθαι τὴν ἀλήθειαν ὁ θεῖος ἀποφαίνεται λόγος· ἐπειδὴ δὲ ἓν σῶμα ἡ ἐκκλησία, ἐν δὲ τῷ ἑνὶ σώματι μέλη πολλὰ, οὐ τὴν αὐτὴν ἔχοντα πρᾶξιν, τούτȣ χάριν ὁ ἀκριβὴς τοῦ κάλλȣς δοκιμαςὴς, τῶν ἀρεσάντων αὐτῷ μελῶν ἐξ ὅλου τοῦ σώματος, ἴδιόν τε καὶ πρόσφορον ἑκάστου ποιεῖται τὸν ἔπαινον· ἄρχεται δὲ ἀπὸ τῶν ὀφθαλμῶν· οὗτοι δ᾽ ἂν εἶεν, οἷον ὁ Σαμουὴλ, ὁ βλέπων γὰρ ὀνομάζετο· καὶ ὁ Ἰεζεκιὴλ, ὁ σκοπεύειν ὑπὸ θεοῦ τεταγμένος ἐπὶ τῇ τῶν φυλασσομένων παρ᾽ αὐτοῦ σωτηρίᾳ· καὶ Μιχαίας ὁ ὁρῶν, καὶ Μωσῆς ὁ θεώμενος, καὶ διὰ τοῦτο θεὸς ὠνομασμένος· ὀφθαλμοὶ πάντες ἐκεῖνοι οἱ εἰς ὁδηγίαν τοῦ λαοῦ τεταγμένοι, οἳ καὶ ὁρῶντες ὠνομάζοντο· καὶ νῦν δὲ οἱ τῆς ἐκκλησίας προεστῶτες, οἱ τὸν αὐτὸν ἐκείνοις τρόπον ἐπέχοντες, καὶ πρὸς τὸ φῶς τῆς ἀληθείας τὸ λοιπὸν σῶμα καθοδηγοῦντες· περιςεραὶ δὲ, φησὶν, εἴτȣν πνευματικοὶ καὶ πρὸς οὐδὲν βλέποντες ὑλικόν· ἢ καὶ τὴν ἀκεραιότητα διὰ τούτων ἠνίξατο. Ἡ δυὰς τῶν ὀφθαλμῶν ἐπαινεῖται ὡς ἂν ὁ λόγος γένοιτο ἐν ἐπαίνῳ ὁ ἄνθρωπος ὁ φαινόμενός τε καὶ νοούμενος· διὰ γὰρ τοῦτο φησὶν, ἐκτὸς τῆς σιωπήσεώς σȣ· τοῦ γὰρ ἀγαθοῦ βίου, τὸ μὲν ἀνθρώποις πρόδηλον, τὸ δὲ μόνῳ θεῷ· μαρτυρεῖ τοίνυν ὁ τὰ κρυπτὰ βλέπων, πλέον εἶναι τοῦ ὁρωμένου τὸ σιωπώμενον.

Νείλου.

Ἐκτὸς τῆς σιωπήσεως προσέθηκε· τὰ γὰρ πνευματικὰ θεωροῦσα, μᾶλλον ἂν ἦς καλὴ καὶ λέγουσα αὐτά· σιωπῶσα δὲ ἐξ ἡμισείας εἶ καλὴ, τὰ πρὸς ὠφέλειαν τῶν πολλῶν ἡσυχάζουσα, κᾂν μετριάζουσα τοῦτο ποιῇς· κρύπτειν μὲν γὰρ ἔργον ἀρετῆς καλὸν, ὅταν ἡ πρόθεσις ῥέπῃ ἐπὶ τὸ φιλόδοξον· λόγον δὲ τοὺς ἀκούοντας οἰκοδομεῖν δυνάμενον, οὐχ᾽ ἡσυχαςέον κᾂν πρὸς ἔπαινον οὐ δεόντως ὁ τοῦ λέγοντος βλέπῃ σκοπός.

Κυρίλλου.

Ἡ σιωπὴ αὐτῆς σημαίνει τὴν εἰς ἅπαν ὑπακοὴν κατὰ τὸ, σιώπα καὶ ἄκουε Ἰσραήλ.

IV. Τρίχωμά σου ὡς ἀγέλαι τῶν αἰγῶν, αἳ ἀνέβησαν ἀπὸ τοῦ Γαλαάδ.

Γρηγορίου.

Διὰ τούτων τὴν ἐνάρετον πολιτείαν ἐν ἐπαίνῳ ποιεῖται ὁ λόγος· διὰ γὰρ τῶν ἀναισθήτων τριχῶν, τὴν πρὸς τὰ κοσμικὰ ἔργα ἀναισθησίαν· τῶν τὴν πνευματικὴν ἐργασίαν μετιόντων τοῦ βίου πεποιημένων· τρίχωμα γὰρ, τὸ ἀντὶ περιβολαίου δεδομένον ταῖς γυναιξὶ κατὰ τὸν ἀπόστολον· αἰδώς τε καὶ σωφροσύνη νοεῖται μετὰ τῆς ἐν κόσμῳ νεκρώσεως· ἀναίσθητον γὰρ ἡ θρίξ· διὰ δὲ τοῦ πλεονεκτήματος τῶν τριχῶν, ἀγέλαις αἰγῶν παραβάλλεσθαι ταῖς ἀπὸ τοῦ Γαλαὰδ ἀνακαλυφθείσαις· οὕτω χρὴ στοχάζεσθαι, ὅτι ὥσπερ τὰ ξύλα τοῦ Λιβάνου, εἰς χρυσόν τε καὶ πορφύραν μεταποιήσας, φορεῖον ἑαυτῷ ὁ βασιλεὺς κατεσκεύασεν, οὕτως οἶδεν ὁ ποιμὴν ὁ καλὸς, αἰγῶν ἀγέλας παραλαβὼν, εἰς ποίμνια μεταβαλεῖν τὰ αἰπόλια τοῦ ὄρους Γαλαάδ· ἀλλοφύλου δὲ ὄρους ὄνομα τοῦτο, τοῦ τὴν τοιαύτην χάριν ἀνακαλύπτοντος, ὥστε τοὺς ἐξ ἐθνῶν τῷ καλῷ ποιμένι ἀκολουθήσαντας, εἰς τὸ τρίχωμα συντελέσαι τοῦ τῆς νύμφης κάλλους· δι' ὧν σωφροσύνη τε καὶ αἰδὼς, καὶ ἐγκράτεια, καὶ ἡ τοῦ σώματος νέκρωσις διασημαίνεται· ἢ τάχα συμβάλλεταί τι πρὸς τὴν τῶν αἰγῶν θεωρίαν, καὶ ὁ Ἠλίας τῷ ὄρει τῷ Γαλαὰδ ἐμφιλοσοφήσας χρόνον πολὺν, ὃς μάλιστα τοῦ κατ' ἐγκράτειαν καθηγήσατο βίου· αὐχμηρὸς τὸ εἶδος, λάσιος τὴν τρίχα, δέρματι αἰγὸς σκεπαζόμενος· πάντες οὖν οἱ κατ' ἐκεῖνον τὸν ἑαυτῶν κατορθοῦντες βίον, κόσμος γίνονται τῆς ἐκκλησίας, ἀγεληδὸν κατὰ τὸν νῦν ἐπικρατοῦντα τῆς φιλοσοφίας τύπον, τὴν ἀρετὴν μετ' ἀλλήλων ἐμπονοῦντες· τὸ δὲ ἐκ τοῦ Γαλαὰδ τὰς τοιαύτας ἀποκαλυφθῆναι ἀγέλας, μείζονα τοῦ θαύματος τὴν ὑπερβολὴν ἔχει· ὅτι ἐκ τοῦ ἐθνικοῦ βίου γέγονεν ἡμῖν, ἡ πρὸς τὴν κατὰ θεὸν φιλοσοφίαν μετάβασις· οὐ γὰρ Σιὼν ὄρος τὸ ἅγιον αὐτοῦ τῆς τοιαύτης καθηγήσατο πολιτείας, ἀλλὰ τὸ τοῖς εἰδώλοις ἀνακείμενον ἔθνος εἰς τοσαύτην ἦλθε τοῦ βίου μεταβολὴν, ὥστε κοσμῆσαι τὴν κεφαλὴν τῆς νύμφης τοῖς κατ' ἀρετὴν πλημμελήμασιν.

Νείλου. IV.

Ὡς μὲν πρὸς τὸ ῥητὸν, οὐδὲν ἔχει κοινὸν ἡ σύγκρισις· τί γὰρ ὅμοιον τρίχωμα καὶ ἀγέλαι αἰγῶν; ὡς δὲ πατρὸς τὴν ἔννοιαν, πολλή τις ἐστὶν ἡ συμφωνία· εἴτε γὰρ ψυχή ἐστι τελεία πρὸς ἣν ταῦτα εἴρηται, εἴτε ἡ ἔνδοξος ἐκκλησία, ἔχει τινὰ ἀκαλουθίαν ἡ θεωρία τῆς λέξεως· καὶ γὰρ τῆς τελείας ψυχῆς τὰ οἱονεὶ ἀποβλήματα καὶ περιττὰ, ἅ τινα ἐστὶ τὰ διὰ τοῦ σώματος ἐπιτελούμενα χρειώδη πράγματα, ἐπειδὴ καθηκόντως γίνεται, καὶ μετὰ τοῦ πρέποντος κόσμου, ἀγέλῃ αἰγῶν ὁμοιοῦται συντεταγμένῃ καὶ εὖ πεφραγμένῃ καὶ οὐδὲν ἐχούσῃ διατετμημένον, διὰ τὸ ἔχεσθαι τοῦ τῆς φύσεως ὀρθοῦ λόγυ, καὶ ἡγεμονεύεσθαι ὑπ᾽ αὐτοῦ δεόντως· ὅταν γὰρ τὸ κεχυμένον τῆς ἀσώτου τρυφῆς εἰς τὸ χρειῶδες καὶ ἀναγκαῖον στέλληται, ἔσται ἀγέλη αἰγῶν τὸ λεγόμενον τρίχωμα παραπλήσιον· τὰ τοίνυν σωματικὰ, ἐν μὲν τοῖς ἀδιαφόροις ἀδιάφορα, ἐν δὲ τοῖς ἐπιμελεςέροις σπυδαῖα καὶ χρήσιμα· ἐὰν δὲ ἡ ἐκκλησία ἐστὶ πρὸς ἣν λέγεται ταῦτα, τρίχωμα αὐτῆς εἰσὶν οἱ μετανοοῦντες ἐπὶ τοῖς ἁμαρτήμασι· διὸ καὶ ἀγέλῃ αἰγῶν, ἀλλ᾽ οὐ προβάτων, παραβάλλονται· ἀπεκαλύφθησαν δὲ ἀπὸ τοῦ Γαλαὰδ τοῦ μετοικήσαντος ἀπὸ τῶν Ἰυδαίων ἐπὶ τὰ ἔθνη λόγυ· Γαλαὰδ γὰρ μετοικία μαρτυρίας ἑρμηνεύεται· ὅτε μὲν γὰρ τῷ ἰουδαϊκῷ ἔλεγεν ἔθνει· ὑμεῖς λαός μυ καὶ πρόβατα τῆς κληρονομίας μυ, ἐκείνων ἦν ἡ μαρτυρία· ὅτε δὲ τὰ ἔθνη λαὸν ἐξελέξατο ἑαυτῷ, τούτῳ γέγονε μαρτύριον, μετοικήσαν ἀπ᾽ ἐκείνων ἐπὶ τούτου.

Ὀδόντες σου ὡς ἀγέλαι τῶν κεκαρμένων αἳ ἀνέβησαν ἀπὸ 2.
τοῦ λουτροῦ· αἱ πᾶσαι διδυμεύουσαι, καὶ ἀτεκνοῦσα οὐκ ἔςιν ἐν αὐταῖς.

Γρηγορίου.

Πρῶτον λέγει περὶ ὀδόντων, παραδραμὼν τοῦ στόματος καὶ τῶν χειλέων τὰ ἐγκώμια· καὶ εἶθ᾽ οὕτω περὶ χειλῶν· πρῶτον γάρ τις ἐςιᾶται τὰ πνευματικὰ μαθήματα, καὶ οἷον καταλεαίνει ὥσπερ τὴν τροφὴν τοῖς σωματικοῖς ὀδοῦσι, καὶ τότε λέγει περὶ αὐτῶν·

IV. ἅπερ τις ψυχικὴ δύναμις λεπτοποιεῖ ἐπιτήδεια, πρὸς τὸ παραπεμφθῆναι τοῖς οἱονεὶ σπλάγχνοις παρασκευάζουσα· τοὺς τοίνυν κριτικούς τε καὶ διαιρετικοὺς τῶν δογμάτων καθηγητὰς, οἳ τὰ θεῖα μυστήρια διὰ σαφεστέρας ἐξηγήσεως λεπτοποιοῦσιν, ὡς εὐπαράδεκτον τὴν πνευματικὴν ταύτην τροφὴν γενέσθαι τῷ σώματι τῆς ἐκκλησίας, ὀδόντας ἐκάλεσεν ὁ λόγος, οὓς καὶ βούλεται παντὸς ἄχθους ὑλικοῦ γεγυμνωμένους· τοῦτο γὰρ τὸ κεκαρμένον· καὶ λουτρῷ τῆς συνειδήσεως παντὸς μολυσμοῦ σαρκὸς καθαρεύοντας· καὶ πρὸς τούτοις ἀεὶ διὰ προκοπῆς ἀναβαίνοντας· καὶ μηδέποτε εἰς τὸ ἔμπαλιν κατασυρομένους εἰς τὸ βάραθρον· καὶ διδυμεύειν τῇ μὲν ψυχῇ τὴν ἀπάθειαν, τῷ δὲ σωματικῷ βίῳ τὴν εὐσχημοσύνην γεννῶντας, καὶ ὅλως ἐν μηδενὶ τῶν καλῶν ἐπιτηδευμάτων ἀτονεῖν.

Νείλου.

Ὁμοίως καὶ τοῦτο, κατὰ τὴν λέξιν ἀδιανόητον πρὸς δὲ διάνοιαν γέγραπται περὶ ψεκτῶν ὀδόντων· ὀδόντας ἁμαρτωλῶν συνέτριψας, καὶ ἐκεῖ ἔσται ὁ βρυγμὸς τῶν ὀδόντων· περὶ δὲ ἐπαινετῶν, ὀδόντες αὐτοῦ γάλα· καὶ τὸ παρὸν ῥητόν· τάχα δ' ἂν εἶεν δυνάμεις ψυχῆς, δι' ὧν προτρέφεται λόγῳ αὕτη, τὴν διάκρισιν τοῦ λόγου πεπιστευμέναι καὶ λεπτοποιοῦσαι, καὶ οἱονεὶ μυρικιζόμεναι, τὸν τέως ἁδρομερέστερον διὰ τῆς ἀκοῆς παραδεχθέντα λόγον· συντρίβονται δὲ οὗτοι οἱ ὀδόντες, ὅταν αἱρετικῆς διδασκαλίας φάγωσιν ὄμφακας· ὠμοδιάσαντες γὰρ, ἄχρηστοι γίνονται τὸ λεάναι τὴν ἀληθῆ τροφήν· ἀγέλη οὖν κεκαρμένων ὁμοιοῖ τοὺς ὀδόντας τῆς νύμφης· διὰ τὸ μηδὲν ἔχειν τοιοῦτον, οἷον οἱ προειρημένοι εἶχον ὀδόντες τῶν ἀσεβῶν· ἀλλὰ καὶ περιαιρεῖσθαι πάντα ῥύπον διὰ τὸ λουτρὸν, καὶ περίττωμα διὰ τὴν κουράν· διδυμεύουσι δὲ οὗτοι οἱ ὀδόντες, ὅταν καὶ πρὸς τὸν παρόντα βίον χρήσιμα σκέπτονται, καὶ πρὸς τὸν μέλλοντα τῇ πρὸς τὰ νενοημένα διδυμοτοκίᾳ, τὴν αὐτῶν ἔργων προστεθέντες εὐτεκνίαν· ἀτεκνοῦσα γὰρ οὐκ ἔστιν ἐν αὐταῖς· ἀντὶ τοῦ στεῖρα καλῶν πράξεων καὶ ἄγονος οὐδὲ μία ἐστι· καὶ οἱ ἐν τῇ ἐκκλησίᾳ δὲ κοπιῶν-

τες ἐν λόγῳ καὶ διδασκαλίᾳ, καὶ τὴν τροφὴν παντὶ παραπέμποντες τῷ σώματι διὰ τὸ σύμφωνον καὶ ὁμόψυχον, ἀγέλῃ ὁμοιοῦνται· διὰ δὲ τὸ κοῦφον καὶ ἀμέριμνον τῆς ἀκτημοσύνης, πᾶσαν ὕλην πλούτου ἀποκειράμενοι, κεκαρμένοι ὀνομάζονται· καὶ ἀπὸ τῆς τοῦ λουτροῦ δὲ ἀναβάσεως, εἰσὶ διδυμεύοντες, οὐκ ἄτεκνον ἀλλὰ καρποφόρον τὴν τῶν ἐναρέτων ἔργων ἐσχηκότες μήτραν, καὶ τοῖς καταλλήλοις ἑκάστῳ αἰῶνι, τῷ τε παρόντι καὶ τῷ μέλλοντι θεωρήμασι διδυμεύσαντες· ἴσως δὲ διὰ τοῦτο ὀδόντες, ἀγέλῃ κεκαρμένων παραπλήσιοι οἱ διδυμεύουσιν· ἐπεὶ δὲ οὐκ ἔτι εἰσὶ τρίχες, τὸ τῶν ἁμαρτημάτων ἄχθος ἀποκειράμεναι. IV.

Ὠριγένους.

Διδυμεύουσαι δὲ ἄλλως, διὰ τὸ διττὸν τῆς νοήσεως τῆς τερητῆς καὶ πνευματικῆς.

Φίλωνος

Ἢ ὅτι μόναι κατελθοῦσαι εἰς τὸ ὕδωρ τὸ μυστικὸν σὺν ἁγίῳ ἀνέβησαν πνεύματι.

Ὡς σπαρτίον κόκκινον χείλη σου, καὶ ἡ λαλιά σου ὡραία. 3.

Γρηγορίου.

Κόκκινον σπαρτίον ἐστὶ, πίστις δι' ἀγάπης ἐπιτελουμένη· ἐπαινεῖ τοίνυν τῆς ἐκκλησίας τὸν σύνδεσμον, καὶ τὴν ὁμογνωμοσύνην ἅμα καὶ τὴν ὁμολογίαν, δι' ἧς ὁμολογεῖ τὸν ὑπὲρ αὐτῆς σταυρωθέντα· καθ' ἣν ἡ ἐκκλησία συμφωνοῦσα ἓν γίνεται χεῖλος, καὶ μία φωνὴ ἐκ διαφόρων τοῦ ἐρίου τοῦ νοητοῦ συγκεκλωσμένη καθάπερ σειρά· διὰ δὲ τοῦ εἰπεῖν κοκκίνου διδάσκεται τὴν ὁμολογίαν διὰ στόματος φέρειν, τοῦ ἐξαγοράσαντος ἡμᾶς διὰ τοῦ ἰδίου αἵματος· δι' ἀμφοτέρων γὰρ ἐστι πληρουμένη τοῖς ἐκκλησίας χείλεσιν ἡ εὐπρέπεια· ὅταν καὶ ἡ πίστις τῇ ὁμολογίᾳ προλάμπῃ, καὶ ἀγάπη τῇ πίστει συμπλέκηται· διὰ μὲν οὖν τοῦ σπαρτίου ἐδήλωσε τὴν ἀγάπην· διὰ δὲ τοῦ κοκκίνου τὴν πίστιν· καὶ οὕτως ἡ λαλιὰ τῆς νύμφης γίνεται ὡραία, τοῦ ῥήματος τῆς πίστεως ὃ κηρύσσομεν, ὡς φησὶν ὁ θεῖος ἀπόστολος· ἐὰν ὁμολογήσῃς ἐν τῷ στόματί σου κύριον Ἰησοῦν, καὶ πι-

IV. στεύσης ἐν τῇ καρδίᾳ σου ὅτι ὁ Θεὸς αὐτὸν ἤγειρεν ἐκ νεκρῶν, σωθήσῃ.

Νείλου.

Χείλη πολλάκις τὸν λόγον ὀνομάζει ἡ γραφὴ ὡς τὸ, ἐξολοθρεύσαι κύριος πάντα τὰ χείλη τὰ δόλια· καὶ ἐξεχύθη ἡ χάρις ἐν χείλεσί σου· εἴτε οὖν ἡ τελεία ψυχὴ, εἴτε οἱ ἐν τῇ ἐκκλησίᾳ διδάσκαλοι, ὅταν ζῶντα τὸν λόγον ἔχωσι καὶ δεσμεῖν τὸν ἀκροατὴν δυνάμενον, ὡς μηκέτι τὸν ἅπαξ ἀκούοντα ἀναχωρεῖν δύνασθαι, σπαρτίον κόκκινον ἔχουσι τὰ χείλη· σπαρτίον μὲν διὰ τὸ δεσμεῖν, κόκκινον δὲ διὰ τὸ ζωτικὸν τῆς τούτων δυνάμεως καὶ πεπυρωμένον· τοιαύτη γὰρ καὶ ζῶσα σὰρξ, τὴν ἐρυθρότητα μάρτυρα τῆς ζωῆς ἐπιφερομένη· τοῦτο δηλῶν ὁ κύριος ἔλεγεν· οἱ ἐμοὶ λόγοι, πνεῦμα εἰσὶ καὶ ζωή· διὰ μὲν τοῦ πνεύματος τὸν δεσμὸν τοῦ σπαρτίου, διὰ δὲ τῆς ζωῆς, τὸ κόκκινον σημαίνων· καὶ ἡ λαλιὰ δὲ τούτων ὡραία, πολὺ μετὰ τοῦ ὠφελίμου καὶ τὸ τερπνὸν ἔχουσα.

Ὠριγένους.

Ἤγουν ἔστω διάπυρος ἡ τοῦ λόγου παρασκευὴ ὡς κερδῆσαι τὸν ἀκροατὴν δυναμένη, ἢ καὶ τὸ ἔναιμον καὶ ζωτικὸν δηλοῖ τῶν διὰ τοῦ χείλους ἐξιόντων ῥημάτων, οἱωνεὶ βαπτομένων ἐν τῇ ἀληθινῇ πόσει τοῦ αἵματος τοῦ Χριστοῦ.

Ὡς λέπυρος τῆς ῥόας μῆλον σου ἐκτὸς σιωπήσεώς σου.

Γρηγορίου.

Ἀρέσκεται κατὰ τὴν τοῦ στόματος ὥραν ὁ νυμφίος, τῷ τῆς παρθενίας ἐρυθήματι, ὅπερ μῆλον καλεῖ ἡ συνήθεια· καὶ προσεικάζει αὐτὸ λέπυρον τῆς ῥόας· αἰδοῖ γὰρ ἐρυθραίνεται καὶ σωφροσύνῃ· ὡς γὰρ τῆς ῥόας ὁ καρπὸς ὑπὸ στρυφνοῦ τε καὶ ἀβρότου τῆς ἐπιφανείας φυλάττεται, οὕτω καὶ ὁ στύφος τε καὶ ἐγκρατὴς καὶ κατεσκληκὼς βίος, φύλαξ γίνεται τῶν τῆς σωφροσύνης καλῶν· ἐπαινεῖ δὲ καὶ τὴν προφανῆ καὶ τὴν ἔνδον ἁγνείαν· διπλοῦς γὰρ καὶ ἐνταῦθα ἔπαινος διά τε τῶν προφαινομένων κατὰ τὸν εὐσχήμονα βίον, καὶ διὰ τῶν ἐν τῇ τῆς ψυχῆς ἀπαθείᾳ

κατορθουμένων· ἃ μόνῳ καθορᾶται τῷ εἰς τὰ κρύφια βλέποντι· IV.
διὰ τοῦτο φησὶν ἐκτὸς τῆς σιωπήσεώς σου.

Νείλου.

Ἐπὶ μὲν τῆς ψυχῆς, τὸ αὐστηρὸν τοῦ βίου καὶ τοῖς πάθεσιν ἀπρόσιτον, μῆλόν ἐςι παρειᾶς λεπύρῳ ῥόας διὰ τὴν στυφότητα παραπλήσιον· τούτῳ γὰρ μάλιςα τῷ μέρει κρίνεται ἡ κατάστασις, τοῦ μὲν σώφρονος σκυθρωπάζουσα, καὶ τοῖς ἀκολάστοις ὀφθαλμοῖς τῷ ἀμειδεῖ σχήματι, τὸ ἄγευστον σημαίνουσα τῆς ὄψεως· τοῦ δὲ διακεχυμένου, ὡσανεὶ ὑπομειδιῶσα καὶ κεχαλασμένη καὶ λύχνους προσκαλουμένη πόῤῥωθεν ὀφθαλμοὺς· καὶ τὸ τῆς ἡδονῆς αὐτοῖς πάθος εὐαγγελιζομένη τῇ φαιδρότητι· ἐπὶ δὲ τῆς ἐκκλησίας τὸ τῶν παρθενευόντων τάγμα καὶ ἀσκουμένων τὴν σεμνότητα, αὐχμηροτέραν καὶ δυσέντευκτον τοῖς αἱρετικοῖς ἐρασταῖς δεικνυόντων τὴν ὄψιν τῆς νύμφης· καὶ οὐδὲν ἔχουσα τῇ ἐκείνων γεύσει ἐδώδιμον· λέπυρον γὰρ ῥόας, τοὺς μὲν ἔξωθεν γενομένους ἀποσοβεῖ, ἀποτρόπαιον ἔχον τῇ γεύσει ποιότητα· κρύπτει δὲ τὸν ἔσω καρπὸν ἀσφαλῶς· λαώδης δὲ καὶ παραπλήσιος πανηγύρει πλήθους ἀγάπῃ συνδεδεμένου, ὁ τῆς ῥόας καρπὸς· οὐ μόνον ἕρκει κραταιῷ τῷ ἔξω φλοιῷ φρουρούμενος, ἀλλὰ καὶ ὑμέσι λεπτοῖς εἰς διάφορα διῃρημένος συςήματα· καὶ μιμούμενος τὰ τάγματα τῆς ἐκκλησιαστικῆς ἀκολούθου τάξεως· τοσοῦτον διῃρημένα, ὅσον μὴ συνεκχεῖσθαι τὸν ἐκκλησίᾳ πρέποντα κόσμον, καὶ λαῷ θεοῦ καθήκουσαν κατάστασιν φυλάττεσθαι· ἀξιώμασιν ἀρετῆς καὶ λειτουργίαις ἱερατικαῖς οἰκονομικῶς μεριζόμενα, καὶ οὐ κεχωρισμένα διαθέσει, ἀλλ᾽ ἀγάπῃ συνδεδεμένα· καὶ ἐντὸς δὲ τῆς σιωπήσεως· τοιαύτη ἐστὶν ἡ παρειὰ τῆς νύμφης, πολὺ τὸ σεμνὸν μετὰ αὐστηρᾶς κατέχουσα τῆς καταστολῆς.

Ὠριγένους.

Προστίθησι τῷ τῆς σωφροσύνης ἐπαίνῳ, τὸν ἀπὸ τῆς σιωπῆς· ἐπισταμένης τῆς νύμφης καιροὺς λαλιᾶς ὡραίας καὶ ἐπαινουμένης σιγῆς· καὶ ἐπεὶ πιστὸς πνοῇ κρύπτει πράγματα καὶ ἡ νύμφη ἐν τῷ βάθει κρύπτει τὰ θεωρήματα τοὺς οἱονεὶ κόκκους

IV. τῆς ῥόας ἕκαςος ἐν τῷ ἰδίῳ τάγματι σεσωματοποιημένον ἐν τῷ ἡγεμονικῷ· διὸ ἐπήγαγεν· ἐκτὸς τῆς σιωπήσεώς σε· δηλῶν τὰ σιωπώμενα δόγματα ὡς κόκκους ῥόας ὑπὸ τὸ λέπυρον αὐτῆς.

4. Ὡς πύργος Δαβὶδ τράχηλός σου, ὁ ᾠκοδομημένος ἐν Θαλπιώθ· χίλιοι θυρεοὶ κρέμανται ἐπ' αὐτὸν· πᾶσαι βολίδες τῶν δυνατῶν.

Γρηγορίου.

Ἐκ τούτων μανθάνομεν ὅτι τὰ παρὰ τῶν ἁγίων γινόμενα, τύπος τίς καὶ διδασκαλία τῶν εἰς ἀρετὴν κατορθουμένων ἐγίνοντο· οἷον οἱ γάμοι, δι' ὧν τὴν τῶν ἀρετῶν συνοίκησιν ἡμῖν δι' αἰνιγμάτων ὑποτίθενται· ἡ ἀποικία, καὶ γὰρ τοῦ ἐναρέτου βίυ τὸν οἰκισμὸν ὑποβάλλει· αἱ τῶν οἰκοδομημάτων κατασκευαὶ, τὴν γὰρ δι' ἀρετῆς οἰκοδομουμένην ἐπιμέλειαν ποιεῖσθαι διακελεύεται· ὁ κατὰ τῶν ἀλλοφύλων πόλεμος, διδάσκων κατὰ τῆς ἀδικίας ἡμᾶς ἀνδρίζεσθαι· οὕτω τοίνυν καὶ ὁ παρὰ τοῦ Δαβὶδ περιφανὴς πύργος, ἐν ᾧ τὰ ἀκροθήνια τῶν λαφύρων ἀνέθηκε, πρὸς τὴν προκοπὴν τῆς ἐκκλησίας βλέπει· διὰ τούτου παρεμφαίνων θείους τινὰς εἶναι τοὺς ἐν τῷ λαῷ τὸν τραχήλου τόπον ἔχοντας διδασκάλους, οἵ τινες τὴν ἀληθινὴν κεφαλὴν τὸν Χριστὸν βαστάζοιεν ἐφ' ἑαυτῶν· ἔχοντες καὶ τὴν θρεπτικὴν ἐνέργειαν, φημὶ δὴ τὴν διδασκαλίαν· δι' ἧς τῷ σώματι τῆς ἐκκλησίας συντηρεῖται ἡ δύναμις· δεκτικοί τε τοῦ πνεύματος ὄντες, τοῦ τὴν καρδίαν πυροειδῆ ποιοῦντος καὶ ἐκθερμαίνοντος, καὶ διὰ τῆς εὐήχου φωνῆς ὑπηρετοῦντες τῷ λόγῳ, καὶ τὴν ἐναρμόνιον τῶν σπονδύλων θέσιν, διὰ τοῦ συνδέσμυ τῆς εἰρήνης φέρεσθαι, καὶ ἀνορθούμενον πάλιν ἐν τῷ τὰ ἄνω φρονεῖν, καὶ πρὸς τὰ πλάγια μεταστρεφόμενον εὐκόλως· ἐν ᾧ τὰς ποικίλας τοῦ διαβόλου μεθοδίας ἐκκλίνειν καὶ ἀσφαλίζεσθαι δεικνύντες, οἷος ἦν καὶ ὁ μακάριος Παῦλος, ὃς τὸ ὄνομα τοῦ Χριστοῦ ἐβάστασε, σκεῦος ἐκλογῆς γενόμενος, καὶ εὐήχῳ ἀρτηρίᾳ κηρύττων τὸ εὐαγγέλιον, καὶ τὸν Χριστὸν ἔχων λαλοῦντα τε καὶ φθεγγόμενον· ὁ τοιοῦτος οὖν τράχηλος, ὄντως παρὰ τὸν Δαβὶδ ᾠκοδόμηται· νόει δὲ

διὰ τοῦ Δαβὶδ, τὸν τοῦ βασιλέως πατέρα, ἐν περιόπτῳ τινὶ IV.
τόπῳ καὶ ὑψηλῷ· τοῦτο γὰρ τὸ Θαλπιὼθ· ὃς ἐξ ἀρχῆς τὸν ἄνθρωπον κατεσκεύασεν εἶναι πύργον καὶ οὐχὶ σύμπτωμα· καὶ διὰ τῆς χάριτος αὐτοῦ πάλιν ᾠκοδόμησεν, ἀσφαλισάμενος τοῖς πολλοῖς θυρεοῖς, καὶ ταῖς βολίσι τῶν δυνατῶν, οὐ κειμένοις ἐπὶ γῆς, ἀλλὰ διαερίοις κρεμαμένοις, οἵ τινες εἶεν ἀγγελικαὶ φρουραὶ, ὡς μηκέτι τῶν πολεμίων ἐφόδοις ἐπίβουλον γίνεσθαι, ἀλλὰ καὶ φόβον ταύταις ἐμποιεῖν, τοῦ μηδὲ τὴν ἀρχὴν ἐγχειρῆσαι καταδραμεῖν· τὸ δὲ χίλιοι, εἰς ἔνδειξιν πλήθους λαμβάνεται· ὤμους δὲ νοήσεις, οἷς πέφυκεν οὗτος ὁ τράχηλος, τὰς πρακτικάς τε καὶ ἐνεργητικὰς σπουδὰς, δι' ὧν οἱ βραχίονες ἡμῶν τὴν σωτηρίαν αὐτῶν κατεργάζονται· ὅταν τοίνυν τὶς βασιλέως μὲν πύργος ᾖ, ἐπὶ δὲ τῆς ὑψηλῆς πολιτείας βεβηκὼς τύχῃ, τότε πληροῦται τὸ παρὰ τοῦ κυρίου λεγόμενον· οὐ δύναται πόλις κρυβῆναι ἐπάνω ὄρους κειμένη· νόει δέ μοι τὸν πύργον ἀντὶ τῆς πόλεως. Εἰ μὲν τοῖς ὀπίσω ὁ τράχηλος τῆς νύμφης, ὡς ὁρμίσκος διὰ τὸ καμπύλον ἐλέγετο, νῦν δὲ ὡς πύργος Δαβὶδ, διὰ τὸ ὄρθιον καὶ ἀνεστηκός· ἀλλὰ τῷ μὲν καμπύλῳ τὸ ὄρθιον ἐναντίον· ἡ δὲ ὡς ὁρμίσκος κατάστασις, τῇ ὡς πύργῳ διάφορος μὲν, οὐ μὲν ἐναντία· ὅτε μὲν γὰρ τὸ πρὸς τοὺς ἀσθενεστέρους συγκαταβατικὸν αὐτῆς, καὶ τὴν ἐπὶ ταῖς ἀρεταῖς ταπεινοφροσύνην βούλεται δηλοῦν ὁ λόγος, ὁρμίσκον τὸν τράχηλον αὐτῆς ὀνομάζει, τῷ μετρίῳ κεκαμμένην φρονήματι· ὅτε δὲ τὸ πρὸς τὰ πάθη καὶ τὰς ἀντικειμένας δυνάμεις ὑπερανέχων καὶ διανεστηκὸς, πύργον Δαβὶδ ἀπρόσιτον δηλαδὴ τοῖς πολεμίοις· χίλιοι δὲ θυρεοὶ κρέμανται ἐπ' αὐτὸν, καὶ πᾶσαι βολίδες τῶν δυνατῶν, αἱ τῶν πρὸς αὐτὴν ἀγωνιζομένων δυνάμεων· ἃς χειρωσαμένη καὶ ἐξόπλους ποιήσασα, τοῦ ἑαυτῆς ἐξήρτησε τραχήλου, σημεῖον τοῦ παρ' αὐτῆς νενικημένου πλήθους ἐσομένας· οὐδὲν ὑπολειπομένη τοῖς ἐχθροῖς βέλος, ᾧ πάλιν βαλεῖν δυνήσονται κατ' αὐτῆς· οὐ γὰρ ἀριθμὸν βολίδων, ἀλλὰ πάσας ἔχει λαβοῦσα παρ' ἑαυτῇ· οὕτω καὶ ὁ νυμφίος αὐτῆς ἐκένωσε τοῦ ἐχθροῦ πολεμοῦντος τὴν δύναμιν· ἔστι

IV. δὲ θυρεοὺς καὶ τὰς περικοπὰς τῆς πίστεως εἰπεῖν· τὸ δὲ Θαλπιώθ, ἐν ἐπάλξεσιν ἑρμηνεύεται· ἐπάνω οὖν τῶν πειρασμῶν ᾠκοδομεῖσθαι τὸν πύργον φησίν.

Ὠριγένους.

Ἀκύλας τὸ Θαλπιὼθ ἐπάλξεις ἐκδέδωκεν· ὁ δὲ Σύμμαχος, ὕψη· ᾧ ἀκολουθεῖ τὸν ὑπὲρ τὰς ἐπάλξεις πύργον εἶναι τὴν σοφίαν, ἧς ὁμοίως ἤρτηνται θυρεοὶ μὲν τὰ πεπιστευμένα δόγματα, ἅπερ εἶπεν ἐνικῶς ὁ ἀπόστολος θυρεὸν πίστεως· βολίδες δὲ τῶν δυνατῶν, οἱ δυνατῶς ἀνατρέποντες λόγοι, τῶν ἐναντίων τῆς ἀληθείας τὴν πιθανότητα· ἀντὶ δὲ τοῦ ἐπάλξεις, ἐντολὰς ἐκδέδωκεν ἡ πέμπτη ἔκδοσις, τὸν νοῦν μᾶλλον ἢ τὴν λέξιν ἑρμηνεύουσα· μὴ προαποκειμένων γὰρ ἐντολῶν, οἰκοδομηθῆναι τὴν ἀψευδῆ γνῶσιν ἀδύνατον.

5. Δύο μαστοί σου, ὡς δύο νεβροὶ δίδυμοι δορκάδος οἱ νε-
6. μόμενοι ἐν τοῖς κρίνοις· ἕως οὗ διαπνεύσῃ ἡ ἡμέρα καὶ κινηθῶ-
σιν αἱ σκιαί.

Γρηγορίου.

Δίδυμος ἐστὶν ὁ ἄνθρωπος, ὅ τε ἔξωθεν καὶ φαινόμενος, καὶ ὁ ἔσωθεν καὶ κρυπτὸς, κατὰ ταυτὸν ἀλλήλοις συνεπιδημοῦντες τῷ βίῳ· οὔτε γὰρ προϋπάρχει τοῦ σώματος ἡ ψυχὴ, οὔτε προκατασκευάζεται τῆς ψυχῆς τὸ σῶμα· ἀλλ᾽ ὁμοχρόνως ἐν τῇ ζωῇ γίνονται· τροφὴ δὲ τούτοις, κατὰ φύσιν μὲν ἡ καθαρότης καὶ ἡ εὐωδία, ὧν ἐφοροῦσιν αἱ ἀρεταί· ἔστι δὲ ὅτε τὸ δηλητήριον τισὶν, ἀντὶ τοῦ τροφίμου σπουδάζεται, οἱ οὐχὶ τὰ ἄνθη τῶν ἀρετῶν ἐπιβόσκονται, ἀλλ᾽ ἀκάνθαις καὶ τριβόλοις ἐπιτέρπονται· ἐπεὶ τοίνυν διακριτικῶς χρεία ὀφθαλμῶν τῶν δυναμένων ἐν ἀκριβείᾳ διαγνῶναι τὸ κρίνον τε καὶ τὴν ἄκανθαν, καὶ τὸ μὲν σωτήριον προελέσθαι, τὸ δὲ φθοροποιὸν ἀποπέμψασθαι, διὰ τοῦτο τὸν καθ᾽ ὁμοιότητα Παύλου μαζὸν τοῖς νηπίοις γινόμενον, καὶ γαλακτοτροφοῦντα τοὺς ἀρτιγενεῖς τῆς ἐκκλησίας, διὰ δὲ μαζῶν ἀλλήλοις συγγενηθέντων, τῶν τοῖς νεβροῖς τῆς δορκάδος ὠνομασμένων ὁ λόγος ἀπείκασεν· διὰ πάντων μαρτυρῶν τῷ τοιούτῳ μέ-

λει τῆς ἐκκλησίας τὸ δόκιμον· ὅτι καθ' ἑκάτερον εὐοδοῦται πρὸς IV.
τὴν τῶν καθαρῶν κρίνων νομήν· ὀξυδεδορκὼς, καὶ διακρίνων τοῦ τροφίμου τὴν ἄκανθαν· καὶ ὅτι περὶ τὸ ἡγεμονικὸν ἀναςρέφεται· οὗ σύμβολον ἡ καρδία ἐστὶν, ἡ δι' ἑαυτῆς τοὺς μαζοὺς ὑποτρέφουσα· καὶ ἔτι πρὸς τούτοις, ὅτι οὐκ ἐν ἑαυτῷ κατακλείει τὴν χάριν, ἀλλ' ἐπιχεῖ τοῖς δεομένοις τοῦ λόγου τὴν θήλην· ἕως φησὶ μηκέτι αἱ σκιαὶ κρατῶσι τῆς περὶ τὸν βίον σπουδαζομένης ἀπάτης· ἀλλ' ἤδη τοῦ φωτὸς πανταχῆ διαλάμψαντος, καταυγασθῇ τὰ πάντα τῆς ἡμέρας τῆς ὅπου θέλει διαπνεούσης, ἤγουν τοῦ παναγίου πνεύματος τὸ φῶς.

Νείλου.

Τοὺς νηπίους ἐν Χριςῷ καὶ γαλακτοτροφουμένους ἔτι, ἔτι μαζοὺς ὀνομάζει νεβροῖς δορκάδων παραπλησίους· ἐπειδὴ καὶ οἱ ἀρχόμενοι τῆς θεοσεβείας διὰ τὴν τῆς πίστεως εὐγένειαν, τὸ τῶν δορκάδων ἔχοντες ὀξυδερκὲς, διορατικοὶ τυγχάνουσι, τῇ ἐλπίδι βλέποντες ὡς παρόντα τὰ μέλλοντα καὶ ἐν ἐπαγγελίαις κείμενα· καὶ ἐν κρίνοις δὲ νέμονται οἱ νεβροὶ, τῷ τῶν ἀκτημόνων τῆς ἐκκλησίας καὶ ἀφροντίδων ἀνθηρῷ τρεφόμενοι· πρὸς γὰρ τὸν ὅμοιον ζῆλον φθᾶσαι ποθοῦντες, τρέφονται τῇ ἡδονῇ τοῦ ποθουμένου, ὡς ἐν λειμῶνι σκιρτῶντες τῇ τῶν ὠφελούντων πολιτείᾳ· τοῦτο δὲ ποιοῦσιν ἕως τὰ παρόντα σκιὰ εἰρημένα κινηθῇ· διαπνευσάσης καὶ ὑποφαίνειν ἀρξαμένης τῆς ἐκ τοῦ νοητοῦ ἡλίου γενομένης ἡμέρας· δίδυμοι δὲ οἱ νεβροὶ καλῶς εἴρηνται, μιᾶς κοιλίας καὶ ὠδῖνος ὄντες σύγχρονοι· καὶ γὰρ οἱ τῆς ἐκκλησίας νήπιοι, μιᾷ ὠδῖνι διὰ τῆς χάριτος ἀπεκυήθησαν.

Ὠριγένους.

Τὸ ἡγεμονικὸν, ὡς ἐπὶ νύμφης μαστοί· ὅπερ ἐστὶν ὀξυδερκέστατον· διὸ παρείκασε δύο νεβροῖς δορκάδος νεμομένοις ἐν ὡραίοις τόποις καὶ εὐώδεσι· σημαίνων τά τε νοητὰ καὶ αἰσθητά· νεβροὺς δὲ, ἐπειδὴ νῦν ἐκ μέρους γινώσκομεν· ὅταν δὲ τὸ τέλειον ἔλθῃ, καταργοῦμεν τὴν νηπιότητα· ὅταν ὁ καύσων τοῦ παρόντος βίου παύσηται, καὶ καιρὸς τῆς ἀναψύξεως ἐπιστῇ, λυο-

IV. μένης καὶ τῆς σκιᾶς· σκιὰ γάρ ἐστιν ὁ παρὼν βίος· τότε γὰρ ὡς τέλειοι, ἀλλ' οὐχ' ὡς νεβροὶ νεμηθησόμεθα.

Κυρίλλου.

Ἢ καὶ δύο νεβροὶ, ἡ ἠθικὴ καὶ δογματικὴ διδασκαλία, οἱ δύο τῆς νύμφης μαστοί· ἐξ ὧν οἱ τρεφόμενοι ὀξύτητι βλέπουσι πρὸς θεόν· ῥῖνα δὲ τῶν ἀποστολικῶν καὶ εὐαγγελικῶν λόγων τὴν εὐωδίαν, ἅπερ νεμόμεθα μέχρι συντελείας.

Πορεύσομαι ἐμαυτῷ πρὸς τὸ ὄρος τῆς σμύρνης, καὶ πρὸς τὸν βουνὸν τοῦ λιβάνου.

Γρηγορίου.

Κατὰ μέρος ἐπαινέσας τὴν νύμφην, εἶτα μέλλων ὁλοσώματον ποιεῖσθαι τὸν ἔπαινον, καὶ ὅλην ὑφ' ἓν ἐγκωμιάζειν, μεταξὺ τὴν αἰτίαν τοιαύτην εἶναι παραβέβληκε λέγων· πορεύσομαι ἐμαυτῷ, καὶ τὰ ἑξῆς· διὰ μὲν οὖν τῆς σμύρνης, τὸ πάθος· διὰ δὲ τοῦ λιβάνου, τὴν δόξαν τῆς θεότητος ἐνδειξάμενος· εἰπὼν δὲ ἐμαυτῷ, παρέστησεν ὅτι οὐδεὶς αἴρει τὴν ψυχὴν αὐτοῦ ἀπ' αὐτοῦ· ἀλλ' ἐξουσίαν ἔχει θεῖναι αὐτὴν, καὶ ἐξουσίαν ἔχει πάλιν λαβεῖν αὐτήν· διὰ δὲ τοῦ ὄρους, τὸ μέγα δείκνυσι τοῦ μυστηρίου καὶ ὑψηλόν· εἶτα ἐπήγαγεν.

Νείλου.

Ἐπειδὴ οὕτω καλὴν (εἶπε) τὴν νύμφην, εἴτε ψυχὴν, εἴτε καὶ τὴν ἐκκλησίαν, σπεύδει λοιπὸν ἐπὶ τὸν θάνατον· ἵνα παραστήσῃ ἑαυτὸν ταύτην, μὴ ἔχουσα σπῖλον ἢ ῥυτίδα ἢ τοιοῦτον· καὶ ἵνα καθαρίσῃ τῷ λουτρῷ τοῦ ὕδατος ἐν ῥήματι· πορεύσεται δὲ οὐκ ἄκων, ἀλλ' ἑκών· ὄρος γὰρ τὸν θάνατον ἐδήλωσε· μεθ' ὃν βουνὸν τὴν ἀνάστασιν, καὶ τὴν εἰς οὐρανοὺς ἀνάληψιν· ὄρος μὲν τὸν θάνατον, διὰ τὸ φοβερόν· βουνὸν δὲ τὴν ἀνάστασιν, διὰ τὸ τῇ ἐλπίδι τοῦ θανάτου τὸ δεινὸν ἐπελαφρίζειν· κατὰ μέρος δὲ ἐπαινέσας τὰ μέλη τῆς νύμφης, διὰ τοῦ ἐπαγομένου ὅλην αὐτὴν ἐγκωμιάζει, ἄμωμον καὶ ὅλην καλὴν προσαγορεύων.

7. Ὅλη καλὴ εἶ ἡ πλησίον μου, καὶ μῶμος οὐκ ἔστιν ἐν σοί.

Γρηγορίου. IV.

Οὐ γάρ ἐστιν ἄλλως καθαρθῆναι τοῦ μώμου τὴν ἀνθρωπίνην φύσιν, μὴ τοῦ αἴροντος τὴν ἁμαρτίαν τοῦ κόσμου, πᾶσαν δι' ἑαυτοῦ ἐξαφανίσαντος τὴν κακίαν, καταργῆσαι διὰ τοῦ θανάτου τὸ κράτος ἔχοντα τοῦ θανάτου, καὶ πάλιν ἑαυτὸν ἐπαναγαγεῖν πρὸς τὴν ἰδίαν δόξαν τῆς θεότητος, ἣν εἶχεν ἀπ' ἀρχῆς πρὸ τοῦ τὸν κόσμον εἶναι· διὸ φησίν· ἀνέξομαι θάνατον, ὅπως αὐτὴν καθάρω· ὁ τοίνυν συμμετασχὼν τῆς σμύρνης, εἴτουν τοῦ θανάτου, συμμεθέξει πάντως καὶ τοῦ θανάτου· ὁ γὰρ συμπάσχων, καὶ συνδοξάζεται. ὁ δὲ ἅπαξ ἐν τῇ θείᾳ δόξῃ γενόμενος, ὅλος γίνεται καλὸς, ἔξω τοῦ ἀντικειμένου μώμου γενόμενος.

Δεῦρο ἀπὸ Λιβάνου νύμφη, δεῦρο ἀπὸ Λιβάνου· ἐλεύσῃ καὶ 8. διελεύσῃ ἀπ' ἀρχῆς πίστεως· ἀπὸ κεφαλῆς Σανεὶρ καὶ Ἀερμών· ἀπὸ μανδρῶν λεόντων· ἀπὸ ὀρέων παρδάλεων.

Κυρίλλου.

Διδάσκει ἡμᾶς πόθεν ἡ νύμφη, καὶ ὅτι ἐξ εἰδωλολατρείας ἔρχεται· κατείδωλον γὰρ ὄρος ὁ Λίβανος· ὅθεν ἐλεύσῃ, φησίν· διελεύσῃ δὲ διὰ τοῦ νόμου· ἀγνοοῦσα γὰρ αὐτὸν, τὸ Χριστοῦ κατηχήθης μυστήριον.

Γρηγορίου.

Εἰπὼν γὰρ ὅτι καλὴ εἶ καὶ μῶμος οὐκ ἔστιν ἐν σοί· ὡς ἂν μὴ τῇ μαρτυρίᾳ ταύτῃ ἐγχαυνωθεῖσα, πρὸς τὴν τῶν μειζόνων ἄνοδον ἐμποδισθεῖσα, πάλιν διὰ τῆς προτρεπτικῆς ταύτης φωνῆς ἐπὶ τὴν τῶν ὑπερκειμένων ἀναβῆναι παρακελεύεται· καλῶς φησὶν ἐν τοῖς φθάσασιν ἠκολούθησας· ἦλθες μετ' ἐμοῦ πρὸς τὸ ὄρος τῆς σμύρνης· συνετάφης γάρ μοι διὰ τοῦ βαπτίσματος εἰς τὸν θάνατον· συνανῆλθες μοι καὶ ἐπὶ τὸν βουνὸν τοῦ λιβάνου· συνανέστης γὰρ καὶ ὑψώθης ἐν τῇ τῆς θεότητος κοινωνίᾳ· ἀνάβηθι καὶ ἀπὸ τούτων ἐπὶ ἕτερα ὄρη προκόπτουσα καὶ ὑψουμένη διὰ τῆς ἐνεργοῦς γνώσεως· ἀρχὴ γάρ σοι πίστεως καὶ ἐπὶ τῆς πρὸς τὰ ὑψηλὰ πορείας, οὗτος ὁ Λίβανος γέγονεν, οὗ μετέσχες

IV. διὰ τῆς ἀναςασίως, οὐκ ἔτι μνηστὰ, ἀλλὰ νύμφη γινομένη· ἀπὸ τοίνυν τῆς ἀρχῆς ταύτης, ἥ τις ἐςὶν ἡ πίςις, ἐλεύσῃ καὶ διελεύσῃ· τουτέστι καὶ νῦν ἥξεις, καὶ εἰς ἀεὶ διερχομένη διὰ τῶν τοιούτων ἀνόδων οὐκ ἀπολήξεις, ἀπὸ κεφαλῆς Σανεὶρ καὶ Ἀερμών· διὰ τούτων δὲ, τὸ τῆς ἄνωθεν γεννήσεως ὑποφαίνει μυςήριον· ἐντεῦθεν γὰρ, φησὶ, τὰς τοῦ Ἰορδάνου πηγὰς, ὧν ὑπέρκειται τοῦτο τὸ ὄρος, δύο λοφίαις μεριζόμενον, αἷς ταῦτα ἐπίκειται ὀνόματα· τὸ δὲ ἀπὸ λεόντων τε καὶ παρδάλεων, ἀπὸ διαβολικῶν εἱρκτῶν καὶ ποικίλων ἁμαρτημάτων, ἀφ' ὧν ψυχὴ καταστίζεται· ἀνέμνησε δὲ τῶν λυπηρῶν, διὰ τῶν θηρίων τούτων, ἡδίω ποιῶν τὰ εὐφραίνοντα· καὶ ἵνα μᾶλλον ἐντρυφῶν τοῖς παροῦσι καλοῖς· μανθάνουσα διὰ τῆς παραθέσεως οἷα ἀνθ' οἵων ἠλλάξατο, καὶ ἅμα τῇ ἀποςροφῇ τῶν χειρόνων τὸ ἀκλινές τε καὶ ἀπαράτρεπτον ἐν τοῖς ἀγαθοῖς κατορθώσειεν.

Νείλου.

Πάλιν προσκαλεῖται μέν τις τὴν νύμφην· ὁ δὲ προσκαλεσάμενος σεσιώπηται· εἴτε δὲ αὐτὸς ὁ νυμφίος ἐστὶν, εἴτε οἱ τοῦ νυμφίου φίλοι, ἢ ἀπὸ τοῦ περιγείου τόπου καλοῦσιν αὐτὴν, ἢ ἀπὸ τῆς ἐθνικῆς διαγωγῆς· οἰκητήριον γὰρ λεόντων καὶ παρδάλεων εἰδότες τὸν Λίβανον, ἀπολιπεῖν αὐτὸν αὐτὴν συμβουλεύουσιν· καὶ ὡς ἔοικεν ἀρξαμένην ἀναχωρεῖν ἑωρακότες, καὶ προβαίνουσαν μετὰ πάσης σπουδῆς, ἐκ τῆς προθυμίας τὴν προκοπὴν στοχασάμενοι, λέγουσιν· ὄντως ἐλεύσῃ καὶ διελεύσῃ· ἡ γὰρ τῆς πίστεως ἀρχὴ, καὶ ἡ ἐν προοιμίοις σπουδὴ, τὸ τάχος σημαίνει τῆς μελλούσης διαβάσεως, ἐλπίδα πολλὴν ὑποτιθεμένη τῆς πρὸς τὸν σπουδαζόμενον σκοπὸν ἀφίξεως· ἐλεύσῃ οὖν ἀπὸ Λιβάνου τοῦ τῶν θηρίων χωρίου· διελεύσῃ δὲ αὐτὰ τὰ θηρία ἀβλαβῶς· ἀπὸ κεφαλῆς γὰρ πίστεως ὁδεύειν ἀρξαμένη, καὶ ἀπὸ κεφαλῆς Σανεὶρ, ὅπερ ἑρμηνεύεται ὁδὸς λύχνου· καὶ Ἑρμὼν, ὅπερ μεταληφθὲν ἐςι κέδρος ἢ δρόσος, εἰκότως πάντα τὰ πειράζοντα διαβαίνει· καὶ τὰς ἐνέδρας τῶν ἀντικειμένων δυνάμεων παρέρχεται τῇ ὁδῷ τοῦ λύχνου φωτιζομένη· καὶ καταφόρως τὰς τῶν ἐπι-

βούλων μηχανὰς ποιουμένη, τῇ δὲ δρόσῳ παραμυθουμένη τὸν IV.
ἐπὶ τῇ πορείᾳ κάματον· διὸ καὶ τὰς μάνδρας τῶν τῇ πρακτικῇ
ἐπιβουλευόντων λεόντων, καὶ τὰ ὄρη τῶν τῇ θεωρίᾳ ἐναντίων παρδάλεων παρελθοῦσα, ἔκπληξιν παρέσχε τοῖς προσκαλοῦσιν αὐτὴν ἐν τῷ τάχει· ἴσως δὲ καὶ λέοντας καὶ παρδάλεις, τὰ ποτὲ τῶν ἐθνικῶν ἤθη λέγει· ὄρη δὲ τὴν πεπλανημένην αὐτῶν τῆς εἰδωλολατρείας ἐπὶ τῶν ὑψηλῶν θρησκείαν· καὶ μάνδρας, τὸ τῆς φύσεως εὔνομον· ἀφ' οὗ κινούμενοι φυσικῶς ἐπεγίνωσκον τὸ καλόν· μάνδρα γὰρ προβάτων ποιμαινομένων αὐλὴ, οὐχὶ δὲ θηρίων καταγώγιον· λέοντες δὲ καὶ παρδάλεις, μονοτικὰ καὶ οὐ σύννομα· Τὰ ἔθνη οὖν διὰ τούτων δηλοῖ, θρησκείαν μὲν ἀσεβῆ, διὰ πλάνην μετερχόμενα· πολιτείαν δὲ ἴσως εἶχον, εἰ καὶ μὴ λογικῶν, ἀλλὰ προβάτων τέως εὔτακτον καὶ συμβαίνουσαν, οὐ τῇ ἰουδαίων, ἀλλὰ τῇ χριστιανῶν διαγωγῇ· ἀπὸ πίστεως οὖν ἀρξαμένη ὁδεύειν πρὸς τὸν νυμφίον ἡ νύμφη, καὶ διὰ τῶν εἰρημένων ὁδεύσασα πολλοὺς μεθ' ἑαυτῆς παρέστησε τῷ ἡρμοσμένῳ, ἕδνα καὶ φερνὴν αὐτῆς προσαγαγοῦσα τῷ Χριστῷ.

Ἐκαρδίωσας ἡμᾶς ἀδελφή μου νύμφη· ἐκαρδίωσας ἡμᾶς ἑνὶ 9.
ἀπὸ ὀφθαλμῶν σου ἐν μιᾷ ἐνθέματι τραχήλου σου.

Κυρίλλου.

Ἦγεν εἰς πόθον ἡμᾶς ἤγαγες σεαυτῆς, ἑνὶ ῥήματι τῆς ὁμολογίας· ὅπερ ἔσχες ὀρθῶς ὁρῶσα τοῖς ἔνδον ὀφθαλμοῖς σου· ὑποταγεῖσα γὰρ ἐνθέματι τοῦ τραχήλου σου, τὴν ὁμολογίαν ἐποίησας. Ταῦτα παρὰ τῶν φίλων τοῦ νυμφίου, ἀγγελικῶν φημὶ δυνάμεων, λέγεται πρὸς αὐτήν· διττῆς γὰρ οὔσης τῆς ὀπτικῆς ἐνεργείας, καὶ τῆς μὲν τὴν ἀλήθειαν ὁρώσης, τῆς δὲ ἑτέρας περὶ τὰ μάταια πλανωμένης, ἐπειδὴ περὶ μόνην τοῦ ἀγαθοῦ τὴν φύσιν ἀνέωκται τῆς νύμφης ὁ καθαρὸς ὀφθαλμὸς, ἀργεῖ δὲ ὁ ἕτερος, τούτου χάριν ἑνὶ τῶν ὀφθαλμῶν προσάγουσιν οἱ φίλοι τὸν ἔπαινον· ἀδελφὴν μὲν αὐτὴν καλοῦντες, διὰ τῆς ἀπαθείας συγγένειαν· νύμφην δὲ, διὰ τὴν πρὸς τὸν λόγον συνάφειαν· ἐπεὶ οὖν, φησὶν, ὁ ὀφθαλμός σου εἷς ἐν τῷ πρὸς τὸ ἓν βλέπειν, καὶ

IV. ψυχὴ μία διὰ τὸ μὴ πρὸς διαφόρους διαθέσεις μερίζεσθαι· καὶ ἡ θέσις τοῦ τραχήλου σου τὸ τέλειον ἔχει τὸν θεῖον ζυγὸν ἐφ' ἑαυτῆς ἀραμένη· τοῦτο γὰρ τὸ ἐνθέματι τραχήλου σου· εἴτ' οὖν ὁ τοῦ κυρίου ζυγός· Τούτου χάριν ὁμολογοῦμεν ὅτι τοῖς θαύμασιν ἡμᾶς ἐκαρδίωσας· ὅπέρ ἐστι ψυχήν τινα καὶ διάνοιαν πρὸς τὴν τοῦ φωτὸς κατανόησιν δι' ἑαυτῆς ἡμῖν ἐνεποίησας· καὶ γὰρ ἐν σοὶ τὸν τῆς δικαιοσύνης ἥλιον ὡς ἐν κατόπτρῳ κατανοοῦμεν· διὰ δὲ τῆς δευτερώσεως ἀξιοπιστίαν προτιθέασι τῷ λεγομένῳ.

Νείλου.

Ὁ νυμφίος ἐκ προσώπου παντὸς τοῦ χοροῦ ταῦτα φησίν· τὴν μὲν ἔκπληξιν ἐπὶ πάντας φέρων, τὴν δὲ οἰκειότητα τῆς νύμφης, ἐπὶ μόνον ἑαυτόν, ἀδελφή μȣ λέγων νύμφη, καὶ οὐχ ἡμῶν· κἂν γὰρ διαφέρουσι κατὰ τὴν οὐσίαν ἄγγελοι τῆς ψυχῆς, ἐλαττοῦνται τῷ ἀξιώματι τῆς ἡρμοσμένης Χριστῷ, καὶ ἀπ' ἀρχῆς γινομένης τοῦ ἡμετέρου φυράματος· καὶ τῆς ὑπράνω πάσης ἀρχῆς καὶ ἐξȣσίας καὶ δυνάμεως καθέδρας ἠξιωμένης· καὶ διὰ τοῦτο τοῦ νυμφίȣ ἀδελφὴ ὀνομάζεται· καὶ ὁμαίμων αὐτῷ κατὰ τὴν τῆς σαρκὸς οἰκονομίαν γενομένη καὶ ὁμογάστριος· ἐκαρδίωσε δὲ αὐτοὺς ἑνὶ ἀπὸ ὀφθαλμῶν, ὡς τὰ θεῖα κατανοοῦντι πράγματα· οἱ γὰρ ὀφθαλμοί, ὁ μὲν ἀριστερὸς τοῖς σωματικοῖς προσέχει, ὃς καὶ ἐκαρδίωσε τοὺς ἑτέρους τοῦ νυμφίου, καλῶς ταῦτα διατεθείς· ὁ δὲ ἕτερος τοῖς νοητοῖς ἐνατενίζει, καὶ τοῖς μέλλȣσι προσέχει, ὃς καὶ ἐκαρδίωσε τοὺς ἑτέρους τοῦ νυμφίου· περιεσκεμμένως καὶ μετὰ πολλῆς νήψεως παρελθὼν τὰς τῇ θεωρίᾳ λυμαινομένας παρδάλεις, καὶ τὸ οἰκεῖον κάλλος τηρήσας· καὶ ἐν μιᾷ ἐνθέματι τραχήλȣ τῆς νύμφης ἐκαρδιώθησαν· ὅπερ οἱ λοιποὶ ἐν ἑνὶ ὁρμίσκῳ, τράχηλός σου πεποιήκασι· τάχα οὖν ἐπὶ ἀνωτέρω τράχηλός σου λέγων ὡς ὁρμίσκοι, τὴν ἐπὶ πάσαις ταῖς ἀρεταῖς ταπεινοφροσύνην ἐπῄνει· νῦν ἐφ' ἑνὶ ὁρμίσκῳ τοῦ τραχήλου ἐκπλήττεται ταύτην· ὅτι καὶ νύμφη γενομένη τοῦ βασιλέως, τὴν αὐτὴν κατάστασιν τῆς ταπεινώσεως σώζει.

IV.

Ὠριγένους.

Τὸ ἔνθεμα εἴρηται παρὰ τὸ ἐντίθεσθαι καὶ ἐνορμᾶσθαι τῷ τραχήλῳ τῆς νύμφης· εἰ δὲ ὡς δύο νεβροὶ δορκάδος, ἔμειναν οἱ μαςοὶ τῆς νύμφης, τὸ τί ἐκαλλιώθησαν; οὐκ ἂν ἐῤῥέθη θαυμαστικῶς περὶ τοῦ ὡς ἔφην διανοητικοῦ, ἀλλὰ καὶ τὸ διπλοῦν τοῦ θαύματος, τὴν αὔξησιν τοῦ κάλλους ὑπέδειξεν· ὁποῖον τὸ ἐκαρδίωσας ἐκ δευτέρου ῥηθέν· ἱμάτια δὲ τῆς νύμφης, οἱ ἐνδεδυμένοι Χριστὸν Ἰησοῦν, σπλάγχνα οἰκτιρμῶν καὶ χρηστότητα καὶ ταπεινοφροσύνην· χείλη δὲ οἱ διδάσκαλοι· καὶ κηρία μέλιτος λόγοι καλοί· εἰργάσαντο δὲ κηρίον καὶ μέλι, προφῆται καὶ ἀπόστολοι.

Τί ἐκαλλιώθησαν οἱ μαςοί σου ἀδελφή μου νύμφη; τί ἐκαλ- 10.
λιώθησαν μαστοί σου ἀπὸ οἴνου; καὶ ὀσμὴ ἱματίων σου ὑπὲρ
πάντα τὰ ἀρώματα.

Γρηγορίου.

Ἐπισφραγίζει τῆς νύμφης ὁ νυμφίος τὸν παρὰ τῶν φίλων ἐγκώμιον, ἐπαινῶν αὐτὴν ἐν ταῖς τῶν ἀγαθῶν διδαγμάτων πηγαῖς, οἶνον ἀλλ' οὐκ ἔτι γάλα προχεούσαις· δι' οὗ ταῖς τελειωτέραις καρδίαις ἡ εὐφροσύνη· ἡ δὲ τῶν ἀρετῶν εὐωδία πᾶν ἄρωμα φησὶν νενίκηκε νομικὸν, μυρεψούμενον τοῖς εὐαγγελικοῖς ἐπιτάγμασιν· ὅμοια δὲ τὰ τοῦ νυμφίου, τοῖς ἐν ἀρχῇ παρὰ τῆς νύμφης πρὸς ἑαυτὸν εἰρημένοις· ὅτι ἀγαθοὶ οἱ μαστοί σου ὑπὲρ οἶνον, καὶ ὀσμὴ μύρων σου ὑπὲρ πάντα τὰ ἀρώματα· τοιοῦτον γὰρ τὸ θεῖον ἔργον, ἐὰν ὁμοίους ἑαυτοὺς αὐτῷ διὰ τῆς προαιρέσεως δείξωμεν· διὸ νῦν ἡ νύμφη τὴν ὁμοίαν ἀπόκρισιν δέχεται πρὸς τὸ κρεῖττον ἀλλοιωθεῖσα· ὅθεν καὶ ἀδελφὴν αὐτὴν καλεῖ διὰ τὸ οἶνον πηγάζειν ὁμοίως αὐτῷ.

Νείλου.

Βελτίωσιν καὶ προκοπὴν τῶν μαστῶν διηγεῖται τῆς νύμφης· πρότερον μὲν ὅτε ἐν κρίνοις δύο νεβροὶ δίδυμοι δορκάδος ἐνέμοντο· τάχα τῶν ποιμαινομένων ὑπὸ τοῦ κύριου, καὶ εἰς τόπου χλόης κατασκηνούντων, προβάτων τὴν κατάστασιν ἐχόντων· νῦν

IV. δὲ ὅτε ἀπὸ οἴνου ἐκαλλιώθησαν, εἰς τὸ τῆς ἡτοιμασμένης τοῖς λογικοῖς τραπέζης, καὶ τοῦ μεθύσκοντος ποτηρίου ἀπολαύειν φθασάντων· οὐ ταυτὸν γὰρ γάλα καὶ οἶνος· τὸ μὲν γὰρ νηπίων, τὸ δὲ τελείων τροφή· ἐπεὶ οὖν τοῖς σιτίοις τῆς μητρὸς ἐξομοιοῦται τὸ γάλα, καὶ τοὺς τιθηνομένους τρέφει καταλλήλῳ πιότητι, τότε ἀπὸ οἴνου τῆς νύμφης οἱ μαστοὶ καλλιοῦνται, ὅτε τοὺς μαθητευομένους τῷ λόγῳ τελείαν πρὸς εὐφροσύνην πνευματικὴν παιδεύωσι διδασκαλίαν, τῷ μυστικῷ τονοῦντες αἵματι τὰ αἰσθητήρια τῶν γνωρίμων, πρὸς τὴν τῶν συμφερόντων ἐπίγνωσιν· ὀσμὴ δὲ ἱματίων σου τῆς νύμφης εἰσὶν οἱ πρακτικοὶ, καὶ τοῖς ἔργοις τῶν ἀρετῶν εὐωδιάζοντες· ἱμάτια γὰρ, αἱ ἠθικαὶ ἀρεταί· ὡς καὶ Παῦλος ἐνδύσασθαι λέγων χρηστότητα, ταπεινοφροσύνην· πρᾶξις γὰρ πρὸς σωτηρίαν, θεωρίας ἐπιτηδειοτέρα.

11. Κηρίον ἀποστάζουσι χείλη σου νύμφη· μέλι καὶ γάλα ὑπὸ τὴν γλῶσσαν σου.

Φίλωνος.

Μέλι τὸ εὐαγγέλιον, γάλα ὁ νόμος.

Γρηγορίου.

Πλήρης σοι, φησί, γέγονεν ἡ καρδία τῶν τῆς παντοδαπῆς παιδεύσεως κηρίων· ὅθεν προσφέρεις ἐκ τοῦ ἀγαθοῦ θησαυροῦ τῆς καρδίας τὰς μελιχρὰς τῶν λόγων σταγόνας, ὡς εἶναι μέλι τὸν λόγον συναναμεμιγνύμενον τῷ γάλακτι· οὐ γὰρ μονοειδῆ τοῖς ἀκούουσι τὴν ὠφέλειαν παρέχεις, ἀλλὰ καταλλήλως πρὸς τὴν τῶν δεχομένων δύναμιν· ὡς καὶ τοῖς τελειοτέροις καὶ τοῖς νηπιάζουσιν οἰκείως ἔχειν, τοῖς μὲν τελειοτέροις μέλι, τοῖς δὲ νηπιάζουσι γάλα γίνεσθαι.

Νείλου.

Τῆς καθ' ἕξιν ὑπαρχούσης πρὸς πᾶσαν κατάστασιν ὠφελίμου διδασκαλίας τῇ νύμφῃ, μέλιτος καὶ γάλακτος ὀνομαζομένης, ἡ κατ' ἐνέργειαν κηρίον εἴρηται· αὕτη γὰρ ἀποστάζει πᾶσιν, ἐν προφορᾷ τοῦ λόγου δηλουμένη· ἐκείνη δὲ ἐστὶν ὑπὸ τὴν γλῶσσαν λανθάνουσα, πλὴν τοῦ κοινωνοῦντος αὐτῇ νυμφίου, τοὺς λοι-

πούς ἅπαντας· ποιότης γὰρ στόματος ἐν φιλήματι κρίνεται, τοῦ IV.
ὑπὸ τὴν γλῶτταν μέλιτος ἐλεγχομένου· κοινωνία γλώττης ἑτέρας καὶ καρδίας διάθεσις, γνώσει τοῦ τὰ κρυπτὰ δοκιμάζοντος καταλαμβάνεται· ἐπειδὴ δὲ ἐκ τοῦ περισσεύματος τῆς καρδίας τὸ στόμα λαλεῖ, στοχάσασθαί ἐστι τὸ κάλλος τῶν νοημάτων τῆς νύμφης, ἐκ τοῦ ἀποστάζοντος τῶν χειλέων αὐτῆς κηρίου· ὀσμὴ δὲ ἱματίων αὐτῆς πρὸ μικροῦ μὲν ὑπὲρ πάντα τὰ ἀρώματα, νῦν δὲ οὐχ᾽ ὑπὲρ λίβανον, ἀλλ᾽ ὡς ὀσμὴ λιβάνου· ἀντὶ τοῦ ὑπερβολικοῦ, συγκριτικῷ ὀνόματι δηλουμένη· πάλιν δὲ τὴν τῶν πρακτικῶν ἀρετὴν, τῇ τῶν θυμιαμάτων ὀσμῇ, διὰ τὸ πρὸς θεὸν κατευθύνεσθαι ὡμοίωσεν· ὀσμὴν λιβάνου τὴν τῶν ἔργων εὐωδίαν εἰρηκώς.

Καὶ ὀσμὴ ἱματίων σου ὡς ὀσμὴ λιβάνου.

Γρηγορίου.

Ἤγουν κεκόσμησαι θεολογίας πνέουσιν ἱματίοις· ἐπείπερ οὐ μονοειδής τίς ἐστιν, οὐδὲ μονότροπος ἡ κατ᾽ ἀρετὴν πολιτεία, ἀλλ᾽ ὥσπερ ἐπὶ τῆς τῶν ὑφασμάτων κατασκευῆς, διὰ τῶν πολλῶν νημάτων ἡ ὑφαντικὴ τέχνη τὴν ἐσθῆτα ποιεῖ, οὕτω καὶ ἐπὶ τῆς ἐναρέτου ζωῆς πολλὰ χρὴ συνδραμεῖν, δι᾽ ὧν ὁ ἀστεῖος ἐξυφαίνεται βίος· ἅπερ καὶ ἀπαριθμεῖται ὁ θεῖος ἀπόστολος, χαρὰν, εἰρήνην, μακροθυμίαν, καὶ τὰ τοιαῦτα· τούτου χάριν ἀποδέχεται τὸ ἐν ἐσθῆτι κόσμον τῆς νύμφης, ὡς τῷ λιβάνῳ κατὰ τὴν ὀσμὴν ὁμοιούμενον· καὶ φησὶν ὅτι σοὶ ὦ νύμφη τῶν ἀρετῶν ἡ περιβολὴ, τὴν θείαν μιμεῖται μακαριότητα, διὰ καθαρότητος καὶ ἀπαθείας τῇ ἀπροσίτῳ φύσει ὁμοιουμένη· τοιαύτη γὰρ ἡ τῶν ἱματίων ὀσμὴ, ὡς πρὸς τὸν λίβανον ἐμφερῶς ἔχειν τὸν ἀντικείμενον εἰς τὴν τοῦ θεοῦ τιμήν.

Κῆπος κεκλεισμένος, ἀδελφή μου νύμφη· κῆπος κεκλεισμένος, 12.
πηγὴ ἐσφραγισμένη.

Ἀπολιναρίου.

Κῆπος δὲ ἄλλως κεκλεισμένος ἡ νύμφη, διότι πλείονα τοῦ φαινομένου κατὰ διάνοιαν ἔχει.

IV. Κυρίλλου.

Κέκλειςαι μὲν τῷ κόσμῳ, τῷ δὲ ἐπ' οὐρανίῳ νυμφίῳ ἡνέωσται· ἡ δὲ πηγὴ τῷ ἁγίῳ πνεύματι ἐσφράγισται ᾧ χριώμεθα μετὰ τὸ βάπτισμα.

Γρηγορίου.

Διὰ τούτων πάλιν μανθάνομεν, πῶς ἄν τις γένοιτο τοῦ κύριȣ ἀδελφὴ καὶ ὁμόζυγος· νύμφη μὲν γὰρ γίνεται, διὰ τοῦ προσκολληθῆναι τῷ κυρίῳ· ἀδελφὴ δὲ, διὰ τοῦ τὸ θέλημα αὐτοῦ κατεργάζεσθαι· ὁ δὲ τοιοῦτος κῆπος εὐθαλὴς γενέσθω· πάντων ἔχων ἐν ἑαυτῷ τῶν φυτῶν τὴν ὥραν καὶ καρπὸν, προβαλλέσθω τοῦ πνεύματος· κεκλεισμένος δὲ τοῖς ἐχθροῖς τῷ τῶν ἐντολῶν περιφράγματι· ὡς μηδὲ μίαν καθ' ἑαυτοῦ παρασχεῖν τῷ κλήπτῃ καὶ τοῖς θηρίοις τὴν πάροδον· ἀλλὰ τῷ κήπῳ τούτῳ καὶ πηγῆς ἐςὶ χρεία, ὡς ἂν εὐθαλὲς διαμένει τὸ κάλλος τῷ ὕδατι, εἰς τὸ διηνεκὲς πιαινόμενον· διὰ τοῦτο συνέζευξεν ἐν τοῖς ἐπαίνοις τὴν πηγὴν τῷ κήπῳ· αὕτη δ' ἂν εἴη ἡ διανοητικὴ τῆς ψυχῆς ἡμῶν δύναμις· ἡ παντοίους ἐν ἡμῖν λογισμοὺς βρύουσά τε καὶ πηγάζουσα· ἀλλα τὸ ἡμετέρα γίνεται ἡ πηγὴ, κατὰ τὸ ἡ πηγὴ τοῦ ὕδατος ἔςω σοι ἰδία· ἤγουν τὸ τῆς διανοίας ἡμῶν κίνημα ὅταν πρὸς τὰ συμφέροντα ἡμῖν κινεῖται, πᾶσαν συνέργειαν πρὸς τὴν τῶν ἀγαθῶν κτῆσιν παρεχόμενον, καὶ μὴ πρὸς ἀλλοτρίους καὶ πονηροὺς λογισμοὺς ἐκχεόμενον, ἐξ ὧν φύονται ἄκανθαι· ἐπεὶ δὲ καὶ ἡ σφραγὶς τὸ ἄσυλον σημαίνει, τὴν ἀκροτάτην ἔοικεν ἀρετὴν μαρτυρεῖν τῇ νύμφῃ, ὅτι ἀνέπαφος αὐτῆς μένει τοῖς ἐχθροῖς ἡ διάνοια, ἐν καθαρότητι καὶ ἀπαθείᾳ φυλαττομένη τῷ ἰδίῳ δεσπότῃ ἢ καὶ μὴ τοῖς σωματικοῖς ἐνασχολεῖσθαι, ἀλλὰ τὴν τῆς ψυχῆς ἐπιμέλειαν δι' ἀρετῆς ποιεῖσθαι παρακελεύεται.

Νείλου.

Ἔστι λάχανα πολλάκις κρεῶν προκρινόμενα, ὅταν μάλιστα μὲν ταῦτα ἐκκλησιαστικῆς συγκαταβάσεως ᾖ· τῶν ἀσθενῶν παραίνεσις πρόσφορος· τὰ δὲ κρέα, αἱρετικῆς διδασκαλίας ὠμὰ καὶ ἀκατέργαστα· μετὰ ταῦτα εἶναι καρπῶν παντοίων ἀρετῆς κῆπος

ἡ νύμφη· καὶ τούτων τῶν λαχάνων ἐστὶ κῆπος, κᾂν ἀσθενούν- IV.
των ἐστὶ παραμυθία, ἀλλὰ καὶ πρὸς φιλίαν καὶ χάριν παρατίθενται· ἔδει γὰρ καὶ λάχανα τὸν τῆς νύμφης ἔχειν παράδεισον· ἵνα μὴ τῶν νηπίων ἐχόντων γάλα, καὶ τῶν τελείων ἄρτῳ καὶ οἴνῳ τρεφομένων, καὶ τῶν ἐντρυφώντων τοῖς λόγοις μέλιτι γλυκαινόντων, τὸν τῶν θείων νοημάτων αἰσθόμενον λάρυγγα μόνοι οἱ ἀσθενοῦντες ἀποςερῶνται τῆς καταλλήλου τρυφῆς· κεκλεισμένος δὲ ἐςὶν οὗτος διὰ τοὺς παραπορευομένους καὶ διὰ τὸν λυμαινόμενον τὰ ἀπερίφρακτα ὗν ἐκ δρυμοῦ· καὶ πηγὴ δέ ἐστιν ἐσφραγισμένη, ἵνα μὴ πρόχειρος ᾖ τοῖς ἀναξίοις ἀντλεῖν ἐπιχειροῦσιν· αἱρετινῶν γὰρ ὀφθαλμοῖς καὶ δυνάμεων ἀντικειμένων ἄψαυστον εἶναι θέλων τὴν νύμφην, πηγὴν αὐτὴν καλεῖ ἐσφραγισμένην, τῇ σφραγίδι τὸ ἀνεπιβούλευτον σημαίνων.

Ὠριγένους.

Δεύτερον, τὸ κῆπος κεκλεισμένος ἐῤῥέθη, τὸ μὲν ἐπὶ προκόπτοντος, τὸ δὲ ἐπὶ τελείου, ὅτε τὸ ἡγεμονικὸν αὐτοῦ καθοραθὲν, τῇ τῆς θεολογίας σφραγίδι τετύπωται· ἣ καὶ νῦν μὲν ἡ νύμφη κῆπος ἐστὶν κεκλεισμένος μόνον, ἐν δὲ τῷ μέλλοντι αἰῶνι διὰ τὴν τελειότητα καὶ τὸ βέβαιον, καὶ πηγή ἐστιν ἐσφραγισμένη· παντὶ γὰρ τῷ ἔχοντι δοθήσεται καὶ περισσευθήσεται· νῦν μὲν οὖν ἡ γραφὴ κῆπον εἶναι ἁπλῶς· ἀλλαχοῦ δὲ ὡς περὶ ἑτέρου, καὶ τὸ λαχανείας προστίθησιν.

Ἀποστολαί παραδείσου ῥοῶν μετὰ καρποῦ ἀκροδρύων· κύ- 13.
προι μετὰ νάρδων· νάρδος, καὶ κρόκος, καὶ κάλαμος, καὶ κι- 14.
νάμωμον, μετὰ πάντων ξύλων τοῦ Λιβάνου· σμύρνα, ἀλόη, με-
τὰ πάντων πρώτων μύρων· πηγὴ κήπων φρέαρ ὕδατος ζῶντος 15.
καὶ ῥιζοῦντος ἀπὸ Λιβάνου.

Γρηγορίου.

Ὅρα τὴν ἄνοδον, εἰς τοσοῦτον γὰρ ὑψώθη τῆς ἐπὶ τὸ μεῖζον αὐξήσεως, ὡς ἐκ στόματος αὐτῆς βλαστάνειν παράδεισον· οὕτω γὰρ τὸ ἑβραϊκὸν ἀντὶ τοῦ ἀποστολαί σου, ἐκ στόματός σου παράδεισος ῥοῶν ἔχει· φησὶν οὖν ὅτι ὁ λόγος σου ὁ διὰ

IV. τοῦ στόματός σου ἀποστελλόμενος παράδεισος ἐστὶ ῥοῶν· αἱ δὲ ῥοαὶ, παγκαρπίαν τινὰ τῶν ἀκροδρύων ἐκφύουσι, τὰ ἀκρόδρυα ; κύπρος καὶ νάρδος καὶ τὰ ἑξῆς· τίς δὲ ὁ λόγος, ἢ ὁ τῆς πίστεως; ὃς ἐν τοῖς ὑποδεχομένοις παράδεισος γίνεται διὰ τῆς ἀκοῆς ταῖς καρδίαις ἐμφυτευόμενος; ῥοῶν δὲ πλήρη φησὶν, ἐπειδήπερ ὁ δίκαιος ἐν ταῖς πικραῖς τοῦ βίου περιστάσεσιν, μάλιστα καρποφορεῖ, καὶ ἐν αὐταῖς ἔχει τὸ γλυκὺ καὶ τρόφιμον, ὥσπερ ἡ ῥόα, ἔνδον τοῦ ϛρυφνοῦ τὸ ἐδώδιμον· διὰ τοῦτο τοίνυν δίκην ῥοῶν παραδείσου ἐν ταῖς τῶν ἀκουόντων ψυχαῖς ὁ ἀποστελλόμενος παρὰ τῆς νύμφης λόγος ἐργάζεται· ἵνα μάθωμεν διὰ τῶν λεγομένων, μὴ διά τινος ἐκλύσεως καὶ τρυφῆς κατὰ τὴν παροῦσαν ζωὴν μαλακίζεσθαι, ἀλλὰ τὸν κατεσκληκότα διὰ τῆς ἐγκρατείας αἱρεῖσθαι βίον· οὕτω γὰρ ἂν ἀπρόσιτος γένοιτο τοῖς κλέπταις ὁ τῆς ἀρετῆς καρπὸς, τῇ ϛῦφῇ τῆς ἐγκρατείας περιβολῇ πεφραγμένος· χρὴ δὲ καὶ πᾶσαν εὐωδίαν τὸν τῆς ψυχῆς φέρειν παράδεισον, διὰ τῆς πολυειδοῦς τῶν ἀρωμάτων φύσεως, ἐν τοῖς ἀκροδρύοις εὑρισκομένοις· καὶ πρῶτον μὲν, κύπροι μετὰ νάρδων, τὸ θερμὸν καὶ εὐῶδες ἔχοντες, ἵνα γένηται τῷ ἁγίῳ πνεύματι ζέων· ἔπειτα δὲ κρόκος, ὃς παρηγορεῖ τὰς ὀδύνας, μέσως τε ψύξεως ἔχων καὶ θερμότητος· οὕτω γὰρ αἱ ἀρεταὶ μέσως ἔχουσιν ὑπερβολῆς τε καὶ ἐλλείψεως· ἢ τὸν τῆς πίϛεως λόγον διὰ τούτυ παρεμφαίνει, τὴν εἰς πατέρα καὶ υἱὸν καὶ ἅγιον πνεῦμα ὁμολογίαν, διὰ τὴν τριπλόην τὴν εὑρισκομένην ἐν τοῖς ἄνθεσι τούτοις· καὶ ἐν τὰ τρία ὑπάρχοντα κατά τε εὔχροιαν καὶ εὔπνοιαν· εἶτα κάλαμος καὶ κινάμωμον, τὰ ἀκρόδρυα τὰ ἐκ τῶν ῥοῶν τοῦ παραδείσου καρποφορούμενα· ἀλλὰ κάλαμος μὲν τοσοῦτον εὔπνοιαν ὑπερέχει, ὡς πρὸς τὸ ἱερατικὸν θυμίαμα ὑπὸ τοῦ νόμου παραλαμβάνεσθαι· τὸ δὲ κινάμωμον ποικίλην ἐνέργειαν διά τινος φυσικῆς δυνάμεως ἐπαγγέλλεται· καὶ γὰρ ἐν τοῖς θερμοῖς ἐκβαλλόμενον ἀποψύχει· δεικνύντος τοῦ λόγου, ὅτι ὅταν τίς δι' ἐπιθυμίαν ζέων ᾖν ἢ τῷ θυμῷ πυρακτούμενος, τῷ λογισμῷ χρὴ καταςβεννύειν τὰ πάθη· ἔστι δὲ καὶ ἄλλως καὶ αὐτὸ

μέρος τοῦ ἐλαίου τοῦ χρίσματος· ὁ πρὸς τοῦτο δὲ φθάσας τοῦ βίου τὸ μέτρον, διὰ πάντων ἐν ἑαυτῷ τοὺς θείους δείκνυσι χαρακτῆρας· ὅπερ ἐμφαίνει τὸ ἀπὸ πάντων ξύλων τοῦ Λιβάνου· οὐ γὰρ μονοειδὲς τὸ ξύλον τοῦ λιβάνου ὅθεν λιβανωτὸς ἀποῤῥεῖ, ἀλλ' ἔστι τὶς ἐν τοῖς ξύλοις διαφορὰ τὸ τοῦ ἀρώματος σχῆμα, τῷ εἴδει τοῦ ξύλου συνεξαλλάσσουσα· ὁ τοίνυν ἐπισημαίνων ἐν οἷς πράττει τῶν τοῦ Λιβάνου ξύλων τὸ κάλλος, οὗτος ἐν ᾧ τὸ θεῖον εἶδος χαρακτηρίζεται· οὐδεὶς δὲ τῆς θείας δόξης, κοινωνὸς γίνεται, μὴ σύμμορφος πρότερον τῷ ὁμοιώματι τοῦ θανάτου γενόμενος· διὸ ἐπάγεται σμύρνα καὶ ἀλόη, τὴν ταφὴν ἐνδεικνύμενα· πρῶτον δὲ μῦρον φησὶν τὸ ἀμιγὲς ἁπάσης καπηλείας ἐμφαίνων καὶ καθαρὸν τῶν δογμάτων· ἡ δὲ πηγὴ ἕτοιμος πρὸς πόσιν παντὶ τῷ αἰτοῦντι λόγον· τὸ δὲ φρέαρ, τὸ βάθος τοῦ πλούτου δηλοῖ οὗ δέη πηγὴ καὶ τὸ ζωτικὸν φρέαρ ἀπὸ Λιβάνου, τουτέστι θεόθεν εἰς ἑαυτὴν ὀξὺ καθέλκει τὸ ῥεῖθρον. IV.

Κυρίλλου.

Αἱ γὰρ ἀρεταὶ μὲν, διὰ τῶν ἀρωμάτων σημαίνονται· ξύλα δὲ τοῦ Λιβάνου, τοὺς προφήτας φησίν· διὰ δὲ τῆς σμύρνης καὶ τῆς ἀλόης, ὅτι ἐνταφιασθεὶς ὁ Χριστὸς ἐκοινώνησε τοῖς προλαβοῦσιν ἁγίοις· κατελθὼν γὰρ εἰς ᾅδου τούτους ἀνήγαγεν.

Νείλου.

Τὰ δῶρα τῆς νύμφης παράδεισον ὀνομάζει Χριστὸς, διὰ τὸ πάντα ἔχειν τὰ παρὰ ἀνθρώποις τίμια· ἔχει δὲ οὗτος ὁ παράδεισος, ῥόας μὲν, τοὺς τῷ αὐστηροτέρῳ βίῳ τὸ ἐδώδιμον τῆς ἀρετῆς ἐγκρύπτοντας, τάχα τοὺς τὸν μοναδικὸν καὶ ἐγκρατῆ τρόπον ἐπανῃρημένους· καρποὺς δὲ ἀκροδρύων, τοὺς τῷ καρπῷ κομῶντας τοῦ πνεύματος, ἀγάπῃ χαρᾷ εἰρήνῃ, μετὰ τοῦ ἐναρέτου καὶ τὸ μελίχιον ἔχοντας· οἱ μὲν γὰρ τῇ ῥόᾳ ὁμοιούμενοι, ἔχουσι τὸ ἀσεμφὲς καὶ αὐχμηρὸν σκυθρωπάζοντες· οἱ δὲ τοῖς ἀκροδρύοις παραπλήσιοι, τὸ πρὸς πάντας προσηνές· ἀγάπη γὰρ καὶ χαρὰ καὶ εἰρήνη τούτων ὁ καρπὸς, ὧν χρηστότερον οὐδὲν, φαιδρᾷ διαθέσει δεξιουμένων τοὺς ἐντυγχάνοντας· ἔχει δὲ καὶ κύπρους μετὰ

IV. νάρδων, τοὺς τῇ ἀκμῇ τῆς θεοσεβείας τὸ θερμὸν καὶ διάπειρον τοῦ ζήλου κεκτημένους· νάρδος δὲ καὶ κρόκος καὶ κάλαμος καὶ κινάμωμον, ἐπειδὴ συντιθέμενα ποιεῖ τὸ ἅγιον τῷ νόμῳ θυμίαμα, οἱ τῇ προσευχῇ προσκαρτεροῦντες εἰσίν· πρῶτα δὲ μῦρα, οἱ τὴν περὶ τριάδος γνῶσιν εἰληφότες· σμύρνα δὲ καὶ ἀλόη, οἱ τὰ μέλη νεκρώσαντες καὶ συνταφέντες Χριστῷ· πηγὴ δὲ κήπων, ὁ τοὺς ἀσθενεστέρους ποτίζων λόγος· καὶ φρέαρ ὕδατος ζῶντος, ὁ τὰ βαθύτερα τοῖς πολλοῖς ἀσύνοπτα παραδιδοὺς μυστήρια· ῥοιζοῦσαν δὲ αὐτὴν ἀπὸ τοῦ Λιβάνου εἶπεν τὴν πηγὴν ἢ τὸ φρέαρ, διὰ τὸ τοὺς διδασκάλους τῆς ἐκκλησίας ἀπὸ τοῦ ἰουδαϊκοῦ ὁρμᾶσθαι γένους· τούτους γὰρ σημαίνει ὁ Λίβανος, καὶ τὸ ῥοίζωμα τῆς πηγῆς, δείκνυσιν ὁ Παῦλος Ἀθηναίοις δημηγορῶν, καὶ ποταμοὺς λόγων ἀναστέλλων τῷ οἰκείῳ ῥείθρῳ τοῦ λόγου· ταῦτα παράδεισον ὁ λόγος ὠνόμασεν, ἕδνα τῆς νύμφης ὄντα· οὓς αὐτῷ πρὸ γάμου προσήνεγγεν ἢ ἀπέστειλε, τὸ σεμνὸν καὶ ἐν τούτῳ τῆς παρθενικῆς φυλάττουσα καταστάσεως· αἱ γὰρ ἀποστολαὶ τοῦτο σημαίνουσιν· ὅτι οἴκοι μένουσα καὶ θαλαμευομένη, αἰδημόνως τὰ δῶρα δι' ὧν ἄξιον ἦν τῷ νυμφίῳ προσήνεγγεν.

16. Ἐξεγέρθητι βορρᾶ, καὶ ἔρχου νότε· διάπνευσον κῆπόν μου, καὶ ῥευσάτωσαν ἀρώματά μου.

Γρηγορίου.

Καὶ ἡ νύμφη μιμεῖται τὸν ἐγερθέντα νυμφίον, καὶ τοῖς ἀνέμοις ἐπιτιμήσαντα, καὶ οὐχ' ἠρεμῶν ἐπιτάσσειν, ἀλλ' ἀποχωρεῖν καὶ φεύγειν διακελεύεται ὡς ἂν ἀκωλύτως ὁ νότος ῥέῃ, μηδὲ μιᾶς ἀντιπνοίας ἐμποδιζούσης αὐτοῦ τὴν φοράν· τί δ' ἂν λέγοι βορρᾶν; ἢ τὸν ἄρχοντα τῆς ἐξουσίας τοῦ σκότους τὸν τῆς κατηφείας τοῦ χειμῶνος τοῦ νοητοῦ ἐργάτην, ὃς ἐν ταῖς παροιμίαις σκληρὸς ὀνομάζεται, διὰ τὸ τῶν ψυχῶν ἁπαλὸν φύσει, ὑδατοδίκην ἀπολιθοῦν διὰ τῆς πήξεως καὶ σκληρὸν ἀπεργάζεσθαι· διὰ τί δὲ τούτῳ τῷ ὀνόματι παρωμοίωται; διὰ τὸ ἐκεῖνον τόπον ἀφεγγῆ τε εἶναι καὶ κατεψυγμένον εἰς ἀεὶ διαμένειν· μήτε λαμπόμενον ὑπὸ τῶν ἡλιακῶν ἀκτίνων, μὴ θαλπόμενον διὰ τὸ τὴν κίνησιν

τοῦ ἡλίου τῷ νοτιαίῳ μέρει πρὸς τὰς δυσμὰς ποιεῖσθαι· αὕτη IV.
τοίνυν ἡ κατὰ τῶν παθῶν καὶ τῆς ἀντικειμένης δυνάμεως τὸ κράτος ἀναδυσαμένη, καΤ' ἐξεσίαν τῆς ἰδίας ἀρχῆς τὸ ψυχρὸν πνεῦμα ἀποδιώκει· προσκαλεῖται δὲ τὸν μεσημβρινὸν καὶ θερμὸν, ὅπερ ὀνομάζει νότον· δι' οὗ τῆς τρυφῆς ὁ χειμάῤῥυς ῥεῖ, ὥςε τῇ βιαίᾳ πνοῇ, καθάπερ ἐν τῷ ὑπερώῳ τοῖς μαθηταῖς τοῖς ἐμψύχοις φυτοῖς ἐπεισόντα, κινῆσαι τοῦ Θεοῦ τὴν φυτείαν, πρὸς τὴν τῶν ἀρωμάτων φορὰν· καὶ παρασκευάσαι διὰ στόματος ῥεῖν τὴν εὐώδη προφητείαν καὶ τὰ σωτήρια τῆς πίσΊεως δόγματα· τοιοῦτος γὰρ ποταμὸς ἀρωμάτων ἦν, ἐκ τοῦ κήπου τῆς ἐκκλησίας ῥέων διὰ τοῦ πνεύματος ὁ μέγας Παῦλος· οὗ τὸ ῥεῖθρον Χριςοῦ εὐωδία ἦν τοιοῦτος ἄλλος, ὁ Ἰωάννης, ὁ Λουκᾶς, καὶ οἱ λοιποί.

Νείλου.

Τῶν προειρημένων φυτῶν δεῖξαι βουλομένη τὸ εὐγενὲς καὶ δόκιμον ἡ νύμφη, τῶν πειρασμῶν προσκαλεῖται τὰ πνεύμαΊα· καὶ τὸν μὲν βοῤῥᾶν ἡττηθέντα ἀποπέμπεται· τὸν δὲ νότον ἀγωνισόμενον προσκαλεῖται· ἢ πάνΊας ἅμα καλεῖ θαῤῥοῦσα τῇ ἐκ γυμνασίας καὶ συνεργείας Θεοῦ προσούσῃ αὐτῇ δυνάμει· οὐκ ἄλλως γὰρ τῶν ἀρετῶν τὸ δόκιμον φαίνεται, εἰ μὴ πλῆθος πειρασμῶν τῇ καρτερίᾳ προσβαλὼν, τὰ τῆς ὑπομονῆς κρουνηδὸν εἰς τοὐμφανὲς ἐξαγάγῃ, δίκην ῥεύματος, ἀρώματα· καὶ φανεροὺς αὐτοὺς πᾶσι δεῖξαι, ἀοιδοίμες αὐτοὺς ἀπεργάσηται· μετὰ τοῦτο οὖν εἰς τὸν κῆπον παρακαλεῖ καταβῆναι τὸν νυμφίον· τῆς ὀσμῆς τῶν ἀρωμάτων ἀντιληψόμενον, καὶ βρωσόμενον καρπὸν ἀκροδρύων· βρῶσεις γὰρ ἀληθὴς τοῦ νυμφίε, ἀγάπη, χαρὰ, εἰρήνη, καὶ οἱ τοὺς πΊωχοὺς δὲ τρέφοντες, βρῶσιν ἑτοιμάζουσι Ίῷ Χριστῷ· ὅσοι δὲ παρορῶσι πένητα, συκῆ εἰσὶν ἄκαρπος καὶ ξηρά.

Ὠριγένους.

Ἔοικεν ἐπιτιμᾷν ἡ νύμφη τῷ βοῤῥέᾳ, τὴν ἐξεσίαν λαβῦσα παρὰ τοῦ ἐπιτιμήσαντος τῷ ἀνέμῳ νυμφίε· διὸ παρὰ τοῖς τρισὶν εὐαγγελισταῖς ἐπιτιμηθῆναι τῷ ἀνέμῳ εἴρηται· οἱ δὲ ἄνεμοι ἁπλῶς ὑπακούεσιν αὐτῷ· Χριςὸς οὖν ἐξωθουμένους τοῦ διαβόλε, εἰσοι-

IV. κίζεται ταῖς ψυχαῖς· περὶ οὗ τὸ, ὁ Θεὸς ἀπὸ Θαιμὰν ἥξει, τουτέστιν ἐκ νότου.

Καταβήτω ἀδελφιδός μου εἰς κῆπον αὐτοῦ καὶ φαγέτω καρπὸν ἀκροδρύων αὐτοῦ.

Γρηγορίου.

Πεπαῤῥησιασμένη φωνῇ, πᾶσι τοῖς οὖσι τὴν ζωὴν ἐκ τῆς ἰδίας πηγῆς ἐπιῤῥέουσαν ἡ νύμφη προστίθησι τράπεζαν, κῆπον διὰ τῶν ἐμψύχων δένδρων πεφυτευμένον· ἡμεῖς δὲ τὰ δένδρα· εἴπερ δὴ καὶ ἡμεῖς οἱ τροφὴν αὐτῷ προτεθέντες τὴν τῶν ψυχῶν ἡμῶν σωτηρίαν· κατὰ τὸ, ἐμὸν βρῶμα ἐστὶν ἵνα ποιῶ τὸ θέλημα τοῦ πατρός μου· καρπὸς δὲ ἡμῶν ἡ προαίρεσις· ἐπειδὴ οὐκ ἔστιν ἡμᾶς ἄλλως ἀναληφθῆναι πρὸς τὸν ὕψιστον, εἰ μὴ πρὸς τὸ χθαμαλώτερον ἐπικληθείη ὁ ἀναλαμβάνων πραεῖς κύριος· εὐκτικῶς τὸ καταβήτω φησὶν, ἐπιδεικνυμένη τῷ θεῷ τῶν τῆς ἀρετῆς ἀκροδρύων τὴν εὐφορίαν.

CAP. V.

v. 1. Εἰσῆλθον εἰς κῆπον ἀδελφή μου νύμφη· ἐτρύγησα σμύρναν μετὰ ἀρωμάτων μου· ἔφαγον ἄρτον μου· ἔπιον οἶνον μου μετὰ γάλακτός μου· φάγετε οἱ πλησίον μου, καὶ πίετε καὶ μεθύσθησεσθε ἀδελφιδοί μου.

Γρηγορίου.

Ἥρμοσε καὶ νῦν τὸ, ἔτι σου λαλοῦντος, ἰδοὺ πάρειμι· γεγονὼς γὰρ εὐθὺς ἐν τῷ κήπῳ τῶν τῆς ἀρετῆς ἀκροδρύων ἐνεφορήθη· καὶ διήγημα τὴν εὐωχίαν ποιεῖται· εἴ τι δὲ καλὸν παρ' ἑαυτοῦ, καὶ τοὺς μακαρίους κήπους, τοιαῦτα φέρειν παρασκευάζει φυτά· τῷ μὲν γὰρ τῆς εὐωδίας τρυφῶντι σμύρνα γίνεται μετὰ ἀρωμάτων, διὰ τῆς τῶν ἐπιγείων μελῶν νεκρότητος, τὸν καθαρὸν καὶ εὐώδη μυρεψοῦντι βίον, τὸν ἐκ ποικίλων τε καὶ διαφόρων τῶν τῆς ἀρετῆς ἀρωμάτων συγκεραννύμενον· τῷ δὲ τὴν τελειοτέραν ἐπιζητοῦντι τροφὴν, ἄρτος γίνεται, οὐκ ἔτι ἐπιπε-

κρίδων ἐσθιόμενος, ἀλλ' ὄψον ἑαυτοῦ τὸ μέλι ποιούμενος· εἶτα V. ἐν τῷ ἰδίῳ καιρῷ ὁ καρπὸς τῆς ἀρετῆς καταγλυκαίνει τὰ τῆς ψυχῆς αἰσθητήρια· τῷ διψῶντι δὲ κρατὴρ γίνηται πλήρης οἴνου καὶ γάλακτος· πάντως δὲ οὐκ ἀγνοοῦμεν πῶς δένδρον ἦν σμυρνηφόρον ὁ Παῦλος· νεκρῶν ὁσημέραι τὰ μέλη, καὶ δι' ἀπαθείας ἀρωματίζων ὀσμὴν τοῖς σωζομένοις ζωῆς· πῶς δὲ σιτοποιεῖ τῷ Θεῷ τὰ ἔμψυχα τοῦ κήπου φυτά; κατὰ τὸ, ἐπείνασα καὶ ἐδώκατέ μοι φαγεῖν· ἄρτος δὲ εὐφροσύνης ἐστὶν ἡ εὐποιΐα, τῷ μέλιτι τῆς ἐντολῆς γλυκαινόμενος· πῶς δὲ πάλιν οἰνοχοεῖ τὰ εὔερνη τοῦ κήπου φυτά; πρὸς τοῦτο φησὶν, ὅτι ἐδίψησα καὶ ἐποτίσατέ με, γάλακτι τὸν οἶνον κεράσαντες, τῇ τῆς ἀνθρωπίνης φύσεως τροφῇ, ἥ τις καθαρὰ καὶ ἁπλῆ καὶ νηπιώδης ὄντως καὶ ἄδολος καὶ πάσης πονηρᾶς αἰτίας κεκαθαρμένη· καπήλων δὲ ἡ πρὸς τὸν οἶνον μίξις τοῦ ὕδατος· ὅπερ δὲ ἐνταῦθα λόγῳ τοῖς φίλοις παρεκελεύσατο, τοῦτο ἐν τοῖς εὐαγγελίοις διὰ τῶν ἔργων ἐποίησεν, διὰ τῆς θείας ἐκείνης βρώσεώς τε καὶ πόσεως· φησὶν οὖν τοῖς δι' ἀρετὴν γεγονόσι πλησίον, τὰ τοῦ εὐαγγελίου μυστήρια παρατιθέμενος· φάγετε οἱ πλησίον μου καὶ πίετε, καὶ μεθύσθητε, λέγων, ἐκ τῆς τοιαύτης βρώσεώς τε καὶ πόσεως, δι' ἧς μέθης αὐτὸς ἑαυτοῦ τίς ἐξίσταται πρὸς τὰ θειότερα· ἀδελφοὺς δὲ καλεῖ, ὅτι ὁ ποιῶν τὸ θέλημα αὐτοῦ, ἀδελφὸς καὶ ἀδελφὴ καὶ μήτηρ ὠνόμασται.

Νείλου.

Ἤκουσεν ὁ νυμφίος τῆς παρακλήσεως, τοιαύτη γὰρ ἦν ἡ παρακαλέσασα, ὡς μὴ παρακουσθῆναι, καὶ φησίν· εἰσῆλθον εἰς κῆπόν μου καὶ τὰ ἑξῆς· ἐκείνη μὲν γὰρ καταβῆναι παρεκάλεσεν, ἡ μετριοφρονοῦσα, ἢ μᾶλλον πρὸς τὴν ἀξίαν ὁρῶσα καὶ τὸ ὕψος τοῦ νυμφίου· οὗτος δὲ οὐ καταβεβηκέναι, ἀλλ' εἰσεληλυθέναι λέγει· τὴν κατάβασιν τῷ τῆς ἰσοτιμίας σεμνύνων ὀνόματι, διὰ τὴν πρὸς αὐτὴν διάθεσιν καὶ ἀγάπην· καὶ κῆπον δὲ τοῦ παραδείσου ἑαυτῆς, ταπεινοφρονοῦσα καλεῖ· οὐ γὰρ ἂν εἶχε ἀκροδρύων, εἰ κῆπος ἐτύγχανεν ὤν· παραδείσου γὰρ καὶ κήπου τὰ ἀκρόδρυα· αὐ-

V. τὸς δὲ αὐτὸν κῆπον λέγει εἰκότως Θεὸς ὤν· καὶ τὰ παρ᾽ αὐτοῖς δοκοῦντα μεγάλα, ταπεινὰ κρίνων τῇ ἑαυτοῦ παραμετρήσει· εὖ δὲ τὸ οὐκ εἰς κῆπον σου, ἀλλ᾽ εἰς κῆπον μου, τὸν ἑαυτῆς παράδεισον αὐτοῦ κῆπον ποιεῖν· τὰ γὰρ ἀνθρώπινα πράγματα, εἰ καὶ αὐτὰ παραμετρούμενα λάμπει, ἀλλὰ τοῖς θείοις καὶ νοητοῖς παραβαλλόμενα, ἀμβλύνεται· διὰ δὲ τῆς σμύρνης καὶ τῶν ἀρωμάτων τὸ πάθος καὶ τὸν θάνατον καὶ τὴν ἀνάστασιν ὑπογράφει· σμύρνα γὰρ ὁ θάνατος· ἀρώματα δὲ, ἡ τῆς θεότητος ἐνέργεια, ἡ τῆς ἀναστάσεως τὴν εὐωδίαν ἐνεργήσασα· τὸ δὲ ἔφαγον ἄρτον καὶ τὰ ἑξῆς, τὴν ἡδονὴν τοῦ πάθους καὶ τὴν νηπιώδη ἐπιείκειαν· μεθ᾽ ὧν τὰς μάστιγας καὶ τὴν χλεύην ἣν ἤνεγκε κωμῳδούμενος δηλοῖ· ἐπιθυμίᾳ γάρ φησιν ἐπεθύμησα φαγεῖν τὸ πάσχα· διὰ τὸν σταυρὸν, τὸ ἔφαγον ἄρτου μετὰ μέλιτός μου δηλοῖ· τὸ δὲ ῥαπιζόμενον, ἐμπαιζόμενον, καλάμῳ τυπτόμενον ἐπιεικῶς φέρειν, ἔπιον οἶνον μετὰ γάλακτός μου· φάγετε οἱ πλησίον μου καὶ τὰ ἑξῆς· τάχα τοὺς μαθητὰς λέγων, ὅτε αὐτοὺς ἐπὶ τὴν τῶν μυστηρίων ἐκάλει μετουσίαν· φάγετε λέγων τὸ σῶμά μου, καὶ πίετε τὸ αἷμά μου.

2. Ἐγὼ καθεύδω καὶ ἡ καρδία μου ἀγρυπνεῖ.

Γρηγορίου.

Ἀκολούθως διαδέχεται τὴν μέθην ὁ ὕπνος, ὡς ἂν διὰ τῆς πέψεως ἀναδοθείη τοῖς δαιτυμόσιν εἰς εὐεξίαν ἡ δύναμις· διὰ τοῦτο μετὰ τὴν πανδαισίαν ἐκείνην, ἐν τῷ ὕπνῳ ἡ νύμφη γίνεται· ξένος δέ τις ὁ ὕπνος, καὶ τῆς φυσικῆς συνηθείας ἀλλότριος, ἐφ᾽ ὧν γὰρ ὁ νοῦς μόνῃ τῇ θεωρίᾳ τοῦ ὄντος εὐφραίνεται, οὐδενὶ τῶν αἰσθητηρίων παρενοχλούμενος, ὡς ὕπνῳ τινὶ πάρετος ἡ τοῦ σώματος γίνεται φύσις πάσης σαρκικῆς κατακοιμηθείσης κινήσεως· διττῆς γὰρ οὔσης ἡμῖν ἡδονῆς, τῆς μὲν ἐν ψυχῇ δι᾽ ἀπαθείας, τῆς δὲ διὰ πάθους ἐν σώματι, ἥνπερ ἂν ἡ προαίρεσις ἕληται, αὕτη κατὰ τῆς ἑτέρας ἔχει τὸ κράτος· διὰ τοῦτο ἡ ψυχὴ, ὅταν μόνῃ τῇ θεωρίᾳ τοῦ ὄντως εὐφραίνηται, πρὸς οὐδὲν ἐγρήγορε τῶν ἐνεργουμένων καθ᾽ ἡδονὴν δι᾽ αἰσθή-

σεως· ἀλλὰ πᾶσαν σωματικὴν κατακοιμήσασα κίνησιν, γυμνῇ τε V.
καὶ καθαρᾷ τῇ διανοίᾳ τῆς θείας ἐγρηγόρσεως, δέχεται τοῦ θεοῦ τὴν ἐμφάνειαν. Τὸν ἐν τοῖς σωματικοῖς εἶναι πειρασμοῖς, καθεύδειν λέγει· ὡς γὰρ ὁ βαπτισθεὶς τῷ ὕπνῳ, ἀγρυπνοῦσαν ἔχειν τὴν καρδίαν οὐ δύναται, οὕτως ὁ ἐνβαθύνας ταῖς σωματικαῖς ἀσχολίαις, αἴσθησιν τῆς φωνῆς τοῦ νυμφίου λαμβάνει· εἰς γὰρ πολυμέριμνον ψυχὴν φωνὴ οὐ φθάνει θεοῦ· αὕτη δὲ οὕτως ἐκάθευδεν ὡς αἰσθέσθαι τῆς τοῦ νυμφίου φωνῆς· τὸ ἐπιπόλαιον γὰρ καὶ χρειῶδες τῆς σωματικῆς ἀσχολίας ἑαυτῇ ἐμφαίνει· μνήμη γὰρ θεοῦ, νηφάλιον ποιεῖ· καὶ μετρία ἐστὶ τῶν ἀναγκαίων φροντίς· φωνεῖ δὲ ὁ λόγος, ὅταν ὥσπερ ἦχός τις ἀδιόρθωτος προσπέσῃ τῇ ψυχῇ νόημα· κρούει δὲ ἐπὶ τὴν θύραν, ὅταν ἡ ἐπαπόρησις τὴν λύσιν εὐαγγελίζεται· εἰσέρχεται δὲ ὅταν σαφῶς θεωρηθῇ τὸ ἀπορηθὲν, καὶ τρανὸν δέξηται τὸ νόημα τὸν τύπον.

Κυρίλλου καὶ Φίλωνος.

Ἐν τῷ σταυρῷ φησὶ τὸν ὑπὲρ ἀνθρώπων ἀναδεχόμενος θάνατον· ἀγρυπνεῖ δὲ ἡ καρδία, καθὸ ὡς θεὸς τὸν ᾅδην ἐσκύλευσεν.

Φωνὴ τοῦ ἀδελφιδοῦ μου κρούει ἐπὶ τὴν θύραν.

Γρηγορίου.

Ἡ μαρτυρηθεῖσα τοσαῦτα ὅσα ἐν τοῖς φθάσασιν ἐπῄνεσεν ὁ λόγος, καὶ γνοῦσα πολλάκις ἤδη τὸν νυμφίον, ὡς νῦν αὐτῇ πρῶτον ἐμφανιζομένου διάκειται· εἰ γὰρ καὶ ἔγνων ὅσον κατείληφεν, ἀλλ' ἀπειροπλάσιον τὸ μήπω κατειλημμένον· ὥσπερ γὰρ εἴ τις πλησίον γένοιτο πηγῆς, θαυμάσειε μὲν τὸ ἄπειρον ὕδωρ, οὐ μὲν εἴπῃ ὅλον ἑωρακέναι τὸ ὕδωρ· πῶς γὰρ τὸ ταῖς λαγόσι τῆς γῆς κρυπτόμενον; ὥστε κἂν ἐπὶ πολὺ παραμείνει τῷ βρύοντι, ἀεὶ ἐν ἀρχαῖς ἐστὶ τῆς θεωρίας τοῦ ὕδατος· οὐ γὰρ παύεται τὸ ὕδωρ ἀεί τε ῥέων καὶ ἀεὶ τοῦ βρύειν ἀρχόμενον· οὕτως ὁ πρὸς τὸ θεῖον ἐκεῖνο καὶ ἀόριστον κάλλος βλέπων, ἐπειδὴ τὸ πάντοθεν εὑρισκόμενον, καινότερόν τε καὶ παραδοξότερον πάντως παρὰ τὸ ἤδη κατειλημμένον ὁρᾶται, θαυμάζει μὲν τὸ ἀεὶ προφαινόμενον, οὐ-

V. δέποτε δὲ ἵσταται τῆς ἰδεῖν ἐπιθυμίας διὰ τὸ πάντως τοῦ ἐωραμένου, μεγαλοπρεπέστερον εἶναι τὸ προσδοκώμενον· ὅθεν εἰ καὶ ὤφθη, ὡς μήπω φανεὶς, διὰ φωνῆς ἑαυτοῦ τὴν ἐμφάνειαν ἐπαγγέλλεται· ὡς οὖν φωνοῦντος καὶ κρούοντος πρὸς τὴν ὑπακοὴν διανίσταται· ἐνδοῦσα δὲ ταῖς ἀκοαῖς ἡσυχίαν, ἀκούει τοῦ διὰ τῆς φωνῆς προσηχήσαντος λογου, ὅτε ἀναστὰς ἐπέστη τοῖς μαθηταῖς τῶν θυρῶν κεκλεισμένων.

Ἄνοιξόν μοι ἀδελφή μου, πλησίον μου, περιστερά μου, Τελεία μου, ὅτι ἡ κεφαλή μου ἐπλήσθη δρόσου, καὶ οἱ βόστρυχοί μου ψεκάδων νυκτός.

Φίλωνος.

Τῷ μεγάλῳ Μωσεῖ διὰ φωτὸς πρότερον ἐνεφανίσθη θεὸς ἐπὶ βάτου· εἶτα διὰ νεφέλης αὐτῷ διαλέγεται· εἶτα ὑψηλότερος ἤδη γενόμενος, ἐν γνόφῳ θεὸν βλέπει· ὃ δὲ διὰ τούτων μανθάνομεν, τοιοῦτόν ἐστιν, ἡ πρώτη ἀπὸ τῶν ψευδῶν καὶ πεπλανημένων περὶ θεοῦ ὑπολήψεων ἀναχώρησις, ἡ ἀπὸ τοῦ σκότους εἰς φῶς ἐστι μετάστασις· ἡ δὲ προσεχεστέρα τῶν κρυπτῶν κατανόησις, ἡ διὰ τῶν φαινομένων χειραγωγοῦσα τὴν ψυχὴν πρὸς τὴν ἀόρατον φύσιν, οἷόν τις νεφέλη γίνεται, τὸ φαινόμενον μὲν ἅπαν ἐπισκιάζουσα, πρὸς δὲ τὸ κρύφιον βλέπειν τὴν ψυχὴν χειραγωγοῦσα· ἡ δὲ διὰ τούτων ὁδεύουσα πρὸς τὰ ἄνω ψυχὴ, ὅσον ἐφικτόν ἐστι τῇ ἀνθρωπίνῃ φύσει, καταλειποῦσα ἐντὸς τῶν ἀδύτων τῆς θεογνωσίας γίνεται· τῷ θείῳ γνόφῳ πανταχόθεν διαληφθεῖσα, ἐν ᾧ τοῦ φαινομένου τε καὶ καταλαμβανομένου παντὸς, ἔξω τοῦ καταλειφθέντος, μόνον ὑπολείπεται τῇ θεωρίᾳ τῆς ψυχῆς, τὸ ἀόρατόν τε καὶ ἀκατάληπτον ἐν ᾧ ἐστὶν ὁ θεός· ἣν οὖν ποτὲ καὶ ἡ νύμφη μέλαινα τοῖς ἀφωτίστοις δόγμασιν, τῇ δὲ πηγῇ τοῦ φωτὸς διὰ τοῦ μυστικοῦ φιλήματος προσαγαγεῖν τὸ στόμα ποθήσασα, καλὴ γίνεται, καὶ τὸ μέλαν τῆς ἀγνοίας ἀπέκλεισεν ὕδατι· εἶτα ὡς ἵππος δραμοῦσα, καὶ ὡς περιστερὰ διιπτᾶσα, πρότερον μὲν τῇ σκιᾷ τοῦ μήλου μετ' ἐπιθυμίας ὑπαναπαύεται, μῆλον ἀντὶ νεφέλης τὸ ἐπισκιάζον κατονομάζουσα· νῦν δὲ ἤδη

ἀπὸ τῆς θείας νυκτὸς περιέχεται· καθ' ἣν ὁ νυμφίος παραγί- V.
νεται μὲν, οὐ φαίνεται δέ· ἀλλ' αἴσθησιν τινὰ τῆς παρουσίας δίδωσι τῇ ψυχῇ· ἅπτεται δὲ τῆς σωματικῆς τῶν ἐναρέτων διανοίας ὁ λόγος· αὕτη γὰρ θύρα δι' ἧς εἰσοικίζεται τὸ ζητούμενον· ἐκφεύγει δὲ τὴν ἐν ἀρχῇ κατανόησιν, τῷ ἀοράτῳ τῆς φύσεως κρυπτόμενος· ἔξω τοίνυν ἑστῶσα τῆς φύσεως ἡμῶν ἡ ἀλήθεια, διὰ τῆς ἐκ μέρους γνώσεως καθά φησιν ὁ ἀπόστολος, ἐν ὑπονοίαις τισὶ καὶ αἰνίγμασι, θυροκρουστεῖ τὴν διάνοιαν, ἄνοιξον λέγουσα· καὶ μετὰ τῆς προτροπῆς ὑποτιθεμένη τὸν τρόπον, ὅπως ἀνοιγῆναι προσήκει τὴν θύραν, οἱόν τινας (κλεῖδας) ὀρέγουσα τὰ καλὰ ταῦτα ὀνόματα, δι' ὧν τὰ κεκλεισμένον ἀνοίγεται· κλεῖδες γὰρ εἰσὶν ἄντικρυς αἱ τῶν ὀνομάτων ἐμφάσεις τὰ κρυπτὰ διανοίγουσαι· ἀδελφὴ καὶ πλησίον καὶ περιστερὰ τελεία· εἰ γὰρ βούλει σὺ, φησὶν, ἀνοιγῆναι τὴν θύραν, καὶ ἐπαρθῆναι τῆς ψυχῆς σου τὰς πύλας ἵνα καὶ εἰσέλθῃ ὁ βασιλεὺς τῆς δόξης, χρή σε ἀδελφήν μου γενέσθαι ἐν τῷ τὰ θελήματά μου ποιεῖν· χρὴ δὲ καὶ προσεγγίσαι καὶ πλησίον γενέσθαι, καὶ ἐν τῇ φύσει τῆς περιστερᾶς ἔχειν τὸ τέλειον· τοῦτο δέ ἐστι, τὸ ἀνελλιπῆ καὶ πεπληρωμένην εἶναι πάσης κακίας * καὶ καθαρότητος· ταῦτα δὲ γενομένη ἔσται σοι κέρδος ἐκ τοῦ εἰσδέξασθαι· ἡ ἐκ τῆς κεφαλῆς μου δρόσος, ἧς πλήρης εἰμὶ, ἥ τις ἰασίς ἐστι κατὰ τὸν προφήτην· καὶ αἱ ψεκάδες τῆς νυκτός· ἐπεὶ μὴ δυνατὸν τὸν ἐντὸς τῶν ἀδύτων γενόμενον, ὄρθρῳ τινὶ τῆς γνώσεως ἐντυχεῖν· ἀλλ' ἀγαπητὸν εἰ λεπταῖς τισὶ καὶ ἀμυδραῖς διανοίαις ἐπιψεκάζει τὴν γνῶσιν αὐτῷ ἡ ἀλήθεια τῆς λογικῆς σαγόνος ἀποῤῥεούσης· βοστρύχους γὰρ αὐτοῦ τῆς κεφαλῆς ἀπεωρῆσθαι φημὶ, προφήτας, ἀποστόλους, εὐαγγελιστάς· οἵ τινες ὅσον ἐχώρουν, ἐκ τῶν σκοτεινῶν τε καὶ ἀποκρύφων καὶ ἀοράτων θησαυρῶν ἀρυόμενοι, ἡμῖν μὲν ποταμοὶ γίνονται πλήρεις ὑδάτων, ὡς δὲ πρὸς τὴν ὄντως ἀλήθειαν δροσώδεις εἰσὶ ψεκάδες.

* ita cod.

Νείλου.

Δρόσον καὶ ψεκάδας νυκτὸς, τάχα τὰς ἀπὸ τῆς ἰουδαϊκῆς

V. ἀγνοίας ἐπ' αὐτὸν ἐρχομένας καλεῖ· εἰ γὰρ καὶ ἐπαινεῖται ἡ δρόσος ἐν τῇ γραφῇ, ἀλλὰ μετὰ προσθήκης τῆς ἀπὸ τοῦ ἀνθρώπου· ἧς πλησθεῖσαν τὴν ἑαυτοῦ κεφαλὴν ὁ νυμφίος ἀπομάξαι ζητεῖ ἐν τῷ οἴκῳ τῆς νύμφης γενόμενος· οἶκος δὲ τῆς νύμφης, ἢ τὸ ἑκάστου τῶν ποιημάτων ἡγεμονικὸν, ἢ αὐτὴ ἡ ἐκκλησία· εἰ δέ τις ἰδεῖν βούλεται πῶς ἀπὸ τῆς ἰουδαϊκῆς βλάβης ψεκάδας ἀπομάσσει τῆς κεφαλῆς τοῦ νυμφίου ἡ νύμφη, βλεπέτω τὸν λῃστὴν πῶς μετὰ τὰ ὀνείδη τῶν ἀρχιερέων καὶ γραμματέων βοᾷ τὸ μνήσθητι· θεραπευτικὴ γὰρ ἡ δόξα αὕτη τῆς δυσφημίας ἐκείνης.

Ὠριγένους.

Ἀναγκαίως ἡ τοῦ μοι προσθήκη τοῦ ἄνοιξον· ἔστι γὰρ καὶ ἀντικειμέναις δυνάμεσιν ἀνοῖξαι· ὡς περὶ ὀχληρᾶς δὲ τῆς δρόσου λέγειν δοκεῖ, ὡς καὶ περὶ τῶν τῆς νυκτὸς ψεκάδων· ἀνάπαυλαν γὰρ ἔοικεν ἀπὸ τούτων ἐπιζητεῖν. Ἀκόλουθα ταῦτα τοῖς πρώτοις· μετὰ γὰρ τὴν ἀνάστασιν εἰσῆλθε τῶν θυρῶν κεκλεισμένων· καὶ καλεῖ τὸν Θωμᾶν, καὶ δι' αὐτοῦ πᾶσαν ἄπιστον ψυχὴν, ἀνοῖξαι τὴν ἰδίαν καρδίαν καὶ τὴν τῆς ἀναστάσεως χωρῆσαι πληροφορίαν· καλεῖ δὲ αὐτὸν τελείαν εἰπόντα, ὁ κύριός μου καὶ ὁ θεός μου· ἡ δρόσος δὲ δηλοῖ τὴν κατὰ τὸν ὄρθρον ἀνάστασιν, ὅτε κάτεισι δρόσος.

3. Ἐξεδυσάμην τὸν χειτῶνά μου, πῶς ἐνδύσομαι αὐτόν; ἐνιψάμην τοὺς πόδας μου, πῶς μολυνῶ αὐτούς;

Γρηγορίου.

Καλῶς ἤκουσαν τοῦ κελεύσαντος ἀδελφὴν αὐτὴν καὶ πλησίον καὶ τελείαν καὶ περιστερὰν γενέσθαι· ἵνα διὰ τούτων εἰσοικισθῇ τῇ ψυχῇ ἡ ἀλήθεια· ἐποίησε γὰρ ἅπερ ἤκουσεν, ἐκδυσαμένη τὸν δερμάτινον χιτῶνα, ὃν μετὰ τὴν ἁμαρτίαν περιεβάλλετο· καὶ ἀπονιψαμένη τῶν ποδῶν τὸ γεῶδες ᾧ ἐνειλήθη ἀπὸ τῆς ἐν παραδείσῳ διαγωγῆς εἰς γῆν ἀναλύσασα, διὰ τούτων ἤνοιξεν ἐπὶ τὴν ψυχὴν τῷ λόγῳ τὴν εἴσοδον· οὐκοῦν ὁ τὸν παλαιὸν ἀπεκδυσάμενος ἄνθρωπον, ὅ ἐστιν ἡ ἁμαρτία καὶ ὁ θάνατος, καὶ διὰ τοῦ βαπτίσματος περιελὼν τῆς καρδίας τὸ κάλυμμα, τῶν

τε ψυχικῶν βάσεων ἀποκλείσας τὸν ῥύπον ἤνοιξε τῷ λόγῳ τὴν εἴσοδον, ὃν ἔνδον γενόμενον ἐνδύεται· Ἰησοῦς δέ ἐστι τὸ ἔνδυμα· ἡ δὲ περὶ τοῦ μηκέτι τὸν ἀποβληθέντα χιτῶνα πάλιν ἐπαναλαβεῖν, εἶτ' οὖν μὴ ἐπιςρέψαι εἰς τὰ πρώην τῆς νύμφης ὁμολογία, ἀνοίγει τῷ νυμφίῳ τὴν θύραν πρὸς εἴσοδον τοῦ ἁγιασμοῦ· καὶ μηδὲ δύο χιτῶνας ἔχειν, ἀρκεῖσθαι δὲ τῷ ἑνὶ, κατὰ τὸν δοθέντα νόμον τοῖς μαθηταῖς· ὃν διὰ τῆς ἄνωθεν γεννήσεως ἀνακαινισθεῖσα, μετημφιάσατο· καὶ μηδαμῶς ἐπενδύσασθαι τὸν τῆς ἁμαρτίας χιτῶνα· τίς γὰρ κοινωνία τῷ σκοτεινῷ ἐνδύματι, πρὸς τὸ φωτοειδές τε καὶ ἄϋλον; οὐδὲ τοὺς πόδας νιψαμένη πάλιν τῇ βάσει τὸν ἐκ τῆς γῆς μολυσμὸν παραδέχεται· οὐδὲ γὰρ Μωσῆς ἐν τῇ τῆς ἁγίας γῆς ἐπιβάσει τὴν δερματίνην νέκρωσιν τῶν ποδῶν ἐκβαλὼν, ἀνειληφέναι ταύτην αὖθις ἱστόρηται· οὐδὲ γὰρ τὴν ἱερὰν ἐσθῆτα, κατὰ τὸν ἐν τῷ ὄρει δειχθέντα τύπον φιλοτεχνήσας, τοῖς ποσὶ τινὰ κόσμον ἐπετεχνήσατο· ἱερατικοῦ δὲ ποδὸς ἡ γυμνότης γέγονε κόσμῳ· χρὴ γὰρ ἀεὶ βαίνειν ἐπὶ τῆς ἁγίας γῆς τὸν ἱερέα, ἧς μετὰ νεκρῶν δερμάτων ἐπιβατεύειν οὐ θέμις· διά τοι τοῦτο καὶ τοῖς μαθηταῖς ὁ κύριος ἀπαγορεύει τὰ ὑποδήματα· ἐπειδὴ κελεύει αὐτοὺς εἰς ὁδὸν ἐθνῶν μὴ πορεύεσθαι, ἀλλὰ διὰ τῆς ἁγίας ὁδοῦ προϊέναι· οὐκ ἀγνοεῖς δὲ πάντως τὴν ἁγίαν ὁδὸν, δι' ἧς οἱ μαθηταὶ τρέχειν κελεύονται, μαθὼν παρὰ τοῦ εἰπόντος, ἐγώ εἰμι ἡ ὁδός· ἧς οὐκ ἔστιν ἅψασθαι, μὴ ὑπολυσάμενον τὴν τοῦ νεκροῦ περιβολήν· ἐπεὶ οὖν ἐν ταύτῃ ἐγένετο τῇ ὁδῷ ἡ νύμφη, ἐν ᾗ τῶν δι' αὐτῆς περιπατούντων ὁ κύριος νίπτει τοὺς πόδας τῷ ὕδατι, ἐκμάσσει τῷ λεντίῳ ᾧ διεζώσατο· δύναμις δέ ἐςι καθαρτικὴ τὸ τοῦ κυρίου διάζωσμα· διὰ τοῦτο καθαρθεῖσα τοὺς πόδας ἐπὶ τῆς ὁδοῦ τῆς βασιλικῆς ἑαυτὴν φυλάττει, οὐκ ἐκκλίνουσα εἰς δεξιὰ ἢ ἀριστερὰ, ἵνα μὴ καθ' ἕτερον ἔξω τῆς ὁδοῦ παρενεγκοῦσα τὸ ἴχνος, μολύνῃ τῷ πηλῷ τὸν πόδα· νοεῖς δὲ πάντως τὸ διὰ τῶν εἰρημένων δηλούμενον, ὅτι ἅπαξ διὰ τοῦ βαπτίσματος ὑπολυσαμένη τὰ ὑποδήματα· ἴδιον γὰρ τοῦ βαπτίζοντος ἔργον, τὸ λύειν τοὺς V.

V. ἱμάντας τῶν ὑποδημάτων· ὅπερ Ἰωάννης ἐπὶ μόνου τοῦ κυρίου μὴ δύνασθαι ποιῆσαι διεμαρτύρατο· πῶς γὰρ ἂν ἔλυσε, τὸν μηδὲ τὴν ἀρχὴν τῷ ἱμάντι τῆς ἁμαρτίας ἐνδεδεμένον; αὕτη τοὺς πόδας ἐνίψατο, πάντα γήϊνον ῥύπον συναποβαλοῦσα τοῖς ὑποδήμασι· φυλάσσει τοίνυν ἐπὶ τῆς ὁδοῦ τῆς πεπλανημένης τὴν βάσιν ἀμόλυντον.

Νείλου.

Οὐ τὸ ἀνοῖξαι παραιτεῖται κατὰ τὴν ἠθικὴν ἔννοιαν· ἀλλ' ἐννοεῖ τὸν πόνον ὃν ὑπέστην, ἵνα ἀποδύσηται τὸν τῆς κοσμικῆς μερίμνης χιτῶνα· καὶ ἵνα τὸν ἐκ τοῦ ἐπιπορεύεσθαι τοῖς γηΐνοις προσγινόμενον τῷ λόγῳ ῥύπον τῆς ψυχῆς ἀπόθηται· καὶ μολυνθῆναι πάλιν ὀκνεῖ, ἀνοῖξαι μὲν βουλομένη, μολῦναι δὲ τοὺς ἅπαξ τῆς γῆς ἀναχωρήσαντας οὐ καταδεχομένη πόδας· ὅμως οὐκ ἀκίνδυνος πρὸς τὸ ἀνοῖξαι ἡ μέλλησις, ὡς δηλοῖ τὰ ἐπιφερόμενα· κἂν γὰρ γένηται τὸ καλὸν, μεθ' ὑπερθέσεως δὲ οὐκ ἔξω ἐστὶ μέμψεως· κατάγνωσιν τὸν ὄκνον, τῷ μὴ σπουδαίως ἐνεργήσαντι ψηφιζόμενον.

4. Ἀδελφιδός μου ἀπέςειλε χεῖρα αὐτοῦ ἀπὸ τῆς ὀπῆς· καὶ ἡ κοιλία μου ἐθροήθη ἐπ' αὐτόν.

Φίλωνος.

Λέγει δ' ἂν ἀπὸ τῆς ὀπῆς· ἐπείπερ ἔλεγε τῷ Θωμᾷ, βάλε τὸν δάκτυλόν σου εἰς τοὺς τύπους τῶν ἥλων· δάκτυλος μὲν σμύρναν πλήρη· ἔγνων ὅτι τὸ σῶμα τὸ ταφὲν, αὐτὸ καὶ ἀνέστη.

Γρηγορίου.

Πάλιν ὑπερκειμένης ἀναβάσεως ἅπτεται ἡ καθαρθεῖσα ψυχὴ μηκέτι φωνῆς τὴν καρδίαν θυροκρουστούσης, ἀλλ' αὐτῆς τῆς θείας χειρὸς ἐπὶ τὰ ἐντὸς παρεισδυείσης· ἀνοίγει τὴν θύραν περιελομένη τὸ τῆς καρδίας κάλυμμα· διέσχισε τὰς θύρας τὸ τῆς σαρκὸς παραπέτασμα· πᾶσα ἠνοίγη τῆς ψυχῆς ἡ πύλη, ἵνα εἰσέλθῃ ὁ βασιλεὺς τῆς δόξης· ἀλλ' ἀπεδείχθη τῆς ψυχῆς ἡ εὐρυχωρία μικρά τις ὀπή· δι' ἧς οὐκ αὐτὸς ὁ νυμφίος, ἀλλ' ἡ χεὶρ αὐτοῦ μόγις ἐχώρει· ὥστε δι' αὐτῆς ἐπὶ τὰ ἐντὸς γενέσθαι, καὶ ἅψα-

σθαι τῆς ἐπιθυμούσης τὸν νυμφίον ἰδεῖν· ἢ τοσοῦτον ἐκέρδανε V.
μόνον, ὅσον γνῶναι ὅτι ἡ χείρ· οὕτω δὲ σκοπήσωμεν· ἡ ἀν-
θρωπίνη ψυχὴ, δύο φύσεων οὖσα μεθόριος, ὧν ἡ μὲν ἀσώμα-
τός ἐστι καὶ νοερὰ, ἡ δὲ ἑτέρα σωματικὴ καὶ ὑλώδης καὶ ἄλο-
γος, ἐπειδ᾽ ἂν τάχιστα τῆς πρὸς τὸν παχὺν καὶ γεώδη βίον σχέ-
σεως ἐκκαθαρθεῖσα δι᾽ ἀρετῆς, ἀναβλέψῃ πρὸς τὸ συγγενὲς καὶ
θειότερον, οὐ παύεται διερευνωμένη καὶ ἀναζητοῦσα τὴν τῶν ὄν-
των ἀρχήν· πάντα δὲ περιεργαζομένη, ὥςε ἀπολαύειν τὸ ζητού-
μενον, ὅρον ποιεῖται τῆς καταλήψεως τοῦ θεοῦ τὴν ἐνέργειαν,
τὴν μέχρις ἡμῶν κατιοῦσαν, ἧς διὰ τῆς ζωῆς ἡμῶν αἰσθανόμεθα·
οἷον ὁρᾷ τὸ κάλλος τοῦ οὐρανοῦ, τῶν ἀστέρων τὴν ποικιλίαν,
τὰς πολυειδεῖς τῶν ζώων φύσεις, τάς τε τῶν φυτῶν ἰδέας, καὶ
τὰ λοιπὰ πάντα, ἵνα μὴ καθ᾽ ἕκαςον λέγω, δι᾽ ὧν ἡ ἐνέργεια
τοῦ θεοῦ δείκνυται. Ταῦτα τοίνυν ὁρῶσα διὰ τοῦ θαύματος τῶν
φαινομένων, ἀναλογίζεται τῇ διανοίᾳ τὸν διὰ τῶν ἔργων νοούμενον·
ἴσον γὰρ κατὰ τὸν αἰῶνα τὸν μέλλοντα ἑτέρως γνωσόμεθα τὴν
τοῦ ἀγαθοῦ φύσιν, καὶ τρανωτέρως καταληψόμεθα τὸ εἶδος τῆς
ἀφθάρτου μακαριότητος· τέως δὲ ἀγαπητὸν τῇ ψυχῇ, ἡ ἐμφαινο-
μένη τοῖς οὖσιν ἐνέργεια· ἥ τις ἑρμηνεύεται χεὶρ τροπικῶς, ἣν
ἀπέστειλε διὰ τῆς ὀπῆς· οὐ γὰρ ἐχώρει ἡ ἀνθρωπίνη πενία τὴν
ἀόρατον καὶ ἀπερίληπτον φύσιν ἐν ἑαυτῇ δέξασθαι· πᾶσα δὲ αὐ-
τῆς ἡ διανοητικὴ δύναμις, ἥ τις ἐστὶ κοιλία, ἐθροήθη συγκι-
νηθεῖσα πρὸς τὸ θαῦμα τῶν διὰ τῆς θείας χειρὸς ἐνεργουμένων·
ὧν ἡ κατανόησις ὑπερκειμένη τῆς ἀνθρωπίνης δυνάμεως, τὸ ἀκα-
τάληπτον τῆς τοῦ ἐνεργοῦντος φύσεως δι᾽ ἑαυτῆς ἑρμηνεύει· πᾶ-
σα γὰρ ἡ τῶν ὄντων κτῆσις τῆς χειρὸς ἐκείνης ἔργον, ἐςὶ κατὰ
τὸ, ἡ χείρ μου ἐποίησε ταῦτα πάντα· εἰ οὖν τὰ τῆς ἐνεργείας
ἐκείνης καταλαβεῖν ἔργα οὐ χωρεῖ, πῶς τὴν ὑπερκειμένην τού-
των καταλήψεται φύσιν; τάχα δὲ καὶ τοῦτο δηλοῖ, ὅτι ἡ τῶν
πάντων ποιητικὴ χεὶρ διὰ σαρκὸς ἡμῖν ἐπιφανεῖσα, θρόησιν ἐποίη-
σε καὶ ξενισμὸν ταῖς ψυχαῖς· πῶς θεὸς ἐν σαρκί; πῶς λόγος
σάρξ; πῶς ἐν παρθενίᾳ τόκος; καὶ τὰ λοιπά· ὅτε γὰρ ἐπὶ γῆς

V. ὤφθη ὁ κύριος καὶ τοῖς ἀνθρώποις συνανεστράφη, τότε καθαρόν τε καὶ ἄϋλον τοῦ νυμφίου κάλλος, διὰ τῆς τῶν ἐνεργειῶν χειρὸς, ἤγουν τῆς τῶν θαυμάτων δυνάμεως ἐγνωρίσαμεν. Ταῦτα πάσχει, ἐπεὶ μὴ προθύμως ὑπήκουσε τῷ λόγῳ· ἵνα δειχθῇ, ὅτι καὶ ὁ πολυτίμιος θεῷ, ἄνεσιν διώκων, καὶ ἀναπεπτωκὼς καταφρονεῖται, καὶ τιμωρίας πεῖραν λαμβάνει· ἀπέστειλε γάρ φησι τὴν παιδεύσασαν τοὺς ἀπειθεῖς χεῖρα, καὶ κατέφλεξε· ὡς ἐκ τῆς ἀγωνίας θροηθῆναι τὴν κοιλίαν· διὸ καὶ σπουδαιότερον μετὰ τὴν τῆς παιδείας αἴσθησιν ἀνέστην ἀνοῖξαι· καὶ διὰ τὸ μὴ ἐκ προαιρέσεως, ἀλλ᾽ ἐξ ἀνάγκης τοῦτο ποιῆσαι, αἱ χεῖρες μου ἔσταξαν σμύρναν, τὴν νεκρὰν ὡς εἰπεῖν ἐνέργειαν· πᾶν γὰρ τὸ ἀπροαιρέτως γινόμενον, νεκρόν ἐστι καὶ θελήματος ζωτικοῦ ἄμοιρον· ἔστι γὰρ εὐοδούμενόν τινα καταφρονεῖν τῶν ἐντολῶν, ὅταν δὲ πεῖραν λάβῃ παιδείας, εὐθὺς ζητεῖ τὸν θεόν· ἀλλ᾽ ὁ προσέχων οὐ τοῖς γινομένοις, ἀλλὰ τῇ ποιούσῃ διαθέσει, παρῆλθε καὶ ἐξέκλινεν ἐκ μεταμελείας, τῇ προθέσει παρών· οὔκουν ἐδεξιώσατο ὡς πάντα περιελθοῦσαν αὐτήν· καὶ διὰ τὸ ἐγκαταλειφθῆναι τραυματισθεῖσαν ὑπὸ τῶν φυλασσόντων τὴν πόλιν δυνάμεων, καὶ τὴν καλύπτραν τῆς παρθενικῆς αἰδοῦς, ὅπερ θέριστρον ὀνομάζει, ἀφαιρεθεῖσαν.

5. Ἀνέστην ἐγὼ ἀνοῖξαι τῷ ἀδελφιδῷ μου· χεῖρές μου ἔσταξαν μύρα δάκτυλοί μου σμύρναν πλήρη.

Γρηγορίου.

Ἔλαβον φησὶν δύναμιν ἀναστάσεως διὰ τοῦ νεκρῶσαι μου τὰ μέλη τὰ ἐπὶ τῆς γῆς ἑκουσίως μοι τῆς τῶν μελῶν ἐνεργηθείσης νεκρώσεως· ἀπέρρεον γὰρ αἱ χεῖρες σμύρναν, αἵ τινες εἰσὶν αἱ ἐνεργητικαὶ τῆς ψυχῆς κινήσεις, ἀφ᾽ ἑαυτῶν στάζουσαν τὴν σμύρναν, καὶ οὐκ ἄλλοθεν ὑποδεξάμεναι, ἀλλ᾽ ἐκ τῆς ἐμῆς προαιρέσεως· ὡς ἐν πᾶσι τοῖς κατ᾽ ἀρετὴν ἐπιτηδεύμασιν, ἅπερ δακτύλους ὠνόμασεν, ἀνελλιπῆ τὴν τοιαύτην ἐνορᾶσθαι διάθεσιν· ὡς μὴ τεθνάναι μὲν ἀκολασίᾳ τυχὸν, ζῆν δὲ τύφῳ ἢ θυμῷ, ἢ φιλοχρηματίᾳ, ἤ τινι τούτῳ· οὗ κακῶς ζῶντος οὐκ ἔστι πλήρης

τοὺς δακτύλους ἐπιδεῖξαι τῆς σμύρνης· οὐ γὰρ διὰ πάντων φαίνεται τῶν ἐπιτηδευμάτων ἡ τοῦ κακοῦ νέκρωσις· οὔσης γὰρ διπλῆς ἐν ἡμῖν τῆς ζωῆς, τῆς μὲν παχείας καὶ ὑλικῆς καὶ βαρείας, τῆς δὲ νοερᾶς καὶ κούφης, μέσον ἀμφοῖν ἑστῶσα ἡ αὐτεξούσιος ἡμῶν προαίρεσις, ἐν ᾧ ἂν μέρει γένηται, τούτῳ δίδωσι κατὰ τοῦ ἄλλου τὰ νικητήρια· καὶ ἐν ᾗ ἂν ζῇ, τῇ ἑτέρᾳ πάντως ἀποθνήσκει. V.

Ἐπὶ χεῖρας τοῦ κλεῖθρου, ἤνοιξα ἐγὼ τῷ ἀδελφιδῷ μου. 6.

Γρηγορίου.

Πρὸς τοσοῦτον μέγεθος ἐπαρθεῖσα, οὔπω ἔγνω καθὼς δεῖ γνῶναι· οὐδὲ λογίζεται καθ᾽ ἑαυτὴν κατειληφέναι, ἀλλ᾽ ἔτι πρὸς τὸ ὑπερκείμενον τρέχει, τοῖς ἔμπροσθεν ἑαυτὴν ἐπεκτείνουσα· ἡ γὰρ πλήρης γενομένη τῆς σμύρνης, πᾶσι τοῖς τοῦ βίου ἐπιτηδεύμασι τὴν πρὸς τὸ κακὸν ἐπισημαίνουσα νέκρωσιν· καὶ τὸ ἑκούσιον τῆς ἀρετῆς διὰ τὸ οἴκοθεν ἀποστάξαι τῶν χειρῶν τὴν σμύρναν· ἅψασθαί φησι τὰς χεῖρας αὐτῆς τοῦ κλεῖθρου ἤγουν τὰ ἔργα αὐτῆς ἐγγίσαι τῇ στενῇ καὶ τεθλιμμένῃ ὁδῷ ἧς τὸ κλεῖθρον ἐγχειρίζει τοῖς κατὰ Πέτρον ὁ λόγος· ἀνοίγει τοίνυν ἑαυτῇ τῆς βασιλείας τὴν θύραν, διά τε τῶν χειρῶν ἃ τὰ ἔργα δηλοῦσι, καὶ διὰ τοῦ κλεῖθρου τῆς πίστεως· δι᾽ ἀμφοτέρων γὰρ τούτων ἡ κλεὶς τῆς βασιλείας τοῦ λόγου ἐν ἡμῖν κατασκευάζεται.

Ἀδελφιδός μου παρῆλθε· ψυχή μου ἐξῆλθεν ἐν λόγῳ αὐτοῦ.

Γρηγορίου.

Ὅτε ἤλπισε κατὰ Μωσέα γνωστῶς ἰδεῖν τὸν ποθούμενον, τότε παρῆλθε τὴν κατάληψιν αὐτῆς ὁ ζητούμενος· παρῆλθε δὲ, οὐ καταλιπὼν τὴν ἑπομένην αὐτῷ ψυχὴν, ἀλλὰ πλέον αὐτὴν ἐφελκόμενος· ἡ γὰρ ἀπὸ τοῦ ἐν ᾧ ἐσμὲν ἔξοδος, τῶν ὑπερκειμένων ἀγαθῶν εἴσοδος γίνεται· αὐτὴν οὖν ἐξῆλθεν ἡ ψυχὴ τὴν ἔξοδον, ὁδηγῷ κεχρημένη τῷ λόγῳ εἰπόντι· ὅτι ἐγώ εἰμι ἡ θύρα καὶ ἡ ὁδός· καὶ ὅτι δι᾽ ἐμοῦ ἐάν τις εἰσέλθῃ, διελεύσεται καὶ ἐξελεύσεται.

Ὠριγένους.

Ἡνίκα ἔφθασεν ἡ νύμφη τὸ κλεῖθρον, ὥστε τὴν ψυχὴν ἀνα-

V. πετάσαι τῷ λόγῳ, τότε μόνην τὴν χεῖρα καί τινας ἑαυτοῦ δείξας πράξεις παρελήλυθεν, ὡς μηδέπω τὸ πλέον εἰς θέαν χωρούσης τῆς νύμφης· ἅμα δὲ καὶ οἰκονομεῖ πλέον αὐτῆς ἐπιτεῖναι τὸν ἔρωτα· ἐξέρχεται καὶ ἐκδημεῖ τοῦ σώματος ἡ ψυχὴ διὰ τὸν τοῦ νυμφίου λόγον ἔχουσα ἐν οὐρανῷ τὸ πολίτευμα.

Ἐζήτησα αὐτὸν, καὶ οὐχ εὗρον· ἐκάλεσα αὐτὸν, καὶ οὐχ' ὑπήκουσέ μου.

Ὠριγένους.

Συνεχῶς ἡ ψυχὴ τὸν νυμφίον λόγον ἐπιζητεῖ· καὶ εὑροῦσα πάλιν ἑτέροις ἀποροῦσα ζητεῖ· κἀκεῖνα θεωρήσασα ποθεῖ τὴν ἑτέρων ἀποκάλυψιν· καὶ τυχοῦσα τούτων, ἐπ' ἄλλοις εὔχεται τὸν νυμφίον ἐπιδημεῖν.

Γρηγορίου.

Ὅτε ἀνέστη διὰ τοῦ θανάτου, ὅτε ἐπληρώθη τῆς σμύρνης, ὅτε προσήγαγε τῷ κλείθρῳ διὰ τῶν ἔργων τὰς χεῖρας, καὶ εἰσοικίσασθαι τὸν ποθούμενον ἤλπισε, τότε ὁ μὲν παρέρχεται, ἡ δὲ ἐξέρχεται, οὐκ ἔτι μένουσα ἐν οἷς ἦν· οὐδὲ γὰρ ἐν τῷ καταλαμβάνεσθαι τὸ μέγεθος τῆς θείας γνωρίζεται φύσεως, ἀλλ' ἐν τῷ παριέναι πᾶσαν καταληπτικὴν φαντασίαν καὶ δύναμιν· ἡ γὰρ ἐκβᾶσα ἤδη τὴν φύσιν ψυχὴ, ὡς ἂν μηδενὶ τῶν συνήθων πρὸς τὴν γνῶσιν τῶν ἀοράτων κωλύοιτο, οὔτε ζητοῦσα τὸ μὴ εὑρισκόμενον ἵσταται, οὔτε καλοῦσα τὸ ἀνεκφώνητον παύεται· πῶς γὰρ ἂν καὶ εὑρεθείη, ὃν μηνύει τῶν εὑρεθέντων οὐδέν; οὐ τόπος, οὐ σχῆμα, οὐ χρῶμα, οὐ ποσότης, οὐ περιγραφὴ, ἀλλὰ πάσης καταληπτικῆς ἐφόδου ἐστὶν ἐξώτερον· ἐζήτησα τοίνυν αὐτὸν διὰ τῶν εὑρετικῶν τῆς ψυχῆς δυνάμεων· ἐν λογισμοῖς καὶ νοήμασι, καὶ πάντων ἐξώτερον ἦν, τὸν προσεγγισμὸν τῆς διανοίας διαδιδράσκων· καὶ ἐκάλουν ὅσα δύναμις ἐπινοοῦσα φωνὰς ἐνδεικτικὰς τῆς ἀφράστου μακαριότητος· ὁ δὲ κρείττων ἦν τῆς τῶν σημαινομένων ἐνδείξεως.

7. Εὕροσάν με φύλακες οἱ κυκλοῦντες ἐν τῇ πόλει· ἐπάταξάν με, ἐτραυμάτισάν με, ἦραν τὸ θέριστρον ἀπ' ἐμοῦ φύλακες τῶν τειχέων.

Γρηγορίου. V.

Ταῦτα ἴσως δόξει τισὶν ὀδυρομένης μᾶλλον, ἤπερ εὐφραινομένης εἶναι τὰ ῥήματα· οὐκ ἔστι δὲ, ἀλλ' ἢ μᾶλλον ἐγκαυχωμένης· εἰ μὲν γὰρ κίνδυνοι ᾅδου εὗρον αὐτὴν, ἢ λῃσταῖς αὐτὴν εὑρῆσθαι λέγει, χαλεπὸν ἦν τὸ τῶν τοιούτων αὐτὴν εὕρημα γίνεσθαι· εἰ δὲ οἱ φύλακες αὐτὴν εὗροσαν οἱ κυκλοῦντες ἐν τῇ πόλει, μακαριστή ἐστι τῆς εὑρέσεως· ἡ γὰρ ἀπὸ τῶν φυλάκων εὑρεθεῖσα ψυχὴ, ἅ τινά ἐστι λειτουργικὰ πνεύματα, φρουροῦντα τὴν πόλιν, ἥ τις ἐστὶ ψυχὴ, τὸ τοῦ Θεοῦ οἰκητήριον, ὑπὸ λῃστῶν κλαπῆναι οὐ δύναται· ἡ δὲ θεία ῥάβδος ἡ διὰ τοῦ πατάσσειν ἐνεργοῦσα τὴν ἴασιν, τὸ πνεῦμά ἐστιν, οὗ καρπὸς καὶ ἡ παιδαγωγία τῆς εναρέτου πολιτείας ἐγκρατής· ἐπεὶ δὲ ταῖς τοιαύταις πληγαῖς καὶ Παῦλος ἐγκαυχώμενος ἔλεγε τὰ στίγματα τοῦ Χριστοῦ ἐν τῷ σώματί μου περιφέρω· δεικνὺς τὴν ἐν παντὶ κακῷ ἀσθένειαν· διὸ καὶ λέγειν εἶχεν· ἡ γὰρ κατὰ Χριστὸν δύναμίς μου ἐν ἀσθενείᾳ τελειοῦται, εἴτ' οὖν ἐν ἀρετῇ, διὰ τοῦ τοιούτου τραύματος, ἡ τοῦ θερίστρου γέγονεν αὐτῇ ἀφαίρεσις· ὃ τις νοοῖτο ἂν πᾶσα διστάζουσά τε καὶ κραδαινομένη διάνοια, ὡς ἀνακαλυφθῆναι τῆς ψυχῆς τὸ κάλλος, μὴ ἐπισκοτοῦντος ἔτι τοῦ ἐπιβλήματος, ἀλλὰ καθαρῶς πρὸς τὴν ἀλήθειαν βλέπειν· πόθεν δὲ τὸ θέριστρον τῇ ἀποβαλούσῃ τὸν παλαιὸν ἤδη χιτῶνα, πρὸς τῶν ἐπιτηρούντων τῆς ἀνθρωπίνης ψυχῆς τὰς διόδους; δῆλον ὡς ἀπὸ τῆς προκοπῆς· καθῄρηται γὰρ τοσοῦτον, ὡς πρὸ τούτου δοκεῖν, οὔπως ἀποδεδύσθαι τὸν παλαιὸν χιτῶνα· τοῦ γὰρ κατὰ Θεὸν ἀναβαίνοντος ἀεὶ πρὸ τοῦ παχύτερον· τὸ δὲ θέριστρον, περιβόλαιον νυμφικὸν, συγκαλύπτον αὐτοῦ τὴν κεφαλὴν καὶ τὸ πρόσωπον· τουτὶ γὰρ καὶ περὶ Ῥεβέκας ἱστόρηται· τὸ δὲ ἐκ τοῦ ἀφαιρεθῆναι αὐτῆς, ἔδειξε λέγων ὁ Παῦλος· ὅταν δὲ ἐπιστραφῇ πρὸς κυρίον, περιαιρεῖται τὸ κάλυμμα· καλὸν δὲ καὶ ὑπὸ τοῦ καλοῦ ποιμένος πρόβατον· καὶ ἡ δραχμὴ ἐπὶ τοῦ λύχνου, ἐφ' ᾗ χαίρουσι πάντες οἱ φίλοι καὶ γείτονες· εἴποις δ' ἂν καὶ οὕτως, ὡς ζητοῦσα ὃν οὐχ' εὗρε καὶ καλοῦσα τὸν ἄρρητον, διδάσκε-

V. ται διὰ τῶν φυλάκων, ὡς τοῦ ἀνεφίκτου ἐρᾷ· δι' ὧν πλήσσεται καὶ τραυματίζεται τῇ τοῦ ποθουμένου ἀνελπιστίᾳ· ἀλλὰ περιαιρεῖται τῆς λύπης τὸ θέριστρον τῷ μαθεῖν ὅτι προκόπτει ἀεὶ διὰ τοῦ ζητεῖν· καὶ τὸ μηδέποτε τῆς ἀνόδου παύεσθαι, τοῦτό ἐστιν ἡ ἀληθὴς τοῦ ποθουμένου ἀπόλαυσις· ὡς οὖν περιείλατο τῆς ἀνελπιστίας τὸ θέριστρον, καὶ εἶδε τὸ ἀόριστόν τε καὶ ἀπερίγραπτον τοῦ ἠγαπημένου κάλλος, ἐν πάσῃ τῇ ἀϊδιότητι τῶν ἀνθρώπων κρεῖττον ἀεὶ εὑρισκόμενον, σφοδροτέρῳ γίνεται πόθῳ καὶ μηνύει τῷ ἀγαπωμένῳ διὰ τῶν τῆς Ἱερουσαλὴμ θυγατέρων, τὴν τῆς καρδίας διάθεσιν, καί φησιν.

8. Ὥρκισα ὑμᾶς θυγατέρες Ἱερουσαλὴμ ἐν ταῖς δυνάμεσι καὶ ἐν ταῖς ἰσχύσεσι τοῦ ἀγροῦ· ἐὰν εὕρητε τὸν ἀδελφιδόν μου τί ἀπαγγέλητε αὐτῷ, ὅτι τετρωμένη ἀγάπης ἐγώ εἰμι.

Γρηγορίου.

Ὅτι οὐχ' ἕτερα παρὰ τὰ ἐν εὐαγγελίοις εἰρημένα τὸ μὴ ὀμόσαι ὅλως, ἀλλὰ τὸ ναὶ ναί, καὶ τὸ οὒ οὔ, δῆλον ἂν γένοιτο ἐκ τούτων· ἐν ἑτέρᾳ γὰρ ἐκδόσει, ὥρκισα ὑμᾶς κατὰ τῶν δορκάδων καὶ τῶν ἐλάφων, εὑρέθη· καὶ διδασκόμεθα διὰ τούτων, ἐν τίσιν ἡ τοῦ κόσμου τούτου ἰσχύς τε καὶ δύναμις· ἃ πρὸς βεβαίωσιν τῆς ἀληθείας δι' ὅρκου παρείληπται· δύο τοίνυν ἡμᾶς οἰκειοῖ τῷ θεῷ, πίστις ὀρθὴ καὶ τρόπος ζωῆς· δορκὰς μὲν γὰρ ἀπλανῶς ὁρᾷ, ἔλαφος δὲ τῶν ἰοβόλων ἐστὶν ἀναιρετική· ὑποτίθεται τοίνυν ταῖς νεάνισιν ἡ νύμφη κάθαρσιν καὶ ἀλήθειαν· οὕτω γὰρ τὸ ἀμετάθετον ἡμῖν βεβαιοῦται ὁ καὶ τὴν ἀλήθειαν πιστούμενος ὅρκος, ἐν ᾧ πᾶς ὁ ὀμνύων ἐπαινεῖται κατὰ τὴν τοῦ προφήτου φωνήν· ἀληθῶς γὰρ ὁ ἐν τοῖς δυσὶ τούτοις, τὸ ἀσφαλὲς ἐν ἑαυτῷ κατορθώσας, ἔν τε τῷ λόγῳ τῆς πίστεως, ὅταν ἀπλανῶς πρὸς τὴν ἀλήθειαν βλέπῃ, καὶ ἐν τῷ τρόπῳ τῆς ζωῆς, ὅταν παντὸς καθαρεύῃ τοῦ ἐκ πονηρίας μολύσματος· οὗτος ὄμνυσι τῷ κυρίῳ μὴ ἀναβῆναι ἐπὶ κλίνης στρωμνῆς, μὴ δοῦναι ὕπνον τοῖς ὀφθαλμοῖς, ἕως οὗ εὕρῃ τόπον τῷ κυρίῳ, σκηνώματα τῷ ἐν αὐτῷ οἰκοῦντι γενόμενος· μάθωμεν οὖν καὶ ἡμεῖς ἐκ τῆς νύμφης

εἰ τέκνα τῆς Ἱερουσαλὴμ ἐσμὲν ὅπως ἐστὶν ἰδεῖν τὸν ποθούμενον· ἐὰν γὰρ ὅρκιον ἑαυτῆς ποιήσωμεν τόν τε πρακτικὸν καὶ θεωρητικὸν βίον, ὀψόμεθα καθαρῶς τὸν νυμφίον τῆς ἀγάπης τοξότην· ὃς διὰ βάθους ἐντίθησι τὸ ἑαυτοῦ βέλος, τὴν τῆς θεότητος φημὶ κοινωνίαν τῇ ψυχῇ διὰ τῆς κατὰ τὴν πίστιν ἀκίδος γινομένην. V.

Νείλου.

Εἶδε τὸ σφάλμα ἑαυτῆς, καὶ τὴν ἀγανάκτησιν ἐπέγνω τοῦ ποθουμένου ἐκ πολλῆς ἀποστροφῆς, καὶ ζητεῖ ὅτῳ δήποτε τρόπῳ γνωσθῆναι τούτῳ, ποθοῦσα καὶ τὴν ὀδύνην οὐ φέρουσα τοῦ χωρισμοῦ· ὅθεν ἐκείνης ἀντιλαβοῦσα παρακαλεῖ πρεσβεῦσαι πρὸς τὸν νυμφίον, καὶ δηλῶσαι τὰ παρ' αὐτῆς ἐκείνῳ· αἷς πρὸ ὀλίγου σεμνυνομένη τῷ ἀξιώματι, ἔλεγεν· εἰσήγαγέ με ὁ βασιλεὺς εἰς τὸ ταμιεῖον αὐτοῦ, δεικνὺς πῶς μέγα συνείδησις πεπαῤῥησιασμένη, καὶ πῶς πάλιν ταπεινὸν παῤῥησίας ἀφαίρεσις.

Φίλωνος.

Παῤῥησιάζεται ἡ ἁγία ἐκκλησία ἐν τοῖς ἑαυτοῖς τέκνοις τοῖς μάρτυσι, δι' ὧν ἐτρώθη· καὶ φησὶν τοῖς ἀποστόλοις ταῦτα καὶ προφήταις.

Τί ἀδελφιδός σου ἀπὸ ἀδελφιδοῦ ἡ καλὴ ἐν γυναιξίν; 9.

Νείλου.

Ἀποροῦσιν αἱ νεάνιδες ὁρκισθεῖσαι, τίς ἄρα εἴη καὶ ποταπὸς ὁ ἀγαπώμενος, ὅτι τοιούτῳ ὁρκίσθησαν ὅρκῳ· ὅθεν καὶ οὕτως ἀναπτερωθείσας αὐτὰς ἰδοῦσα ἡ νύμφη, διαγράφει τὸν ζητούμενον χωρίζουσα τὸ κάλλος αὐτοῦ τῆς τῶν ἄλλων κοινωνίας, ἵνα μὴ τῶν πολλῶν εἷς λογίζεται ἁγίων, δεικνύουσα τὴν διαφορὰν τοῦ ἑαυτῆς ἀδελφιδοῦ, καὶ τῶν ἀδελφιδῶν τῶν νεανίδων.

Κυρίλλου.

Ἤγουν τί πεποίηκεν ὁ ἀδελφιδός σου, ἢ τί ἀπὸ ἀδελφιδοῦ σου ἔχεις;

Τί ἀδελφιδός σου ἀπὸ ἀδελφιδοῦ, ὅτι οὕτως ὥρκισα ἡμᾶς;

V. Γρηγορίου.

Αἱ ὁρκισθεῖσαι θυγατέρες Ἱερουσαλὴμ, πυνθάνονται ὁποῖος ὁ χαρακτὴρ τοῦ νυμφίου, ὡς εἰ περιτύχωσιν αὐτῷ ἐπίγνωσιν αὐτὸν ἐκ τῶν περὶ αὐτοῦ δοθησομένων σημείων· διὸ καὶ χαρακτῆρα παραδιδῶσιν· οὐχ ὃ ἦν ἀρχῇ· ἄῤῥητος γὰρ οὐχ οἷος τε δυνάμει λόγων φανερωθῆναι· ἀλλὰ πρὸς τὴν διὰ σαρκὸς ἐπιφάνειαν χειραγωγεῖ τὰς παρθένους, ὥσπερ καὶ πεποίηκεν Ἰωάννης· ὃ μὲν ἦν ἀπ᾽ ἀρχῆς σιωπήσας· ὃ δὲ ἑωράκαμεν καὶ ἀκηκόαμεν, καὶ αἱ χεῖρες ἡμῶν ἐψηλάφησαν περὶ τοῦ λόγου τῆς ζωῆς, τοῦτο μετ᾽ ἐπιμελείας διηγησάμενος.

10. Ἀδελφιδός μου λευκὸς καὶ πυῤῥὸς, ἐκλελοχισμένος ἀπὸ μυριάδων.

Φίλωνος.

Λευκὸς μὲν, διὰ τὸ ἀναμάρτητον· πυῤῥὸς δὲ, διὰ τὸ αἷμα τὸ ὑπὲρ τῆς ἐκκλησίας χυθέν.

Ὠριγένους.

Ἢ λευκὸς ἐπειδὴ ὁ θεὸς ἀληθινὸς, πυῤῥὸς δὲ διὰ τὴν σάρκωσιν.

Γρηγορίου.

Ἡ τελεία ψυχὴ ταῖς παρθένοις ὑπογράφει ψυχαῖς, τοῦ ποθουμένου καὶ ζητουμένου τὰ γνωρίσματα, διὰ τῶν ἐπὶ σωτηρίᾳ φανερωθέντων ἡμῖν· καὶ πᾶσαν τὴν ἐκκλησίαν ἓν σῶμα τοῦ νυμφίου ποθήσασα, ἴδιον τι νόημα δι᾽ ἑκάστου τῶν μελῶν ἐν τῇ ὑπογραφῇ τοῦ κάλλους ἐνδείκνυται· δι᾽ ὧν ὅλος ἐκ τῶν κατὰ μέρος θεωρουμένων τὸ τοῦ σώματος κάλλος συμπαρεικάζεται· ἐκ τοῦ σώματος τοίνυν τῆς κατηχήσεως ἄρχεται, καθὰ καὶ Ματθαῖος πεποίηκεν· ἵνα δὲ μὴ τὴν κατὰ σάρκα τὶς ἀκούων γένεσιν πρὸς τὰ τῆς φύσεως πάθη κατολισθήσειε τῇ διανοίᾳ, τούτου χάριν τὸν κοινωνήσαντα ἡμῖν σαρκὸς καὶ αἵματος, λευκὸν μὲν εἶναι φησὶ καὶ πυῤῥὸν, τὴν τοῦ σώματος δι᾽ ἀμφοτέρων φύσιν αἰνιττομένη· οὐ μὲν ὁμοιότροπον αὐτοῦ τὴν λοχείαν τῷ κοινῷ τόκῳ· ἔχειν γὰρ κατ᾽ ἐξαίρετον τὸ μὴ ἐκ λέχους γεγενῆσθαι· τοῦτο γὰρ τὸ ἐκλελοχισμένος· ἀπὸ μυριάδων δὲ τῶν ἀφ᾽ ὧν γεγόνασιν ἄνθρωποι,

καὶ εἰς ὃ προελεύσεται ῥέουσα, διὰ τοῦ τόκου τῶν ἐπιγενομένων ἡ φύσις· ἐπὶ γὰρ τῆς ἀπειρογάμου τὸ τῆς λοχείας ὄνομα, οὐκ ἔςι κυρίως εἰπεῖν· οὔ γὰρ ἀσυνδύαςος μὲν ἡ κυοφορία, ἀμόλυντος δὲ ἡ λοχεία, ἀνώδινος δὲ ἡ ὠδὶν· θάλαμος δὲ ἡ τοῦ ὑψίστου δύναμις, οἷόν τις νεφέλη τὴν παρθενίαν ἐπισκιάζουσα· πυρσὸς δὲ γαμήλιος, ἡ τοῦ ἁγίου πνεύματος ἔλλαμψις· κλίνη δὲ ἡ ἀπάθεια, καὶ γάμος ἡ ἀφθαρσία· τούτου χωρὶς λοχείας ἡ γένεσις, ὥσπερ καὶ χωρὶς γάμου ἡ σύστασις· ᾧ οὐχὶ συνήργησε πρὸς τὸ γενέσθαι ἡ φύσις, ἀλλ' ὑπηρέτησεν· οὐ μὴν δὲ ἀλλὰ καὶ ἡ ἐκ τοῦ ὕδατος γένεσις τὸ τῆς λοχείας πάθος οὐ παρεδέξατο· καὶ ἡ ἐκ τῶν νεκρῶν παλιγγενεσία, καὶ ἡ τῆς θείας ταύτης κτίσεως πρωτοτοκία, ἀλλ' ἐν πᾶσι τούτοις καθαρεύει τῆς λόχου ὁ τόκος. V.

Νείλου.

Ἀνωτέρω μὲν τὰ μέλη τῆς νύμφης προέγραψεν, ἅ τινα τοῖς τῆς ἐκκλησίας ἐφήρμοσται διαφόροις τάγμασι· νῦν δὲ τὰ τοῦ νυμφίου σκιαγραφεῖ, πολλὴν ἔχοντα τὴν ἀσφάλειαν· εἰ μὲν οὖν ὁ θεῖος λόγος ἐν τούτοις διαγράφεται, θεῖαι δυνάμεις ἔσονται πάντως ἐν τοῖς μέλεσιν ἐκείνοις χαρακτηριζόμεναι· οὐ γὰρ μελῶν συνθέσει σχηματίζεται τὸ ἀσώματον· ἐνεργείαις δὲ νοηταῖς ὡσανεὶ σῶμα τὸ ποιούμενον, διὰ τὸ ἄλλως τὰ περὶ θεοῦ παραδέχεσθαι, τὴν ἀνθρωπίνην οὐ πεφυκέναι αἴσθησιν· ὀφθαλμοὺς γὰρ, τί ἄλλο ὑπολάβοι θεοῦ, ἢ τὴν ἐποπτικὴν δύναμιν; καὶ κοιλίαν ἣν λέγει γεννᾷν, τὸ γνήσιον τῆς ὠδῖνος; πόδας καὶ πορίαν ἐπίσημον, τὴν προνοητικὴν ἐνέργειαν; ὡς ἐν ἴχνεσι τρανῶς τοῖς κηδεμονικῶς συμβαίνουσιν ἑκάστῳ κατ' οἰκονομίαν τοῦ κρείττονος θεωρουμένην· ὁμοίως ἐπὶ τῶν λοιπῶν· εἰ δὲ ὁ κυριακὸς ἄνθρωπος σημαίνοιτο, εἴη ἂν κεφαλὴ, χρυσίῳ κεφὰζ παρεικασμένη, ὅπερ ἑρμηνεύεται πέτρα, ὁ κορυφαιώτατος τῶν ἀποστόλων Πέτρος· καὶ τὴν οἰκοδομὴν τῆς ἐκκλησίας ἐπὶ τῇ ὁμολογίᾳ τῆς πίςεως οἰκοδομηθῆναι παρασκευάσας· κοιλία ὁ Παῦλος, ὁ τοὺς ἐν Χριστῷ μορφουμένους ὠδίνων· στύλοι μαρμάρινοι περὶ

V. ὧν φησὶ Παῦλος, οἱ δοκοῦντες στῦλοι εἶναι· καὶ ἕκαστος κατὰ τὴν διαφορὰν τῶν λοιπῶν χαρισμάτων· ὁ μὲν σιαγόνων ἐπέχει τόπον φυουσῶν μυρεψικὰ, ὁ δὲ χειλέων κρίνοις ὁμοιουμένων στάζουσι τὴν σμύρναν πλήρη· οἱ τὸ χρειῶδες καὶ ἐγκρατὲς παραινοῦντες τοῖς ὑπηκόοις, καὶ νεκροῦν τὰ μέλη τὰ ἐπὶ τῆς γῆς· εἶεν δ᾽ ἂν βόστρυχοι, οἱ τὸν ὀνειδισμὸν φέροντες τῶν Χριστοῦ παθημάτων· καὶ ὀφθαλμοὶ πάλιν οἱ τὸ τοῦ βαπτίσματος φυλάσσοντες δώρημα, καὶ ἐπὶ τὸ πλήρωμα τῶν ὑδάτων ἀγρύπνως καθήμενοι· νηπιάζουσι δὲ, παιδικῇ ἡλικίᾳ· λελουμένοι γάρ εἰσιν ἐν γάλακτι καὶ καθήμενοι ἐπὶ πληρώματα ὑδάτων· καὶ τὸ ἀκέραιον τῆς περιστερᾶς, καὶ τὸ ἄκακον τῆς γαλακτοτροφουμένης ἔχοντες ἡλικίας· λευκὸς δέ ἐστι διὰ τὸν ἐν ἀρχῇ θεὸν λόγον φῶς λεγόμενον τοῦ κόσμου· πυῤῥὸς δὲ δι᾽ ὃν ἀνείληφεν ἄνθρωπον, ἐκ γῆς πλασθέντα πυῤῥᾶς· εἶδος δὲ ὑποφαίνων, καὶ τὴν ὀσμὴν τῆς γνώσεως φανερὰν τοῖς ἀποςόλοις δεικνύων τοῖς τύποις τῶν ἥλων καὶ τῇ τῆς λόγχης ὀπῇ· καὶ ἐκλεκτός ἐστιν ὡς κέδρος· περὶ ὧν ἔλεγε· δίκαιος ὡς φοίνιξ ἀνθήσει, ὡσεὶ κέδρος ἡ ἐν τῷ Λιβάνῳ πληθυνθήσεται· τὸν γὰρ φάρυγγα ἔχει γλυκασμὸν οὐ γλυκαινόμενον, ἀλλὰ γλυκαίνοντα· οὐ γὰρ πιοῦται, ἀλλ᾽ αὐτὸ πιότης ἐστίν· ἐπὶ πᾶσι δέ ἐστιν ὅλος ἐπιθυμία, οὐ μετέχων τῆς ἕξεως, ἀλλ᾽ αὐτὸ ἕξις τυγχάνων· ταῦτα δὲ φησὶν ἡ νύμφη, ἵνα δείξῃ δικαίως ἐρῶσαν ἑαυτὴν· ἀπολογίαν τοῦ πάθους, τὸ κάλλος τοῦ ἀγαπωμένου προβαλλομένη.

11. **Κεφαλὴ αὐτοῦ χρυσίον κεφάζ· βόστρυχοι αὐτοῦ ἐλάται μέλανες ὡς κόραξ.**

Γρηγορίου.

Ἡ μὲν κεφαλὴ τοῦ σώματος τῆς ἐκκλησίας, ἡ πάσης τῆς φύσεως ἡμῶν ἀπαρχὴ Χριστὸς, τὸ καθαρόν τε καὶ πάσης ἀμιγὲς κακίας χρυσίον ἐςὶ· τοῦτο γὰρ τὸ κεφάζ· βόστρυχοι δὲ οἱ ποτὲ ζοφώδεις κατὰ τοὺς κόρακας· οἷς ἔργον ἐστὶ τὸ τοὺς ὀφθαλμοὺς ἐκκόπτειν, ὡς ἡ παροιμία φησίν· οὗτοι ἐλάται, τὰ ὑψηλά τε καὶ οὐρανομήκη δένδρα γενόμενοι, διὰ τοῦ ἀναδραμεῖν ἐκ

γῆς πρὸς τὸ οὐράνιον ὕψος, προσθήκη τοῦ κάλλους γίνονται τοῦ V.
νυμφίου τῆς θείας κεφαλῆς ἐξαρτήσαντες ἑαυτοὺς, καὶ τῇ τοῦ
πνεύματος ἄρα περισοβούμενοι· δι' ὧν οἶμαι δηλοῦσθαι τοὺς ἀπο-
στόλους ὧν τινες ζοφώδεις ἐν οἷς ἔπραττον ἦσαν, ὁ τελώνης,
ὁ λῃστὴς, ὁ διώκτης, κατὰ τὸ μέλα τε καὶ σαρκοβόρον· καὶ τῶν
ὀφθαλμῶν ἀφανιστικὸν, τὸν ἄρχοντα τῆς ἐξουσίας τοῦ σκότους.

Ὠριγένους.

Οἱ βόστρυχοι διὰ τὴν πυκνότητα παραβάλλονται ταῖς τῶν
φοινίκων ἐλάταις, ἃς φασὶν ἀντὶ σπέρματος εἶναι ταῖς θηλείαις
φοίνιξιν, ὥστε καρπὸν φέρειν ἐδώδιμον· διὰ δὲ τὴν βαθύτητα
τῶν ὥσπερ ἐκφυέντων ἀντὶ τριχῶν λογισμῶν, μέλανες ἐπαινετῶς
ὀνομάζονται, τῷ τοῦ νυμφίου συμβαλλόμενοι κάλλει· τὸ δὲ ὡς
κόραξ, οὐχ ἁπλῶς οἶμαι διὰ τὸ χρῶμα· σύμβολον δὲ τῶν βα-
θυτάτων εἶναι καὶ πεπληρωμένων σκοτεινοῦ ὕδατος ἐν νεφέλαις
ἀέρων· περὶ ὧν εἶπεν ὁ Ἰώβ· τίς δὲ ἡτοίμασε κόρακι βορὰν;
νεοσσοὶ δὲ αὐτοῦ πρὸς κύριον κεκράζονται· ἡτοίμασε γὰρ τοῖς
βαθυτέροις τὸν νοῦν, πολλὴν τροφὴν ὁ θεὸς, ὧν οἱ μαθηταὶ νεοσ-
σοὶ εὐχαῖς σχολάζοντες, πρὸς κύριον κεκράγασιν· πλανώμενοι·
καὶ ζητοῦντες τὰ ἐν αὐτοῖς ἐπαπορουμένοις ὑπ' αὐτῶν σιτά.

Οἱ ὀφθαλμοὶ αὐτοῦ ὡς περιστεραὶ ἐπὶ πληρώματα ὑδάτων, 12.
λελουμέναι ἐν γάλακτι, καθήμεναι ἐπὶ πληρώματα ὑδάτων.

Γρηγορίου.

Εἶεν ἂν ὀφθαλμοὶ οἱ τῆς ἐκκλησίας καθηγούμενοι· καὶ ὃς δὲ
τῶν τοιούτων ὀφθαλμῶν καὶ ἔπαινος ἡ ἀκακία· ἣν κατορθοῦσι,
μηκέτι τῷ σαρκώδει βίῳ ἐμμολυνόμενοι, ἀλλὰ ζῶντες καὶ στοι-
χοῦντες τῷ πνεύματι· ὁ γὰρ πνευματικός τε καὶ ἄϋλος βίος,
τῷ τῆς περιστερᾶς εἴδει χαρακτηρίζεται, διὰ τὸ ἅγιον πνεῦμα
ἐν εἴδει ὀφθῆναι περιστερᾶς ἐν τῷ Ἰορδάνῃ· χρὴ τοίνυν τὸν ἀντὶ
ὀφθαλμοῦ τῷ σώματι τῆς ἐκκλησίας ὑπὸ θεοῦ τεταγμένον, εἰ
μέλλοι καθαρῶς ἐπισκοπεῖν καὶ ἐφορᾷν πᾶσαν τὴν ἀπὸ τῆς κα-
κίας λύμην ἀποκλύζειν τῷ ὕδατι· πολλὰ δὲ τῶν ῥυπτικῶν ὑδά-
των εἶναι φησὶ τὰ πληρώματα· ὅσαι γὰρ ἀρεταὶ, τοσαῦται κα-

V. θαρσίων ὑδάτων πηγαί, καὶ καθαρωτέρους ἀεὶ ποιοῦσαι τοὺς ὀφθαλμούς· οἷον πηγὴ καθαρσίων ὑδάτων, ἡ σωφροσύνη· ἄλλη πηγὴ ταπεινοφροσύνης, ἡ ἀλήθειά τε καὶ δικαιοσύνη καὶ ἀνδρεία, καὶ τὰ τοιαῦτα, ἅ τινα ὕδατά ἐστιν, ἐκ μιᾶς μὲν πηγῆς, διαφόρων δὲ ῥύθρων εἰς ἓν ἀθροιζόμενα πλήρωμα· δι᾽ ὧν πάσης ἐμπαθοῦς λύπης γίνεται τοῖς ὀφθαλμοῖς τὰ καθάρσια· ἀλλ᾽ εἰσὶ μὲν ἐπὶ τὰ πληρώματα τῶν ὑδάτων οἱ ὀφθαλμοί, διὰ τῆς ἀκεραιότητός τε καὶ ἀκακίας, ταῖς περιστεραῖς ὁμοιωμένοι· τὸ δὲ γάλα τούτων εἶναι λουτρόν φησι, ὅτι μόνον ἐν ὑγροῖς τοῦτο εἰδώλου τινὸς ἀνεπίδεκτον καὶ ὁμοιώματος· οὐδὲ γὰρ ἡ ἐκκλησία μάταιόν τι καὶ πεπλανημένον καὶ ἀνυπόστατον, ἐν ἑαυτῇ σκιαγραφεῖ παρὰ τὴν ἀλήθειαν· τὸ δὲ ἐπαγόμενον, νόμος ἐστὶ τοῖς ἐπαΐουσι· περὶ ἃ χρὴ τοὺς ὀφθαλμοὺς ἔχειν· τὴν διηνεκῆ γὰρ προσεδρείαν τῆς περὶ τὰ μαθήματα προσοχῆς, τὸ καθήμεναι ἐπὶ πληρώματα ὑδάτων δηλοῖ· καθ᾽ ὁμοιότητα τοῦ ξύλου τοῦ παρὰ τὰς διεξόδους τῶν ὑδάτων πεφυτευμένου· οὕτω γὰρ ὅτε καρπὸς ἐπὶ τοῦ ἰδίου καιροῦ προβληθήσεται, καὶ ὁ κλάδος ἀειθαλὴς φυλαχθήσεται· τοιούτους εἶναι βούλεται τοὺς ὁρῶντας καὶ ἐπισκοποῦντας ὁ λόγος· ὧν χρὴ προβεβλῆσθαι μὲν τὴν τῶν θείων δογμάτων ἀσφάλειαν, ἐπικαλύπτεσθαι δὲ τῇ ταπεινοφροσύνῃ, καθαπέρ τινι περιβολῇ τὸ καθαρόν τε καὶ στίλβον τῆς πολιτείας· μήποτε ἡ τῆς οἰήσεως δοκὸς ἐμπεσοῦσα τῷ καθαρῷ τῆς κόρης, ἐμποδὼν γένηται πρὸς τὴν ὅρασιν.

Φίλωνος.

Εἰ σῶμα τοῦ Χριστοῦ ἡ ἐκκλησία, εἴη ἂν αὐτοῦ ἕκαστον μέλος, ἕκαστον τάγμα τῶν ἐν τῇ ἐκκλησίᾳ· καὶ πρῶτόν γε οἱ πατριάρχαι, ἐξ ὧν τὸ κατὰ σάρκα Χριστός, τῆς πίστεως αὐτῶν διὰ τὸ ἰσχυρὸν, ἀπεικαζόμενοι χρυσίῳ τινὶ ἰσχυρῷ· κεφὰς γὰρ πέτρα ἑρμηνεύεται· εἶτα τοὺς ἀποστόλους, ἐλάτας λέγων καὶ μέλανας, τὴν κακοπάθειαν αὐτῶν σημαίνων· καὶ ἑπταόφθαλμος δὲ τοῦ ἁγίου πνεύματος δύναμις ἐφορῶσα τὴν ἐκκλησίαν, ὀφθαλμοὶ αὐτοῦ εἴρηνται· πληρώματα δὲ τῶν ὑδάτων τούτων ἡ ἀγά-

πη· ἢ ἵνα τὸ πλήρωμα τοῦ λουτροῦ τῆς παλιγγενεσίας δόξῃ καὶ V.
ἐν τῇ τῆς κακίας λευκότητι, ἐπὶ πληρώμασι τῶν ἐκκλησιῶν καθεζομένους τοὺς ἱερεῖς.

Σιαγόνες αὐτοῦ ὡς φιάλαι τοῦ ἀρώματος, φύουσαι μυρεψικά. 13.

Γρηγορίου.

Ἀκολούθως ἐπαινοῦνται μετὰ τοὺς ὀφθαλμοὺς αἱ σιαγόνες· ὧν ἔργον ἐστὶ, τὸ λεπτύνειν τὴν θείαν γραφήν· δι' ἧς ἡ τοῦ σώματος τῆς ἐκκλησίας συντηρεῖται δύναμις· ὡς εἶναι πάντα τηλαυγῆ καὶ νηπίοις κατάδηλα, καὶ δίχα τινὸς δολερᾶς κοιλότητος· τοῦτο γὰρ ἡ φιάλη αἰνίττεται· μήτε ἄγαν βαθυνομένου τοῦ σχήματος αὐτῆς, μήτε δι' εὐθείας ἐξυπτιάζοντος· ὡς μήτε κοῖλον ἀκριβῶς εἶναι δοκεῖν, μήτε ἐπίπεδον· εἰ οὖν τοιαῦται εἰσὶν αἱ φιάλαι τοῦ λόγου, οὐκ ἐκ γηΐνης ὕλης δηλονότι συστήσονται, ἀλλ' ἐκ τοῦ ἀρώματος αὐτῆς ἔσται ἡ φύσις ἐκείνου τοῦ ὑπὲρ πάντα τὰ ἀρώματα, καθὼς ἐν προοιμίοις φησὶν ἡ νύμφη.

Ὠριγένους.

Σιαγόνας Χριστοῦ τοὺς διακονουμένους λόγῳ θεοῦ καὶ τροφῇ πνευματικῇ νοητέον· διὰ μὲν τὴν πληρώτητα τῆς εὐωδίας τῶν καλῶν ἔργων καὶ λόγων, ἐοικότας φιάλαις τοῦ ἀρώματος· διὰ δὲ τὸ ἐῤῥιζομένον ἐν αὐταῖς ποικίλον ἐν πάσῃ συνθέσει γραφῆς λόγον ἀεὶ καρποφοροῦντας μυρεψικόν.

Χείλη αὐτοῦ, κρίνα στάζοντα σμύρναν.

Γρηγορίου.

Ἐπαινεῖται μετὰ τὰς σιαγόνα τὰ χεῖλη, δι' ὧν ὁ λόγος ἀρωματίζων προέρχεται· δύο δὲ κατὰ ταυτὸν μαρτυρεῖ ἀρετὰς τῷ λόγῳ διὰ τοῦ διπλοῦ ὑποδείγματος· ὧν μὲν γάρ ἐστιν ἡ ἀλήθεια λαμπροτέρα τε καὶ φωτοειδὴς, ἐν τοῖς λεγομένοις θεωρουμένη ὥσπερ κρίνον· ἑτέρων δὲ, τὸ μόνην τὴν νοητὴν καὶ ἄϋλον ζωὴν ὑπὸ τῆς διδασκαλίας προδείκνυσθαι, διὰ τῆς τῶν νοητῶν θεωρίας, ἀπονεκρωμένης τῆς κάτω ζωῆς, τῆς διὰ σαρκός τε καὶ αἵματος ἐνεργουμένης. Ἡ γὰρ ἀποῤῥέουσα τοῦ στόματος σμύρνα, καὶ τὴν δεχομένην πληροῦσα ψυχὴν, ἐμφαίνει τὴν τοῦ σώ-

V. ματος νέκρωσιν· ὁ τοίνυν τέλειος καὶ καθαρὸς ὀφθαλμὸς ὁ τὴν σιαγόνα φιάλην ποιῶν τὴν τὰ μῦρα ἐξ ἑαυτῆς πηγάζουσαν, οὗτος ἀνθεῖ τὰ κρίνα τῶν λόγων διὰ τοῦ ςόματος, τῶν τῇ θείᾳ κεκαλλωπισμένων λαμπρότητι· οὕτω γὰρ τοὺς δι' ἀρετῆς εὐποροῦντας ὀνομάζει ὁ λόγος· ἀφ' ὧν γίνεται ἡ τῆς σμύρνης σταγὼν, ἀνελλιπῶς πληροῦσα τὴν τῶν δεχομένων διάνοιαν· ὅπερ ἐστὶν ἡ τῆς ὑλικῆς ὑπεροψία, διὰ τὴν τῶν ὑπερκειμένων ἀγαθῶν ἐπιθυμίαν, ἀνενεργήτων τε καὶ νεκρῶν γενομένων.

Κυρίλλου.

Τὰ στάζοντα σμύρναν λέγει, τὰ ὁμολογοῦντα χείλη τὸν θάνατον.

Ἀπολιναρίου.

Αὐτὸς μὲν οἷα κρίνον ἀκμάζει, ἡμῖν δὲ τὴν διὰ θανάτου πρὸς ζωὴν εἰσηγεῖται μετάθεσιν.

14. Χεῖρες αὐτοῦ τορευταὶ χρυσαὶ, πεπληρωμέναι θαρσεῖς.

Φίλωνος.

Τορευταὶ αἱ διατρηθεῖσαι χεῖρες· χρυσαὶ διὰ τὸ ἀναμάρτητον· πεπληρωμέναι τῆς ἐπιςροφῆς τῶν ἐθνῶν· θαρσεῖς γὰρ ἐπιστροφὴ χαρᾶς.

Γρηγορίου.

Ὅτι μὲν ἀτελής ἐςιν ἐπὶ τοῦ σώματος τῆς ἐκκλησίας ἡ τοῦ ὀφθαλμοῦ χάρις, τῆς τῶν χειρῶν ὑπουργίας διαζευγμὴ, σαφῶς παρὰ τοῦ ἀποστόλου μαμαθήκαμεν λέγοντος· οὐ δύναται ὀφθαλμὸς εἰπεῖν τῇ χειρὶ, χρεία σου οὐκ ἔχω· τότε γὰρ μάλιςα τῶν ὀφθαλμῶν ἡ ἐνέργεια δείκνυται· ὅταν τὰ ἔργα μαρτυρεῖ τὴν ὀξυοπίαν τῷ ὄμματι, διὰ τῆς ἐπὶ τὰ καλὰ σπυδῆς τὴν ὁδηγίαν ἐπισημαίνοντα· οἷς τισιν οὖν τὸ τῆς κεφαλῆς εἶδος ἐγκωμιάζεται, διὰ τῶν αὐτῶν καὶ ταῖς χερσί· κεφαλὴν δὲ τὸν Χριστὸν ἐνοήσαμεν, χρυσίον παρὰ τοῦ λόγου κατονομασθέντα, διὰ τὸ πάσης ἁμαρτίας ἐκτὸς εἶναι· χρυσὰς οὖν καὶ τὰς χεῖρας δι' ὧν τὸ καθαρὸν τὲ καὶ ἀναμάρτητον, καὶ πάσης κακίας ἀμιγές τε καὶ ἀπαράδεκτον ἐμφαίνει· χεῖρα δὲ νοοῦμεν πάντως, τὴν τὰ

κοινὰ τῆς ἐκκλησίας εἰς τὰς τῶν ἐντολῶν χεῖρας διαχειρίζουσαν· V.
ἧς ἔπαινος τὸ ὁμοιωθῆναι τῇ τῆς κεφαλῆς φύσει κατὰ τὸ καθαρόν τε καὶ ἀναμάρτητον· καθαρὰ γίνεται ἡ χεὶρ ὅταν διὰ τῆς τορείας ἀποξύσηται τὸ ἐμποδίζον ἅπαν τῷ κάλλει· οἷον τὸ ἀνθρωπάρεσκον, τὸ φίλαυτον, τὸ φιλοκερδὲς, καὶ τὰ ὅμοια· τῆς δὲ θαρσεῖς λέξεως, ποτὲ μὲν λαμβανομένης ἐπὶ κακοῦ, ὡς τὸ συντρίψεις πλοῖα θαρσεῖς· ποτὲ δὲ ἐπὶ τοῦ μακαρισμένου καὶ ἀγαθοῦ, ὡς τὸ ἐν Ἡσαΐᾳ (Ἰεζεκιὴλ) καὶ τὸ εἶδος αὐτοῦ, ὡς εἶδος θαρσεῖς· τῇ τοῦ ἐπὶ τοῦ κρείττονος ἐχρήσατο σημασίᾳ, δηλούσης τῆς λέξεως τὸ ἀχρωμάτιστον καὶ νοητὸν καὶ ἀσώματον· τότε οὖν γίνονται αἱ χεῖρες χρυσαῖ πλήρεις θαρσεῖς, ὅταν ἀκριβῶς ἀφ᾽ ἑαυτῶν πᾶν τὸ περιττὸν καὶ σωματοειδὲς ἀποτορεύσασαι ἐκ προαιρέσεως, πρὸς τὸ θεῖόν τε καὶ νοητὸν μεταβαίνουσι, τὴν ὑλώδη πᾶσαν καὶ βαρεῖαν περὶ τὰ πράγματα σχέσιν ἐκτιναξάμεναι.

Κοιλία αὐτοῦ πυξίον ἐλεφάντινον, ἐπὶ λίθου σαπφείρου.

Γρηγορίου.

Κοίλια, τὸ διανοητικὸν καὶ λογιστικὸν τῆς ψυχῆς, ἐν ᾧ ἀποτίθεται καθαρῷ τε ὄντι καὶ λείῳ καὶ στίλβοντι· καθάπερ τὸ πυξίον τὸ ἐλεφάντινον· ὥστε τρανήν τε καὶ ἀσύγχυτον τὴν τῶν θείων λογίων ἐντυποῦσθαι γραφήν· ὁ οὐρανοειδὴς δὲ σάπφειρος, σύμβολον τοῦ τὴν καρδίαν ἡμῶν ταῦτα δεξαμένην τὰ μαθήματα τὰ ἄνω φρονεῖν, ὅπου τὸν θησαυρὸν ἐναποτίθεται· κἀκεῖ τὰς ὄψεις τῇ ἐλπίδι προσαναπαύειν· ὥστε μὴ κάμνειν ἐν τῇ προσοχῇ τῶν θείων παραγγελμάτων· τῆς οὐρανίας ἐλπίδος τὸ ὀπτικὸν τῶν τῆς ψυχῆς ὀμμάτων ἀναπαυούσης· ὥσπερ φασὶ τὴν λίθον ταύτην διὰ τοῦ κυανέου χρώματος προσαναπαύειν τὸν ὀφθαλμὸν κάμνοντα.

Ὠριγένους.

Κοιλία ἐστὶ τοῦ λόγου, οἱ χωρητικοὶ τῶν μυστηρίων, τουτέστιν οἱ κοῖλοι πρὸς ὑποδοχήν· πυξίον δὲ, οἱ πρὸς διατήρησιν ἐπιτήδειοι· κατὰ δὲ τὸ λαμπρὸν καὶ σαφὲς ἐλεφάντινον εἶναι λέ-

V. γεται. ἡ δὲ τοιαύτη κοιλία, τὸ πυξίον τὸ ἐλεφάντινον, ἐπιβέβληκε λίθῳ σαπφείρῳ, ὅς ἐστι Χριστός· ὅσοι οὖν εἰσὶ κοιλία τοῦ λόγου, οὗτοι ἀπὸ τοῦ φόβου κύριον ἐν γαστρὶ λαμβάνουσι, καὶ τίκτουσι πνεῦμα σωτηρίας· διὰ τοῦτο καὶ ἡ κοιλία τῆς θυσίας ἐν τῷ λευιτικῷ πλύνεται, ὡς μηδὲν ἔχειν κοπρῶδες.

15. Κνῆμαι αὐτοῦ στύλοι μαρμάρινοι, τεθεμελιωμένοι ἐπὶ βάσεις χρυσάς.

Κυρίλλου.

Εἶεν δ' ἂν οὗτοι καὶ βάσεις· οἱ γὰρ οἰκοδομούμενοι ἐποικοδομοῦνται τῷ θεμελίῳ τῶν ἀποστόλων καὶ προφητῶν· ἀκολούθως τὰς κνήμας μετὰ τὴν κοιλίαν ἐπαινεῖ, ἅς φησι στύλους εἶναι μαρμαρίνους τεθεμελιωμένους ἐπὶ βάσεις χρυσάς· στύλοι δὲ τῆς ἐκκλησίας, οἷον Πέτρος καὶ Ἰωάννης, οἱ θεμέλιον τὸν Χριστὸν χρυσὸν λεχθέντες· μαρμάρινοι δὲ, οὕσπερ εἶπε Παῦλος ἑδραίωμα· διὰ τὸ ἑδραῖον καὶ ἀσάλευτον, καὶ τῷ λαμπρῷ βίῳ καὶ τῷ ὑγιαίνοντι λόγῳ τὸ κοινὸν σῶμα τῆς ἐκκλησίας βαστάζοντές τε καὶ ἐρείδοντες· ἀλλὰ καὶ τὸ τὸν θεὸν ἀγαπᾷν ἐξ ὅλης τῆς καρδίας, καὶ τὸν πλησίον ὡς ἑαυτὸν, ὡς διὰ στύλων μαρμαρίνων, τὸ κοινὸν σῶμα τῆς ἐκκλησίας βαστάζειν· ὁ γὰρ ἐν ταῖς δυσὶ ταύταις τελειωθεὶς ἐντολαῖς, στύλος καὶ ἑδραίωμα τῆς ἐκκλησίας κατασκευάζεται· ὥστε τοῖς δυσὶ τούτοις κατορθώμασιν, ὅλον τὸ σῶμα τῆς ἐκκλησίας, καθάπερ κνήμαις τισὶν ἐπερείδεσθαι τοῦ χρυσίου θεμέλιου τῆς κατὰ πίστιν βάσεως τὸ ἀκλινὲς καὶ ἀμετάθετον· καὶ τῷ ἐν παντὶ ἀγαθῷ πάγιον τοῖς λογισμοῖς ἐμποιοῦντος.

16. Εἶδος αὐτοῦ ὡς Λίβανος ἐκλεκτὸς, ὡς κέδροι· φάρυγξ αὐτοῦ γλυκασμὸς καὶ ὅλος ἐπιθυμία· οὗτος ἀδελφιδός μου, καὶ οὗτος πλησίον μου θυγατέρες Ἱερουσαλήμ.

Γρηγορίου.

Μετὰ τοὺς κατὰ τὸ μέρος ἐπαίνους, καθάπερ κεφαλαιουμένη ὅλον τοῦ νυμφίου τὸ κάλλος ταῦτα φησί· δηλοῦσα, ὡς οἶμαι, ὅτι περὶ τὸ βλεπόμενον κάλλος τοῦ νυμφίου ἐστὶν ὁ ἔπαινος· ἐκεῖνο

φημὶ τὸ βλεπόμενον· ὁ διὰ τὸν καθ' ἕκαστον μελῶν τῶν συμπληρούντων τὴν ἐκκλησίαν σωματοποιεῖ ὁ ἀπόστολος· ἐν γὰρ εἶδος αὐτοῦ φησὶν εἶναι τὰς μυριάδας τῶν κέδρων, αἷς διείληπται πανταχόθεν ὁ Λίβανος· δηλοῦσα διὰ τῶν λεγομένων ὅτι οὐδὲν ταπεινὸν καὶ χαμαίζηλον συντελεῖ πρὸς τὴν εὐμορφίαν τοῦ σώματος, ἐὰν μή τι κατὰ τὴν κέδρον ὑψηλὸν ᾖ καὶ πρὸς τὰ ἄνω τῇ ἀρετῇ ἐπειγόμενον· ὁ Λίβανος δὲ ὄρος ἐστὶ περιφανές τε καὶ λάσιον· καὶ ἐπειδὴ πολλάκις καὶ ὁ διάβολος Λίβανος ὀνομάζεται, καὶ κέδροι οἱ δαίμονες, ὡς τὸ, καὶ συντρίψει κυρίος τὰς κέδρους τοῦ Λιβάνου· νῦν ἡ νύμφη τῷ ἐκλεκτῷ Λιβάνῳ τὸ εἶδος τοῦ νυμφίου παρείκασεν, ἐπὶ τὸ κρεῖττον ἐκλαμβάνουσα τὴν ὀνομασίαν· ὡς ἐν τῷ, δίκαιος ὡς φοίνιξ ἀνθήσει, ὡσεὶ κέδρος ἡ ἐν τῷ Λιβάνῳ πληθυνθήσεται· διὰ τί δὲ ποτὲ μὲν ἐπὶ καλοῦ λαμβάνεται ὁ Λίβανος ἅμα τοῖς κέδροις, ποτὲ δὲ ἐπὶ τοῦ ἐναντίου; ἐπειδὴ πέφυκε παρυφίστασθαι τῇ ἀρετῇ ἡ κακία, καὶ ἐξομοιοῦσθαι αὐτῇ· ὅθεν καὶ ὡς Λίβανος ἐκλεκτός φησιν· ἐκλογὴ δὲ πάντως διὰ τῆς τοῦ ἐναντίου παραθέσεως γίνεται· διὸ ὁμώνυμόν ἐστι τὸ ἀγαθὸν, ἐπί τε τοῦ ὄντως ὄντος τοιούτου, καὶ ἐπὶ τοῦ ὄντος μὲν, ὑποκρινομένου δὲ δι' ἀπάτης καὶ δοκοῦντος εἶναι ὃ οὐκ ἔστιν· ὁ μὴ διαμαρτάνων τοίνυν τῆς τοῦ καλοῦ κρίσεως, τὸ ἐξειλεγμένον ἀγαθὸν, ἀντὶ τοῦ ἠπατημένου προσείλετο· ἐπειδὴ τοίνυν τὸ σῶμα Χριστοῦ διὰ τῶν καθ' ἕκαστον πληροῦται μελῶν, καὶ τὰ πολλὰ μέλη ἓν σῶμα γίνεται κατὰ τὸν ἀπόστολον, τούτου χάριν ὅλον τοῦ νυμφίου τὸ κάλλος τὸν ἐκλεκτὸν ὠνόμασε Λίβανον, τὴν πρὸς τὸν ἀπόβλητον διαφορὰν τῷ ἐκλεκτῷ διαστείλασα· ἐπειδὴ δὲ κηρία μέλιτος οἱ καλοὶ εἰσὶ λόγοι, ἡ δὲ τῆς φωνῆς γέννησις ἐκ τοῦ φάρυγγος, ἐν ᾧ τὸ πνεῦμα προσπίπτον ἐκ τῆς ἀρτηρίας ἠχεῖ· ἔοικε δὲ διὰ ταύτης τοὺς ὑπηρέτας τοῦ λόγου δηλοῦν, ἐν οἷς λαλεῖ ὁ θεὸς, τὸ μέλι τὸ λεῖον διὰ τοῦ φάρυγγος τοῦ ἰδίου πηγάζοντας· χαρακτηρίσασα δὲ δι' ὧν ἠδύνατο τὸν ποθούμενον, τότε δεικτικῶς οὗτος ἐστὶ φησὶν ὃς διὰ τοῦ ἀδελφὸς γενέσθαι ἐξ Ἰούδα ἡμῖν ἀνατείλας πλησίον ἐγένετο. V.

V. Ποῦ ἀπῆλθεν ὁ ἀδελφιδός σου ἡ καλὴ ἐν γυναιξί; ποῦ ἀπέ-
17. βλεψεν ὁ ἀδελφιδός σου; καὶ ζητήσωμεν αὐτοῦ μετὰ σοῦ.

Γρηγορίου.

Πρῶτον μὲν περὶ τοῦ τί ἐστιν ἐποιήσαντο τὸν λόγον αἱ παρθένοι ψυχαί, ὅπερ ἐδιδάχθησαν δι' ὧν αὐτὸν ὑπέγραψε· διὸ ἀρτίως περὶ τοῦ ποῦ πυνθάνονται, ἵνα ὅπου μὲν ἐςὶ μαθοῦσαι, προσκυνήσωσιν εἰς τὸν τόπον οὗ ἔστησαν οἱ πόδες αὐτοῦ· ὅπου δὲ ἀπέβλεψεν, οὕτως ἑαυτὰς στήσωσιν, ὥστε καὶ αὐταῖς ἐποφθῆναι τὴν δόξαν αὐτοῦ, οὗ ἡ ἐπιφάνεια σωτηρία τῶν ἐποφθέντων γίνεται· καθηγεῖται τοίνυν αὐτῶν πρὸς τὴν τοῦ ζητουμένου κατάληψιν· καθάπερ Φίλιππος ποτὲ τῷ Ναθαναὴλ, ἔρχου καὶ ἴδε· ἀντὶ τοῦ ἴδε, τὸν τόπον ὑποδεικνύουσα ἐν ᾧ ἐςὶν ὁ ζητούμενος, καὶ ὅπου βλέπει· φησὶν οὖν.

Νείλου.

Ἔπεισεν αὐτὰς ἐξηγουμένη τὸ κάλλος τοῦ νυμφίου, καὶ διέθηκεν ὡς ἐβούλετο· ὅθεν καὶ τῷ λόγῳ συνεψηφίσαντο τῷ τῆς νύμφης ἔρωτι, καὶ τοῖς ἔργοις βεβαιοῦσι τὸν πόθον· καὶ τῇ ἐρώσῃ συμπάσχουσαι καὶ ἐρωτικὸν παθοῦσαί τι πρὸς αὐτὸν ἐκ τῆς διηγήσεως· τοιαῦτα γὰρ τὰ ὄντως καλὰ, καὶ ὁρώμενα χειροῦται πρὸς πόθον, καὶ ἀκουόμενα ἐφέλκεται πρὸς διάθεσιν· διὸ καὶ ζητεῖν αὐτὸν μετ' αὐτῆς λοιπὸν σπουδάζουσιν.

Ἀπολιναρίου.

Πανταχῆ μὲν πάρεστιν ὁ νυμφίος λόγος· πρὸς δὲ τὸ ἐπιτήδειον ποιεῖται τὰς ἐνεργείας, ὡς ἐν τῷ Ἰσραὴλ πρότερον, καὶ νῦν ἐν τῇ ἐκκλησίᾳ τὸ ὅλον τοῦ σωτῆρος ἡ παρουσία, ἐξαιρέτως δὲ ἐν τοῖς ἁγίοις· ἐνταῦθα τοίνυν διὰ τῶν συμβόλων δείκνυσιν αὐτὸν διατρίβοντα· τὸν καιρὸν αἰνιξαμένη καθ' ὃν ἔφη πατάσσεσθαι, καὶ τραυματίζεσθαι, καὶ τὴν περιβολὴν ἀφαιρεῖσθαι.

CAP. VI.

Ἀδελφιδός μου κατέβη εἰς κῆπον αὐτοῦ· εἰς φιάλας τοῦ ἀρώ- V. 1.
ματος ποιμαίνειν ἐν κήποις, συλλέγειν κρίνα.

Γρηγορίου.

Αὕτη μὲν ἡ σημαντικὴ τοῦ λόγου πρὸς τὰς νεάνιδας ἐστὶν ὁδηγία· δι᾽ ὧν μανθάνουσι καὶ ὅπου ἐστὶ, καὶ ὅπου βλέπει· διὰ τούτων δὲ τὸ εὐαγγελικὸν μυστήριον μανθάνομεν· ἀδελφιδὸς γὰρ παρ᾽ αὐτῆς ὀνομάζεται, διὰ τὸ ἀδελφιδοὺς ὑπάρχειν τῶν τε ἐξ ἐθνῶν λαῶν, καὶ τῶν ἐξ ἰουδαίων· τὸ δὲ κατέβη διὰ τὸν ἀπὸ Ἰερουσαλὴμ εἰς Ἱεριχὼ καταβάντα, καὶ γενόμενον ἐν λῃσταῖς· κατέβη γὰρ ἐκ τῆς ἀφράστου μακαριότητος φανερωθὲν ἐν σαρκὶ, τοῦ ποιῆσαι πάλιν κῆπον τὴν ἔρημον, τῇ τῶν ἀρετῶν φυτείᾳ καλλωπιζόμενον· ἀναφυτεύει γὰρ τὸ ἑαυτοῦ γεώργιον ὁ ἀληθινὸς γεωργὸς ἡμᾶς τοὺς ἀνθρώπους· ἡμεῖς γὰρ ἐσμὲν αὐτοῦ γεώργιον· αἱ δὲ τοῦ ἀρώματος φιάλαι, ἐν μὲν τῇ τοῦ κάλλους ὑπογραφῇ πρὸς τὸ τῶν σιαγόνων ἐγκώμιον παρελήφθησαν· ἐνταῦθα δὲ τόπος εἶναι τοῦ νυμφίου καὶ ἐνδιαίτημα παρὰ τοῦ λόγου μηνύεται· τοῦτο μανθανόντων ἡμῶν, ὅτι οὔτε ἐν ἐρήμῳ τῶν ἀρετῶν ψυχῇ ὁ νυμφίος λόγος αὐλίζεται· ἀλλ᾽ εἴ τις φιάλη ἀρώματος γένοιτο φύουσα μυρεψικὰ, ὁ τοιοῦτος κρατὴρ τῆς σοφίας γενόμενος, δέχεται ἐν ἑαυτῷ τὸν θεῖον ἀκήρατον οἶνον· δι᾽ ὧν γίνεται τῷ δεξαμένῳ εὐφροσύνη· νομὴν δὲ νέμεται τοῦ νυμφίου τὸ ποίμνιον, οὐκ ἐν ἐρήμοις ἀκάνθας, οὐδὲ πόαν χορτώδη, τὰ δὲ ἐκ τῶν κήπων ἀρώματά τε καὶ κρίνα, ἃ τινά ἐστιν ὅσα σεμνὰ, ὅσα δίκαια, ὅσα προσφιλῆ, ὅσα εὔφημα· εἴ τις ἀρετὴ καὶ εἴ τις ἔπαινος· ἅπερ εἰς τροφὴν αὐτῆς ὁ καλὸς συλλέγει ποιμήν· τὰ μὲν γὰρ κρίνα τοῦ λαμπροῦ καὶ καθαροῦ τῆς διανοίας αἴνιγμα γίνεται, ἡ διὰ τῶν ἀρωμάτων εὔπνοια, τοῦ πάσης ἁμαρτιῶν δυσωδίας ἀλλοτρίως ἔχειν.

VI. Νείλου.

Ὅσην μὲν ἐπὶ τῇ λέξει ζηλοτυπίαν ἔχει τὸ ῥητὸν, διακρούεται γὰρ τὰς μετ' αὐτὴν ζητεῖν βουλομένας, ἀπεληλυθέναι λέγουσα αὐτὸν, ὅπου δυσχερὲς ἢ ἀδύνατον ἐκείνας καταβῆναι· ἡ δὲ διάνοια δηλοῖ, ὅτι καταβέβηκεν ὁ νυμφίος εἰς κῆπον οἰστικὸν λαχάνων, ἃ ἐστὶ ἀσθενῶν τροφὴ καὶ ὀλιγοπίστων ἔδεσμα· τάχα οὐκ ἂν καταβὰς, εἰ παράδεισος ὁ κῆπος ἐτύγχανεν ὢν, εἰσέρχεται γὰρ εἰς τὰ τελειότερα· ὡς ἐπιπέδοις ὁμαλῶς ἐπεμβαίνων τοῖς ἰσοτίμοις· καταβαίνει δὲ εἰς τὰ ὑποδεέστερα, τὴν τῆς συγκαταβάσεως οἰκονομίαν ὀνομάζων κατάβασιν· καὶ τοῦ ποιμαίνειν δὲ ἐν κήποις τὴν πρὸς τοὺς ποιμαινομένους συγκατάβασιν δηλοῖ· οὐ δυνηθέντας προβῆναι δι' ἀσθένειαν τοῖς ὄρεσι τῆς φυσικῆς καὶ ἀρχαίας εὐδιαγώγου νομῆς, πρὶν ὁ ποιμὴν πρὸς αὐτοὺς καταβῇ· ἐκεῖ διὰ φιλανθρωπίαν γενόμενος, ὅπου αὐτοὶ κατέπεσον δι' ἀμέλειαν· ποιμαίνων δὲ τοὺς ἀσθενεστέρους, ἐν τοῖς τῆς συγκαταβάσεως κήποις, εἴπου εὕρῃ κρίνα ἀνθεῖν ἀρξαμένους τὸ τῆς ἐπὶ θεὸν πεποιθήσεως ἄνθος· καὶ τὴν μέριμναν τῆς σωματικῆς ἀνάγκης ἐπιῤῥίψαντα ἐπ' αὐτόν· συλλέγει δὲ ταῦτα μεταφυτεύων ἐν ἐπιτηδειοτέρῳ τόπῳ πάντως καὶ τάγματι· κρίνων γὰρ ἐπιτήδειον τούτοις τὴν ἐν κήποις διαγωγήν· ἵνα μὴ καὶ τοῦ ἔνθους ἐπὶ τὴν ἀρχαίαν ἕλκοντος κατάστασιν, καὶ τῆς πρὸς τοὺς τοιούτους πολλῆς κοινωνίας ἐρεθιζούσης πρὸς ζῆλον μιμήσεως, ἐπὶ τὴν παλαιὰν κατενεχθῶσι συνήθειαν.

Φίλωνος.

Κατέβη πρὸς τὰς ἐν ᾅδου τῶν δικαίων ψυχάς· φιάλαι γὰρ αὗται τοῦ ἀρώματος· πρῶτον γὰρ οἱ πατριάρχαι τὴν εἰς Χριστὸν ἔπνευσαν πίστιν· καὶ μετὰ τὴν ἀνάστασιν τὰς κατὰ τόπον ἐκκλησίας ποιμαίνειν· συλλέγειν δὲ κρίνα τοὺς ἀγαθοὺς ἄνδρας· ἢ τὸν λόγον τῆς ὁμολογίας αὐτῶν.

2. Ἐγὼ τῷ ἀδελφιδῷ μου· ἀδελφιδός μου ἐμοὶ ὁ ποιμαίνων ἐν τοῖς κρίνοις.

Γρηγορίου. VI.

Κανὼν καὶ ὅρος τῆς κατ᾽ ἀρετὴν τελειότητός ἐςιν οὗτος· μανθάνομεν γὰρ διὰ τούτων τὸ μὴ δεῖν πλὴν τοῦ Θεοῦ μηδὲν ἔχειν· μηδὲ πρὸς ἄλλό τι βλέπειν τὴν κεκαθαρμένην ψυχὴν, ἀλλ᾽ οὕτως ἑαυτὴν ἐκκαθάραι παντὸς ὑλικοῦ πράγματός τε καὶ νοήματος· ὡς ὅλην δι᾽ ὅλου μετατεθεῖσαν πρὸς τὸν νοητόν τε καὶ ἄϋλον, ἐναργεςάτην εἰκόνα τοῦ ἀρχετύπου κάλλους ἑαυτὴν ἀπεργάσασθαι· λέγει οὖν τὴν φωνὴν ταύτην ἡ νύμφη τὸ προαιρετικόν τε καὶ ἔμψυχον κάτοπτρον· ὅτι ἐπειδὴ ὅλῳ τῷ κύκλῳ ἐγὼ τὸ τοῦ ἀδελφιδοῦ πρόσωπον βλέπω, διὰ τοῦ ὅλον τῆς ἐκείνου μορφῆς τὸ κάλλος ἐν ἐμοὶ καθορᾶσθαι· οἷος ἦν Παῦλος ὁ εἰπὼν ἐμοὶ τὸ ζῆν Χριστός· οὐδὲν γὰρ τῶν ὑλικῶν καὶ ἀνθρωπίνων μαθημάτων ἐν αὐτῷ ζῇ, οὐ λύπη, οὐ θυμὸς, οὐ φόβος, οὐ δειλία, οὐ τύφος, οὐ θράσος, οὐ φιλοδοξία, οὐκ ἄλλό τι τῶν τὴν ψυχὴν διά τινος σχέσεως κηλιδούντων· ἀλλ᾽ ἐκεῖνος μοι μόνος ἐστὶν, ὃς οὐδὲν τούτων ἐςὶν, ἀλλ᾽ ἢ ἁγιασμὸς καὶ ἀφθαρσία, καὶ φῶς, καὶ ἀλήθεια, καὶ τὰ τοιαῦτα, ὅσα ποιμαίνει ψυχὴν· οὐκ ἐν χόρτοις ἢ φρυγάνοις, ἀλλ᾽ ἐν ταῖς λαμπρότησι τῶν ἁγίων· καὶ ὥσπερ ἐπὶ ὑελίνου σκεύους, οἷον ἂν ᾖ τὸ ἐμβαλλόμενον διαφανὲς γίνεται· οὕτω τρέφεται μὲν ψυχὴ τοῖς κρίνοις, εἴτ᾽ οὖν ταῖς ἀρεταῖς· ὧν ὁ τῆς ἀγαθῆς πολιτείας ἐμφορηθεὶς, ἐπίδηλον ποιεῖ διὰ τοῦ βίου ἑκάστης ἀρετῆς τὸ εἶδος, διὰ τοῦ ἤθους ἐπιδεικνύμενος.

Νείλου.

Ὅτι ζηλοτύπως ἡ λέξις ἐσχημάτισται· ἵνα γὰρ μὴ νομίσωσι κοινὸν εἶναι πασῶν, καὶ οὔπω τέως ἀξίων τὸν πρὸς τῶν τοιούτων ἔρωτα, μόνην μόνῳ ἑαυτῷ ἀνατίθησι· πῶς δὲ νῦν ἐν κρίνοις ποιμαίνει; ποιμαίνων ἐν κήποις πρότερον ἢ πάντων προκοψάντων τῶν ποιμαινομένων.

Ὥσπερ τὸ σῶμα, οὐ τῇ πορνείᾳ, ἀλλὰ τῷ κυρίῳ, οὕτω καὶ ἡ νύμφη τῷ κυρίῳ· καὶ ἔμπαλιν· εἰ δέ τι ἄνθος ὡραῖον ἐν ἀν-

VI. θρωπίναις ψυχαῖς, ἐκεῖνο συλλέγων ὡς ἄξιον τοῖς ἑαυτοῦ ποιμέσι ποιμαντικῆς.

Φίλωνος.

Ἤγουν ἐγὼ τὰ ἔργα αὐτῷ, καὶ αὐτὸς ἐμοὶ τὸν μισθόν.

Ἀπολιναρίου.

Ὡς ἂν μή τις νομίσῃ διεστάναι τὸν κῆπον αὐτῆς, καὶ τὴν ἐκεῖ τοῦ νυμφίου διατριβὴν, δείκνυσιν ἑαυτὴν εἶναι τὴν ὑπ᾽ αὐτοῦ νεμομένην· καὶ αὐτὴν εἶναι τὰ κρίνα· ταῦτα εἰπούσης, ὁ νυμφίος ἐπιφαίνεται, ἐγκώμιά τε λέγων αὐτῆς, καὶ τὸ εὐδοκεῖν ἐν αὐτῇ, κατὰ τὸ ἐγὼ τοὺς ἐμὲ φιλοῦντας ἀγαπῶ.

Κυρίλλου.

Ἐγὼ αὐτῷ τὴν πίστιν, καὶ αὐτὸς ἐμοὶ τὴν βασιλείαν· ποιμαίνει δὲ ἐν τῇ καθαρότητι τῶν γραφῶν καὶ τῶν ἁγίων δογμάτων.

3. Καλὴ εἶ ἡ πλησίον μου, ὡς εὐδοκία· ὡραία, ὡς Ἱερουσαλήμ· θάμβος, ὡς τεταγμέναι.

Γρηγορίου.

Ἀναθεῖσα ἑαυτὴν τῷ ἀδελφιδῷ, καὶ δεξαμένη τοῦ ἀγαπηθέντος τὸ κάλλος ἐν τῇ ἰδίᾳ μορφῇ, οἵων ἀξιοῦται παρ᾽ αὐτοῦ· τί δέ ἐστιν ὅ φησιν, ἐνδείκνυται ὁ λόγος τὸ διὰ τῆς κατορθουμένης ἀνόδου μέχρις ἐκείνου τὴν ψυχὴν ὑψωθῆναι, ὡς πρὸς τὰ τοῦ δεσπότου θαύματα ἑαυτὴν ἀποκλῖναι· εἰ γὰρ ὁ ἐν κόλποις τοῦ πατρὸς ὑπὲρ τῆς ἡμῶν ἐνηνθρώπησεν εὐδοκίας, ἵνα γένηται ἐπὶ γῆς εἰρήνη, δηλονότι τὸ κάλλος ἑαυτῆς πρὸς τὴν εὐδοκίαν ὁμοιώσασα τὴν αὐτοῦ, Χριστὸν μιμουμένη τοῖς κατορθώμασι, γίνεται τοῖς ἄλλοις ὅπερ ὁ Χριστὸς τῇ ἀνθρώπων γέγονε φύσει· καὶ λέγεται Ἱερουσαλὴμ πόλις τοῦ μεγάλου θεοῦ εἰς οἴκησιν καὶ περίπατον· χωρήσασα τὸν ἀχώρητον, καὶ τῇ τοῦ ἐνοικοῦντος ὡραιότητι καλλωπιζομένη, καὶ πάντα εὐσχημόνως καὶ κατὰ τάξιν ποιοῦσα κατὰ μίμησιν τῶν ἄνω δυνάμεων, αἵ τινες ὑπὸ θεοῦ εἰσὶ τεταγμέναι, μηδὲ μιᾶς κακίας ἀνατρεπούσης αὐτῶν τὴν εὐταξίαν· ὡς κοινῶν ἐφ᾽ ἑαυτῆς τὸ θαῦμα καὶ τὴν

ἔκπληξιν· τοῦτο γὰρ ἑρμηνεύει τὸ θάμβος τοιοῦτον· οἷον ἐν ταῖς VI.
τεταγμέναις ἐστίν.

Ὠριγένους.

Ὅσον πλησίον γίνεται τοῦ νυμφίου, κρείττοσιν ἀπεικάζεται· τῷ γὰρ καλὴ καὶ ὡραῖα καὶ πλησίον, προσέθηκε τὸ ὡς Ἱερουσαλὴμ· καὶ καταπληκτικὴν δὲ τὴν τετελειωμένην φησὶν ἐκκλησίαν· πῆ μὲν, ἐν ταῖς ἀντικειμέναις δυνάμεσιν, οὐ δυναμέναις ἐνατενίζειν τῷ κάλει τοῦ προσώπου αὐτῆς· πῆ δὲ καὶ ταῖς ὑποδεεστέραις αὐτῆς, ἐοικυίαις ταῖς τεταγμέναις ἐν τῷ παντὶ καταστάσεσιν· ὁ δὲ Σύμμαχος· οὐ τεταγμέναι παρατάξεις· θάμβος γάρ εἰσιν, ὡς τάγμα παρεμβολῶν τοὺς πολεμίους ἐκπλήττοντα.

Ἀπόστρεψον τοὺς ὀφθαλμούς σου ἀπεναντίον μου, ὅτι αὐ- 4.
τοὶ ἀνεπτέρωσάν με.

Γρηγορίου.

Τινὲς μὲν παρὰ τοῦ δεσπότου πρὸς τὴν καθαρὰν ταῦτα εἰρῆσθαι ψυχὴν λέγουσιν, ἐγὼ παρὰ τῆς νύμφης τοῦτο οἶμαι εἰρῆσθαι· ἐπεὶ γὰρ ἀποῤῥήτως τῇ γραφῇ πτέρυγας εἶναι περὶ τὴν θείαν εἴρηται φύσιν, κατὰ τὸ ἐν σκέπῃ τῶν πτερύγων σου σκεπάσεις με· καὶ δεεῖς τὰς πτέρυγας αὐτοῦ ἐδέξατο αὐτούς· ὁ δὲ ἄνθρωπος ἐγένετο κατ' εἰκόνα θεοῦ καὶ ὁμοίωσιν· πτερωτὴν συμβαίνει λέγεσθαι καὶ τοῦ ἀνθρώπου τὴν φύσιν, ἐν ᾧ τὸ κατ' εἰκόνα ἐφυλάττετο· ἀπεγύμνωσε δὲ αὐτὸν τῶν τοιούτων πτερῶν ἡ κακία δυνάμεώς τε φημὶ καὶ μακαριότητος, καὶ ἀφθαρσίας τούτων νοουμένων· ἀλλ' ἐπεφάνη ὁ Χριστὸς ἵνα δι' ὁσιότητος καὶ δικαιοσύνης αὖθις πτεροφυήσωμεν· ὁμοῦ τε γὰρ φιλανθρώποις ἡμᾶς οἶδεν ὀφθαλμοῖς ὁ θεὸς, καὶ κατὰ τὴν ἀρχαίαν φύσιν ἀνεπτερώθημεν· ὅταν οὖν οἱ ὀφθαλμοὶ σου ἐπ' ἐμὲ ἐπιβλέπωσιν, ἀποστρέφονται ἀπὸ τοῦ ἐναντίου· οὐ γὰρ ὄψονταί τι ἐν ἐμοὶ τῶν ἐναντιουμένων τῷ πτέρυγας περιστερᾶς ἀναλαβεῖν διὰ τῶν ἀρετῶν, καὶ πετασθῆναι καὶ καταπαῦσαι.

Ὠριγένους.

Ἡ ἐκκλησία τῇ ὡραιότητι καὶ τῷ κάλλει ἐνορᾷ τοῦ Χριστοῦ·

VI. δυναμένη τῇ πλείονι προκοπῇ, κατανοεῖν αὐτοῦ τὴν θεότητα· καθὸ πάντα δι' αὐτοῦ ἐγένετο· εὐφραινόμενος δὲ ἐπὶ τῇ δυνάμει τῶν ὀφθαλμῶν, τῆς εἴτε ἐκκλησίας εἴτε νύμφης τοῦ λόγου ψυχῆς· πτεροῖς αὐτὴν λογικοῖς ἀποστραφῆναι κελεύει πρὸς τὸ μετέωρον· ὡς ἂν ἐπ' ἄκρον ἔλθοι τῆς τελειότητος, ὡς ἂν κἀκείνη βλέπῃ τοῦτον ἐπτερωμένον, καὶ μηκέτι συγκαταβαίνοντα δι' αὐτήν· καὶ δύνηται λέγειν, εἰ καὶ ἐγνώκαμεν κατὰ σάρκα Χριστὸν, ἀλλὰ νῦν οὐκ ἔτι γινώσκομεν· τῇ σῇ τοίνυν συνανέβη προκοπῇ, φησὶν, χωρησάσης σου ἐνορᾷν, καὶ μηκέτι περαιτέρω τῆς οἰκονομίας ζητεῖν.

Νείλου.

Πολλὴν τῆς νύμφης παῤῥησίαν δηλοῖ, ἐκ τοῦ ἐνατενίζειν ἀδεῶς τῷ νυμφίῳ· εἰ δὲ ὁ λόγος ἐστὶν ὁ νυμφίος, ἀναπτεροῦται καὶ ἐπὶ πλεῖον οὗτος ἀναβαίνει πρὸς ὕψος θεωρίας χωρῶν, ὅταν εὕρῃ θεωρητικὴν ψυχὴν, τῇ νοήσει παρακολουθῆσαι δυναμένην, ἵν' οὕτως εἴπω, ἀναιδῶς πᾶσιν ἐνατενίζειν τοῖς θεωρουμένοις· ἀλλὰ παραινῶν κηδεμονικῶς, μὴ ἀτενὲς ἔχειν πάντοτε τὸ τοιοῦτον ὄμμα· καὶ ποτὲ δὲ ἀποστρέφειν αὐτὸ καὶ καμμύειν· ἵνα μὴ πολὺ πτερωθέντος τοῦ ἀτενιζομένου ἀτενίσῃ πρὸς τὴν συνανάβασιν καὶ τῶν ὑπὲρ φύσιν ἐφιεμένη· καὶ πρὸς τὰ λοιπὰ νοήματα, ἀμβλυωπέστερα γένηται.

Φίλωνος.

Ἤγουν τὰς ἐμὰς ὁδοὺς οἱ μεταστραφέντες τηρείτωσαν ὀφθαλμοί· τὸν σὸν γάρ μοι τοῦτο πόθον ἐργάζεται.

Κυρίλλου.

Ἀπὸ τῶν ἀπειθούντων σοι τοὺς σοὺς ἀπόστρεψον ὀφθαλμοὺς, καὶ εἰς ἐμὲ κλῖνον· αὐτοὶ γὰρ, φησὶν, τὴν ἀγάπην ἐξήγειράν σε.

5. Τρίχωμά σου ὡς ἀγέλαι τῶν αἰγῶν, αἳ ἀνέβησαν ἀπὸ τοῦ Γαλαάδ· ὀδόντες σου, ὡς ἀγέλαι τῶν κεκαρμένων αἳ ἀνέβησαν ἀπὸ τοῦ λουτροῦ· αἱ πᾶσαι διδυμένουσαι, καὶ ἀτεκνοῦσα οὐκ ἔστιν ἐν αὐταῖς.

Γρηγορίου. VI.

Μόναι τοῦ σώματος αἱ τρίχες ἀμοιροῦσιν αἰσθήσεως· ἃς γυναιξὶν εἶναι κόσμον εἶπεν ὁ Παῦλος, ὡραΐζούσας τὴν κεφαλήν· διδάσκει τοίνυν ὅτι χρὴ τοὺς περὶ τὴν κεφαλὴν τῆς νύμφης θεωρουμένους, δι' ὧν ἡ ἐκκλησία δοξάζεται, κρείττους τῶν αἰσθήσεων εἶναι· κρύπτοντας διὰ τῆς σοφίας τὴν αἴσθησιν κατὰ τὴν παροιμίαν· ὅτι σοφοὶ κρύπτουσιν αἴσθησιν· οἷς οὐχ ὅρασις τοῦ καλοῦ κριτήριον γίνεται, οὐ γεύσει τὸ ἀγαθὸν δοκιμάζεται, οὐκ ὀσφρήσει, οὐκ ἀφῇ· νεκρώσαντες γάρ φησι τὰς αἰσθήσεις, ἐφάπτονται διὰ μόνης τῆς ψυχῆς τῶν κατ' ἔννοιαν ἀγαθῶν ὀρεγόμενοι· καὶ οὕτω δοξάζουσι γυναῖκα τὴν ἐκκλησίαν, οὔτε τιμαῖς διογκούμενοι, οὔτε μικροψυχίαις πρὸς τὰ λυπηρὰ συςελλόμενοι, ἀλλ' ἐν τῇ πείρᾳ τῶν τριχῶν ἀναισθησίαν ὑποκρινόμενοι· εἴληφε δὲ τὰς αἶγας εἰς παραβολήν, ἢ διὰ τὸ φύσει δασύ, ἢ ὅτι τῶν ἄκρων ἐπιβαῖνον τὸ ζῶον, οὐ περιολισθαίνει ταῖς πέτραις· ὅπερ τοῖς τὴν τραχεῖαν τῶν ἀρετῶν ὁδὸν κατορθοῦσι, προσφυῶς ἁρμόζεται· ἢ διὰ τὸ πρὸς πολλὰ τῆς νομικῆς ἱερουργίας παρειλῆφθαι συντελεῖν πρὸς ἐγκώμιον τῇ κεφαλῇ· κἂν ταῖς παροιμίαις δὲ ἐν τοῖς τέσσαρσι τοῖς ἐνοδουμένοις, ὁ τράγος ἠρίθμηται, τοῦ αἰπολίου ἡγούμενος· λεκτέον οὖν ὥσπερ εὑρεθὲν ἐπιτήδευμα, διὰ πολλῶν τῶν ἐφεξῆς διατρέχον, ἐπὶ τὸν εὑρετὴν ἀναφέρεται· ὡς ἐπὶ τὸν Θοβὲλ ἡ χαλκευτική, καὶ ἡ ποιμαντικὴ ἐπὶ τὸν Ἄβελ, καὶ ἡ γεωργικὴ ἐπὶ τὸν Κάϊν, καὶ ἡ ἀμπελουργικὴ ἐπὶ τὸν Νῶε· οὕτως ἐπειδὴ τοῦ θείου ζήλου διαφερόντως Ἠλίας καθηγήσατο, ὅσοι μετ' ἐκεῖνον τοῖς ἑαυτοῦ ἴχνεσιν ἐπηκολούθησαν, τὸν ἐκείνου μιμησάμενοι βίον, αἰπόλιον γέγονασι τοῦ ἡγησαμένου τῆς τοιαύτης ζωῆς· οἵ τινες δόξα καὶ ἔπαινος τῆς ἐκκλησίας γίνονται, εἰς τὸν τῶν τριχῶν καταγέντες κόσμον, ὃν ἡ αἰσθητικὴ ζωὴ κεχώρισταί τε καὶ ἠλλοτρίωται· διὰ δὲ τῶν αὐτῶν, καὶ τοὺς τρέφοντας τὸ σῶμα τῆς ἐκκλησίας ὀδόντας ἐπαινεῖ· οὓς εἶναι βούλεται διὰ παντός, ὡς ἀπὸ λουτροῦ καθαρούς, καὶ τὰς τρίχας ἔχειν ἀπερίττους ὡς ἀπὸ προσφάτου κουρᾶς· καὶ κατὰ τὸν τό-

VI. κον τῶν ἀρετῶν διδυμεύοντας, τῆς διπλῆς καθαρότητος γίνεσθαι πατέρας· τῆς τε κατὰ ψυχὴν καὶ τῆς κατὰ σῶμα θεωρουμένης· καὶ μηδὲν ἔχει ἀγονοῦν ἐν τῷ κρείττονι.

Ὠριγένους.

Εἴρηται δεύτερον ταῦτα τῇ νύμφῃ, πρότερον οἶμαι τοιαύτῃ φανείσῃ κατὰ τὸ ἐνδεχόμενον, ἡνίκα ἔτι ἐν τῷ βίῳ τούτῳ ἐτύγχανεν· δεύτερον ὁπότε ἦλθεν ἐπὶ τὴν τελειότητα· διὸ καὶ νῦν μόνον παρῃνίξατο· ὀδόντες σου ὡς ἀγέλαι τῶν κεκαρμένων· κατὰ δὲ τὸν Ἀκύλαν καὶ Σύμμαχον, ὀδόντες σου ὡς ἀγέλαι τῶν προβάτων, ἢ τῶν ἀρνάδων· καὶ ἔπρεπεν εἰρῆσθαι ταῦτα ἐπὶ τῆς τελειότητος· ὡς εἶναι τὸ ἀπὸ τοῦ λουτροῦ οὐκ ἔτι προτέρου, ἀλλὰ τοῦ δευτέρου· διδυμένουσαι δὲ τάχα, ὡς τρεφομέναι τῇ τῶν νοητῶν καὶ αἰσθητῶν θεωρίᾳ· καὶ ὡς μηδεμίαν ἄγονον εἶναι τῆς περιουτινοσοῦν λόγου τροφῆς.

6. Ὡς σπαρτίον κόκκινον χείλη σου· καὶ ἡ λαλιά σου ὡραία· ὡς λέπυρον τῆς ῥόας, μῆλόν σου· ἐκτὸς τῆς σιωπήσεώς σου.

Γρηγορίου.

Μέτρου ὄνομα τὸ σπαρτίον· τὴν μὲν οὖν μεμετρημένην τοῦ λόγου διακονίαν δηλοῖ, ἣν ὁ ψαλμῳδὸς φυλακὴν καὶ θύραν περιοχῆς ὠνόμασε· τότε δὲ μάλιστα τυγχάνει τοῦ μέτρου ὁ λόγος, ὅταν τῷ τοῦ σωτῆρος περικέχρηται αἵματι· ὁ τοίνυν λαλοῦντα ἔχων ἐν ἑαυτῷ τὸν Χριστὸν, αὐτὸς ἔχει τὸ σχοινίον ἐπὶ τοῦ σώματος τὸ γεωμετρικὸν, τῷ τοῦ λυτρωτοῦ καλλωπιζόμενον αἵματι· λαλιὰν δὲ ὡραίαν ὀνομάζει τὸ σπαρτίον τὸ κόκκινον, δι' οὗ πάλιν σημαίνει τὸ καθαρὸν καὶ ἔμμετρον· τὸ γὰρ ἀκριβῶς ὡραῖον ἐν τῷ ἰδίῳ καιρῷ τῆς ἀκμῆς προσφερόμενον, οὔτε ἄωρόν ἐστιν, οὔτε ἐξώρον· τῷ δὲ λεπύρῳ τῆς ῥόας τὸ μῆλον τῆς παρειᾶς ὡραΐζων, μεγάλην τινὰ προσμαρτυρεῖ τῇ νύμφῃ τὴν ἐν τοῖς ἀγαθοῖς τελειότητα· σημαίνει γὰρ μὴ ἐν ἄλλῳ τινὶ τὸν θησαυρὸν αὐτῇ παρασκευάσθαι, ἀλλ' αὐτὴν εἶναι θησαυρὸν ἑαυτῆς, παντὸς ἀγαθοῦ παρασκευὴν ἐν ἑαυτῇ περιέχουσαν· ὡς γὰρ τῷ λεπύρῳ περιέχεται τῆς ῥόας τὸ ἐδώδιμον, οὕτως ἐνδείκνυται τῷ

φαινομένῳ κάλλει τοῦ βίου, τὸν ἔνδον αὐτῆς θησαυρὸν περιέχεσθαι. οὗτος οὖν ἐστὶν ὁ κρυπτὸς θησαυρὸς τῶν ἐλπίδων, ὁ ἴδιος καρπὸς τῆς ψυχῆς, τῷ ἐναρέτῳ βίῳ καθαπέρ τινι ῥόας λεπύρῳ κρατούμενος· τὸ δὲ ἐκτὸς τῆς σιωπήσεώς σου τοιοῦτόν ἐστιν, ὅτι ὁ ἔπαινος οὐκ ἐκ τῶν φαινομένων τοσοῦτόν ἐστι ὅσα τῷ λόγῳ μηνύεται, ἀλλὰ μᾶλλον ὅσα τῇ σιωπῇ ἀποκρύπτεται, τὴν τοῦ λόγου διαφεύγοντα μήνυσιν· ὥσπερ γὰρ τὸ ἐκτὸς τοῦ λόγου σιωπὴ νοεῖται, οὕτω καὶ τὸ ἐκτὸς σιωπήσεως, τὸν λόγον νοήσεις· ἐκεῖνο γὰρ σιωπῶμεν, ὃ διὰ τῶν λόγων ἐξαγγέλλειν ἀδυνατοῦμεν· φησὶν οὖν ὅτι καλὰ μὲν καὶ μεγάλα τῷ λόγῳ φανῆναι δυνάμενα ὁ ἐκτός ἐστι τῆς σιωπήσεως· τὰ δὲ τοῦ λόγου ἐκτὸς τὰ τῇ σιωπῇ καλυπτόμενα, τὰ ἄῤῥητά τε καὶ ἀνεκφώνητα, μείζω πάντως καὶ θαυμασιώτερα τῶν ἐκφαινουμένων ἐστίν. VI.

Ἑξήκοντα εἰσὶ βασίλισσαι, καὶ ὀγδοήκοντα παλλακαὶ, καὶ 7.
νεάνιδες ὧν οὐκ ἔστιν ἀριθμός· μία ἐστὶ περιστερά μου τελεία 8.
μου· μία ἐστὶ τῇ μητρὶ αὐτῆς· ἐκλεκτὴ ἐστὶ τῇ τεκούσῃ αὐτήν· εἴδοσαν αὐτὴν θυγατέρες, καὶ μακαριοῦσι· βασίλισσαι καὶ παλλακαὶ, καὶ αἰνέσουσιν αὐτήν.

Γρηγορίου.

Δόγμα ἐστὶ τῶν ἀστειοτέρων ἐν τοῖς ῥητοῖς τούτοις, φιλοσοφίαν διὰ τῶν ἐπαίνων τῆς νύμφης παρατίθεται· ὅτι οὐ μετὰ τῆς αὐτῆς τάξεως καὶ ἀκολουθίας κτίζεται τὰ ὄντα καὶ ἀνακτίζεται· ὅτε μὲν γὰρ κατ᾽ ἀρχὰς διὰ τῆς θείας δυνάμεως παρήχθη ἡ κτίσις, ἐφ᾽ ἑκάστου τῶν ὄντων ἀδιαστάτως τῇ ἀρχῇ συναπηρτίσθη τὸ πέρας· πᾶσι τοῖς ἐκ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι παραγενομένοις, ὁμοῦ τῇ ἀρχῇ συνανισχούσης τῆς τελειότητος· ἓν δὲ τῶν κτισθέντων καὶ ἀνθρωπίνη φύσις ἀπὸ τῆς πρώτης ὑπάρξεως συμπλασθεῖσα τῇ τελειότητι· κατ᾽ εἰκόνα γὰρ θεοῦ ἐγένετο ὁ ἄνθρωπος καὶ ὁμοίωσιν· δεικνῦντος τοῦ λόγου τὸ ἀκρότατον καὶ τελειότατον· τί γὰρ ὑπέρτερον τῆς πρὸς θεὸν ὁμοιότητος; ἐπὶ μὲν οὖν τῆς πρώτης κτίσεως ἀδιαστάτως τῇ ἀρχῇ συνανεφάνη τὸ πέρας, καὶ ἀπὸ τῆς τελειότητος ἡ φύσις τοῦ εἶναι ἤρ-

VI. ξατο· ἐπεὶ δὲ διὰ κακίας θανάτῳ παρεδόθη, οὐκ ἀθρόαν πάλιν ἐπαναλαμβάνει τὴν τελειότητα, ἀλλ' ὁδῷ τινὶ καὶ τάξει πρόεισιν ἐπὶ τὸ μεῖζον, κατ' ὀλίγον ἀποσκευαζομένη τὴν πρὸς τὰ ἐναντία προσπάθειαν, δι' ἀστειοτέρας διαγωγῆς περιξυομένη τὴν συμφυΐαν τοῦ χείρονος· ὅθεν καὶ πολλὰς μονὰς εἶναι παρὰ τῷ πατρὶ μεμαθήκαμεν, κατὰ ἀναλογίαν τῆς ἑκάστῳ πρὸς τὸ καλὸν σχέσεως καὶ τῆς τοῦ χείρονος ἀποστάσεως, ἑτοιμαζομένης πᾶσι τῆς ἀντιδόσεως· ὁ μὲν γάρ τις ἐν ἀρχῇ τῆς τοῦ βελτίονος ἐστὶ βιώσεως· ἄρτι καθάπερ ἐκ βυθοῦ τινος τοῦ κατὰ κακίαν βίου, πρὸς τὴν μετουσίαν τῆς ἀληθείας ἀνανηξάμενος· τῷ δέ τις γέγονεν ἤδη δι' ἐπιμελείας καὶ προσθήκη τοῦ κρείττονος· ἄλλος ἐπὶ πλεῖον διὰ τῆς ἐπιθυμίας τῶν ἀγαθῶν ἐπηυξήθη· ὁ δὲ μέσως ἔχει τῆς τῶν ὑψηλῶν ἀναβάσεως· ἕτερος καὶ τὸ μῆπου παρέδραμεν· εἰσὶ δέ τινες οἱ καὶ τούτων ὑπεράραντες· ἄλλοι κἀκείνους παρήλασαν· καὶ ὑπὲρ τούτους ἕτεροι πρὸς τὸν ἄνω δρόμον συντείνονται· καὶ ὅλως κατὰ τὴν ποικίλην τῶν προαιρέσεων διαφορὰν ἕκαστον ὁ θεὸς ἐν τῷ ἰδίῳ προσδέχεται τάγματι, τὰς οἰκείας ἑκάστῳ ἀμοιβὰς ἀποδιδούς· ταῦτα διὰ τῶν προκειμένων ῥητῶν φιλοσοφεῖν τὸν λόγον ὑπενοήσαμεν, τὴν διαφορὰν τῶν ψυχῶν, αἳ πρὸς τὸν νυμφίον ὁρῶσιν, ἐν τοῖς εἰρημένοις ἡμῖν διαστείλαντα· οἱ μὲν γὰρ ἄρτι καθάπερ νηδύος τινὸς, τῆς ἐν βάθει κειμένης ἀπάτης ἔξω γινόμενοι, ἀρτιγενεῖς ὄντες, καὶ οὔπω διηρθρωμένον τὸν λόγον ἐν ἑαυτοῖς χωρήσαντα, τῇ ἀλογωτέρᾳ συγκαταθέσει τῆς πίστεως ἐν ἀπείρῳ θεωροῦντες πλήθει· σωτηρίον μὲν εἶναι πεπιστευκότες τοῦ μυστηρίου τὸν λόγον· οὐ μὴν ἐπιστήμῃ τινὶ καὶ τῇ διὰ τοῦ λόγου πληροφορίᾳ καθυδριμένην ἔχοντες ἐν ἑαυτοῖς τὴν ἀλήθειαν· αὗται εἰσὶν αἱ ὀνομασθεῖσαι νεάνιδες, διὰ τὸ ἔτι νέαν ἄγειν τὴν πνευματικὴν ἡλικίαν· αἱ γεννηθεῖσαι μὲν τῷ λόγῳ τῆς πίστεως, οὔπω δὲ διὰ τῆς προσηκούσης αὐξήσεως τοιαῦται γεγόνασιν ὡς ἐπὶ γάμου ἀκμὴν προελθεῖν, καὶ φθάσαι εἰς ἄνδρα τέλειον, εἰς μέτρον γαμικῆς ἡλικίας· ὥστε τῷ φόβῳ τοῦ κυρίου δύνασθαι κυοφορῆσαι, καὶ πνεῦ-

μα σωτηρίας παιδοποιήσασθαι· πλὴν καὶ οὗτοι τῶν σωζομένων· τῶν δὲ διὰ τῆς καθηκούσης ἐπιμελείας αὐξηθέντων τῇ διανοίᾳ, καὶ καταλελοιπότων ἤδη τὴν νηπιότητα, διπλὴν ὑπὸ τοῦ λόγου τὴν διαφορὰν διδασκόμεθα· γίνονται μὲν γὰρ αἱ ψυχαὶ σύσσωμοι τῷ λόγῳ καὶ αὗται κᾀκεῖναι· ἀλλ' αἱ μὲν ἐρωτικαὶ, τινὶ διαθέσει προσκολλῶνται· αἵ τινες διὰ τῆς τελειοτέρας διαθέσεως ἀνακραθεῖσαι τῇ τοῦ θεοῦ καθαρότητι, βασίλισσαι ὀνομάζονται, διὰ τὴν τῆς βασιλείας κοινωνίαν· οἵα ἦν ἡ τοῦ Δαβὶδ λέγουσα· ἐμοὶ δὲ τῷ προσκολλᾶσθαι τῷ θεῷ ἀγαθόν ἐστι· καὶ ἡ τοῦ Παύλου· οὐδεὶς ἡμᾶς χωρήσει ἀπὸ τῆς ἀγάπης τοῦ Χριστοῦ· αἱ δὲ φόβῳ κολάσεως τὰς μοιχικὰς ἀποφεύγουσαι πείρας, μένουσαι καὶ αὗται ἐν ἀφθαρσίᾳ καὶ ἁγιασμῷ, ἀλλὰ φόβῳ μᾶλλον ἢ πόθῳ παιδαγωγούμεναι, αἵ τινες παλλακαὶ ἀπὸ τοῦ λόγου κατονομάζονται· οὔπω γάρ τις αὐτῶν μήτηρ βασιλέως, καὶ κοινωνὸς τῆς ἀξίας δυνατῶς ἔχει· διὰ τὸ μὴ ἀναλαβέσθαι τό ἀδέσποτον καὶ αὐτοκρατὲς τοῦ ἐναρέτου φρονήματος· ἡ δὲ κατὰ τὸν ἀριθμὸν διαφορὰ τῆς τῶν δύο ταγμάτων διαστολῆς, τοιοῦτόν μοι δοκεῖ νοῦν ἔχειν. VI.

Γρηγορίου.

Ἓξ εἰσὶν ἐντολαὶ δι' ὧν ἡ βασιλεία τοῖς δεξιοῖς ὀνομάζεται· λογισώμεθα τούτων ἑκάστην, τό δεσποτικὸν εἶναι τάλαντον· προσήκει δεκαπλησιασθῆναι παρὰ τοῦ πιστοῦ οἰκέτου παρὰ τῆς ἐργασίας· εἰ τοίνυν διὰ τῶν ἓξ τούτων ἐντολῶν, ἡ τῆς βασιλείας γίνεται κοινωνία τῇ ψυχῇ, τὸ δὲ τέλειον τῆς ἐργασίας ἐφ' ἑκάστης ἐστὶ, τὸ δεκαπλασιάσαι τὴν ἐντολὴν, καθὼς φησὶν ὁ ἀγαθὸς δοῦλος ἐκεῖνος, ὅτι ἴδε δέκα τάλαντα τὸ ἕν σου τάλαντον ἐποίησεν, εὑρίσκομεν ἐκ τοῦ ἀκολούθου τὴν μίαν βασίλισσαν εἰς ἑξήκοντα πλατυνομένην· τὴν διὰ τοῦ δεκαπλασιασμοῦ τῶν ἑξήκοντα ἐντολῶν εἰς κοινωνίαν τῆς βασιλείας παραδεχθεῖσαν· ὡς πολλὰς εἶναι τὴν μίαν, τῷ πολυτρόπῳ χαρακτῆρι τῶν ἐντολῶν ἐμμερισθεῖσαν, καὶ ἑκάστῳ τῶν κατορθωμάτων ἰδιαζόντως ἐμμορφωθεῖσαν· ἀκολούθως καὶ διὰ τῶν ὀγδοήκοντα, τὸ τῆς ὀγ-

VI. δόξης μυςήριον παραδηλοῦσθαι φαμέν· πρὸς ἣν βλέποντες οἱ φόβῳ παιδαγωγούμενοι, τῆς τῶν κακῶν κοινωνίας ἀπείργονται· οὕτω γὰρ ἐν ταῖς ψαλμῳδίαις ἐμάθομεν, ἐν αἷς προτέτακται διὰ τῆς ἐπιγραφῆς ἡ ὀγδόη· μαστιγουμένων γὰρ ἄντικρυς αἱ φωναὶ τῷ φόβῳ τῶν ἐλπιζομένων εἰς ἔλαιον ἐπικάμπτουσαι τὴν ἀκοήν· φησὶ γὰρ πρὸς τὸν κριτὴν ὁ πρὸς τὴν ὀγδόην βλέπων, κύριε μὴ τῷ θυμῷ σου ἐλέγξῃς με, μὴ δὲ τῇ ὀργῇ σου παιδεύσῃς με· ἐλέησόν με κύριε ὅτι ἀσθενής εἰμι· ἔσται τοίνυν καὶ ἐπὶ τοῦτο ἀναλόγως τῆς ἐντολῆς, ἡ ἐπὶ τὸ δεκαπλάσιον αὔξησις, γινόμεναι ὀγδοήκοντα παλλακαὶ, τὴν δευτέραν τάξιν ἔχουσαι μετὰ τὴν βασίλισσαν· αἱ φόβῳ δουλικῷ καὶ οὐχὶ ἔρωτι νυμφικῷ τῷ ἀγαθῷ προσεγγίζουσι· πλὴν εἰ ἔξω βάλλει τελείως ἡ ἀγάπη τὸν φόβον, καὶ μεταποιηθεὶς ὁ φόβος ἀγάπη γένοιτο, τότε εὑρίσκεται μονὰς τὸ σωζόμενον, ἐν τῇ πρὸς τὸν μόνον ἀγαθὸν συμφυΐᾳ· πάντων ἀλλήλοις ἑνωθέντων, διὰ τῆς κατὰ τὴν περιστερὰν τελειότητος· ἵνα καθώς φησιν ἐν εὐαγγελίοις, ἓν ὦσι, καθὼς ἡμεῖς ἓν ἐσμέν· τὸ δὲ συνδετικὸν τῆς ἑνώτητος ταύτης τὸ πνεῦμα τὸ ἅγιον· ὁ τοίνυν ἐκ μὲν νηπίου εἰς ἄνδρα τέλειον ἀναδραμὼν διὰ τῆς αὐξήσεως, καὶ φθάσας εἰς τὸ μέτρον τῆς νοητῆς ἡλικίας, ἐκ δὲ τῆς δούλης τε καὶ παλλακίδος τὴν τῆς βασιλικῆς ἀξίαν μεταλαβὼν, δεκτικὸς δὲ τῆς τοῦ πνεύματος δόξης γενόμενος δι' εὐπαθείας καὶ καθαρότητος, οὗτος ἐςὶν ἡ τελεία περιστερά· μητέρα δὲ αὐτοῦ λέγει εἶναι τὴν περιστερὰν ἐκείνην, τὴν ἐπὶ τῷ Ἰορδάνῃ ἐκ τοῦ οὐρανοῦ καταπτᾶσαν· τῷ γὰρ τέκνῳ πάντως, ἡ τοῦ γεγεννηκότος ἐπιθεωρεῖται φύσις· ταύτην τὴν ψυχὴν μακαριοῦσιν αἱ νεάνιδες· ταύτην αἰνοῦσι παλλακαὶ καὶ βασίλισσαι· κοινὸς γὰρ ἐπὶ παντὸς τάγματος πάσαις ψυχαῖς ὁ δρόμος, πρὸς τὴν τοιαύτην μακαριότητα· φύσις δέ ἐστι πᾶσι πρὸς τὸ μακάριόν τε καὶ ἐπαινουμένοις τῆς ἐπιθυμίας συντείνεσθαι· ὥστε εἰ μακαρίζουσι τὴν περιστερὰν αἱ θυγατέρες, ἐπιθυμοῦσι πάντως γενέσθαι περιςεραὶ καὶ αὗται· καὶ τὸ αἰνεῖσθαι παρὰ τῶν παλλακίδων καὶ βασιλίδων, τεκμήριόν ἐστι τοῦ καὶ αὐτὰς πρὸς τὸν

ἐπαινούμενον τὴν σπουδὴν ἔχειν· ἕως ἂν πάντων ἐν γενομένων VI.
τῶν πρὸς τὸν αὐτὸν τῆς ἐπιθυμίας βλεπόντων σκοπὸν, μηδὲ μιᾶς ἐν μηδενὶ κακίας ὑπολειφθείσης, γένηται ὁ Θεὸς τὰ πάντα ἐν πᾶσι τοῖς διὰ τῆς ἑνότητος ἐν τῇ τοῦ ἀγαθοῦ κοινωνίᾳ συγκεκραμένοις.

Νείλου.

Ἑξήκοντα βασίλισσαι, τάχα τοὺς ἐν τῷ ἰουδαϊσμῷ λέγει· βασίλειον γὰρ ἦσαν ποτὲ ἱεράτευμα καὶ ἔθνος ἅγιον· ὀγδοήκοντα δὲ παλλακὰς, τὰς διὰ μὲν τὸ τῆς ἀναστάσεως μυστήριον τῇ ὀγδόῃ δεκάδι ἀριθμημένας· διὰ δὲ τὸ μὴ γνησίαν τὴν πρὸς αὐτὸν ἔχειν συζυγίαν, τῷ τῶν παλλακίδων ὀνόματι σημαινομένας αἱρέσεις· νεάνιδας δὲ, ἃς οὕτω ἀριθμοῦ ἠξίωσε, τὰ ἔθνη τὰ ἀπηλλοτριωμένα τοῦ Θεοῦ, καὶ ξένα τῶν διαθηκῶν τοῦ πατρός· οὐ γὰρ διὰ πλῆθος αὐτὰς ὁ τὸ πλῆθος τῶν ἄστρων ἀριθμῶν οὐκ ἠρίθμησεν, ἀλλὰ διὰ τὸ ἀνάξιον τοῦ ἀριθμοῦ· ταῦτα γὰρ ἀξιοῖ ἀριθμεῖν, ὅσα τὴν τάξιν ἐλλόγιμον ἔχει καὶ ἀξιόπιστον· μίαν δὲ περιστερὰν λέγει τὴν ἐκκλησίαν, ἥ τις διὰ τὸ κεκοιμῆσθαι ἀνὰ μέσων τῶν κλήρων, περιστερὰ γέγονε τελεία, τὰς πτέρυγας ἔχουσα περιηργυρωμένας, καὶ τὰ μετάφρενα ἐν χλωρότητι χρυσίου· διὰ τὸ τέλειον τῆς κατ' ἀρετὴν ἕξεως ὁμοιωθεῖσα τῷ ἐν οὐρανοῖς τελείῳ πατρὶ, καὶ ἐκλεκτὴν οὖσαν τῇ μητρὶ αὐτῆς, τῇ ἐν τοῖς τῆς ἀληθείας δόγμασιν αὐτὴν τεκούσῃ σοφίᾳ ἣν νῦν μὲν εἴδοσαν θυγατέρες βασίλισσαι καὶ παλλακαὶ, οὐκ ἐνόησαν δὲ, οὐδὲ συνῆκαν τὸ περὶ αὐτὴν οἰκονομηθὲν μυστήριον· αἰνέσουσι δὲ ἐν τῷ καιρῷ τῆς ἀνταποδόσεως· ἠξιωμένην τὴν πρὸς τὸν Χριστὸν συνάφειαν· τὸ μὲν γὰρ, ἐπὶ τοῦ παρελθόντος· τὸ δὲ μακαριοῦσι καὶ αἰνέσουσι, ἐπὶ τοῦ μέλλοντος.

Φίλωνος.

Ἡ ἑξήκοντα βασίλισσαι, τὰς ἐκ τῶν δώδεκα φυλῶν ταῖς πέντε καθαρευούσαις αἰσθήσεσι ψυχάς· περιστερὰ δὲ ἡ ἄκακος ἐκκλησία Χριστοῦ· τῇ δὲ μητρὶ αὐτῆς ἐστι μία τῇ ἐπ' οὐρανίῳ σοφίᾳ, τῇ σαρκὶ Χριστοῦ ἐκλεκτῇ οὔσῃ, ἐν τῷ ἀναγεννᾶσθαι αὐ-

VI. τὴν· ἣν αἱ θυγατέρες μακαριοῦσι· πολλοὶ γὰρ προφῆται καὶ βασιλεῖς ἐπεθύμησαν ἰδεῖν ἃ ἴδετε καὶ οὐκ εἶδον.

Ἀπολιναρίου.

Καὶ ἄλλως· τὸ τελειότατον αὐτῆς ἐν τῇ πρὸς θεὸν οἰκειώσει δηλοῦται, παραβαλλομένης τῆς τελείας ἐκκλησίας τοῖς τε ἐκ τῆς προτέρας κλήσεως ἐπιφανεστάτοις, καὶ τοῖς νῦν δευτέροις μετ' αὐτήν· κοσμικὴ δὲ ἡ τοῦ προτέρου λαοῦ κλῆσις, καὶ τῇ ἑξάδι σύστοιχος τῇ κοσμογόνῳ· ἡγεμονικὴ δὲ αὕτη καὶ ἡ ἐπὶ βασιλείᾳ κειμένη· τηρεῖταί δὲ τῷ γένει τῷ ἰσραηλιτικῷ τὸ βασιλικὸν ἀξίωμα παρὰ Χριστοῦ κατὰ τὰς προφητείας, τὸν τοῦ Δαβὶδ ἐπαγγελλομένας θρόνον, καὶ τὸν τούτου κατορθωτὴν Χριστὸν· κατὰ τὸ ἐν εὐαγγελίοις· καὶ βασιλεύσει ἐπὶ τὸν οἶκον Ἰακὼβ εἰς τοὺς αἰῶνας· τὰς δὲ τῆς νέας διαθήκης, ὀγδοήκοντα δείκνυσιν ἀριθμός.

Ἰσιδώρου.

Τί ἐστιν ἑξήκοντα εἰσὶ βασίλισσαι, καὶ τὰ ἑξῆς, ἄκουε· ἐχέτω μὲν ἡ ἀμώμητος καὶ παρθένος ἐκκλησία, ἡ ὀρθὴν καὶ περὶ τὸν θεῖον πίστιν ἔχουσα τὰ πρωτεῖα, καὶ αὕτη καλείσθω περιστερὰ τελεία, ὅλων τῶν ταγμάτων ὑπερβαίνουσα τὴν ἀξίαν· εἰ δὲ καὶ εἰς πράξεις αὐτὸ ἐκλαβεῖν χρὴ, λελέχθω καὶ τάδε· ἑξήκοντα εἰσὶ βασίλισσαι, αἱ τῆς βασιλείας ἕνεκεν εὖ πράττουσαι ψυχαί· καὶ ὀγδοήκοντα παλλακαὶ, αἱ φόβῳ τῆς κολάσεως ἀπεχόμεναι κακοῦ· καὶ νεάνιδες ὧν οὐκ ἔστιν ἀριθμὸς, αἱ διά τινας προφάσεις κοσμικὰς σωφρονοῦσαι, καὶ τὸ δίκαιον διώκουσαι· δι' ὧν οὔτε πόθῳ τῆς βασιλείας, οὔτε φόβῳ τῆς κρίσεως τὸ δέον πράττουσαι, ἀλλ' ἵνα πλούτου ἢ δόξης ἤ τινος μὴ στερηθῶσι· μία ἐστὶ περιστερὰ τελεία ἡ τὸ καλὸν πράττουσα, τῶν ἄκρων ἁγίων σύνοδος, ἢ οὔτε διὰ μισθὸν, οὔτε διὰ τιμωρίαν, οὔτε διὰ πρόφασιν τινὰ βιωτικὴν, ἀλλὰ διὰ τὸ τῷ θεῷ φίλον πράττουσα τὸ δέον.

Ὠριγένους.

Αἱ νεάνιδες ἀριθμὸν οὐκ ἔχουσαι· οὐ τῷ μὴ ὑποπίπτειν ἀριθμῷ, ἀλλὰ τῷ ἀξίας αὐτὰς εἶναι ἀριθμηθῆναι· καὶ τάχα τῆς αὐ-

τῆς διανοίας ἔχεται, τῇ ἐνταῦθα διαφορᾷ τῶν νεανίδων τῶν κοινωνουμένων ὑπὸ Χριστοῦ, καὶ τὰ παρὰ ἀποστόλου λεγόμενα περὶ ἀναστάσεως νεκρῶν λόγῳ τάγματα φάσκοντι· ἐπειδὴ γὰρ δι' ἀνθρώπου θάνατος, καὶ δι' ἀνθρώπου ἀνάστασις νεκρῶν· ὥσπερ γὰρ ἐν τῷ Ἀδὰμ πάντες ἀποθνήσκουσιν, οὕτω καὶ ἐν τῷ Χριστῷ πάντες ζωοποιηθήσονται· ἕκαστος ἐν τῷ ἰδίῳ τάγματι· ὁ γὰρ ἑκάστου βίος καὶ λόγος καὶ διάθεσις ποιήσει προκριθῆναι ἑκάστου κατ' ἀξίαν. VI.

Τοῦ αὐτοῦ.

Μὴ θαύμαζε, εἰ ὁ νυμφίος ἦν ἔχων καλὴν νύμφην, καὶ τάχα δευτέραν καὶ τρίτην καὶ πλείονας· ἐὰν νοήσῃς αὐτοῦ καὶ τὰς νύμφας, οὐ φοβηθήσῃ λέγειν ἀπὸ τοῦ ᾄσματος· ἑξήκοντά εἰσι βασίλισσαι καὶ ὀγδοήκοντα παλλακαί, καὶ νεάνιδες ὧν οὐκ ἔστιν ἀριθμός· μία δέ ἐστι περιστερά μου· λόγος ἐστὶν ὁ νυμφίος· λογικὸν ζῶον ἡ νύμφη· ἐὰν νοήσῃ ψυχὴ καὶ λάβῃ ὁ νυμφίος τὴν νύμφην· ἀλλ' ἐπεί ἐστιν ὁ λόγος οὗτος, οὐ μιᾷ ψυχῇ κοινωνῶν, ἀλλὰ πλείοσι καὶ διαφόροις, τιμῇ τινι βασιλικῇ καὶ διαφαινούσῃ, λεγέτω τελεία περιστερά· ταῖς δὲ βασιλικαῖς μὲν, ὑποδεεστέραις δὲ, διὰ τοῦτο ἑξήκοντα βασίλισσαι· ἑτέραις δὲ ψυχαῖς κοινωνεῖ παιδαγωγουμέναις φόβῳ θεοῦ· αὗται εἰσὶν αἱ παλλακίδες· εἰσί τινες καὶ ἄλλαι ψυχαὶ ὑποδεέστεραι, ἐλάττονα φόβον ἔχουσαι· αὗται εἰσὶν αἱ νεάνιδες ὧν οὐκ ἔστιν ἀριθμός· ὁ νυμφίος τοίνυν καὶ ἐνθάδε καλὰς καὶ δυναμένας αὐτῷ εἶναι καὶ κοινωνοὺς, ἐξῆλθεν ἀπὸ τοῦ πατοῦ τοῦ ἐπουρανίου, κοινωνεῖ ἀγγέλοις καὶ ἀρχαγγέλοις, αἵ τινες εἰσὶν αἱ νύμφαι τοῦ λόγου, καὶ θρόνοι καὶ κυριότητες.

—— *

Αἴτιος οὖν γενοῦ τῆς ἀγαλλιάσεως· αἴτιος οὖν γενοῦ τοῦ

(*) S. Gregorii nysseni sermo XV, sive postremus, in Cantica desinit in cap. VI. 8. Neque deinceps in codice vaticano, unde hanc patrum catenam edimus, nomen Gregorii legitur. Quare iudicent eruditi lectores, utrum de auctore Procopio, an de alio quovis cogitandum sit, ubi loci occurrunt ἀδέσποτοι. Mihi quidam otium ad hanc inquisitionem non suppetit.

VI. ὄρα μεῖν αὐτὸν ἐπὶ σέ· θέλει γάρ σε προσασπάσασθαι, θέλει προλαβεῖν.

9. Τίς αὕτη ἡ ἐκκύπτουσα ὡσεὶ ὄρθρος, καλὴ ὡς σελήνη, ἐκλεκτὴ ὡς ἥλιος, θάμβος ὡς τεταγμέναι;

Νόει τὴν νύμφην ἀνακεχωρηκέναι τοῦ νυμφίου, τοὺς πολλοὺς αἰδουμένην ἐπαίνους· παρατιθεὶς δὲ ταύτην τὰς τῶν ἄλλων τῶν προσεληλυθότων ψυχὰς ὁ νυμφίος, θαυμαζέτω τῆς ἀπούσης τὴν τελειότητα, ἐφ' οἷς αἱ θεωροῦσαι θυγατέρες αὐτῆς τὸ κάλλος, μακαρίζουσιν αὐτήν· καὶ αἱ παλλακαὶ καὶ βασίλισσαι ὡς θυγατέρα αἰνοῦσιν· ἐφ' οἷς ἡ νύμφη καθάπερ ἐπὶ σκηνῆς λαμπροτάτη γενομένη φαινέσθω· καὶ τοῖς ἑτέροις ὁ νυμφίος, τὰ προκείμενα λεγέτω περὶ αὐτῆς· ἡ προκύπτουσα γὰρ ἐκ σκότους ψυχὴ, ὄρθρῳ πρῶτον εἰκάζεται, διὰ τὸ ἄρτι ἀρχομένας ἡμέρας καταυγάζεσθαι· ἐκκύψασα δὲ τοῦ κόσμου καὶ τῶν ἐν αὐτῷ, γίνεται ὡς ἐκκλεκτὴ σελήνη, τουτέστιν ἡ πανσέληνος, μὴ ἔχουσα ἐν ἑαυτῇ μέρος ἀφώτιστον τοῦ τῆς δικαιοσύνης ἡλίου· ἀλλ' ἐπεὶ ἡ σελήνη εἰς ἀρχὰς τέτακται τῆς νυκτὸς, οὐχ ἵσταται δὲ τὰ τῆς ἀμώμου καὶ ἀσπίλου ἐκκλησίας, κατὰ τὸ τῆς σελήνης παράδειγμα, διὰ τοῦτο κατὰ τὸ παρ' Ἠσαΐᾳ, ἔσται ἡ σελήνη ὡς ὁ ἥλιος· τὸ δὲ φῶς αὐτῆς οὕτω καταπληκτικὸν, ὡς ἐκθαμβηθῆναι τοὺς ὑποδεεστέρους· ἴσον δύνασθαι τῶν ἐν αὐτῇ θεωρημάτων τὸ πλῆθος καὶ τῶν ἐκ τούτων ἔργων, ὅλῳ τῷ πλήθει τῶν ἐν τῷ παντὶ τεταγμένων· τάχα δὲ ἐκ τοῦ νενοηκέναι τὴν ἐν τοῖς λόγοις τάξιν καὶ πάντων ἀνειληφέναι τὸν λόγον, τύποι ἐγγινόμενοι αὐτοὶ τῶν τεταγμένων ποιοῦσιν αὐτὴν εἶναι ὡς τὰς τεταγμένας ἐν τῷ παντὶ δυνάμεις.

Νείλου.

Τὸ ἐπουράνιον αὐτῆς πολίτευμα καταπλαγέντες οἱ φίλοι τοῦ νυμφίου ἐθαμβήθησαν· καὶ ὁμολογοῦσι τὴν ἔκπληξιν, τὸ φῶς τῶν πράξεων αὐτῆς βλέποντες λάμπον ἔμπροσθεν τῶν ἀνθρώπων· ὅπως πάντα εὐσχημόνως καὶ κατὰ τάξιν ποιοῦσα, τεταγ-

μένη ἐστὶ τῇ καταστάσει, οὐδὲν ἔχουσα πλημμελὲς; οὐ δὲ συγκεχυμένον· καλὴ δέ ἐστιν ὡς σελήνη, καὶ ἐκλεκτὴ ὡς ἥλιος· ἐπειδὴ καὶ τὰς ἐν νυκτὶ καὶ ἐν ἡμέρᾳ φωτίζει ἑκάστῃ καταςάσει τῶν ὠφελουμένων προσφόρως ἁρμοζομένη· καὶ ὡς ὄρθρος δὲ ἐκκύπτει τῆς οἰκείας ἕξεως συγκαταβατικῶς· οὐχ ὅλην δὲ αὐτὴν δεικνῦσα τοῖς ὅλην ἰδεῖν οὐ δυναμένοις, ἀλλὰ μερικῶς ἐκκύπτουσα πρὸς τὴν ἀναλογίαν τῆς τῶν ὁρώντων δυνάμεως· καὶ ἐκκύπτουσα ὡς ὄρθρος, οὐχ ὡς μεσημβρία οὐδὲ ὡς φέγγος ἡμερινόν· διὰ μὲν τὸ ἔτι τυγχάνειν ἀγεύστοις τῆς ἀπολαύσεως, δυναμένους ἡλιακῆς εὐθέως μετέχειν ἀκτῖνος· διὰ δὲ τὸ παρεληλυθέναι τὴν ζοφώδη κατάστασιν, χρήζοντας ὀρθρινοῦ καὶ προσηνεστέρου φωτός· ὥστε μὴ ἀθρόᾳ ἡλιακῆς ἀκτῖνος αἴγλῃ καταλαμφθέντα ἀδικηθῆναι τὸν ἐν τῷ σκότει ἐνόντα ὀφθαλμόν. VI.

Ἀπολιναρίου.

Καὶ κατὰ διαφόρους δὲ δυνάμεις, διαφόροις ἀπεικάζεται πράγμασιν· ἔχει γὰρ τῆς μὲν σελήνης τὸ προσηνὲς, τοῦ δὲ ἡλίου τὸ καθαρόν.

Φίλωνος.

Ἐπειδὴ γὰρ ὤφθη πρὸς μικρὸν τῷ θανάτῳ ὡς σελήνη, καὶ ἀνανεοῦται τῇ ἀναστάσει ὡς ἥλιος διὰ τὴν τῆς ἀρετῆς λαμπρότητα, θάμβους ἐστὶν ἀξία, ὡς ἀγγέλοις γενομένη ὁμοδίαιτος.

Εἰς κῆπον καρύας κατέβην ἰδεῖν ἐν γεννήματι τοῦ χειμάρ- 10.
ρου· ἰδεῖν εἰ ἤνθησεν ἡ ἄμπελος, εἰ ἤνθησαν αἱ ῥόαι· ἐκεῖ δώσω
τοὺς μαστούς μου σοί· γῆ ἐστιν ὡς ἡ ψυχή μου· ἔθετό με ἅρ- 11.
ματα Ἀμιναδάβ.

Ὠριγένους.

Κατά τι παράδειγμα οἱ δίκαιοι καρύαι εἰσὶ, φέροντες καρπὸν διὰ τὴν πρὸς θεὸν θεραπείαν ἱερατικὴν, διὰ τὸ ἔρκος ἔχειν περὶ αὐτὰ· ὁ μέν τι πικρὸν καὶ χωλῶδες, ἕτερον δέ τι σκληρὸν τῶν πειρασμῶν· ἀλλὰ καὶ χειμάῤῥους ὁ πειρασμὸς λέγοιτο· κατὰ τὸ, χειμάῤῥους διῆλθεν ἡ ψυχὴ ἡμῶν· ἠβουλήθη τοίνυν ἡ νύμφη καταβᾶσα εἰς τὸν κῆπον τῆς καρύας, τουτέστιν ἐκπεσοῦ-

VI. σα τὰ παράδεισα πρὸς τὴν ἐπίμοχθον ταύτην ζωὴν, ἰδεῖν παράδοξόν τι γέννημα τοῦ χειμῶνος ῥέοντος μαύρου ποταμοῦ· ἢ κατὰ Σύμμαχον, κατέβη μαθεῖν εἰ ἡ φάρυγξ τοῦ βίου ὠπώρας ἔχει· ἀλλὰ καὶ ἰδεῖν, εἰ ἤνθησεν ἡ ἄμπελος διαφεύγουσα τὸν χειμῶνα· καὶ τὸ ἔαρ φθάσασα, τὸν καιρὸν τοῦ πάσχα καὶ τῆς τῶν ἀζύμων ἑορτῆς· τότε γὰρ φιλεῖ ἀνθεῖν ἐν τῇ Ἰουδαίᾳ ἡ ἄμπελος· καὶ εἰ ἤνθησαν αἱ ῥόαι, ὧν ὁ καρπὸς πολὺς, καὶ τάξει περιειλημμένος ὑπὸ τοῦ λέπους· ᾧ ὁμοίωται τὸ μῆλον τῆς νύμφης· ἐκεῖ δέ φησι δώσω σοι τοὺς μαστούς μου, τουτέστι τὸ ἡγεμονικόν· ἀλλ' ἠγνόησε, φησὶν, ἡ ψυχή μου, καὶ τὴν ὑπόσχεσιν ἔψευσται, μὴ δυναμένη ἀφ' ἑαυτῆς τί ποιεῖν· ἀλλ' οὐκ ἀπελείφθην ἐν τούτοις· ὁ γὰρ πατὴρ τοῦ Ναασσὼν ὁ ἄρχων τοῦ λαοῦ μου Ἀμιναδὰβ, ἔθετό με ἑαυτῷ εἶναι ἅρματα· Ναασσὼν δὲ ὀφιώδης ἑρμηνεύεται· ὁ ἄρχων τοῦ λαοῦ τῆς νύμφης· Ἀμιναδὰβ δὲ οὗτος ὁ ἐν ἀριθμοῖς πατὴρ τοῦ ἄρχοντος τῆς φυλῆς Ἰούδα Ναασσών· ὃς μεταλαμβάνεται εἰς τὸν Χριστόν· διὰ τὸ, καθὼς Μωσῆς ὕψωσε τὸν ὄφιν ἐν τῇ ἐρήμῳ, οὕτως, φησὶν, ἅρματά με ἔθετο ἑαυτῷ ἡνιοχῶν μου τοὺς λογισμούς.

Νείλου.

Ἡ νύμφη διηγεῖται ὡς καταβᾶσα εἰς κῆπον καρύας πρὸς τοὺς ἐπ' ἁμαρτήμασι παιδευομένους, οὐ τῇ τυχούσῃ ῥάβδῳ, ἀλλὰ καρυΐνῃ, πολὺ τὸ πικρὸν ἐχούσῃ καὶ ἐπίπονον, ἰδεῖν τὸν ἀπὸ τῆς παιδείας καρπὸν, ἰδεῖν ποῖον γέννημα γεωργοῦσιν· οἱ ἐν τῷ χειμάῤῥῳ τῶν πειρασμῶν καταλελειμμένοι, εὐχαρίστως φέρουσι τὰ τῆς παιδείας δεινὰ, ἢ δυσανασχετοῦσι καὶ δυσφημίας καρποὺς ἀποδιδόασι τῷ ἰατρικῶς ἀλλ' οὐ τιμωρητικῶς παιδεύοντι· ἰδεῖν εἰ ἤνθησεν ἡ ἄμπελος, ἡ ῥόα· οἱ ἐκ μεγάλων κατορθωμάτων διὰ ῥᾳθυμίας μικρᾶς, εὐκόλως ἁμαρτίᾳ ἁλόντες· καὶ εἰ ἤνθησαν οὗτοι οἱ παρελθόντες τὸ τοῦ χειμάῤῥου ἀνυπόστατον ὕδωρ, μὴ παρασυρέντες πρὸς βλάσφημον ἔννοιαν· εἶτα, φησὶ, ἐκεῖ δώσω τοὺς μαστούς μου σοί· τοὺς ἔτι τὸ τῆς νηπιότητος ἔχοντας γάλα· ἵνα βελτιωθῶσιν ἀπὸ οἴνου τῆς σῆς διδασκαλίας· καὶ ἐπεὶ ἐβελτιώθη

ὀξέως, τὸ τάχος θέλουσα δεῖξαι τῆς μεταβολῆς· οὐκ ἔγνω φησὶν ἡ ψυχή μου, πῶς ἐγενόμην ἅρματα Ἀμιναδὰβ, τοῦ ἑρμηνευομένου ἄρχων λαοῦ μου· λεληθότως γὰρ ἡ μὲν νηπιώδης ὑπέρρευσε παρελθοῦσα κατάστασις· ὄχημα δὲ γέγονε τοῦ ἄρχοντος τοῦ λαοῦ μου, ὅς ἐστι Χριστός· ἁμαξήλατον λοιπὸν τρέχουσα καὶ ἱππήλατον τὴν τῆς ἀληθείας ὁδὸν· ταῖς ἁρματοτροχίαις ἐνσημαινομένη τῆς ἀγαθῆς πολιτείας τὰ σύμβολα, καὶ ἴχνη καταλιμπάνουσα τοῖς ὁδεύουσι τὸν βίον, πρεπούσης θεοσεβεῖν ἐθέλουσα ζωῆς. VI.

Φίλωνος

Τὴν συναγωγὴν κῆπον καρύας παρὰ τοῦ νυμφίου λελέχθαι φησίν· ἔνθα ἡ ῥάβδος Ἀαρὼν ἡ καρυΐνη· καὶ τὸ κατέβην ἐν τὸ καιρῷ τοῦ πάθους, εἰ ἤνθησεν ἡ ἄμπελος ἡ τῶν Ἰουδαίων, εἰ ἤνθησαν οἱ ῥόαι, αἱ διαφόρως ἐπ' αὐτῆς ἐπενεχθεῖσαι παιδείαι· διὰ τὴν ἔξωθεν στύψιν, καὶ τὸν ἔνδον εἰρηνικὸν καὶ τεταγμένον καρπόν.

Τοῦ αὐτοῦ.

Εἶτα φησὶν ἡ νύμφη, ἐκεῖ δώσω τοὺς μασθούς μου σοί· τὰς δύο διαθήκας τετελεσμένας ἐν ἔργῳ καὶ λόγῳ προσοίσω σοι· οὐκ ἔγνω ἡ ψυχή μου· ἐν ἀγνοίᾳ, φησὶν, ἤμην τὸ πρότερον, ἕως οὗ ἔθετο με ἅρματα ἡ τοῦ πατρὸς εὐδοκία· οὕτω γὰρ Ἀμιναδὰβ ἑρμηνεύεται· λέγει γὰρ Ἀββακούμ· ὅτι ἐπιβήσῃ ἐπὶ τοὺς ἵππους σου· καὶ ἡ ἱππασία σου σωτηρία.

Ἐπίστρεφε ἐπίστρεφε ἡ Σουλαβῖτις· ἐπίστρεφε ἐπίστρεφε· καὶ 12.
ὀψόμεθα ἐν σοί· τί ὄψεσθε ἐν τῇ Σουλαβίτιδι; ἡ ἐρχομένη ὡς χοροὶ τῶν παρεμβολῶν· ἀνέβη γὰρ ἐκ τοῦ λουτροῦ, ὡς τὰ ἀγγελικὰ τάγματα.

Φίλωνος.

Ἑτέρα γραφὴ Ὀδολομῖτις ἔχει, τουτέστιν ἡ οὐρανία· καὶ ὀψόμεθα Χριστὸν τὸν λέγοντα, ἐνοικήσω ἐν αὐτοῖς καὶ ἐμπεριπατήσω.

Ὠριγένους.

Ἀκύλας καὶ ἡ πέμπτη ἔκδοσις, τὸ Σουλαβῖτις ἐξέδωκαν· εἰ-

VI. ῥηνεύουσα γάρ· ἔστι δὲ ἡ νύμφη τοῦ λόγου ψυχὴ, ἡ τοῦ Χριςοῦ ἐκκλησία διὰ τὸν ποιήσαντα τὸ ἓν, καὶ τὸ μεσότοιχον τοῦ φραγμοῦ λύσαντα· ἐὰν δὲ ἡ Σουλαβίτις ἡ ἐσκυλευμένη κατὰ Σύμμαχον, λέγει ἂν πρὸς αὐτὴν ὁ νυμφίος, ὢ ἐσυλευμένη καὶ ὑπὸ τῷ αἰχμαλωτίσαντί σε γεγενημένη, ἐπίστρεφε εἰς τὴν προτέραν εὐγένειαν· νῦν μὲν ὡς ἐν ἀπαρχῇ λαμβάνουσα τῆς υἱοθεσίας τὸν ἀῤῥαβῶνα, καὶ τὴν τῆς ἀναστάσεως ἐλπίδα· ἐὰν δὲ τῆς ἐπαγγελίας καὶ τῆς ἀφθαρσίας τὸ ἔνδυμα· πυκνότερον δὲ εἰς προτροπὴν, τὸ ἐπίστρεφε· τότε γὰρ φησὶ κυρίως ἐστὶν ἰδεῖν σε· τῶν ἑταίρων δὲ τοῦ νυμφίου πρὸς τὴν νύμφην εἶναι τὸν λόγον δοκῶ· πρὸς οὓς ὁ νυμφίος τί ὄψεσθε φησίν· ἀπεικάζεται δὲ νενικηκότων στρατῷ· ἡ μία γὰρ νύμφη πλῆθος ἐν ἑαυτῇ ἔχει παρεμβολῶν· τὰ γὰρ μέλη τῆς νύμφης συστήματα τυγχάνοντα πλείονα, χοροὶ μὲν εἰσι, τῷ τὸ θεῖον ὑμνεῖν συμφόνως θεολογοῦντες αὐτῷ· τῷ δὲ καθελεῖν τοὺς πολεμίους παρεμβολῶν εἰρηνικῶν ἔχοντες· ἀλλ' οὐκέτι σχῆμα πολεμικὸν, τὴν ὑπὲρ τῶν ἐν χειμάῤῥῳ καμοῦσαν καὶ σκυλεῖσαν δι' αὐτούς· προσκαλοῦνται οἱ φίλοι τοῦ νυμφίȣ· ἐσκυλευμένη γὰρ ἑρμηνεύεται Σουλαμίτις· ἐπίςρεφε λέγοντες, ὀψόμεθα ἐν σοί· ἑώρων γὰρ αὐτῆς τὸν σκυλμὸν, οὐκ ἄκαρπον, ἀλλ' εἰς χρηστὸν τελευτήσαντα πέρας, ὅπως τοὺς ἐν τῷ χειμάῤῥῳ κατακριθέντας παραδεδομένους τῷ σατανᾷ εἰς ὄλεθρον τῆς σαρκὸς, παρελθόντας τὸ τοῦ χειμάῤῥου ὕδωρ, νικηφόρȣς ἦγε μεθ' ἑαυτῆς, ἐρχομένη ὡς χοροὶ παρεμβολῶν, τῶν ἐκ πολέμȣ ἐπανερχομένων, καὶ κατὰ διάφορα συςήματα χορευόντων, καὶ ἐπινικίȣς ᾀδόντων καὶ λεγόντων· κύριε ὡς ὅπλῳ εὐδοκίας ἐςεφάνωσας ἡμᾶς.

CAP. VII.

v. 1. Τί ὡραιώθησαν διαβήματά σου ἐν ὑποδήμασί σου θύγατερ Ἀμιναδάβ;

Τῆς νύμφης τὰς προκοπὰς ἀποδέχεται, ἅς φησι διαβήματα·

ὑποδήμασι δὲ, τοῖς βασιλικοῖς λέγει θεσπίσμασι· καθόδους δὲ VII.
ἔφη τα διαβήματα, ὡς καὶ ὁ ἀπόστολος, ἀντιλήψεις, κυβερνή-
σεις· συγκατιὼν δὲ τοῖς ὑποδεεστέροις, ὑποδεδέσθαι λέγει τὰ
διαβήματα, σωματικότερον αὐτοῖς φαινόμενος· Ἀμιναδὰβ δὲ ἄρ-
χων, ἤγουν ἡγεμὼν ἢ ἐκουσιαζόμενος ἑρμηνεύεται· οὗ θυγάτηρ
ἡ νύμφη· εἴη δ' ἂν ἄρχων, ὁ λέγων, ἄκουσον θύγατερ· ὁ δὲ
αὐτὸς ἐκουσιαζόμενος· ἑκούσια γὰρ πάντα θεῷ.

Νείλου.

Ὑπομιμνήσκουσιν αὐτὴν τοῦ κέρδους τοῦ γενομένου ἐκ τοῦ πρὸς τοὺς χρήζοντας αὐτῆς συγκαταβάσεως· ἅμα καὶ τὸν ὄκνον παρεμφαίνοντες ὅτε ἔλεγεν, ἐνιψάμην τοὺς πόδας μου, πῶς μολύνω αὐτούς; οὐκ ἂν ὡραιώθησαν διαβήματα αὐτῆς ἐν ὑποδήμασιν, εἰ μὴ τὸν ἄκαιρον ἐκεῖνον ὄκνον λύσασα, ὃν ἐπὶ λογισμῷ συμφέροντι, καὶ ἔξω γενομένη τῆς οἰκείας καταστάσεως διὰ τὴν τῶν δεομένων ὠφέλειαν· τὸ γὰρ πρὸς αὐτὴν λεγόμενον τοιοῦτόν ἐστιν· ἐπειδὴ, φησὶν, ἑστῶσα ἐν τόπῳ ἁγίῳ, καὶ ὑπολυσαμένη τὸ ὑπόδημα διὰ τὴν τῶν χρηζόντων σου βοήθειαν, πάλιν ἐφόρεσα τοῦτο, μολῦναι τοὺς καθαροὺς καταδεξαμένη πόδας· ἐπανέρχῃ δὲ νῦν συγκύπτειν δοκοῦσα τοῖς προκόπτουσι· διὰ τοῦτο ὡραιώθη διαβήματά σου· ὡς τοῦ τῶν εὐαγγελιζομένων εἰρήνην ἡγουμένου· τοῦτο γὰρ Ἀμιναδὰβ ἡγούμενος.

Ῥυθμοὶ μηρῶν σου ὅμοιοι ὁρμίσκοις, ἔργον χειρῶν τεχνί- 2.
του· ὀμφαλός σου, κρατὴρ τορνευτὸς, μὴ ὑστερούμενος κρᾶμα· 3.
κοιλία σου, θημωνία σίτου πεφραγμένη ἐν κρίνοις· δύο μασθοί 4.
σοι, ὡς δίδυμοι δύο νεβροὶ δορκάδος· τράχηλός σου ὡς πύρ-
γος ἐλεφάντινος· ὀφθαλμοί σου ὡς λίμναι ἐν Ἐσεβὼν, ἐν πύλαις
θυγατρὸς πολλῶν· μυκτήρ σου, ὡς πύργος τοῦ Λιβάνου σκο- 5
πεύων πρόσωπον Δαμασκοῦ· κεφαλή σου ἐπὶ σὲ ὡς Κάρμηλος,
καὶ πλόκιον κεφαλῆς σου ὡς πορφύραν βασιλεὺς δεδεμένος ἐν παραδρομαῖς.

Φίλωνος.

Ῥυθμοὺς μηρῶν λέγει τὴν εὔτακτον μὴν τῶν προκοπτόντων

VII. κίνησιν· ὅμοιοι δὲ εἰσὶν ὁρμίσκοις, ἔργον χειρῶν τεχνίτου· οὐ
γὰρ ἐπηρμένην φρονήματι συνῆν τοῖς προκόπτουσιν, ἀλλὰ τα-
πεινῷ καὶ συγκεκραμμένῳ δίκην ὁρμίσκου· διὰ δὲ τὸ ἐπιστη-
μόνως τοῦτο ποιεῖν ἔργου χέιρῶν τεχνίτου εἶναι λέγεται· καὶ τὸ
διανοητικὸν δὲ, τὸ πάντοτε πεπληρωμένον νοημάτων τελείων κε-
κραμμένων, πρὸς τὴν τῶν μανθανόντων ἐπιτηδιότητα· πᾶσαν δὲ
τετορευμένον ἔννοιαν αἰσχρὰν, ὀμφαλός ἐϛι τορευτὸς, οὐχ ὑϛε-
ρούμενος κρᾶμα· ἡ δὲ τῶν θείων βρωμάτων δεκτικὴ κοιλία μὲν
τοῦ τροφίμου τὸ εὐανθὲς ἔχουσα, θημωνία σίτου πεφραγμένη ἐν
κρίνοις λέγεται· τάχα δὲ καὶ ἡ ἀμέριμνος διάνοια, καὶ τὴν βα-
σιλικὴν μορφὴν αἰτοῦσα, θημωνία ἐϛὶ σίτου πεφραγμένη ἐν κρί-
νοις· ὁ δὲ τράχηλος, ὅτε μὲν ἐπὶ ταπεινοφρωσύνης ἐπῃνεῖτο, ὁρ-
μίσκος ἐλέγετο· ὅτε δὲ τοῖς πολεμίοις ἦν ἀπρόσιτος, πύργος Δα-
βὶδ· νῦν δὲ πύργος ἐλεφάντινος λεῖος τίς ὢν, καὶ μηδὲ μίαν ἔχων
ἀντιλαβὴν, καὶ πᾶσι πτηνοῖς καὶ ἑρπετοῖς ἀπροσπέλαστος, ἡλίῳ
μόνῳ βατός· τοιοῦτον γὰρ τὸ εὐσεβὲς φρόνημα, οὐ πάθεσι καμ-
πτόμενον, οὐ δόγμασιν εἶκον αἱρετικοῖς, ἀλλὰ μόνῳ Χριϛῷ ἀνα-
κείμενον· καὶ τὸ θεωρητικὸν δὲ ἐκ πολλῆς μαθήσεως βελτιωθὲν,
λίμναι εὐσεβῶν πλημμυρούσαις τὸ τῶν ἐναρέτων λογισμοὺς ὕδωρ
παραβάλλεται· Ἐσσεβῶν γὰρ ἑρμηνεύεται λογισμοὶ ἐν πύλαις θυ-
γατρὸς πολλῶν· ὅσοι γὰρ προφῆται καὶ ἀπόϛολοι, τοσούτων θυ-
γάτηρ ἡ νύμφη· καὶ ὁ μυκτὴρ δ' αὐτοῦ ὡς πύργος τοῦ Λιβάνου
σκοπεύων πρόσωπον Δαμασκοῦ, ἥ τις ἑρμενεύεται, αἷμα πίνουσα·
ὁ οὖν καὶ τῇ πολιτείᾳ ὑψηλὸς, καὶ δόγμασιν ἐπιβεβηκὼς διε-
γηγερμένοις, καὶ προγινώσκων τὰς προβολὰς τῶν παθῶν, καὶ τὰς
ἐφόδους τῶν ἐναντίων δυνάμεων, καὶ τὴν δυσωδίαν αὐτῶν εὐ-
κόλως ἀντιλαμβανόμενος, μυκτὴρ ἐϛι τῆς νύμφης· αὐτὸς σκοπεύων
τὸ πρόσωπον Δαμασκοῦ, καὶ τὴν προσβολὴν ὡς κεφαλὴν τοῦ ὄφεως
φυλαττόμενος· τῷ Καρμήλῳ δὲ τὴν κεφαλὴν αὐτὸς ὡμοίωσεν, ἐπει-
δὴ κεφαλή ἐϛι τῆς ἐκκλησίας ὁ Χριϛός· ὁ δὲ Κάρμηλος τῶν προ-
φητῶν ἦν ἐνδιαίτημα τῶν περὶ τῆς κεφαλῆς μαρτυρούντων, καὶ τῷ
πλοκίῳ τῶν λόγων τῶν βασιλικῶν, τὸν παραδραμεῖν ἐπειγόμε-

νον δεσμούντων· ὅταν γάρ τις χλευάζων τὰ πάθη τοῦ Χριστοῦ παρατρέχῃ τὸ δόγμα ὡς μωρὸν καὶ χλεύης ἄξιον· εἶτα ᾧ μὴ πέπονθεν ἕκαστον ῥήματι μηνύματι προφητικῷ μαρτυρούμενον, ὡς σπαρτίῳ δεσμούμενος, τῷ θείῳ λόγῳ παραμένει οὐκ ἰδιώτου τάξιν ἔχων, ἀλλὰ βασιλέως λαχοῦντος αἰώνιον βασιλείαν οὐρανῶν καὶ πόλεως ἀπορθήτου τῆς ἄνω Ἱερουσαλήμ· καὶ οἱ τοῦ Χριστοῦ δὲ λόγοι διδάσκοντες τὰ οὐράνια, καθάπερ πλοκῇ τὸν παρατρέχοντα δεσμεύουσιν. VII.

Ὠριγένους.

Πολλαχοῦ τάττει τοὺς μηροὺς ἐπὶ τῆς γενέσεως ἡ γραφή· δηλοῖ τοίνυν ἐνταῦθα τῆς νύμφης τὸ τεταγμένον, ἐν τῷ τῆς γενέσεως, χωρίῳ καὶ εὔρυθμον, ὡμοίῳ περιτραχηλίοις κατεσκευασμένοις τῇ ἀρετῇ.

Κυρίλλου.

Τεχνίτην δὲ τὸν δημιουργὸν ὀνομάζει Χριστόν· ὡς γὰρ ὑπήκοος γέγονεν οὕτως ἡ ἐκκλησία.

Φίλωνος.

Δηλοῖ δὲ τὸ τεταγμένον καὶ ἡρμοσμένον καὶ ἀδιάλυτον τῆς παρθενίας, ἐν ᾗ ὁ τεχνίτης εἰργάσατο τὸν ναὸν ἑαυτῷ.

Κυρίλλου.

Λέγει δὲ καὶ τὴν σωφροσύνην αὐτῆς καὶ τὴν ὑποταγὴν τῆς ψυχῆς ταύτης ὑποτεταγμένης τῇ πίστει, τοῦ δὲ σώματος τῇ σωφροσύνῃ.

Ὠριγένους.

Ἐπὶ τὸν ὀμφαλὸν δὲ τὸν κρατῆρα ἡ σοφία συγκαλεῖ λέγουσα· δεῦτε πίετε οἶνον ὃν κεκέρακα ὑμῖν· καὶ δηλοῖ τὸ πνευματικὸν πνεῦμα· καὶ προσέθηκε καὶ θημωνίαν σίτου, ἵνα τὴν πνευματικὴν τροφὴν σημάνῃ· τὸ γὰρ θημωνία ἀντὶ τοῦ συναγωγὴ ἀρετῶν πλήθους εἰς ἓν τῇ ὁμονοίᾳ συντεταγμένη.

Κυρίλλου.

Δηλοῖ δὲ καὶ τὸ ἱερατεῖον αὐτῆς λέγων· μὴ ὑστερούμενος κράματι, δηλονότι τῷ τοῦ Χριστοῦ αἵματι· τοῦτο γὰρ τοῖς ἱερεῦσιν ἐν χερσίν.

VII. Φίλωνος.

Ἀλλὰ καὶ ἡ συναγωγὴ τοῦ πλήθους ἡ ἐξ ὁμονοίας, πέφρακται κρίνοις τοῖς εὐώδεσι λογίοις τοῦ Θεοῦ.

Ὠριγένους.

Κρίνα δ' ἂν εἴη καὶ τὰ ἄνθη τῆς χάριτος τοῦ Θεοῦ, ἃ συνελέξατο ἀπὸ μέσου τῶν τοῦ βίου ἀκανθῶν.

Κυρίλλου.

Τράχηλον δὲ αὐτῆς, τοὺς διακόνους τοῦ Χριστοῦ λέγει· διὰ τὸν Χριστὸν βαστάζειν τῆς ἐκκλησίας τὴν κεφαλήν· βαστάζουσι γὰρ αὐτοῦ τὸ ἅγιον σῶμα, ἐν καθαρᾷ συνειδήσει, ὁμολογοῦντες αὐτοῦ τὰ μυστήρια· διόπερ ἐλεφάντινον εἴρηκεν, ὁποίους ὁ Παῦλος φησὶν διακόνους σεμνοὺς, μὴ οἴνῳ πολλῷ προσέχοντας.

Ὠριγένους.

Πύργοι δὲ ἐκλήθησαν, οἱ τὰ ἀρεστὰ τῷ νυμφίῳ ποιοῦντες σκοπευτήριον ἔχοντες τὴν θεωρητικὴν ψυχὴν, ἐκ μετεώρου σκοπεύουσαν ἅπαντα· ἐλεφάντινον δὲ, διὰ τὸ λαμπρὸν καὶ λεῖον· οὐδὲν γὰρ ἀπὸ κακίας τραχὺ, ἐν τῷ τῆς νύμφης τραχήλῳ· οὐκέτι δὲ περὶ τῶν νεκρῶν εἶπεν, οἱ νεμόμενοι ἐν κρίνοις· ὑπεράνω γὰρ ἐγεγόνεισαν κρίνων τῶν ἐν μέσῳ ἀκανθῶν· βούλεται δὲ ἡμᾶς καὶ φιλομαθεῖς ὄντας πολλῶν ἔχειν τὴν ψυχὴν θυγατέρα σοφῶν καὶ ἐν εἰσαγωγαῖς γενέσθαι μαθημάτων πολλῶν, ἃς ἐκάλεσε πύλας· τοσοῦτον, φησὶν, γνώσεως τοῖς ἐν σοὶ διδασκάλοις περίεστι χάρις, ὡς μὴ μόνον τοὺς παρὰ σοὶ ἀπολαύειν αὐτῶν τῆς παιδεύσεως, ἀλλ' ἤδη καὶ τῆς ἔξωθεν καὶ πόῤῥωθεν τῆς αὐτῶν ἀπολαύειν ὠφελείας.

Φίλωνος.

Ἀλλὰ καὶ τὸ διανοητικὸν αὐτῆς πεπληρῶσθαι φησὶν εὐσεβῶν λογισμῶν· Ἐσσεβὼν γὰρ ἑρμηνεύεται λογισμοί.

Ἀπεικάζει δὲ λίμνας τοὺς νοεροὺς ὀφθαλμούς· ποταμοὶ γὰρ ἀναβλύζουσιν ἐκ τῆς κοιλίας τῶν δεχομένων τὸν λόγον.

Ὠριγένους. VII.

Ὁ δὲ καθαρὰν ἔχων τὴν διαπνοὴν, καὶ διὰ τῆς αἰσθήσεως τοῦ θείου λόγου δυνάμενος ὀπίσω αὐτοῦ εἰς ὀσμὴν μύρων αὐτοῦ δραμεῖν, μυκτήρ ἐστιν αἰσθανόμενος εὐωδίας πνευματικῆς· σκοπεύων εἴ τι ἐπιφανὲς ἐν ἔθνεσι δόγμα δοκεῖ· Δαμασκὸς γὰρ τὰ ἔθνη παρίστησι· τοῦ δὲ ἐπιφανοῦς καὶ καλοῦ τὸ πρόσωπον σύμβολον· ὁ δὲ λίβανος ἀναφέρεται ἐπὶ τὸ θυσιαςήριον τοῦ θεοῦ· ὁ δὲ Κάρμηλος ἐπίγνωσις περιτομῆς ἑρμηνεύεται· γινώσκει δὲ περιτομὴν ὁ μετὰ παῤῥησίας λέγειν δυνάμενος· ἡμεῖς ἐσμὲν ἡ περιτομή· ἀπὸ δὲ τῆς κεφαλῆς τουτέστι Χριστοῦ ἐπίγνωσις πνευματικῆς ἐγεννήθη περιτομῆς.

Τί ὡραιώθης καὶ τί ἡδύνθης, ἀγάπη ἐν τρυφαῖς σου; τοῦτο 6.
μέγεθός σου· ὁμοιώθης τῇ φοίνικι· καὶ οἱ μασθοί σου τοῖς βό- 7.
τρυσι· διότι ὑψηλόν σου τὸ φρόνημα· καὶ οὐδὲν τῶν γηΐνων ἐπιφερόμενον.

Φίλωνος.

Πλόκιον δὲ τῆς κεφαλῆς, πολυάνθιον πλῆθος τῆς ἐκκλησίας δηλοῖ, τῇ ἀγάπῃ πεπλεγμένον εἰς κόσμον τῆς νύμφης· ὡς πορφύραν δὲ τὸ πλόκιον εἴρηται, διὰ τὸ βεβάφθαι τὸ πλῆθος ἐν αἵματι Χριστοῦ· καὶ τοῦτο καθάπερ ἐσθῆτα περιβεβλῆσθαι βασιλικήν· ἤγουν ὁ κόσμος τοῦ πλήθους ὁ βαφεὶς τῷ ἁγίῳ αἵματι, ὡς νίκῃ ἐθριάμβευσεν ἀπεκδυσάμενος τὰς ἀρχάς.

Κυρίλλου.

Ἢ καὶ ἄλλως, σύνδεσμον τῆς τῶν λαῶν ἀγάπης ἄγεσθαι φησὶν εἰς βασίλειον ἱεράτευμα.

Ὠριγένους.

Ὅτι ταῦτα φησὶν ὁ νυμφίος ἀποθαυμάζων αὐτῆς τὴν ἐπὶ τὸ κρεῖττον μεταβολήν· ὡς γὰρ ἡ τῶν στοιχείων εὐκρασία, σωμάτων ὑγείαν ἐμποιεῖ, οὕτως ἐκ τῶν ὁρμῶν καὶ ἐκκλίσεων, ὑγεία πῶς καὶ κάλλος ἐπιγίνεται τῇ ψυχῇ· ὡς δὲ αἰσχρά τις οὖσα διὰ κακίαν ἡ νύμφη, μετέβαλεν ἐξ ἀρετῆς εἰς ὡραιότητα, οὕτως οὖσα πικρὰ, γέγονεν ἡδίστη τε αὐτῷ καὶ γλυκεῖα· φησὶ τοίνυν, ὡς

VII. ἐν ταῖς σωματικαῖς τρυφαῖς ἡ πολυτελὴς εὐωχία περιπόθητος, οὕτω τοῖς τὴν πνευματικὴν τρυφῶσι τρυφὴν, ἡ ἀγάπη· τῆς δὲ σοῦ αὐτωνυμίας κειμένης παρὰ τοῖς ἄλλοις, λέγει ἂν τῇ ἀγάπῃ ἐντρυφᾶς πλέον τῶν ἄλλων τοῦ πνεύματος καρπῶν· ὡς πάντα δι' αὐτὴν στέγειν πάντα ὑπομένειν· ὥσπερ δὲ σωμάτων ἐςὶ βραχύ τις καὶ μέγεθος ἑτέρων, οὕτω καὶ ψυχῆς ἀναλόγως οἷς διαπράττεται.

Νείλου.

Τάχα μὲν ὄνομα αὐτῷ διατίθεται, τὸ ἀγάπη, ὡραιῶσθαι λέγων αὐτὴν ἐν ταῖς τρυφαῖς· ἡ γὰρ ἐν τοῖς θείοις λόγοις τρυφὴ, καὶ τὸ κάλλος φαιδρότερον δεικνύει, καὶ τὴν συνουσίαν ἡδίω ἐργάζεται· τάχα δὲ τὸ μακάριον αὐτῆς κάλλος θαυμάζει· ἐν δὲ ταῖς τρυφαῖς αὐτῆς, αὔξεσθαι τὴν ἀγάπην λέγει· διὰ δὲ τοῦ ἑξῆς δηλοῖ τὸ ἐπὶ λόγοις σωματικοῖς ταύτῃ ἐρηρεισμένον ὕψος τῶν ἀρετῶν· ἀναγκαίως δὲ καὶ οἱ μασθοὶ αὐτῆς τοῖς βότρυσιν ὁμοιοῦνται, διὰ τὴν κατὰ θεὸν ἀγάπην συνδεδομένοι· τέως δὲ τοὺς μασθοὺς ἀπογαλακτώδους πιότητος εἰς μελιτώδη μεταβεβληκέναι ἡδονὴν λέγει· πλεῖον γάρ τι μετ' ὀλίγον αὐτῆς μαρτυρήσει· ἀπὸ ταύτης τῆς καταστάσεως ἐπὶ τὸ μεῖζον προκόψασιν.

Κυρίλλου.

Ἢ καὶ ἐν τρυφῇ σου, τῇ ἀγάπῃ σου, διὰ τό τινα καὶ αὐτῶν τῶν δικαίων νομίζεσθαι· τοῖς δὲ βότρυσιν οἱ μασθοὶ ἀπεικάζονται· τοῖς ἔχουσι τὴν πνευματικὴν εὐφροσύνην.

Ὠριγένους.

Ἤγουν τὰ νοήματά σου φησὶν τρόφιμά τε καὶ πότιμα, καὶ οὐδαμῶς ὀμφακίζοντα.

Φίλωνος.

Ἢ τοῖς τῶν φοινίκων ἀπεικάζονται βότρυσι πρὸς τὸ εὐῶδες τε καὶ πεπληθυσμένον.

8. Εἶτα ἀναβήσομαι ἐν τῷ φοίνικι· κρατήσω τῶν ὕψεων αὐτοῦ καὶ ἔσονται δὴ μασθοί σου ὡς βότρυες ἀμπέλου· καὶ ὀσμὴ ῥινός
9. σȣ ὡς μῆλα· καὶ λάρυγξ ὡς οἶνος ἀγαθὸς, πορευόμενος τῷ ἀδελφιδῷ μου εἰς εὐθύτητα ἱκανούμενος ἐν χείλεσί μου ὀδοῦσιν.

Φίλωνος. VII.

Ἐκ προσώπου δὲ τοῦ νυμφίου νοούμενα δηλοῖ· ὡς ἐὰν κρατήσῃ τοὺς δικαίους ὁ κύριος, ἄπτωτα τούτων μένῃ τὰ ὕψη· καὶ ὡς βότρυες θλιβέντες εὐφροσύνης οἶνον προχέουσιν· οὕτως ἐν ταῖς θλίψεσι εὐφραίνουσιν οἱ δίκαιοι τὸν Χριστόν· ῥὶς δὲ αὐτῆς ὁ ἀπόστολος γεγονὼς εὐωδίας ὀσμὴ τῷ Χριστῷ ὡς μῆλον, βρῶσιν παρέχων καὶ πόσιν τῶν τοῦ Χριστοῦ μυστηρίων.

Ὠριγένους.

Ἀπεικασθεῖσα φοίνικι, φοίνικα τὸν νυμφίον καλεῖ, τὸ ὕψος καὶ μέγεθος τοῦ λόγου κατανοήσασα· ἐφ᾽ ἃ καὶ ἤλπισεν ἀνελθεῖν ἐπὶ τέλει τῶν ᾀσμάτων· ὅτε τελεία ἐστὶν ἡ νύμφη· ὅτε καὶ ἀντιλήψεται τῶν τοῦ νυμφίου μασθῶν, δηλούντων τὰ πυκνώματα· διὸ καὶ ἀμπέλου βότρυσιν ἀπεικάζονται· περὶ ἧς εἶπεν ὁ σωτήρ· ἐγώ εἰμι ἡ ἄμπελος ἡ ἀληθινή. τὰ δὲ ἐκ τῶν τοῦ λόγου κρυπτῶν ἐκπορευόμενα, ἐπὶ τοσοῦτον ἰθύνει τε καὶ εὐφραίνει, ὥστε λέγειν ὅτε δεῖ, καὶ οἷς δεῖ, καὶ ὅσου δεῖ· τὰ μὲν γὰρ χείλη, τὸν λόγον· οἱ δὲ ὀδόντες, τὴν ἐχεμυθίαν ἐμφαίνουσι· κατὰ τό, τῷ στόματί σου ποίησον θύραν καὶ μοχλόν, καὶ τοῖς λόγοις σου μέτρον καὶ σταθμόν· τῶν δὲ τοιούτων οὐ μόνον ἀσφαλῆ τὰ νοήματα, ἀλλὰ καὶ τὰ χείλη αἰσθήσει δέδεται. οἶνος δὲ ὁ ἀγαθός, ὁ ἐξ ἀγαθοῦ θησαυροῦ τῆς καρδίας προσφερόμενος.

Ἐπειδὴ ἐπαπορητικῶς ἔλεγεν ὁ νυμφίος· τί ὡραιώθης καὶ τί ἡδύνθης, καὶ τὸ μέγεθός σου ὡμοιώθη τῷ φοίνικι, τὴν αἰτίαν τοῦ πρὸς ὕψος ἐκτετακέναι ἑαυτὴν λέγει· ἐπειδὴ γάρ φησιν σὺ ὁ νυμφίος φοῖνιξ εἶ, παραπεφύτευμαι δὲ κἀγώ σοι τῷ φοίνικι, τῷ σῷ ὕψει ἀναβαίνουσα, εἰκότως ὑψοῦμαι, ἐγγίσαι τῷ σῷ ὕψει ἐπιθυμοῦσα, ἵνα κρατήσω τοῦ σοῦ ὕψους, καὶ γένωμαι μιμουμένη σε, ὅπερ εἶ σὺ τῇ ἀπραξίᾳ τῆς φύσεως· διὰ τοῦτο γὰρ κατέβης ἵνα ἐγὼ ἀνέλθω καὶ ἴδω τοὺς σοὺς μασθούς, ὡς βότρυας τῆς ἀληθινῆς ἀμπέλου, ποτίζοντας ἐὰν θλασθῶσιν εὐφροσύνην, τοὺς τὰ αἰσθητήρια γεγυμνασμένα ἔχοντας· εἰς τοῦτο γὰρ ἀπὸ τῆς

VII. νηπιότητος ἔφθασαν, κατ' ὀλίγον προκόψαντες, καὶ τῆς ὀσμῆς τῶν ῥινῶν σου ἀντελάβοντο ὡς μήλων, τὴν τῆς θεότητος εὐωδίαν, ἐν τῷ ἀνθρώπῳ νοοῦσα· ἣν κεκρυμμένην διὰ τῆς ῥινὸς ἀναπέμπει τὸ ᾆσμα παλαιᾶς καὶ νέας γραφῆς· καὶ λάρυγξ σου φησὶν, ὡς οἶνος ἀγαθός· ὁ εὐθύνων πρὸς σὲ τοὺς ἀφεστηκότας σὸς λόγος· ἱκανὸς ἐν χείλεσι καὶ ὀδοῦσιν, οὐκ ἐν τῇ γεύσει μόνον, ἀλλὰ καὶ ἐν τῇ χρήσει τὴν ἱκανότητα παρέχων· χείλη γὰρ τὴν γεῦσιν, ὀδόντες δὲ τὴν πλουσίαν ἀπόλαυσιν δηλοῦσιν· εἰ δὲ ὁ νυμφίος ταῦτα λέγει τῇ νύμφῃ, τὰ μὲν πλεῖστα εἴρηται ὁμοίως· τὸ δὲ εἶπα ἀναβήσομαι καὶ τὰ ἑξῆς, τοιοῦτον· ὡς τοῦ δεσπότου Χριστοῦ νικῶντος πᾶσαν τὴν ἀνθρωπίνην σπουδὴν ταῖς χάρισιν οὐκ ἐπὶ τοῦ κρατῆσαι, ἐπὶ τοῦ ἅψασθαι δὲ ἢ δράξασθαι· ἐπαναβῆναι δὲ καὶ ὑπερκύψαι καὶ πλεονεκτῆσαι τῷ ὕψει νοουμένου· ὅσον γὰρ ἂν ἐκταθῇ δύναμις ἀνθρωπίνη περισωθῆναι ταῖς ἀμοιβαῖς φιλονεικοῦσα, τῇ μεγαλοδωρεᾷ, καὶ πόνοις κατορθωμένων ἐκτίσαι τὰς προϋπηργμένας χάριτας, ἡττηθήσεται πάντως, ταῖς ὑπερβαλλούσαις νικωμένη τοῦ θεοῦ εὐεργεσίαις.

10. Ἐγὼ τῷ ἀδελφιδῷ μου· ἐπ' ἐμὲ ἡ ἐπιστροφὴ αὐτοῦ.

Νείλου.

Ἐκ τρίτου τοίνυν τὸ αὐτὸ φησὶν προσθεῖσα τὸ ἐπ' ἐμὲ ἡ ἐπιστροφὴ αὐτοῦ· ἀντὶ τοῦ, ἐπειδὴ ἐγὼ ἀνεθέμην αὐτῷ ἐμαυτὴν, πέπεισμαι ὅτι κἂν περισπασθῇ μικρὸν ἐπὶ τὰ πρόβατα τὰ ἀπολωλότα οἴκου Ἰσραὴλ, ἐπ' ἐμὲ ἐπιστρέψει.

Κυρίλλου.

Ἢ ὅτι ἐγὼ τὴν ὁμολογίαν προσάγω, καὶ ἐπ' ἐμὲ ἡ ἐπιστροφὴ αὐτοῦ· ἢ ἐν τῇ παρουσίᾳ τῇ δευτέρᾳ, ἢ καὶ ἀπὸ τοῦ λαοῦ τῶν Ἰουδαίων.

Φίλωνος.

Ἢ καὶ ἀγρὸν τὸν κόσμον καλεῖ, κώμας δὲ τὰς ἐκκλησίας, ἀμπελῶνας δὲ τὰς εὐκάρπους ψυχὰς, τὸ δὲ ὀρθρίσωμεν, τὴν ἄγνοιαν ἀπελάσωμεν· ἀνθῆσαι δὲ ἄμπελον τὸ κήρυγμα, τὸν κυ-

πρισμὸν δὲ τοὺς λευκανθέντας ἐν τῷ βαπτίσματι· πρὸς δὲ τὰς VII.
ἐκκλησίας ἢ τῶν πιστῶν τὰς ψυχὰς, εἰ καὶ φαίνεται ἐπὶ καρποφορίαν θαῤῥοῦσα, ἀλλὰ τὸ κρίνειν οὐκ ἀποδίδωσιν ἑαυτῇ.

Ὠριγένους.

Τελειωθείσης ὁ λόγος ὅτι μηδαμοῦ παντοδαπῇ ἀνάπαυσιν εὑρήσει, ὅπου ἑαυτὸν ἐπιστρέψει ὡς παρ᾽ ἐμοί.

11. Ἐλθὲ ἀδελφιδέ μου· ἐξέλθωμεν εἰς ἀγρόν· αὐλισθῶμεν ἐν
12. κώμαις· ὀρθρίσωμεν εἰς ἀμπελῶνας· ἴδωμεν εἰ ἤνθησεν ἡ ἄμπε-
λος, ἤνθησεν ὁ κυπρισμὸς, ἤνθησαν αἱ ῥόαι.

Ὠριγένους.

Περὶ τῶν ὑποδεεστέρων ἡ νύμφη παρακαλεῖ· ὡς ἐκ τῶν ἐνδοτάτων καὶ μακαρίων διατριβῶν εἰς τὴν τούτων ἐπισκοπὴν ἐξελθεῖν· οὗτοι γὰρ ἀγρὸς καὶ κῶμαι καὶ ἀμπελῶνες καὶ ῥόαι.

Νείλου.

Ἀπὸ τῆς σωματικῆς ὥρας διαγράφει τὴν πνευματικὴν· ἀγρὸν καὶ κώμας καὶ ὀρθρινὴν ἐπὶ τοὺς ἀμπελῶνας ἔξοδον, τῷ νυμφίῳ ὑποθεμένη· ἀγρὸν τοίνυν φησὶ τὸν κόσμον, κῶμαι δὲ δύνανται λέγεσθαι αἱ ἐκκλησίαι καὶ αἱ χωρητικαὶ τοῦ λόγου ψυχαί· αὗται γὰρ ἄμπελοι λέγονται, καὶ ῥόαι ἀνθοῦσαι διάφοροι ταύτης αἱ ἀρεταὶ, αἱ διὰ μὲν τῶν θλίψεων, οἶνος γενόμεναι ἀμπέλου· αἱ δὲ τὴν ἐλπίδα δι᾽ ὑπομονῆς ἀσφαλίζουσαι ῥόαι· ἐκεῖ δὲ πάλιν ἐπαγγέλλεται δώσειν τοὺς μασθοὺς, ἐπὶ τὴν τελειότητα μεταβληθησομένους, καὶ ἐπὶ οἰνότητα ἀπὸ γαλακτότητος· λέγει δὲ καὶ τοὺς μανδραγόρας δεδωκέναι ὀσμήν· τάχα τοὺς ἀπὸ μιμήσεως τοῦ Χριστοῦ τὸ εὐῶδες τῶν καλῶν ἔργων πνέοντας, καὶ γὰρ ὁ μανδραγόρας μιμεῖται τὸ τοῦ μήλου σχῆμα καὶ τὴν εὐωδίαν· τοιοῦτος ἦν Παῦλος, ὡς μανδραγόρας κατ᾽ ἀμφότερα τὸ μῆλον Χριστὸν μιμούμενος· εἴποις δ᾽ ἂν καὶ τοὺς συναναστάντας Χριστῷ εἶναι μανδραγόρας, ἐκ τοῦ τὴν ῥίζαν εἶναι ἀνδροείκελον, δι᾽ ἧς σημαίνεται ἡ νεκρότης· καὶ ἐπὶ θύραις δὲ ὄντα τὰ ἀκρόδρυα, εἰκότως καὶ ἀκολούθως εὐαγγελίζεται νέα πρὸς παλαιοῖς τετηρηκέναι λέγουσα· ἐπὶ θύραις γὰρ ὄντως καὶ πλη-

VII. σίον ἐν χερσὶ τὰ ἀγαθὰ τῶν τῆς εὐαγγελικῆς πολιτείας καρπῶν· φησὶν οὖν, πρὸς τῇ φυλακῇ μὲν τῶν νέων παραγγελμάτων, καὶ τὰς παλαιὰς ἐντολὰς τετήρηκα.

Ἐκεῖ δώσω τοὺς μασθούς μου σοί.

Τοῖς γὰρ πιστοῖς τὰ βάθη τῶν δύο διαθηκῶν ἀποκαλύπτεται· ἐπαγγέλλεται τοίνυν τὰ ἐν ταύταις νοήματα τῷ νυμφίῳ ἀνατεθῆναι.

13. Οἱ μανδραγόραι ἔδωκαν ὀσμήν.

Οἱ μανδραγόραι ὑπὸ γῆν οὐρανομόρφους ἔχουσι ῥίζας· οἱ νεκρώσαντες οὖν ἑαυτοὺς διὰ Χριστὸν, ἔδωκαν εὐωδίαν ἔργων ἀγαθῶν· ἢ οἱ νεκροὶ τῆς Χριστῷ παρουσίας αἰσθανόμενοι, τῆς ἀναστάσεως δέδωκαν τὴν ὀσμήν.

Καὶ ἐπὶ θύραις ἡμῶν πάντα τὰ ἀκρόδρυα· νέα πρὸς παλαιὰ ἀδελφιδέ μου ἐτήρησά σοι.

Τὰ ἤδη καρποφοροῦντα πρὸς ταῖς θύραις φησίν· δηλοῖ δὲ τοὺς κατὰ τὴν παλαιὰν καὶ νέαν ἀνθοῦντας.

Φίλωνος.

Ἤγουν κεῖσθαι φησὶν ἐν τοῖς αἰσθητηρίοις ἡμῶν τὰς ἀρετὰς καὶ κακίας· καὶ ὅτι τὴν παλαιὰν ἡ καινὴ διαθήκη ἐπισφραγίζει.

CAP. VIII.

v. 1. Τίς δώσει, ἀδελφιδέ μου, θηλάζοντα μασθοὺς μητρός μου;

Τῆς ἄνω Ἱερουσαλὴμ φησὶν, ἧς σύμβολον ἡ ἐπὶ γῆς κειμένη, ῥεούσης γάλα καὶ μέλι, ἐν ᾗ βούλεται τῷ νυμφίῳ συνεστιᾶσθαι· γάλα δὲ νῦν, ἡ ἄδολος καὶ τρυφητικὴ τροφή.

Κυρίλλου.

Ἁγιάζεται τοίνυν ἡ τροφὴ τῆς νύμφης, συνευωχουμένου Χρι-

στοῦ· ἤγουν εὔχεται τὴν ἐπιδημίαν τοῦ σωτῆρος εἰς τὴν Ἰου- VIII.
δαίαν ἡ ἐκκλησία γενέσθαι, κατὰ πρόνοιαν τοῦ διδόντος αὐτὸν
τοῖς ἀνθρώποις, ἵνα θηλάσῃ τὴν θεοτόκον.

Φίλωνος.

Ἐν γὰρ τοῖς ἀρτιγεννήτοις ὑπὸ τοῦ πνεύματος μορφούμενος ὁ Χριστὸς, θηλάζει τὴν σοφίαν δι᾽ αὐτῶν.

Νείλου.

Τὴν ἔνσαρκον αὐτοῦ παρουσίαν ἐπιθυμεῖν ἡ νύμφη ἔοικεν· ἐν ᾗ συγκαταβαίνων διὰ τὸ ἀνθρωποπαθὲς, εὔληπτος αὐτῆς ἔσται, καὶ τῆς οἰκείας καταστάσεως ἔξω εὑρεθεὶς μένων ὃ ἦν, μετὰ παῤῥησίας αὐτὴν κατασκευάσει, γνησίως καὶ ἡδονὴν ἔνθεον κινούντων ἀπολαῦσαι λόγων· ἐπὶ τούτοις γὰρ τοῖς φιλήμασιν οὐκ ἐξουδενοῦται, ἔπαινον ἔχουσιν οὐ κατάγνωσιν· παραλήψεται δὲ αὐτὸν αὐτὴ, ἐπειδὴ οἱ ἴδιοι αὐτὸν οὐ παρέλαβον· εἰσάξει δὲ καὶ εἰς οἶκον μητρὸς αὐτῆς καὶ εἰς ταμιεῖον τῆς συλλαβούσης αὐτὴν τῆς ἀνθρωπίνης σοφίας· ἔδει γὰρ αὐτὸν ἄνθρωπον γενόμενον, πάντων αὐτῇ κοινωνῆσαι, καὶ ἀντιδοῦναι τὰ τῆς χάριτος, καὶ λαβεῖν τὰ τῆς φύσεως· τὸ γὰρ εἰς οἶκον εἰσελθεῖν τῆς μητρὸς αὐτῆς, τὴν τῶν ἀνθρωπίνων παθῶν χωρὶς ἁμαρτίας ἀνάληψιν δηλοῖ· τὸ δὲ παραλήψομαι σημαίνει τὸ πρόθυμον τῆς πίστεως, καὶ τὸ διορατικὸν τῆς κατὰ τὸ μυστήριον ἀκραιφνοῦς θεωρίας· οἶον δὲ μυρεψικὸν καὶ νάμα ῥοῶν, τοὺς φυσικοὺς καὶ ἠθικοὺς τῶν ἔξω λέγει λόγους, οὐκ ἐκ φύσεως ἔχοντας τὸ εὐῶδες, ἀλλὰ τεχνικῇ σκευασίᾳ παρηρτυμένα· ἀφ᾽ οὗ ποτίσειν αὐτὸν ἐπαγγέλλεται μυρεψικῶς τὸ ἡδὺ προσλαβόντος ἐπινοίαις ἀνθρωπίναις· ὁ γὰρ τοῦ νυμφίου οἶνος, φυσικῇ χρήσει τὴν εὐφροσύνην ἔχει καὶ οὐκ ἐπείσακτον.

Εὑροῦσα ἔξω φιλήσω σε· καί γε οὐκ ἐξουδενώσουσί με· πα- 2.
ραλήψομαί σε· εἰσάξω σε εἰς οἶκον μητρός μου· καὶ εἰς ταμιεῖον
τῆς συλλαβούσης με· ποτιῶ σε ἀπὸ οἴνου τοῦ μυρεψικοῦ, ἀπὸ
νάματος ῥοῶν μου.

VIII. Ὠριγένους.

Εὑρίσκουσα γὰρ αὐτὸν τῆς ἄνω περιοπῆς ἐκβάντα περιεπτύξατο αὐτόν.

Κυρίλλου.

Ἤγουν ἔξω Ἱερουσαλὴμ ὅπου ἐσταυρώθη.

Φίλωνος.

Τὸ δὲ οὐκ ἐξουθενώσουσί με, οἱ τὸ τῆς πνευματικῆς φιλίας ἀκατάγνωστον εἰδότες· ἢ ὅτι οὐκ ἔσομαι ἔτι ὡς τὸ πρὶν εὐάλωτος τοῖς ἐχθροῖς· εἰσάξω δὲ αὐτὸν εἰς οἶκον μητρός μου, τῆς γῆς καὶ τῆς ἐκ ταύτης σαρκός· ταμεῖον δὲ αὐτῆς ὁ ᾅδης, ἔνθα ἦσαν αἱ ψυχαὶ ἀποτιθέμεναι τῶν ἁγίων· οἶνος δὲ μυρεψικὸς τὸ ποτήριον τὸ κεκραμμένον πνεύματι, ὃ πίνει διὰ τῶν πιστευόντων.

3. Εὐώνυμος αὐτοῦ ὑπὸ τὴν κεφαλήν μου, καὶ ἡ δεξιὰ αὐτοῦ περιλήψεταί με.

Κυρίλλου.

Ἢ τὸν ἐνταφιασμὸν λέγει, ὃν ἤνεγκεν Ἰωσὴφ καὶ Νικόδημος· ῥοῶν δὲ λέγει τῶν ἁγίων.

Ἢ οἶνος μυρεψικὸς, λόγος εὐφροσύνης πνευματικῆς, ἀπὸ τῶν ἐν ταῖς θείαις γραφαῖς παντοδαπῶν νοημάτων ἠρτυμένος· ἀπὸ δὲ ναμάτων ῥοῶν τῶν τεταγμένων, καὶ ἐν οἰκείῳ καιρῷ τελουμένων πράξεων.

Ὁ μὲν νόμος ὑποστηρίζει τὸ ἡγεμονικὸν, τὸ δὲ εὐαγγέλιον τοῦ παντός ἐστι περιληπτικόν· ἢ εὐώνυμος ἡ πρώτη ἐπιδημία, δεξιὰ δὲ ἡ δευτέρα· ἢ εὐώνυμος ὁ παρὼν αἰὼν, τῷ μέλλοντι παραλαβὼν, εἰσάγει εἰς τὰς ἄνω μονάς.

4. Ὥρκισα ὑμᾶς θυγατέρες Ἱερουσαλὴμ, ἐν ταῖς δυνάμεσι καὶ ἐν ταῖς ἰσχύσεσι τοῦ ἀγροῦ, τί ἐγείρητε καὶ ἐξεγείρητε τὴν ἀγάπην ἕως ἂν θελήσῃ;

Ὠριγένους.

Ἤδη δεύτερον ὥρκισεν· ἀλλ' ἀμφιβάλλουσα προστίθει τὸ ἐάν·

νῦν δὲ διδάξασα τὸ εἶδος τῆς ἐγέρσεως τῆς ἐξεγέρσεως καὶ τῆς VIII.
ἀγάπης οἱονεὶ παρίστησιν, ὅτι ὁρκοῦσα ὑμᾶς κατὰ τῶνδε ὥρκισα, τὸ ἐγείρητε καὶ ἐξεγείρητε.

Ὁρκίζει τὰς τῶν ἁγίων ψυχὰς, πρεσβεύειν ὑπὲρ τῶν ἁμαρτωλῶν, ἕως ἂν παραλάβῃ ἡμᾶς ὁ Θεός.

Τίς αὕτη ἡ ἀναβαίνουσα λελευκανθισμένη, ἐπιστηριζομένη ἐπὶ 5.
τὸν ἀδελφὸν αὐτῆς;

Οἱ ἅγιοι τοῦτό φασι θαυμάζοντες τὴν κάθαρσιν τῆς νύμφης.

Νείλου.

Οἱ τῆς συναγωγῆς ἐκπλήσσονται, ἀπὸ τοῦ γαμικοῦ λουτροῦ ἀναβαίνουσαν αὐτὴν ὁρῶντες, αὐτὴν συγκρίνοντες τὴν νῦν αὐτῆς λευκότητα τῇ προτέρᾳ μελανίᾳ· μειζόνως δὲ θαυμάζουσι τὸ ἐπιστηριζομένην αὐτὴν ἐπὶ τὸν ἀδελφιδὸν ἀναβαίνειν· ἄπταιστος γὰρ ὄντως γίνεται πορεία, καὶ προκοπὴ ψυχῆς λόγῳ χειραγωγεῖ κεχρημένης.

Προφητεύεται τῆς νύμφης ἡ ἄνοδος τὰς μακαρίας μονὰς, παντελῶς ἀποθεμένης τοῦ σκότους τῆς κακίας, καὶ τὴν τῆς ἀρετῆς ἀναλαβούσης λαμπρότητα, ἑπομένης τῷ λόγῳ· ὅθεν αἱ ἄνω δυνάμεις θαυμάζουσι τὴν ἐπὶ τοσοῦτον τῶν ἀνθρώπων μεταβολήν.

Ὑπὸ μῆλον ἐξήγειρά σε.

Τοῦτο τὸ φυτὸν, ὀσμῇ καὶ θέᾳ καὶ βρώσει καὶ ἁφῇ λεῖον ὑπάρχον ἐστὶ καλόν· ὁ διὰ οὖν τῶν αἰσθητηρίων εὖ τραφεὶς, λέγοιτο μῆλον· παρὰ ταύτῃ τῇ μηλέᾳ ὠδίνει ἡ ἄνω Ἱερουσαλὴμ, καὶ τίκτει τὰ τέκνα τῆς ἐλευθερίας· διό φησιν ὁ Ἰωήλ· ῥόα καὶ φοῖνιξ καὶ μῆλον καὶ πάντα τὰ ξύλα τοῦ δρυμοῦ, δώσει τὸν καρπὸν αὐτῶν.

Φίλωνος.

Τὸ μῆλον ὑπὸ τὴν μυστικὴν τράπεζαν ἐγείρας τέθεικά σε· τροφὴ γὰρ καὶ ποτὸν ἐργάζεται.

VIII.

Μῆλον τὴν οἰκονομίαν ἐλέγομεν, ὡς ἐνπεριεχομένης τῆς θεότητος τῇ ἀνθρωπότητι· ὑφ᾽ ὃ ἐξείγειρε τὴν νύμφην, ἢ καθεύδουσαν ἢ καθεζομένην, ἀπὸ τῶν χοϊκῶν ἐπὶ τὰ οὐράνια αὐτῆς διεγείρας τὸ φρόνημα· ἐκεῖ δὲ ὠδινεῖσθαι καὶ τετέχθαι ὑπὸ τῆς μητρὸς φησίν, ὑπὸ τὸ μῆλον, δηλονότι, τὴν διὰ τοῦ βαπτίσματος ἀναγέννησιν δηλῶν· μητέρα δὲ τὸ πνεῦμα λέγει, τὸ γεννῶν τοὺς βαπτιζομένους· τὸ δὲ δὶς αὐτὴν ὠδινεῖσθαι, οἶμαι μίαν μὲν ὠδῖνα λέγεσθαι, καθ᾽ ἣν ἐντυποῦται τῷ λόγῳ τῆς διδασκαλίας τὸ κατ᾽ εἰκόνα τῇ γεννωμένῃ τοιαύτην γέννησιν ψυχῇ· ἑτέραν δὲ καθ᾽ ἣν διὰ τῆς ἀγαθῆς πολιτείας ἐν ταύτῃ μορφοῦται τὸ καθ᾽ ὁμοίωσιν· μήτηρ γὰρ τὴν σχέσιν, τεκοῦσα δὲ δηλοῖ τὴν τῆς σχέσεως ἐνέργειαν.

Ἐκεῖ ὠδίνησέ σε ἡ μήτηρ σου· ἐκεῖ ὠδίνησέ σε ἡ τεκοῦσά σε.

Ἡ σὰρξ τοῦ Χριστοῦ ἐν ταῖς ὠδῖσι τοῦ σταυροῦ ἐγέννησε τὴν ἐκκλησίαν, τῷ ῥεύσαντι ἐξ αὐτῆς αἵματι καὶ ὕδατι.

6. Θές με ὡς σφραγῖδα ἐπὶ τὴν καρδίαν σου, ὡς σφραγῖδα ἐπὶ τὸν βραχίονά σου· ὅτι κραταιὰ ὡς θάνατος ἡ ἀγάπη, σκληρὸς ὡς ᾅδης ζῆλος.

Ὠριγένους.

Προτρέπεται αὐτὴν ὁ νυμφίος πᾶν νόημα καὶ πρᾶξιν μορφῶσαι τῷ ἑαυτοῦ χαρακτῆρι· ποιεῖν δὲ ταῦτα φησὶν τὴν ὡς θάνατον κραταιὰν ἀγάπην· πάντα γὰρ στέγει, πάντα ὑπομένει· διὸ καὶ κραταιὰ κατὰ θάνατον νεκροῦντα τὴν ἁμαρτίαν· ἤγουν ἐπειδὴ πάντων ἐκράτησεν ὁ θάνατος, διὰ τὸ ἐν τῷ Ἀδὰμ πάντας ἀποθνήσκειν· καὶ ὁ ᾅδης ὁμοίως· τοιαύτη φησὶν ἡ ἀγάπη καὶ ὁ ζῆλος· ὃν δεῖ ζηλοῦν τῷ θεῷ, σκληρὸς κατὰ τῶν ἁμαρτανόντων ὑπάρχων, ὡς ὁ τοῦ Ἠλίου καὶ τοῦ Φινεές· ἢ τοῦτο λέγει ὁ νυμφίος πρὸς αὐτὴν, θές με ὡς σφραγῖδα πρὸς τὸ σφραγίζειν τὰς ἐνθυμήσεις σου καὶ τὰς πράξεις σου, καὶ ἕως θανάτου ἀγωνι-

σαι ὑπὲρ τῆς ἀληθείας· καὶ ἐν τῷ ᾅδῃ δὲ τὸν Χριστὸν ἐζήλω- VIII.
σαν οἱ Ἰουδαῖοι, ὑποφθείραντες τοὺς στρατιώτας.

Νείλου.

Τὴν ἀπὸ τοῦ βαπτίσματος ἀγαπηθεῖσαν ψυχὴν, θέλει καὶ
ἐν τοῖς ἐνθυμίοις, καὶ ἐν ταῖς πράξεσιν ὁ Χριστὸς ἐνσφρα-
γίσαι ἑαυτοῦ, καὶ μόνην ἔχειν τὴν τούτου μνήμην, ἑτέρου δὲ
μηδενὸς, τὸ τῆς ἀγάπης αὐτοῦ διηγούμενος ἔνθερμον, καὶ τοῦ
ζήλου τὸ σκληρὸν καὶ διάπυρον· ὅτι φησὶν ἀγαπῶ σφοδρῶς ἀγα-
πώμενος; καὶ ζητῶ σφοδρότερον ζητούμενος *· ὁ γὰρ ἐμὸς ζῆλος *cod. ἀθητ.
πυρός ἐστι θερμότερος καὶ ᾅδου σκληρότερος· καὶ ἡ ἀγάπη τοῦ
θανάτου κραταιοτέρα πυρὸς, φλόγας ἔχουσα τὰς ὁρμάς.

Περίπτερα αὐτῆς, περίπτερα πυρός· ἄνθρακες πυρὸς, φλόγες
αὐτῆς· ὕδωρ πολὺ, οὐ δυνάσεται σβέσαι τὴν ἀγάπην· καὶ πο- 7.
ταμοὶ οὐ συγκλύσουσιν αὐτήν.

Τὰ οἰκοδομήματα αὐτῆς, τὸ πάντων ἐστὶ λεπτομερέστερον
στοιχεῖον καὶ καθαρώτερον· ἵν' ὡς θεὸς ποιῇ τοὺς ἀγγέλους αὐ-
τοῦ πνεύματα, καὶ τοὺς λειτουργοὺς αὐτοῦ πυρὸς φλόγα, τοιαύ-
την, ὁποῖος ἦν καὶ ὁ τῷ Μωσεῖ ἐκ τῆς βάτου ἐν πυρὸς φλογὶ
φανεὶς, οὕτως ἀγαπῶν ποιήσει φλόγα πυρὸς, παραπλησίως τοῖς
ἑαυτοῦ λειτουργοῖς· καὶ τοὺς ἁγίους αὐτοῦ μεθέξοντας τῆς ἑαυ-
τοῦ θεότητος, καθὸ πῦρ ἐστὶ καταναλίσκον, οὕτω γὰρ πᾶν ἑαυ-
τοῖς ἀναλωθήσεται.

Ἡ καὶ περίπτερα τῆς ἐκκλησίας, καινὴ καὶ παλαιά· καὶ ὧδε
μὲν πύρειναι γλῶσσαι, ἐκεῖ δὲ πυρὸς βάτος.

Κυρίλλου.

Τὰ τείχη φησὶν τῆς ἐκκλησίας πῦρ ἐστί.

Καὶ ἄλλως. Κατὰ τὸ, ἔσομαι αὐτῇ τεῖχος πυρὸς κύκλωθεν,
λέγει κύριος· τὰς οὖν φλόγας τῆς ἀγάπης πειρασμοὶ οὐ συγκλυ-
σουσι· τοιοῦτόν ἐστι καὶ τὸ, τίς ἡμῶν χωρίσει ἀπὸ τῆς ἀγά-
πης τοῦ Χριστοῦ;

VIII. Νείλου.

Ἣν ἔχει ὁ κύριος πρὸς ἡμᾶς ἀγάπην, οὐδὲν αὐτὴν σβέσαι δύναται, οὐδὲ ὕδωρ πολὺ τῆς ἀντικειμένης δυνάμεως, οὐδὲ ποταμοὶ πειρασμῶν φλεγμαίνοντι ῥείθρῳ φερόμενοι· διὸ κἂν δῷ τὶς πάντα τὸν βίον αὐτοῦ ἐν τῇ ἀγάπῃ, ἐξουδενωθήσεται, οὐδὲν τῆς τοῦ δεσπότου ἀγάπης ἄξιον ἐπιδείξασθαι δυναμένους.

Πάλιν, ἐπείπερ ὁ θεὸς ἡμῶν πῦρ καταναλίσκον, ἐστι δὲ καὶ κατὰ θεὸν ἀγάπη, πῦρ καταναλίσκου ἐστὶν ἡ ἀγάπη· ἧς καὶ τὰς ὁρμὰς ἔχει πυρὸς φλόγας· οὗ τῆς δυνάμεως αἰσθάνονται οἱ τῷ πνεύματι ζέοντες· ὕδωρ δὲ νῦν αἱ ἀντικείμεναι τοῖς αὐτὴν ἀνειληφόσιν ἐνέργειαι· πάντα γὰρ ὑπομένει, καὶ οὐδέποτε ἐκπίπτει· περὶ δὲ τῶν μὴ συγκλυζόντων αὐτὴν εἴρηται ποταμῶν, πέπεισμαι γὰρ ὅτι οὔτε θάνατος, καὶ τὰ ἑξῆς.

Ἐὰν δῷ ἀνὴρ πάντα τὸν βίον αὐτοῦ ἐν τῇ ἀγάπῃ, ἐξουδενώσει ἐξουδενώσουσιν αὐτήν.

Τίνες ἄλλοι, ἢ οἱ τῆς ἀγάπης ἀλλότριοι; ὁ γοῦν ἑαυτὸν ἐπιδοὺς τῇ ἀγάπῃ Παῦλος φησίν· λοιδορούμενοι εὐλογοῦμεν, βλασφημούμενοι παρακαλοῦμεν, καὶ τὰ ἑξῆς· πᾶς δὲ βίος, ἁπλούστερον μὲν, ὅσα τὶ καταλέλοιπεν, ἵνα Χριστὸν κερδήσῃ καὶ τελείως ἀκολουθήσειεν· ἤγουν ἅ τινα παρέχει πτωχοῖς· βαθύτερον δὲ ἡ λογικὴ πᾶσα ζωή· ἣν ὁ καταργήσας τὰ τοῦ νηπίου, πάντα πράττων ἐν ἀγάπῃ, τὸν βίον ἀνατίθησιν αὐτήν· ἢ ὡς ἐπεὶ μηδὲν ἐν ἀνθρώποις τῆς ἀγάπης ἄξιον πράττεται· κἂν πάντα τὶς ἐν ἀγάπῃ διατελέσας τὸν βίον, ὡς μηδὲν ἄξιον δράσας ἐξουδενωθήσεται.

8. Ἀδελφὴ ἡμῶν μικρὰ, καὶ μασθοὺς οὐκ ἔχει.

Τὸ μὲν πρόθυμον τὸ περὶ τὴν νύμφην καὶ τὸ ἐνδιάθετον ἐπιδεικνύμεναι αἱ νεάνιδες, αὔξουσι τῷ λόγῳ τὸ φιλότιμον· ἀγνοοῦ-

σαι δὲ τὴν κατάστασιν αὐτῆς, καὶ μηδέπω τῆς πρὸς ἄνδρα συζυγίας ὥραν ἔχειν νομίζουσαι, ἀποροῦσι πρὸς τὸ πρακτέον· καὶ τοῦ μνηστῆρος τὴν σπουδὴν ἐπὶ τὸν γάμον ἐπείγοντος, ὁρῶσι καὶ τὴν τῆς νύμφης ὡς ἐνόμιζον νηπιότητα· καὶ τοιαῦτα πρὸς ἀλλήλας λέγουσιν· οὐδὲν ὧν λείπει τῇ νύμφῃ, τῆς ἡμετέρας ἤρτηται σπουδῆς καὶ συνεργείας; προσθῆναι δὲ αὐτὴν προκοπὴν ἡλικίας, τῶν οὐκ ἐφ' ἡμῖν· εἰ μὲν γὰρ ἦν τεῖχος ἐπάλξεσι λειπόμενον, οὐδὲν ἐκώλυε τὸ χρειῶδες ὑπερβῆναι τῇ φιλοτιμίᾳ, καὶ ἀργυρᾶς ἐπάλξεις ἀντὶ λιθίνων ἐπιστῆσαι τῷ τείχει· ἡ γὰρ πολυτέλεια τῆς προθυμίας ἔλεγχος ἐγίνετο· καὶ ἡ κηδεμονία, τεκμήριον ἀναμφίλεκτον διὰ τῆς διαθέσεως· τελειότητα δὲ προσθῆναι νηπιότητι, καὶ μασθοὺς διεγεῖραι πρὸς ὄγκον, οὓς ἡ φύσις οὐδέπω πρὸς τοῦτο ἐκίνησεν, μεῖζον ἀνθρωπίνης ἐστὶ δυνάμεως· οὐ γὰρ ᾔδεισαν αὐτῆς τὴν ἐν τῷ κρυπτῷ τελειότητα, νεάνιδες οὖσαι καὶ φύσεως ἀκολουθίᾳ προσέχουσαι· λανθάνει γὰρ πάντα ἀνθρώπινον ὀφθαλμὸν κατάστασις ψυχῆς, μάλιστα τοῖς κρύπτειν ἐπισταμένοις τὰ κατορθώματα. VIII.

Φίλωνος.

Τοῦτο πρὸς τοὺς πίστιν μὲν ἔχοντας, οὔπω δὲ γνῶσιν τῶν δύο διαθηκῶν· διὰ τὸ νεοπαγεῖς εἶναι, καὶ μὴ δύνασθαι καὶ ἑτέρους τρέφειν.

Ὠριγένους.

Ὅτι μικρὰ ἡ τοῦ ἀνθρώπου ψυχὴ, καὶ ἐπὶ γῆς ἔτι ἐπισκευαζομένη τοῦ Θεοῦ ἐκκλησία, καὶ νοήματα, τοῦτο γὰρ οἱ μασθοὶ, μήπω ἔχουσα, ἐπιδίδοσιν εἰς μέγεθος βίου καὶ νοημάτων· ἐπ' ἂν τρανώσῃ τὰ νοήματα καὶ προφητικὰ θεωρήματα, ἢ τὴν σύμπνοιάν τε καὶ ἐνέργειαν χωρήσῃ δυνάμεως· αἳ καὶ ταῦτα φασὶ μετά τε προφητῶν καὶ δικαίων πνεύματων.

9. Τί ποιήσωμεν τῇ ἀδελφῇ ἡμῶν ἐν ἡμέρᾳ ᾗ ἂν λαληθῇ ἐν αὐτῇ; εἰ τεῖχός ἐστιν, οἰκοδομήσωμεν ἐπ' αὐτὴν ἐπάλξεις ἀργυρᾶς· καὶ εἰ θύρα ἐστὶ, διαγράψωμεν ἐπ' αὐτὴν σανίδα κεδρίνην.

VIII.

Ὅταν κυρωθῶσι τῆς μνηστείας οἱ λόγοι, βούλονται ποιῆσαι τῇ ἀδελφῇ τὰ λείποντα ταύτῃ πρὸς τελειότητα· εἰ γὰρ τεῖχος φασὶν ἐστὶν ἡ ἐκκλησία, ὥσπερ στύλος καὶ ἑδραίωμα τῆς ἀληθείας, ἐπαναπληρώσωμεν αὐτῇ τὰς λογικὰς τελειότητας· ἃς καὶ ἐπάλξεις εἰρήκασι· θύρα δὲ βεβαιότητος διαγραφουμένη οὐ μέλανι ἀλλὰ πνεύματι θεοῦ ζῶντος· ὡς ἐπὶ θύρας δὲ καὶ σανίδα φασὶν, ἐσχηματισμένη πρὸς θύρας τελείωσιν· ἡ δὲ κεδρίνη τὴν ἄφθαρτον δηλοῖ τοῦ πνεύματος περιβολήν· αὕτη γὰρ σφίγγει τὴν ἀνθρωπίνην ἀσθένειαν· ἐρωτῶσι τοίνυν οἱ ἅγιοι περὶ τῶν νεοφωτίστων, καὶ δέχονται ἀπόκρισιν· εἰ στερεὰ πέτρα ἐγένετο καὶ πίστει ἑδραία, προθῶμεν τὰ θεῖα λόγια· εἰ δὲ θύρα ἐστὶν εὔστροφος, καὶ ἐκ τῆς συναγωγῆς ἐπίστευσεν, ὑπογράψωμεν αὐτῇ τὴν ἄσηπτον τῶν πατριαρχῶν πολιτείαν, καὶ περισφίγξωμεν αὐτὴν ἐπάλξεις πύργων.

10. Ἐγὼ τεῖχος· καὶ μασθοί μου ὡς πύργοι· ἐγὼ ἤμην ἐν ὀφθαλμοῖς αὐτοῦ ὡς εὑρίσκουσα εἰρήνην.

Ὑμεῖς μὲν νομίζετε μασθοὺς ἔχειν καὶ τὰ ἑξῆς· ἐγὼ δὲ τῆς πολλῆς εἰς ἐμὲ χάριτος τοῦ νυμφίου, καὶ τῆς ἐμῆς μνηστείας αἰσθανομένη πρὸς μέγεθος ἐδέησα περιποιουμένη καὶ ἄλλοις εἰς ἀσφάλειαν καὶ εἰς πλῆθος θεωρημάτων, ὡς διττοῖς ἀπεικάζεσθαι πύργοις· δηλούντων τὸν περὶ τῶν αἰσθητῶν λόγον, καὶ τὴν περὶ τῶν νοητῶν ἐπιστήμην· καὶ ἐπεὶ ἐζήτησα τὴν εἰρημένην καὶ ἐδίωξα αὐτὴν, τοιαύτη τίς ἤμην ἐν ὀφθαλμοῖς τοῦ νυμφίου· μαθοῦσα καὶ τοῦτο ἀπὸ τοῦ πνεύματος, ὅτι οἱ ὀρθῶς ζητήσαντες αὐτὸν εὗρον εἰρήνην, ἥ τις ἐστὶ Χριστός.

Λύει τὴν ἀμφιβολίαν τοῦτο, οὐκ ἀνεχομένη νομισθῆναι ὡς ὑποπίπτουσαν λανθάνει, φησὶν, ὑμᾶς εἰκότως τὰ κατὰ τὴν ψυχὴν πλεονεκτήματα· ἐγὼ δὲ ἐν ὀφθαλμοῖς τοῦ νυμφίου τετελείωμαι· εἰ γάρ εἰμι ἐν ὀφθαλμοῖς αὐτοῦ εὑρίσκουσα εἰρήνην, οἱ δὲ ὀρθῶς

ζητοῦντες αὐτὸν εὑρίσκουσιν εἰρήνην, τεῖχος εἰμὶ δυσκαταμάχη- VIII.
τον, δι' ἣν εἰρήνην οὐ δέδοικα πολέμου ἔφοδον· τεῖχος δὲ καὶ
θύρα ἀκούσασα, τὸ μὲν κατεδέξατο· πρὸς δὲ τὸ κληθῆναι θύ-
ρα διὰ τῆς σιωπῆς ἀνένευσε· τὴν τοιαύτην προσηγορίαν τῷ νυμ-
φίῳ τηρήσασα· μόνος γὰρ οὗτος τῆς πατρικῆς γνώσεως εἴσοδος.

Ἀμπελὼν ἐγενήθη τῷ Σαλομὼν ἐν Βεελαμών· ἔδωκε τὸν ἀμ- 11.
πελῶνα αὐτοῦ τοῖς τηροῦσιν· ἀνὴρ οἴσει ἐν τῷ καρπῷ αὐτοῦ
χιλίους ἀργυρίους.

Νείλου.

Ὁ ἀμπελὼν, καὶ ἐν κέρατι ἐγενήθη τῷ ἠγαπημένῳ, ὅ ἐςι Χριστός· ἐν Βεελαμὼν δέ ἐστιν, ἐν πλήθεσιν, ἀμπελὼν δὲ ἐν πλήθεσιν ἡ τῆς ἐκκλησίας πάμφορος ὁμήγυρις· ἔδωκεν οὖν τὸν ἀμπελῶνα τοῦτον τοῖς τηροῦσι, τοῖς ἡγουμένοις τῆς ἐκκλησίας, οὓς καὶ γεωργοὺς καὶ πανδοχέας ἐκάλεσεν· ὃς ἂν οὖν ἀνὴρ ἐν τούτοις εὑρεθῇ, οἴσοι καρπὸν αὐτῷ χιλίυς ἀργυρίους, τὴν τελείαν τῶν ὑποτεταγμένων προκοπὴν τῆς ἐν τῇ θεοσεβείᾳ καρποφορίας.

Κυρίλλου.

Τῷ πνευματικῷ Σαλομὼν ἀμπελὼν ἐγενήθη· λέγει δὲ τὴν ἐκκλησίαν· τὸ δὲ ἐν Βεελαμὼν, ἐν τοῖς πεπιστευκόσιν ἑρμηνεύεται· τίνες δὲ πεπιςεύκασιν, ἢ οἱ τὰς ἐντολὰς αὐτοῦ δεξάμενοι;

Χριστὸς ὁ εἰρημένος Σαλομὼν ὁ τὸ μεσότειχον τοῦ φραγμοῦ λύσας, τὴν ἔχθραν ἐν τῇ σαρκὶ αὐτοῦ ποιῶν εἰρήνην· μηδεὶς οὖν ζητείτω ἔξω τοῦ Βεελαμὼν, τουτέςι τοῦ ἔχοντος πλῆθος ἀθροίσματος, ἐν ὀνόματι Ἰησοῦ Χριστοῦ συναγομένου τὸν καρποφόρον ἀμπελῶνα τοῦ λόγου καὶ Χριστοῦ· ὃς καὶ παρέδωκε φυλάξιν, ἵνα μὴ λυμήνηται αὐτὸν ὗς ἐκ δρυμοῦ, καὶ μονιὸς ἄγριος κατανεμήσεται αὐτὸν, μὴ δὲ τρυγήσωσιν αὐτὸν οἱ παραπορευόμενοι τὴν ὁδόν· καὶ τοιοῦτος ὁ ἀμπελὼν, ὡς τὸν καρπὸν αὐτοῦ φέρεσθαι, ὑπὸ κατηργηκότος ἀνδρὸς τὰ τοῦ νηπίου· καὶ εἶναι ἄξιον ἀργυρίου χιλίων· λόγου γὰρ τιμίου καὶ πολλοῦ ἀξίου καὶ

VIII. θαυμασίου, ὃς ἀργύριον εἴρηται, τοῦ ἀμπελῶνος ἄξιος καρπός· ὁ δὲ τῶν χιλίων ἀριθμὸς, ἔχει πρὸς τὴν μονάδα συγγένειαν, διὸ καὶ παρείληπται· φύλακες δὲ τοῦ ἀμπελῶνος οἱ ἄγγελοι.

12. Ὁ ἀμπελὼν μου ἐμὸς ἐνώπιόν μου· οἱ χίλιοι Σαλομὼν καὶ οἱ διακόσιοι τοῖς τηροῦσι τὸν καρπὸν αὐτοῦ.

Ταῦτα, εἴτε τῆς ἐκκλησίας, εἴτε τῆς νύμφης τοῦ λόγου ψυχῆς, ἐφ' ἑκατέρας ἀμπελὼν καρποφόρος νοεῖται· καὶ οἶνος εὐφραίνων καρδίαν ἀνθρώπου· ἤδη δὲ καὶ σωτῆρος τοῦ ἀληθῶς εἰρηνικοῦ· λέγει οὖν ἐν τοῖς κριταῖς πρὸς τὰ ξύλα ἡ ἄμπελος, ἀφεῖσα τὸν οἶνον μου τὴν εὐφροσύνην θεοῦ καὶ ἀνθρώπων, πορευθήσομαι ἄρχειν τῶν ξύλων; οὐκοῦν ἀκόλουθον καὶ τὸν Χριστὸν ἀπὸ καρποῦ τῆς τοιαύτης ἀμπέλου λαμβάνειν δηλοῖ, τὸ οἱ χίλιοι τοῦ Σαλομών· εἰκὸς δὲ καὶ τοὺς φύλακας ἀγγέλους μεταλαμβάνειν τοῦ τῆς νύμφης ἀμπελῶνος ὅταν παρίσταται, διὰ τοῦ καὶ οἱ διακόσιοι τοῖς τηροῦσι τὸν καρπόν αὐτοῦ· οὐ γὰρ μόνον τίς φυτεύοι, ἀλλὰ τίς καὶ τηρεῖ ἀμπελῶνα, καὶ οὐ φάγεται τὸν καρπὸν αὐτοῦ· τὰ περὶ θεοῦ δόγματα τοίνυν, οἱ χίλιοι εἰσὶ συγγενῶς ἔχοντες τῇ μονάδι, τῷ Σαλομὼν ἀνακείμενοι· τὰ δὲ περὶ κατὰ τὴν ὕλην καὶ τὰ αἰσθητὰ, τοῖς διακονουμένοις ἐν τῇ ὕλῃ διακοσίοις, πρὸς τὴν δυάδα συγγένειαν ἔχουσι· περὶ ὧν τὸ, τῇ γὰρ ματαιότητι ἡ κτίσις ὑπετάγη οὐχ' ἑκοῦσα, ἀλλὰ διὰ τὸν ὑποτάξαντα· ματαιότης γὰρ ἡ ὕλη καὶ τὰ σωματικά· οἱ δὲ καρποὶ τοῦ ἀμπελῶνος, ἀφ' ὧν οἱ χίλιοι καὶ οἱ διακόσιοι δίδονται, οἱ ὑπὲρ τῶν ληνῶν εἰσὶ ψαλμοὶ, ἡνίκα οἱ καρποὶ τοῦ ἀμπελῶνος ἐκπιεζόμενοι, τὸν εὐφραίνοντα θεὸν καὶ ἀνθρώπους, καὶ τοὺς τηροῦντας οἶνον ποιήσουσιν.

Ἀπολιναρίου.

Ἐν ἀρχῇ μὲν οὖν ἔλεγον· αἱ ἄμπελοι ἡμῶν κυπρίζουσιν· ἐν δὲ τῷ τέλει τοῦ βιβλίου τέλειον εἰσήγαγε τὸν καρπόν· καὶ τῷ γῇ βασιλεῖ πολλὴν τὴν ἐκ τοῦ οἴνου τιμὴν καὶ τοῖς φύλαξιν· ὅτε δοξάζεται μὲν ἐπιδημῶν ὁ δεσπότης, Παύλυ λέγοντος· ὅταν ἔλ-

θῃ ἐνδοξασθῆναι ἐν τοῖς ἁγίοις αὐτοῦ· καὶ φύλαξ τοῦ ἀμπελῶ- VIII.
νος αὖθις φησί· καύχημα ἐσμὲν εἰς ἡμέραν Χριστοῦ· ἀλλ' ἐπεὶ
Χριστοῦ χάριτι κατορθοῦται τὸ πᾶν, αὐτῷ πλέον ἀνήκει τέλειον·
πολὺ δὲ καὶ τὸ τῶν ὑπηρετῶν, καθὸ διὰ παραβολῶν ἔφη· περί
τε τοῦ διπλασιάσαντος τὴν μνᾶν, καὶ τοῦ πενταπλασιάσαντος·
πόλεσιν ἐπιστησαμένων εἰσαριθμῶν τῷ πολυπλασιασμῷ· καθόλου
δέ φησι Ματθαῖος ἐπὶ πᾶσι τοῖς ὑπάρχουσιν αὐτῷ, καταστήσει
τὸν ἀγαθὸν οἰκέτην καὶ πιστὸν οἰκονόμον· εἰ δὲ μή ἐστιν
ἀμφοτέρων διαφορὰ τῶν χιλίων εἰς τοὺς ὑπηρέτας διανέμησις γίνεται·
ὅτι τὰ τοῦ κυρίου λαμβάνουσιν ἀνὰ διακοσίους πενταχῆ
διαιρούμενα· ὅτι καὶ πέντε παρθένους ὁ κύριος ἀπεικάζει τοῖς
ἀπαντησομένοις τῶν ἁγίων· ἐμὸς οὖν ὁ ἀφιερωμένος ἀμπελὼν, καὶ
ἡ τούτου καρποφορία μεριζομένη τοῖς τελείοις ἐξ ἴσου, κατὰ τὴν
ἐμὴν μετουσίαν, εἰς τάγματα πέντε, ἀποστόλους, προφήτας,
διδασκάλους, διδασκομένους, μάρτυρας, εἰ καὶ κλήματα οἱ αὐτοὶ
καὶ γεωργοὶ καὶ ἐπιστάται· πολυτρόπως γὰρ οἱ αὐτοὶ δηλοῦνται.

Νείλου.

Τοῦ ἀληθινοῦ Σολομῶντος ἐστὶν ἡ φωνὴ τὸ ὅλον τῆς φυλακῆς τοῦ ἀμπελῶνος ἑαυτῷ μαρτυροῦντος· εἰδὼς γὰρ τὸ τῶν ἀνθρώπων περὶ αὐτὸν ἀσφαλίζεται τὸ πρὸς τὴν οἴησιν ὀλισθηρὸν· μάλιστα ἡγουμένων εὐχερῶς, ἐπὶ τῷ ἀξιώματι τῆς ἀρχῆς φυσωμένων· ὥστε μὴ σφετερίζεσθαι τύφῳ καὶ ἀπονοίᾳ τὰ τοῦ θεοῦ πλεονεκτήματα, τὴν φυλακὴν τοῦ ἀμπελῶνος τῇ ἑαυτῶν σπουδῇ ἐπιγράφοντας· ἐπειδὴ γάρ φησιν ἐνώπιόν μου ἐστὶν ὁ ἀμπελὼν, καὶ οἱ ὀφθαλμοί μου διὰ παντὸς ἐπιβλέπουσιν ἐπ' αὐτὸν, διὰ τοῦτο καὶ ἡ σπουδὴ τῶν τηρούντων ἰσχύει· καὶ οἱ ἐπίβουλοι φεύγουσι τὸ ἐμὸν ὄνομα ἀτενῶς τῇ ἀμπέλῳ προσέχον φρίττοντες· διὰ δὲ τοῦ διακόσιοι τοῖς τηροῦσι τὸν ἀμπελῶνα οὐ συμμερίζεσθαι φησὶν, ἀλλὰ μείζονας ὧν προσήνεγκαν τὰς ἀμοιβὰς δεχόμενοι.

Ὁ καθήμενος ἐν κήποις, ἑταῖροι προσέχοντες τῆς φωνῆς σου· 13.
ἀκούτισόν με· φύγε ἀδελφιδέ μου, καὶ ὁμοιώθητι τῇ δορκάδι, 14.
ἢ τῷ νεβρῷ τῶν ἐλάφων ἐπὶ ὄρη ἀρωμάτων.

VIII.

Καλοῦντος ἐστὶ φωνὴ, τὸ, ὁ καθήμενος ἐν κήποις· καὶ σημαίνοντος τὴν ἀργίαν τῷ καθημένῳ· τὸ γὰρ λεγόμενον τοιοῦτόν ἐστιν· οὐχ' ὁ καθήμενος ἐν κήποις φησὶν καὶ ἀσθενῶν, τροφῇ, λαχάνοις παραμένων, φυλάσσειν τὸν ἀμπελῶνα· ἑταῖροι γὰρ εἰσιν οἱ προσέχοντες τούτῳ· οἱ καὶ αὐτοὶ διὰ παντὸς ἐςῶτες συντόνῳ σπυδῇ· καὶ οὐ κήπους ἢ λάχανα, ἀλλὰ καρπὸν τέλειον ἀμπέλου φυλάττοντες· τὸ μὲν γὰρ καθῆσθαι, τὴν τοῦ φυλάσσοντος ἀμέλειαν δηλοῖ· ὁ δὲ κῆπος σημαίνει τὴν τῶν φυλασσομένων ἀσθένειαν· τάχα καὶ διὰ τὸ καθῆσθαι τὸν φύλακα, κῆποι οἱ φυλασσομένοι γεγόνασι· τὸ δὲ τὴν φωνήν σου ἀκούτισόν με, παρὰ τοῦ νυμφίυ πρὸς τὴν νύμφην λέγεται, βουλομένου ἐκ τῆς φωνῆς γνῶναι τὸ φρόνημα τῆς ψυχῆς, εἰ δύναται καὶ τὰ τῆς ἀναλήψεως εἰδέναι μυςηρία, προμαθοῦσα γραφικαῖς προφητείαις αὐτά· διόπερ ἑτοίμως ἀποκρίνεται λέγουσα· φύγε, καὶ τὰ ἑξῆς· ὡμοιώθης μὲν γὰρ πρῶτον τοῖς ζώοις τούτοις ἐπὶ ὄρη Βαιθὴλ, ἐνανθρωπήσας· πηδῶν ἐπὶ τὰ ὄρη τοῦ οἴκου τοῦ θεοῦ· δεύτερον ὁμοιώθης αὐταῖς ταῖς ἐν ᾅδου ψυχαῖς, κατιὼν κηρύξαι τὴν ἐκεῖθεν ἐλευθερίαν· ἐπὶ ὄρη κοιλωμάτων νῦν ἐπειδὴ καιρὸς ἐπαρθῆναι τὴν μεγαλοπρέπειάν σου ὑπεράνω τῶν οὐρανῶν, καὶ καθίσαι ἐν δεξιᾷ τῆς μεγαλωσύνης ἐν ὑψηλοῖς· φύγε καὶ ὁμοιώθητι αὐτοῖς πάλιν ἐπὶ τὰ ὄρη τῶν ἀρωμάτων· ὄρη τῶν ἀρωμάτων, τοὺς ἐν τῇ ἄνω Ἱερουσαλὴμ ὄντας ἁγίους λέγει· τοὺς βεβαίαν διὰ τὸ ἐν ἀσφαλείᾳ εἶναι ἔχοντας τὴν τῶν κατορθωμάτων εὐωδίαν, ἣν ἐκτήσαντο ἐν τῇ ζωῇ ταύτῃ τοῖς πάθεσι μαχόμενοι, καὶ ὑπὲρ τῆς ἄνω κλήσεως ἀγωνιζόμενοι· ἐν τρισὶ δὲ χωρίοις γενόμενος, τῷ περιγείῳ τῷ καταχθονίῳ τῷ ἐπουρανίῳ, δορκάδι δὲ καὶ νεβρῷ ὁμοιοῦται, ὄρεσιν ἐπιδιατρίβων τοῖς καθ' ἕκαςον χωρίον ἁγίοις, ἵνα πᾶν γόνυ κάμψει αὐτῷ ἐπουρανίων καὶ ἐπιγείων καὶ καταχθονίων.

Φίλωνος.

Ἐπικάθηται γὰρ ταῖς ἐκκλησίαις ἐφορῶν ταῦτα ὁ κύριος·

οἱ δὲ ὑποτεταγμένοι τῷ ἀρχιερεῖ λειτουργοὶ, προσέχουσι τὴν VIII. ἐκκλησίαν παιδεύοντες· εἶτα φησὶν ὁ κύριος καὶ ἡ ἐκκλησία πρὸς πάντα πιστόν· φύγε ἀδελφιδέ μου· ὁ γὰρ κατὰ Θεὸν ἄνθρωπος, ὀξέως τε ὁρᾷ καὶ φεύγει τὴν ἁμαρτίαν· ὄρη δὲ ἀρωμάτων, ὁ ὑψωθεὶς τυχὸν Ἰωσὴφ ἐν σωφροσύνῃ, καὶ Δαβὶδ, πρὸς οὓς ἐστι φευκτέον· φύγε οὖν ἀπὸ τῶν γηΐνων καὶ κοσμικῶν πρὸς τοὺς ἐναρέτους ἄνδρας· ὑπὸ τούτων γὰρ ὁδηγούμενος, μέτοχος γενήσῃ τῆς βασιλείας τῶν οὐρανῶν.

Κυρίλλου.

Ὁ μὲν καθήμενος ἐν κήποις, τὰς ἐκκλησίας ἐπισκοπεῖ, οἱ ἑταῖροι δὲ προσέχουσιν οὐδὲ κρίνουσιν, ἀλλὰ τὴν κρίσιν πᾶσαν ὁ υἱὸς ποιεῖ· ἐπιθυμεῖ δὲ ἡ νύμφη ἀκοῦσαι εἴσελθε εἰς τὴν χαρὰν τοῦ κυρίου σου· ἀξιοῖ δὲ αὐτὸν καὶ τοὺς πονηροὺς ἐκβαλεῖν, φύγε λέγουσα ἐπὶ τοὺς ἁγίους ἐλθεῖν.

Ὠριγένους.

Εἶδεν ἡ νύμφη τὸν νυμφίον ἀναπαυόμενον ἐν τοῖς κήποις, καὶ τοὺς ἑταίρους αὐτοὺς προσέχοντας αὐτοῦ τῇ φωνῇ ἧς ἤκουσεν αὕτη· καὶ βούλεται αὐτὸν ὀξέως καὶ διορατικῶς ὁρῶντα ἀπὸ τῶν τῇδε πραγμάτων ἐκκλῖναι, τάχει μὲν καὶ ὀξυδερκίᾳ, ὁμοιωμένον δορκάδι, νεβρῷ δὲ τοῖς τῶν πολεμίων ὡς ὄφεων καὶ σκορπίων καταφρονητικῶς ἔχειν, καὶ ἀνελθεῖν πρὸς τοὺς ἀνεστηκότας ὡς ὄρη, καὶ πάσης πνέοντας εὐωδίας· περὶ ὧν τὸ, οἱ θεμέλιοι αὐτοῦ ἐν τοῖς ὄρεσι τοῖς ἁγίοις· καὶ ταῦτα κατὰ τοὺς ἑβδομήκοντα καὶ Θεοδοτίωνα, καὶ τὴν πέμπτην ἔκδοσιν· ὁ μέντοι Ἀκύλας, ὁ καθήμενος ἐν κήποις, ἐξέδωκεν· ὁ δὲ Σύμμαχος, ἡ κατοικοῦσα· ὡς λέγεσθαι τὰ πρῶτα πρὸς τὴν νύμφην καθημένην παρὰ τοῖς ἰδίοις καρποῖς, καὶ τοὺς ἑταίρους αὐτοῦ προσεκτικῶς αὐτῆς ἀκροᾶσθαι χαίροντας.

Τῇ φωνῇ καὶ αὐτὸν αὐτὴ παρορμῶντα παρασκευάσαι τὰ τῆς ἀκοῆς ἄξια τῆς αὐτοῦ, τὰ δὲ τελευταῖα παρὰ τῆς νύμφης· τὸ φύγε ὡς ἂν ἕπεσθαι, καὶ τῇ αὐτῇ διὰ τὸ τέλειον δυναμένη.

VIII. Ἀπολιναρίου.

Τὸ δὲ φύγε, τὴν αἰφνίδιον ἔδειξεν ἄνοδον, καὶ τὴν εἰς ἀπέραντον ἀναχώρησιν ὄρη λέγουσα· εἰς ἅπερ ἂν φεύγουσιν ἔλαφοι καὶ δορκάδες, ταῖς τῶν διωκόντων ὄψεσιν ἄληπτοι γίνονται, τῶν ἀρωμάτων δηλούντων τὸ εὐῶδες τῶν οὐρανίων καὶ καθαρόν.

τ ε λ ο ς.

ΚΑΡΠΟΥ

ἀποσπάσματιον περὶ αἱμοῤῥοούσης.

Ὅς οὐ μόνον γλώσσῃ λῃστεύεται πρὸς τὸ σῶσαι, καθάπερ δὲον τοῦ λῃστοῦ, ἀλλὰ καὶ λογισμῷ ἐν ἑαυτῇ ἡ αἱμόῤῥους, ὡς ἐὰν μόνον ἅψωμαι τοῦ κρασπέδου τοῦ ἱματίου αὐτοῦ, σωθήσομαι.

ΣΧΟΛΙΑ ΠΑΛΑΙΑ

ΕΙΣ ΕΥΑΓΓΕΛΙΟΝ

ΚΑΤΑ ΛΟΥΚΑΝ

EX ANTIQUIS MEMBRANIS
BIBLIOTHECAE VATICANAE.

CAP. I.

Ἐπειδὴ πολλοὶ ἐπεχείρησαν ἀνατάξασθαι διήγησιν ἀντὶ τοῦ v. 1.
ὅτι χωρὶς χαρίσματος ἦλθον εἰς τὴν ἀναγραφὴν τοῦ εὐαγγελίου·
τί οὖν ἐςὶν ὃ λέγει; τὸ ἐπιγεγραμμένον κατὰ Αἰγυπτίους εὐαγ-
γέλιον, καὶ τὸ ἐπιγεγραμμένον τῶν δώδεκα εὐαγγέλιον ἀναγρά-
ψαντες ἐπεχείρησαν, ἀλλὰ ψευδῶς εἰς ἄλλων ὄνομα· οἱ δὲ εὐαγ-
γελιςαὶ οὐκ ἐπεχείρησαν καὶ ἀτέλεςα κατέλιπον, διὰ τὸ μὴ κα-
λῶς γράψαι· ἔγραψαν γὰρ ἀληθῶς· ὅτι ὃ λέγει ὁ Παῦλος οὗ ὁ
ἔπαινος ἐκ τῷ εὐαγγελίω, τὸν Λουκᾶν λέγει τὸν ἀπόστολον.

Τί λέγει ἐξ ἐφημερίας Ἀβία; ὅτι δύο ἦσαν κατὰ διαδοχὴν 5.
ἱερεῖς τὴν λειτυργίαν ποιοῦντες ὁ Ἀβιὰ, καὶ ὁ Ζαχαρίας, ἐπεὶ
οὖν ἐκεῖνος ἐλειτούργησε μετ' ἐκεῖνον λειτυργεῖ, φησὶ, Ζαχαρίας.

Πρῶτον μὲν τῷ σχήματι τὸν ἱερέα φοβεῖ, ἵν' εὐλαβέστερος ἐκεῖνος τῷ φόβῳ γενόμενος, δέξηται περιχαρῶς τὸ μυςήριον· τί τοῦτο γὰρ φησὶ πολλάκις θυσίας προσαγαγὼν ἄγγελον οὐκ ἐθεασάμην; οὐκ Ἀαρὼν ὁ πρῶτος ἀρχιερεὺς ἄγγελον εἶδεν εἰς τὸν ναὸν εἰσελθὼν, οὐκ Ἰωσεδὲκ ὁ ἱερεὺς ὁ μέγας· ἐν ἀπόροις τοίνυν ὑπάρχοντι τῷ Ζαχαρίᾳ, καὶ φόβῳ πολλῷ κατεχομένῳ, ἄδηλος γὰρ τέως ὁ σκοπὸς τῆς ὄψεως ἦν, ῥήσσει φωνὴν πρὸς αὐτὸν ὁ Γαβριὴλ χειραγωγῶν ἀφοβίᾳ· εἶπεν δὲ πρὸς αὐτὸν ἄγγελος·

I. μὴ φοβοῦ Ζαχαρία· πρῶτον μὲν αὐτοῦ διαλύει τὸν φόβον, ἵν' ἀταράχῳ τῇ ψυχῇ τὴν ἀγγελίαν εἰσδέξηται· ὥσπερ γὰρ ἐπὶ σαλευομένῳ ὕδατι οὐκ ἔνεςιν ἀκριβῶς τὴν ὄψιν ἐνοπτρίζεσθαι, οὕτως φόβῳ σαλευομένη ψυχὴ, οὐχ οἵα τε δέξασθαι διδασκαλίαν τινὰ μὴ καθαρθεῖσα τῷ φόβῳ· διὰ τοῦτο εἶπε πρὸς αὐτὸν μὴ φοβοῦ· οὐχ ἥκω σοι φέρων λυπηρὰν ἀναγγελίαν, οὐκ ἀπειλὴν κατὰ τοῦ ἔθνους κομίζων, οὐχ ὥσπερ ὁ Σαμουὴλ τῷ Ἠλία ἀνατροπὴν ἱερωσύνης μηνύων.

11. Διὰ τί ἐκ δεξιῶν τοῦ θυσιαστηρίου εἱστήκει ὁ ἄγγελος; ὅτι δεξιὸν μήνυμα κομίζων παρῆν.

Διὰ τί εἶπεν τοῦ θυσιαστηρίου τοῦ θυμιάματος; ἐπειδὴ ἦν καὶ ἕτερον χαλκοῦν θυσιαστήριον τῶν καρπωμάτων.

13. Ποία ἐςὶν ἀκολουθία; ὅτι ὑπὲρ τοῦ λαοῦ παρακαλοῦντος Ζαχαρίου, εἰσακουσθῆναι φησὶ τὴν δέησίν σου ὁ ἄγγελος, καὶ περὶ τίνος εἶπεν, καὶ λήψῃ υἱόν; ἐπειδὴ ὁ Ἰωάννης ἔμελλε δεικνύειν τῷ λαῷ τὸν Χριςὸν λέγων, ἴδε ὁ ἀμνὸς τοῦ θεοῦ ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου, ὑπὲρ τοῦ λαοῦ ἄρα τοῦτο ἐστίν.

17. Τί ἐςι τὸ ἐν πνεύματι καὶ δυνάμει Ἠλιοῦ; τὸ μὲν ἐν πνεύματι, ὅτι τὸ αὐτὸ ἅγιον πνεῦμα ἔξει καὶ ὁ Ἠλίας· τὸ δὲ ἐν δυνάμει, διὰ τὸ μέγεθος τῆς διακονίας· ὁ μὲν γὰρ τῆς δευτέρας ὁ Ἠλίας παρουσίας ἔσται κῆρυξ, ὁ Ἰωάννης δὲ τῆς πρώτης· ἢ τὸ ἐν προαιρέσει Ἠλιοῦ καὶ θαύμασι νοήσομεν, ὡς ἡγοῦμαι.

Πῶς νοητέον τὸ ἐπιςρέψαι καρδίας πατέρων ἐπὶ τέκνα; τέκνα τοὺς ἀποςόλους λέγει, πατέρας δὲ τοὺς Ἰουδαίους· ἐπιστρέψει οὖν τοὺς Ἰουδαίους εἰς τὴν τῶν ἀποστόλων διδασκαλίαν· ὁ γὰρ περὶ Χριστοῦ τοιαῦτα μαρτυρήσας, συνεισήγαγε τῇ αὐτῇ μαρτυρίᾳ καὶ τοὺς Χριστοῦ μαθητάς· καὶ τὸ ἀξιόπιστον αὐτοῖς ἐκ τούτου κατεσκεύασεν· οὕτως δὲ καὶ τὸ ἀπειθεῖς ἐν φρονήσει δικαίων νοηθήσεται.

20. Τίνος ἕνεκεν Ζαχαρίας μὲν ἀμφιβάλλων κατεκρίθη, παρθένος δὲ ἀμφιβάλλυσα πρὸς τὸν ἄγγελον οὐδαμῶς κατεκρίθη; πῶς γὰρ ἔσται μοι, φησὶ, τοῦτο, ἐπεὶ ἄνδρα οὐ γινώσκω; Τί ποτ' οὖν

τὸ παράδοξον τοῦτο; μὴ ἀδικία παρὰ τῷ Θεῷ; μὴ γένοιτο· Ζα- I.
χαρίας μὲν οὖν εἰκότως ἔδωκε δίκην; ἔχων μὲν παραδείγματα
πλεῖστα τοῦ στείρας καὶ γεγηρακυίας τεκεῖν, ὅμως εἰς οὐδὲν ἀπο-
βλέψας τῷ προτέρῳ, καί τοι νομομαθής τις ὢν καὶ τὸν νόμον
ἐξηγούμενος πᾶσιν· ἐχρῆν γὰρ αὐτὸν εἰς Ἀβραὰμ ἀπιδεῖν καὶ τὴν
Σάῤῥαν· ἐχρῆν αὐτὸν ἐνθυμηθῆναι Ῥεβέκκαν· ἐχρῆν ἐνθυμηθῆναι
τοῦ Σαμψὼν τὴν μητέρα· ἐχρῆν τὸν Ἐλκάνα καὶ τὴν Ἄνναν καὶ
τὸν Δαβὶδ ψάλλοντα, ὁ κατοικίζων στεῖραν ἐν οἴκῳ, μητέρα ἐπὶ
τέκνοις εὐφραινομένην· διὰ τοῦτο γοῦν ἐπὶ τῆς γλώττης δέχεται
δίκην τῆς μηδὲν ἐκ τῆς ἀναγνώσεως ὠφεληθείσης τοῦ νόμου· ἡ
δὲ παθρένος ἀμφιβάλλουσα, δίκην οὐκ ἔδωκε, πρῶτον μὲν ὅτι
μήτηρ ἤμελλε εἶναι τοῦ μέλλοντος κρίνειν τὸν κόσμον· οὐκ ἐτόλ-
μα δὲ Γαβριὴλ δίκην ἐπιθεῖναι τῇ μητρὶ τοῦ κριτοῦ, προσκύ-
νει δὲ φρίττων, ὁρῶν ἐν αὐτῇ τὸν πλαστουργοῦντα Θεόν· ἐχρῆν
γὰρ ἐκείνην ἀθάνατον τὴν γαστέρα φυλάξαι, ἐν ᾗ τὸν δεύτερον
Ἀδὰμ ἐζωγράφει· χωρὶς δὲ τούτων οὐδὲ δίκαιον ἦν τὴν παρθέ-
νον ὑποσχεῖν δίκην τῆς λέξεως τῆς ἀμφιβολίας· οὐ γὰρ εἶχε ἡ
παρθένος εἰκόνα τῶν ἐν αὐτῇ τελουμένων, οὐκ εἶχεν ἐνοπτρί-
σασθαι τὸ τηλικοῦτον μυστήριον· διὰ τοῦτο φησὶ πῶς ἔσται μοι
τοῦτο; οὐ γὰρ ἤκουσα παρθένον δίχα μίξεως γεγεννηκυῖαν ποτέ·
οἶδα τεκούσας πολλὰς, ἀλλὰ μεινάσας παρθένους μετὰ τὸν τό-
κον οὐκ οἶδα.

Διὰ τί ἐκ τῆς στείρας ἡ Θεοτόκος γεννᾶται;

Ἐπεὶ οὖν ἔμελλεν ἡ Θεοτόκος παρθένος ἐκ τῆς Ἄννης τίκτε-
σθαι, οὐκ ἐτόλμα ἡ φύσις προλαβεῖν τὸ τῆς χάριτος βλάστημα,
ἀλλ' ἔμενεν ἄκαρπος ἕως ἡ χάρις τὸν καρπὸν ἐβλάστησεν· ἔδει
γὰρ πρωτότοκον τεχθῆναι τὴν τεξομένην πρωτότοκον πάσης κτί-
σεως, ἐν ᾧ τὰ πάντα συνέστηκε.

Τὸ διελογίζετο ἡ παρθένος ποταπὸς εἴη ὁ ἀσπασμὸς οὗτος, 29.
ἀντὶ τοῦ, μὴ ἄρα τίς ἄτοπος ὡς ἐξ ἀνδρὸς πρὸς κόρην ἢ θεῖος·
ἐπειδὴ καὶ Θεοῦ μνήμη ἐστὶν ἐν αὐτῷ, διὰ τὸ λέγειν αὐτὸν ὁ
κύριος μετὰ σοῦ.

I. 32 Ὅτι τὸ κληθήσεται τὸ ὄνομα αὐτοῦ Ἰησοῦς, σωτὴρ σημαίνει ἡ σωτηρία θεοῦ καὶ ἴασις.

Διὰ τί οὐκ εἶπεν υἱὸς ὑψίστου ὑπάρχει, ἀλλὰ κληθήσεται; διὰ τὸ ἀνθρώπινον τοῦτο λέγεται, ἐκλήθη γὰρ καὶ ὁ κυριακὸς ἄνθρωπος τῇ μετοχῇ τῆς θείας φύσεως υἱὸς θεοῦ.

Τὸ δώσει αὐτῷ κύριος ὁ θεὸς τὸν θρόνον Δαβὶδ τοῦ πατρὸς αὐτοῦ, τῇ οἰκονομίᾳ ἁρμόττει· θρόνον δὲ οὐκ αἰσθητὸν, ἀλλὰ τὸν μηδὲν θνητὸν ὡς ἐπίκηρον ἔχοντα, τὸν καθ' ὅλης τῆς οἰκουμένης.

33. Ἐπὶ τὸν οἶκον Ἰακὼβ νοήσομεν, τοὺς ἐγκεντρισθέντας ἐπὶ τὸν τοῦ Ἰακὼβ οἶκον ἐθνικοὺς λέγει· τὸ δὲ καὶ τῆς βασιλείας αὐτοῦ οὐκ ἔσται τέλος, τὴν ὡς θεοῦ αἰωνίαν βασιλείαν λέγει.

34. Οὐκ ἀπιστεῖ πρὸς τὸν λόγον, ἀλλ' ἀπαιτεῖ τὸν τρόπον· ὁ οὖν Ζαχαρίας ἠπίστηκεν, ἡ δὲ παρθένος οὐκ ἀπιστεῖ· ἐκεῖνος ἔλεγε κατὰ τί γνώσομαι, ἐζήτει σημεῖον λαβεῖν ἵνα πιστεύσῃ, ἡ δὲ παρθένος λέγει πῶς ἔσται μοι τοῦτο· ὁ μὲν λόγος ἀξιόπιστος, ὁ δὲ τρόπος ἄπορος· οὐκ οἶδεν ἡ φύσις ἃ λέγεις· ἐπεὶ οὖν καλῶς ἠρώτα ὁ ἄγγελος πρὸς αὐτὴν συγγώμη σοι ἀπορούσῃ· τῷ μὲν γὰρ Ζαχαρίᾳ οὐ συγγινώσκει, ἀλλ' ἐπεστόμισεν αὐτὸν κακῶς ἀπιστήσαντα, τῇ δὲ παρθένῳ συγγινώσκει· οὐ γὰρ ἦν ὑπόδειγμα παρθένῳ· στείρας δὲ πολλὰ ἦν τὰ ὑποδείγματα· διὰ τοῦτο τῷ Ζαχαρίᾳ σιωπὴν ἀντὶ τιμωρίας ἐπιτίθησιν.

35. Ἵνα τί ἐπέρχεται ἅγιον; ἐπειδὴ ἁγία μὲν ὑπάρχεις· δεῖ δέ σε γενέσθαι ἁγιωτέραν· ὅτ' ἂν γὰρ λαβῃ ὁ τέκτων ξύλον, ἢ ὁ χαλκεὺς σίδηρον, ἔτι αὐτὸ καθαίρει καὶ ἐπιτηδειότερον πρὸς τὴν τέχνην ἐργάζεται· καὶ σὺ τοίνυν παρθένος μὲν εἶ, δεῖ δέ σε ἁγιωτέραν γενέσθαι, ἵνα τὸν ἅγιον συλλάβῃς.

Ὁ Γαβριὴλ ἐμφαίνων τὴν ἑρμηνείαν τῶν τριῶν ὑποστάσεων οὑτωσὶ ἔλεγεν, ὕψιστος γὰρ ὁ πατὴρ· δύναμις ὑψίστου ὁ υἱός· διὸ περὶ τοῦ πατρὸς ὅτι ὕψιστος, σὺ μόνος ὕψιστος ἐπὶ πᾶσαν τὴν γῆν.

Ὅλη φησὶ ἡ τριὰς σοι πάρεστιν ὦ παρθένε τὴν ἀνάκτησιν

ποιουμένη τῆς κτίσεως· ἡ εἰποῦσα πάλαι ποιήσωμεν ἄνθρωπον I.
κατ' εἰκόνα ἡμετέραν καὶ καθ' ὁμοίωσιν· οὐ γὰρ ἔμελλεν ἐπὶ μὲν τοῦ ἀγνώμονος Ἀδὰμ τοῦ πρώτου παρεῖναι, τῷ δὲ δευτέρῳ μὴ συνῆφθαι λαμπρῶς, πνεῦμα ἅγιον· ἰδοὺ τὸ πνεῦμα τὸ ἅγιον, καὶ δύναμις, ἰδοὺ πάλιν ὁ υἱός· Χριστὸς γὰρ θεοῦ δύναμις καὶ θεοῦ σοφία, ὕψιστος· ἰδοὺ πάλιν ὁ πατὴρ τῇ φωνῇ ταύτῃ κηρύττεται.

Καὶ δύναμις ὑψίστου ἐπισκιάσει σοι· τὸν υἱὸν λέγει· Χριστὸς γὰρ θεοῦ δύναμις καὶ θεοῦ σοφία.

Τὸ ἐπισκιάσει σοι, ἀντὶ τοῦ περιβαλεῖ σε καὶ χαρακώσει σε καὶ κύκλῳ σου ἔσται.

Οὕτως ἀναγνωστέον, διὸ καὶ τὸ γεννώμενον ἐκ σοῦ ἅγιον κληθήσεται υἱὸς θεοῦ· οὐχ ἁπλῶς ὁ ἄγγελος τὸ γεννώμενον τὸ ἅγιον εὐθὺς ἐπιθεὶς, ἀλλ' εἰπὼν τὸ γεννώμενον, ἐπειδὴ κοινή τις ὑπῆρχε ἡ φωνὴ πρὸς τοὺς ἐκ γυναικὸς τικτομένους, ἵνα μὴ τὸ θαῦμα τῇ κοινωνίᾳ τῆς λέξεως σμικρυνθῇ, εἰπὼν διὸ καὶ τὸ γεννώμενον ἐκ σοῦ, εὐθὺς ὥσπερ τινὶ φόβῳ κρατηθεὶς πρὸς ἔκπληξιν καταστάσεως, καὶ λογισάμενος τοῦ τικτομένου τὴν δύναμιν· καὶ ὅσων ἀγαθῶν πρόξενος ἔσται τῷ γένει, φοβερῶς ἐκεκραύγασεν ἅγιος, τὴν αὐτὴν τοῖς σεραφὶμ φωνὴν ἐπὶ τούτῳ βοῶν· οὐ γὰρ ἔξω τῆς τριάδος ὁρῶ, οὐ γυμνὸν αὐτὸν βλέπω τῆς ἀϊδίου θεότητος· διὰ τοῦτο κἀγὼ μνήμην τῆς τριάδος πεποίημαι.

Ἐμφαντικὸν τὸ συγγενής σου, διανοίας τινός· μηδείς σε φη- 36.
σὶ ὦ παρθένε διὰ τὸ τοῦ τόκου παράδοξον, ἄλλης τινὸς φύσεως νομιζέτω· μηδεὶς διὰ τὸ ὑπὲρ ἄνθρωπον θαῦμα, τῆς ἀνθρωπίνης φύσεως ἔξω ποιείτω· μηδεὶς ἀρνείσθω τὴν ὑπὸ σοῦ λαμβανομένην μορφὴν, συγγενῆ τῶν ἀνθρώπων ὑπάρχειν· συγγενὴς τῆς Ἐλισάβετ ὑπάρχεις, κἂν δεσπότις τῆς Ἐλισάβετ γενήσῃ, τῆς αὐτῆς ἐκείνης καθέστηκας φύσεως, τὸ αὐτὸ ταύτης σῶμα φοροῦσα, τὴν αὐτὴν ἔχουσα ψυχήν.

Καὶ ἄλλως· πῶς τῷ μὲν Ζαχαρίᾳ οὐ συγγινώσκει ὁ ἄγγελος, τῇ δὲ παρθένῳ ἀπιστούσῃ συγγινώσκει; ὅτι ἐκεῖνος πολλὰ

I. εἶχε τὰ παραδείγματα· πολλαὶ γὰρ στεῖραι ἔτεκον, παρθένος δὲ οὐδεμία· ὅθεν καὶ συγγνώμης ἔτυχε λέγουσα, πῶς ἔςαι μοι τοῦτο ὅτι παρθένος οὖσα τέξομαι;

Πῶς συγγενῆ λέγει τὴν Ἐλισάβετ τῆς Θεοτόκου; ἢ ὡς ἐξ ἑνὸς προπάτορος τοῦ Ἰακὼβ, εἴτε διὰ τὸ πρὸ τῆς νομοθεσίας λαβεῖν τὸν Ἀαρὼν ἐκ τῆς τοῦ Λευὶ φυλῆς ὄντα γυναῖκα τὴν Ἐλισάβετ, θυγατέρα οὖσαν τοῦ Ἀμιναδὰμ τὴν ἀδελφὴν Νααςσὼν ἐκ τῆς τοῦ Ἰούδα φυλῆς ὑπάρχοντος.

39. Ὅτι διὰ τὴν τοῦ ἀγγέλου, φωνὴν ἀπῆλθεν ἡ παρθένος εἰς τὴν ὀρεινήν· εἶπεν γάρ· ἰδοὺ Ἐλισάβετ ἡ συγγενής σου καὶ αὐτὴ συνειληφυῖα.

41. Ὅτι τότε ἐπλήσθη πνεύματος ἁγίου ὁ ἐν γαστρὶ ὢν Ἰωάννης, καὶ μετεδίδου τῆς χάριτος τῇ μητρὶ, καὶ ἐπροφήτευε λοιπὸν ἡ Ἐλισάβετ, εὐλογημένη σὺ ἐν γυναιξὶ, λέγουσα, καὶ εὐλογημένος ὁ καρπὸς τῆς κοιλίας.

42. Ὅτι καλῶς καρπὸν κοιλίας ὠνόμασε τὸ ἐν αὐτῇ, ὅτι χωρὶς ἀνδρὸς ἦν, οἱ γὰρ ἐκ πατέρων ἐκείνων εἰσὶ καρποὶ ἀλλ᾽ οὐχὶ μητρός.

46. Ὅτι τὸ μεγαλύνει ἡ ψυχή μου τὸν κύριον, καὶ ἠγαλλίασε τὸ πνεῦμά μου· πνεῦμα καὶ ψυχὴν τὸ αὐτὸ λέγει.

51. Ἐποίησε κράτος ἐν βραχίονι αὐτοῦ· βραχίονα πατρὸς τὸν υἱὸν λέγει, ἀντὶ τοῦ ἰσχύν.

53. Πεινῶντας ἐνέπλησεν ἀγαθῶν καὶ ἑξῆς· τοὺς ἰουδαίους καὶ τὰ ἔθνη λέγει, οὓς ἀπώσατο καὶ ἃ προσελάβετο.

54. Ἐμνήσθη τοῦ ἐλέους αὐτοῦ, καθὼς ἐλάλησε πρὸς τοὺς πατέρας ἡμῶν· διὰ τὸ, ἐνευλογηθήσονται ἐν τῷ σπέρματί σου πάντα τὰ ἔθνη, λέγει.

56. Ὅτι τὸ ἔμεινεν Μαριὰμ ὡσεὶ μῆνας τρεῖς παρὰ τῇ Ἐλισάβετ, ἀντὶ τοῦ ἕως τῆς γεννήσεως Ἰωάννου, τῷ ἕκτῳ γὰρ ἦλθε μηνί.

Ὅτι τὸ ἔμεινε δὲ, τοῦ παραδόξου θεωροῦσα τὴν ἔκβασιν καὶ ἐπὶ τοῖς καθ᾽ ἑαυτὴν ἀποροῦσα, καὶ τί δεήσει γενέσθαι βουλομένη.

Ὅτι οὐχ ἁπλῶς εἶπεν ἡ Ἐλισάβετ Ἰωάννης κληθήτω, ἀλλὰ I.
ὡς προφῆτις, οὐδὲ γὰρ ἐγίνωσκε τὰ χρηματισθέντα τῷ Ζαχα-
ρίᾳ, ἄλαλος γὰρ ἐκεῖνος ἦν.

Ὅτι Ἰωάννης χάρις θεοῦ ἑρμηνεύεται, ἀπὸ τῆς ἑβραΐδος 60.
γλώττης εἰς τὴν ἑλληνίδα μεταβαλλόμενος.

Διὰ τί προκατασκευάζεται ἡ σιωπὴ Ζαχαρίου, εἶτα τὸ λα- 64.
λεῖν αὐτῷ δίδοται; ἵνα πάντες θαυμάσοντες ὡς ἀκούσαντες τὸ
παράδοξον, δέξωνται τὸν Ἰωάννην κηρύττοντα, ἔχοντες τῇ μνή-
μῃ ἔναυλον τὸ θαῦμα.

Ὅτι τὸ εὐλογητὸς κύριος ὁ θεὸς τοῦ Ἰσραὴλ ὅτι ἐπεσκέ- 68.
ψατο καὶ ἐποίησε λύτρωσιν τῷ λαῷ αὐτοῦ, καὶ ὅλη ἡ προφη-
τεία εἰς Χριστὸν καὶ περὶ Χριστοῦ ἐστίν.

Ὅτι τὸ ποιῆσαι ἔλεος μετὰ τῶν πατέρων ἡμῶν τοιοῦτόν ἐσ- 72.
τιν· ὅτι τὸ ἐφ' ἡμᾶς γενόμενον ἔλεος, καὶ πρὸς τοὺς πατέρας
ἡμῶν ἀνατρέχει· κοινωνοὶ γάρ εἰσι τῆς εὐφροσύνης ἡμῶν, φησί,
καὶ αὐτοὶ ὡς αἰσθανόμενοι.

Πῶς νοητέον τὸ ὅρκον ὃν ὤμοσε, καὶ ἑξῆς; ὅτι εἶπεν αὐτῷ 73.
ὁ θεὸς πληθύνων πληθυνῶ τὸ σπέρμα σου· ἐπληθύνθη γὰρ τὸ
σπέρμα Ἀβραὰμ εἰς σπέρμα, καὶ τῶν ἐθνῶν λογισθέντων αὐτῷ
διὰ Χριστοῦ εἰς ὃν ἐκεῖνοι ἐπίστευσαν.

Ὅτι παράδοξον ὡς γέννησιν ἔσχεν ὁ Ἰωάννης, οὕτω καὶ 76.
παράδοξον αἴσθησιν· ὅτ' ἂν γὰρ λέγῃ καὶ σὺ παιδίον, ὡς πρὸς
ἀκούοντα λέγει καὶ ἐνωτιζόμενον.

Προφητεύει δὲ ἐν τῷ λέγειν, προπορεύσῃ γὰρ πρὸ προσώπου
κυρίου ἑτοιμάσαι ὁδοὺς αὐτοῦ· τοῦτο δὲ σημαίνει ὅτι μετ' ὀλί-
γον οὐ μέλλει ἔχειν αὐτὸν παρ' ἑαυτῷ τρεφόμενον.

Γνῶσιν σωτήριας τίνα λέγει ὁ Ζαχαρίας; τὴν εἰς Χριστὸν 77.
σωτήριον πίστιν, καὶ ὅτι ἡ γνῶσις τῆς σωτηρίας, ἐν ἀφέσει ἁμαρ-
τιῶν ἔσται.

Ὅτι ἡ ἀπογραφή, χρήσιμος γίνεται ἵνα πληρωθῇ ἡ γραφὴ Cap. II.
ἡ λέγουσα, καὶ σὺ Βηθλεὲμ οἶκος τοῦ Ἐφράθα. v. 1.

Ἡ ἀπογραφὴ γίνεται, τὴν θεοτόκον ἐκεῖθεν ἐκπέμπουσα.

II. Διὰ τί εἶπεν ὁ εὐαγγελιστὴς τὸν υἱὸν αὐτῆς τὸν πρωτότο-
7. κον; ὡς πρωτεύοντα ἐν πᾶσιν.

Ὅτι ἐν τῇ φάτνῃ τίθεται, ἵνα ἡμᾶς τῆς ἀλογίας λυτρώσηται.

19. Ποῖα εἰσὶν ἃ συνετήρει πάντα ἡ Μαριὰμ; ὅσα εἶπεν αὐτῇ ὁ ἄγγελος, ὅσα νῦν ὑμνοῦσιν ἄγγελοι, ὅσα λέγουσι ποιμένες· συνέκρινε δὲ ἐκ πάντων, ὅτι Θεός ἐστιν ὁ τεχθεὶς ἐξ αὐτῆς.

21. Ὅτι τὸ τῆς περιτομῆς κοπὲν, οἱ μὲν εἰς τὰ τέσσαρα στοιχεῖα ἀναλυθῆναι λέγουσιν, οἱ δὲ ἐπὶ γῆς ῥιφῆναι ἵνα ἁγιάσῃ τὴν γῆν, ὡς καὶ τὸ χεθὲν αὐτοῦ αἷμα καὶ τὸ ὕδωρ· οἱ δὲ ὅτι ἐτήρησεν αὐτὸ ᾧ οἶδε τρόπῳ, ἐν τῇ αὐτοῦ ἀναστάσει προσλαβόμενος αὐτὸ, καὶ γὰρ καὶ ἡμεῖς ἐν τῇ ἀναστάσει τὸ σῶμα τὸ ἡμέτερον πλῆρες ἀποληψόμεθα.

22. Ὅτι τὸ λέγειν τὸν εὐαγγελιστὴν τὸ ὅτε ἐπλήσθησαν αἱ ἡμέραι τοῦ καθαρισμοῦ αὐτῶν κατὰ τὸν νόμον, καλῶς ἐπήγαγεν, μόνου γὰρ ἦν ἀκαθάρτου καθαρὸν τεκεῖν.

25. Ὅτι τὸ περὶ τοῦ Συμεὼν εἰρημένον ὅτι ἦν προσδεχόμενος παράκλησιν τοῦ Ἰσραὴλ, τοῦτό ἐστι· πότε διὰ τοῦ Χριστοῦ παράκλησιν, ἤτουν παραμυθίαν εὕροι ὁ Ἰσραήλ.

29. Τὸ νῦν ἀπολύεις τὸν δοῦλόν σου δέσποτα κατὰ τὸ ῥῆμά σου ἐν εἰρήνῃ, τὸ μὲν ἀπολύεις, περὶ τῆς ἐν σαρκὶ ζωῆς εἶπεν· τὸ δὲ κατὰ τὸ ῥῆμά σου, ὅτι χρησμὸς ἦν αὐτῷ τοιοῦτος δοθείς.

34. Τὸ κεῖσθαι τὸν κύριον εἰς πτῶσιν πολλῶν, καὶ ἀνάστασιας ἐν τῷ Ἰσραὴλ, ἐπαινετῶς μόνον νοούμενον· εἰς πτῶσιν μὲν κεῖται τῶν ἐν ἑκάστῳ τῶν πιστευόντων παθῶν τε καὶ πονηρῶν λογισμῶν, ἀνάστασιν δὲ τῶν ἀρετῶν καὶ παντὸς θεοφιλοῦς λογισμοῦ.

Πῶς νοητέον καὶ εἰς σημεῖον ἀντιλεγόμενον; σημεῖον διὰ τὸν σταυρὸν καὶ τὸ ἐκεῖ πάθος· ἀντιλεγόμενον δὲ, ὅτι οἱ μὲν παθητὸν αὐτοῦ τὸ πάθος εἶπον, οἱ δὲ οὔ· καὶ οἱ μὲν χοικὸν, οἱ δὲ ἐπουράνιον λέγουσιν· ὅτι δὲ σημεῖον ὁ σταυρὸς, ἄκουσον· καὶ ἔθηκε Μωϋσῆς τὸν ὄφιν ἐπὶ σημείου, τουτέστιν ἐπὶ ξύλου.

35. Ὅτι τὸ, σοῦ δὲ αὐτῆς τὴν ψυχὴν διελεύσεται ῥομφαία, περὶ

τοῦ πάθους λέγει τοῦ Χριστοῦ· τό δὲ ὅπως ἂν ἀποκαλυφθῶσιν II.
ἐκ πολλῶν καρδιῶν διαλογισμοὶ, δηλοῖ ὅτι μετὰ τὸν σκανδαλι-
σμόν τὸν ἐπὶ τοῦ σταυροῦ τοῦ Χριστοῦ γενόμενον τοῖς τε μα-
θηταῖς καὶ αὐτῇ τῇ θεοτόκῳ, τάχιστά τις ἴασις ἐπακολουθή-
σει εἰς τὴν πίστιν τοῦ Χριστοῦ.

Ἢ ἑτέρως ὅπως ἂν ἑκάστου ὁ λογισμὸς ἀποδειχθῇ ὅπως ὑπε-
τόπαζε περὶ αὐτοῦ, καὶ τίς ὁ ἀγαπῶν αὐτόν καὶ τίς ὁ μισῶν.

Τί λέγει ὅτι ἡ προφῆτις Ἄννα ἀνθωμολογεῖτο τῷ Θεῷ; ἀντὶ 38.
τοῦ εὐχαρίστει· ἐλάλει δὲ περὶ αὐτοῦ, ὅτι αὐτός εἴη ὁ λυ-
τρωτὴς, αὐτὸς ὁ σωτὴρ, οὗτος εἰς χαρὰν περιτρέψει τὴν κατ-
ήφειαν.

Ηὔξανε σοφίᾳ καὶ χάριτι, οὐκ ἐν τῷ προσλαμβάνειν τί, ἀεὶ 40.
γὰρ εἶχε τό πλῆρες, ἀλλὰ τοῦ θεοῦ λόγου τῇ τοῦ σώματος ἡλι-
κίᾳ συνεκτείνοντος κατὰ βραχὺ τῆς σοφίας καὶ τῆς χάριτος τὴν
ἔκφασιν.

Ὅτι πῶς λέγει ἡ παναγία θεοτόκος, ἰδοὺ ἐγὼ καὶ ὁ πα- 48.
τήρ σου ὀδυνώμενοι ἐζητοῦμέν σε; ἐπισταμένη ὅτι ἐκ παρθενίας
ἐστὶν ἀμολύντου, διὰ τοὺς ἀκούοντας διδασκάλους, ἐπειδὴ ἐνό-
μιζον αὐτὸν ἐκ πορνείας εἶναι.

Πῶς ἐνόμιζον αὐτὸν ἀπεληλυθέναι; ἆρα ὡς πλανώμενον ἢ ὅτι
ἀπόλωλε; οὐχί· ἀλλ' ὡς νομίζοντες ὅτι κατέλιπεν αὐτοὺς ἢ ἀπέ-
στη ἀπ' αὐτῶν· διό καὶ αὐτὴ ὡς ἐκείνου πατέρα τὸν Ἰωσὴφ
ὠνόμασε διὰ τοὺς Ἰουδαίους· αὐτὸς τὴν ὑπόνοιαν ἐκκόπτων ταύ-
την πάλιν ἔλεγεν, οὐκ ᾔδειτε ὅτι ἐν τοῖς τοῦ πατρός μου δεῖ
εἶναί με· πατέρα αὐτοῦ δηλῶν τὸν θεὸν, ἀλλ' οὐ τὸν Ἰωσήφ·
ἐν τοῖς τοῦ πατρός δὲ εἶπεν διὰ τὸν ναὸν ἐν ᾧ ἦν ὅπου καὶ εὑ-
ρέθη ζητούμενος.

Διὰ τί γράφει καὶ ἦν ὑποτασσόμενος τοῖς γονεῦσιν αὐτοῦ; 51.
παράδειγμα τὸν αὐτοῦ βίον καὶ χωρὶς τῆς διδαχῆς ποιούμε-
νος ἡμῖν.

Ὅτι τὸ ηὔξανε σοφίᾳ καὶ ἡλικίᾳ, σημαίνει ὅτι συμπαρῆγε 52.
τῷ χρόνῳ τῆς ἡλικίας, τὴν ἔλλαμψιν τῆς θεότητος.

Cap. III. v. 1. Διὰ τί μέμνηται τοῦ χρόνου τῶν ἀρχόντων λέγων ἐν ἔτει πεντεκαιδεκάτῳ Τιβερίου Καίσαρος; ἵνα γνῶμεν ὅτι ἐν τοῖς τῆς ἐνανθρωπήσεως χρόνοις καθόλου ἄρχων ἰουδαῖος ἐξέλιπεν.

2. Διὰ τί γέγονε τὸ ῥῆμα τῷ Ἰωάννῃ ἐν τῇ ἐρήμῳ; ἐπειδὴ πολλὰ τὰ τέκνα δι᾽ αὐτοῦ ἔμελλε γίνεσθαι τῆς ἐρήμου καὶ ἀνάνδρου ἢ τῆς ἐχούσης τὸν ἄνδρα.

3. Ὅτι τὸ μὲν τῶν Ἰουδαίων βάπτισμα πάντῃ ἀτελὲς ἦν, τὸ Ἰωάννου τελειότερον διὰ μετάνοιας· τὸ δὲ Χριστοῦ ἐξαλεῖφον χωρὶς μετανοίας ἁμαρτίας.

5. Πῶς νοητέον τὸ πᾶσα φάραγξ πληρωθήσεται, καὶ πᾶς βουνὸς ταπεινωθήσεται; ἐπειδὴ γὰρ εἶπεν ἑτοιμάσατε τὴν ὁδὸν κυρίου, ἀποκρίνεται ὥσπερ ἐκ τοῦ διαποροῦντος πῶς τοῦτο ἐνδέχεται, λέγων ὅτι πᾶν τὸ πρὸς τὸν τῆς ἀρετῆς δρόμον ἐμποδίζον, διορθωθήσεται ὑπὸ τοῦ Χριστοῦ· ὅπερ ἐστιν ὄρος, κἂν βάθος κακίας ἔχῃ πρὸς ἐξίσωσιν ἑτοιμασθήσεται.

6. Τί λέγει καὶ ὄψεται πᾶσα σὰρξ τὸ σωτήριον τοῦ θεοῦ; τουτέστιν οὐκέτι ἰουδαῖος, καὶ ὅ τις καὶ ὅ τις, ἀλλὰ πρὸς τὰ πέρατα τῆς γῆς κηρυχθήσεται.

11. Ὅτι ἐρωτώμενος ὑπὸ τῶν ὄχλων ὁ Ἰωάννης, ἑκάστῳ οἰκεῖον βοήθημα τέθεικε· τοῖς μὲν ὄχλοις, φιλαλλήλῳ φρονήματι κεχρῆσθαι, τελώναις δὲ τὴν πλεονεξίαν κωλύειν, στρατιώταις δὲ μηδένα διασείειν.

23. Διὰ τί τριακονταέτης ἔρχεται ἐπὶ τὸ βάπτισμα; ἐπειδὴ μεμαρτυρημένη ἐστὶν ἡ ἡλικία ταύτη· οὕτω καὶ Ἀδὰμ τέλειος ἐπλάσθη, καὶ νόμον ἐδέχετο φυσικόν.

Διαφωνία τις εἶναι δοκεῖ περὶ τὴν κατὰ σάρκα γέννησιν τοῦ δεσπότου Χριστοῦ· τῷ τὸν μὲν Ματθαῖον, ἀπὸ Σολομῶντος αὐτὸν γενεαλογεῖν, καὶ φθάνειν εἰς τὸν Ματθὰν, καὶ Ἰακὼβ, καὶ Ἰωσήφ· τὸν δὲ Λουκᾶν, ἀπὸ τοῦ Νάθαν, καὶ φθάνειν εἰς τὸν Ματθὰν, καὶ Ἡλὶ, καὶ Ἰωσὴφ, ἀναμφιβόλως ἕκαστον αὐτὸν ἕτερον καταλήγειν γένος· καὶ δοκεῖ τῶν ἀδυνάτων εἶναι τὸν Ἰωσὴφ τὸν νομισθέντα ἄνδρα τῆς παναγίας θεοτόκου τόν τε Ἰα-

κὼβ τὸν Ἡλὶ ἐσχηκέναι πατέρα· ἀλλὰ κατανοήσωμεν τὴν δοκοῦ- III.
σαν εἶναι διαφωνίαν· τρίτος ἀπὸ τέλους κατὰ τὴν Ματθαίου γενεαλογίαν ἐστὶν ὁ Ματθὰν, πέμπτος δὲ ἀπὸ τέλους κατὰ τὸν Λουκᾶν ὁ Μελχί· τούτων τῶν δύο κατὰ διαφόρους χρόνους γαμετὴ γέγονεν ἡ Ἐσθά· τοῦ γὰρ Ματθὰν προειληφότος αὐτὴν καὶ παιδοποιήσαντος ἐξ αὐτῆς τὸν Ἰακὼβ καὶ τελευτήσαντος, χήραν αὐτὴν οὖσαν ἐκ τῆς αὐτῆς φυλῆς, ἄλλης δὲ συγγενείας, ἠγάγετο ὁ Μελχὶ, καὶ ἐπαιδοποίησεν ἐξ αὐτῆς τὸν Ἡλί· ὁ Ἰακὼβ τοιγαροῦν καὶ ὁ Ἡλὶ ὁμομήτριοι τυγχάνουσιν ἀδελφοὶ ἐκ τῆς Ἐσθά· ἀγαγομένου δὲ τοῦ Ἡλὶ γυναῖκα ὡς ἀτέκνου τελευτήσαντος, κατὰ τὸν νόμον εἰσῆλθεν ὁ Ἰακὼβ πρὸς αὐτὴν ὡς ἀδελφὸς παιδοποιήσων τῷ τελευτήσαντι ἀδελφῷ τῷ Ἡλί· ἐπαιδοποίησεν οὖν τὸν Ἰωσὴφ, καὶ εὑρέθη ὁ Ἰωσὴφ, υἱὸς μένων φύσει τοῦ Ἰακὼβ, νόμῳ δὲ τοῦ Ἡλί· ὁ Ματθαῖος δὲ τὸν κατὰ φύσιν λέγων πατέρα τοῦ Ἰωσὴφ, τὸν Ἰακὼβ εἶπεν, καὶ τὸ γένος ὅθεν ὁ Ἰωσὴφ κατάγεται· ὁ δέ γε Λουκᾶς τὸν κατὰ νόμον λέγων πατέρα τοῦ Ἰωσὴφ, τὸν Ἡλὶ εἶπεν, καὶ τὸ γένος ὅθεν ὁ Ἡλὶ κατάγεται· ὅθεν τῶν δύο πατέρων εἰς τὸν Δαβὶδ ἀνατρεχόντων, πᾶσα περιῄρηται ἀμφισβήτησις.

Πῶς νοεῖται τὸ ἔδειξεν αὐτῷ πάσας τὰς βασιλείας τοῦ κό- Cap. IV. v. 5.
σμου ἐν στιγμῇ χρόνου; ἀντὶ τοῦ διέγραψε τῷ λόγῳ τὴν οἰκουμένην, καὶ ὡς τρόπον τινὰ ὑπεδείκνυεν ὡς ᾤετο ἐν τῇ διανοίᾳ αὐτοῦ πάντα.

Πῶς νοεῖται τὸ ὑπέστρεψεν Ἰησοῦς ἐν τῇ δυνάμει τοῦ πνεύμα- 14.
τος εἰς τὴν Γαλιλαίαν; διὰ τὰς θεοσημείας λέγει τοῦτο, ἅσπερ ἐπετέλει τῇ δυνάμει τοῦ ἁγίου πνεύματος, ὡς οἰκείᾳ αὐτοῦ δυνάμει τούτῳ χρώμενος, ἀλλ᾽ οὐχ᾽ ὡς οἱ ἅγιοι ἔξωθεν καὶ πεπορισμένην ταύτην λαβών.

Ὅτι τὰ ἐν τῷ προφήτῃ Ἡσαΐᾳ γεγραμμένα, ἐν αὐτῷ ἐπλη- 18.
ρώθη, αὐτὸς γὰρ ὁ χρισθεὶς τῇ θεότητι, αὐτὸς ὁ τοὺς ἁλιεῖς εὐαγγελισάμενος, αὐτὸς ὁ τοὺς ὑπὸ τοῦ πονηροῦ αἰχμαλωτισθέντας ῥυσάμενος.

IV. 34. Διὰ τί εὐφημεῖ αὐτὸν τὸ πνεῦμα τὸ ἀκάθαρτον λέγων, οἶδά σε τίς εἶ ὁ ἅγιος τοῦ Θεοῦ; ὑπονοῶν διὰ τῆς τοιαύτης εὐφημίας ὅτι κενῆς δόξης αὐτὸν ἐραστὴν ἀποτελεῖ.

35. Διὰ τί συνεχώρησεν αὐτῷ ὁ κύριος ῥίψαι τὸν ἄνθρωπον ἐν ᾧ ἦν; ἵνα δῆλον γένηται πᾶσιν ὅτι τὸ δαιμόνιον ἐλάλησε, καὶ οὐκ ἐκ τῆς καρδίας τοῦ ἀνθρώπου κύριος.

Cap. V. v. 2. Ὅτι διὰ τῶν ἁλιευτικῶν ἐπιτηδευμάτων ἁλιεύει τοὺς μαθητὰς καὶ ἁλιεῖς ὁ Χριστὸς εἰπών, χαλάσατε τὸ δίκτυον.

Cap. VI. v. 1. Τί ἐστιν ὃ λέγει ὁ εὐαγγελιστὴς ἐν σαββάτῳ δευτεροπρώτῳ; ὁ ἅγιος Ἰσίδωρος ὁ πηλουσιώτης οὕτως λέγει, ὅτι δευτερόπρωτον εἴρηται ἐπειδὴ δεύτερον μὲν ἦν τοῦ πάσχα, πρῶτον δὲ τῶν ἀζύμων· εἰ δὲ σάββατον εἴρηται μὴ θαυμάσῃς· σάββατον εἴρηται πᾶσα ἑορτή, δηλοῖ δὲ κατάπαυσιν καὶ ἀργίαν.

12. Διὰ τί ἐξῆλθεν ὁ Ἰησοῦς εἰς τὸ ὄρος προσεύξασθαι, καὶ ἦν φησὶ διανυκτερεύων ἐν τῇ προσευχῇ τοῦ Θεοῦ; ἔδειξε διὰ τούτου, ὡς Κύριλλος φησί, τύπον ἀσκητικὸν, ὑποδεικνύων διὰ πραγμάτων αὐτοῖς ὡς καὶ διὰ λόγων, ὅτ' ἂν λέγῃ· σὺ δὲ ὅτ' ἂν προσεύχῃ, κλεῖσον τὴν θύραν σου.

Cap. VII. v. 37. Ὅτι ἡ ἐν τῇ οἰκίᾳ τοῦ Φαρισαίου ἐλθοῦσα γυνὴ, ἥ τις ἦν ἁμαρτωλὸς, οὔτε ἡ παρὰ τῷ Μάρκῳ ἐστὶν, οὔτε ἡ παρὰ τῷ Ἰωάννῃ, οὔτε ἡ παρὰ τῷ Ματθαίῳ· ἐκεῖναι μὲν γὰρ πρὸς αὐτὸ τὸ πάθος τοῦτο ἐποίησαν, αὕτη δὲ ἐν μέσοις τοῖς σημείοις.

50. Διὰ τί λέγει τῇ γυναικὶ, ἡ πίστις σου σέσωκέ σε; διὰ τὸ πιστεῦσαι αὐτὴν ὅτι δύναται ἀφιέναι ἁμαρτίας.

Cap. IX. v. 49. Ὅτι τὸ λέγειν τοὺς μαθητὰς πρὸς Χριστὸν, διδάσκαλε εἴδομέν τινα ἐπὶ τῷ ὀνόματί σου δαιμόνια ἐκβάλλοντα, οὐκ ἔστι φθονούντων ὁ λόγος ἀλλὰ μαθεῖν ἐθελόντων εἰ καὶ ἄλλοις τοῦτο δοθήσεται.

Ὅτι τὸ ὅς τις οὐ καθ' ἡμῶν, ὑπὲρ ἡμῶν ἐστὶ, τοῦτο λέγει, τῶν ἀγαπώντων με, οἵ τινες εἰς δόξαν μου πληροῦν θέλουσι, τῇ παρ' ἐμοὶ χάριτι στεφανοῦνται.

50. Διὰ τί ἐν τῷ ἀπιστῆσαι τοὺς ἀποστόλους τινὰς καὶ εἰπόν-

των τῶν μαθητῶν πρὸς Χριστὸν, κύριε θέλεις εἴπωμεν πῦρ κατα- IX.
βῆναι ἀπὸ τοῦ οὐρανοῦ καὶ ἀναλῶσαι αὐτοὺς, ἐπετίμησεν αὐτοῖς; περιστέλλων τὴν ὀξυθυμίαν αὐτῶν καὶ ἀπήνειαν, ἀνεξικακεῖν ἀεὶ, οὐ μόνον νῦν· τοῦτο δὲ εἶπον πρὸς Ἡλίαν ἀφορῶντες· οὕτως οὐ τελέως τῆς νέας χάριτος κεκρατηκέσαν, ἀλλὰ καὶ πρὸς νόμον ἐσκόπουν τὸν παλαιόν.

Ὅτι ὁ εἰπὼν ἀκολουθήσω σοι κύριε, ἀλλὰ πρῶτον ἐπίτρε- 61.
ψόν μοι ἀποτάξασθαι τοῖς ἐν τῷ οἴκῳ μου, ἀξιοζήλωτον μὲν ὑπόσχεσιν ἐνεδείξατο· τὸ δὲ ζητεῖν ἀποτάξασθαι, μεμερισμένου ἐστὶν τῇ διανοίᾳ.

Ὅτι οὐδεὶς ἐπιβαλὼν τὴν χεῖρα ἐπ᾽ ἄροτρον καὶ στραφεὶς 62.
εἰς τὰ ὀπίσω, εὔθετός ἐστιν εἰς τὴν βασιλείαν τοῦ θεοῦ· ὥσπερ γάρ, φησιν, ὁ γηπόνος τοῦ ἀροτριᾷν ἀρξάμενος, ὅτ᾽ ἂν ὀκνήσῃ πρὸς τὸ λεῖπον, τὸ πᾶν ἀπώλεσεν, οὕτως καὶ ὁ κατὰ θεὸν ἐργαζόμενος, εἰ πρὸς ἄλλό τι ἀσχολούμενος εὑρεθῇ.

Διὰ τί ἄλλους ἑβδομήκοντα μαθητὰς προσελάβετο; ἐπειδὴ Cap. X. v. 1.
πολλὴ ἔμελλεν ἡ διδαχὴ γίνεσθαι, καὶ πολλαχοῦ καὶ πρὸς Ἰουδαίους καὶ πρὸς τὰ ἔθνη.

Τί σημαίνει τὸ ἐθεώρουν τὸν σατανᾶν ὡς ἀστραπὴν πεσόντα 18.
ἐκ τοῦ οὐρανοῦ; τοῦτο δηλοῖ, ὅτι εἰ ὁ ἄρχων αὐτῶν κατέπεσεν, οἱ δοῦλοι τί προσδοκῶσι παθεῖν δι᾽ ὑμῶν; ὡς ἀστραπὴν δὲ εἶπεν, ἐπειδὴ φωτεινὸς ἦν τὴν φύσιν, εἰ καὶ σκοτεινὸς γέγονε τὴν προαίρεσιν· ὃ γὰρ ἐποίησεν ὁ θεὸς, τοῦτο καλόν· ὃ δὲ μετεποίησεν ὁ διάβολος, τοῦτο κακόν· ἡ τὸ ἐξ ὕψους εἰς γῆν κατενηνεγμένον δηλοῖ ἐκ δόξης εἰς ἀτιμίαν.

Ὅτι τὸ πατεῖν ἐπάνω ὄφεων καὶ σκορπίων, περὶ τῶν δαι- 19.
μόνων λέγει.

Τὸ μὴ χαίρετε ὅτι τὰ πνεύματα ὑμῖν ὑποτάσσετε, ἀντὶ τοῦ 20.
μὴ κενοδοξεῖτε.

Τὸ χαίρετε δὲ, ὅτι τὰ ὀνόματα ὑμῶν ἐγράφη ἐν τοῖς οὐρανοῖς, οὐ διὰ μέλανος ἀλλὰ διὰ μνήμης θεοῦ λέγει.

Ὅτι ὁ νομικὸς ἑτέρως ἔλαβε τὸ πλησίον, κενοδοξῶν· ἐν γὰρ 29.

X. τῷ λέγειν τίς ἐστί μου πλησίον, τοῦτο ὑποτίθεται· τίς φησὶν ἴσος μοι; πλησίον νοῶν τὸν δίκαιον τῷ δικαίῳ· αὐτὸς δὲ τῇ συμπαθείᾳ ἔλεγε, καὶ τῷ τρόπῳ τῆς θεραπείας.

30. Τὸ ἄνθρωπος κατέβαινεν ἀπὸ Ἱερουσαλὴμ εἰς Ἱεριχὼ, ἀπὸ τῆς ἐν παραδείσῳ ὑψηλῆς καὶ εἰρηνικῆς διαγωγῆς· τοῦτο γὰρ εἰρήνην σημαίνει.

Πρὸς τὴν Ἱεριχὼ τὴν κοίλην καὶ χθαμαλὴν καὶ καυματώδη καὶ πνιγηρὰν κατωλίσθησεν, ἤγουν τὴν ἐμπαθῆ ζωήν.

Λῃστὰς δὲ λέγει τῶν δαιμόνων τὸ σύστημα ἢ τὰ πάθη ἅ τινα τῶν ἀμφιασμάτων τῆς ἀρετῆς ἐκδύσαντες αὐτὸν, τὰ τῆς ἁμαρτίας τραύματα ἐπέθηκαν.

32. Λευΐτας δὲ καὶ ἱερεῖς, τὸν νόμον λέγει, ὡς μὴ τὸν πταίσαντα θεραπεύσαντα.

Τὸ δὲ ἀντιπαρῆλθεν, ἀντὶ τοῦ ἰδὼν τὴν ἐναντίαν ἔδωκε πάλιν ὅθεν ἦλθε, μηδὲν ὠφελήσας.

33. Ὁ δὲ σαμαρείτης, ἢ ὁ δοκῶν εὐτελὴς εἶναι ὡς αὐτὸς ἐνομίζετο καὶ ἐκαλεῖτο παρ' αὐτῶν· ἢ ἐκ τούτου τὸν διὰ τοῦ αὐτοῦ φυράματος πάντα καὶ ἰουδαῖον καὶ ἐθνικὸν προσλαβόμενον λέγει.

34. Ὑποζύγιον δὲ, τὸ αὐτοῦ σῶμα λέγει· ἔζευξε γὰρ τῇ ἀνθρωπότητι τὴν θεότητα· ἐπιςὰς, ἁμαρτίας ἐθεράπευσεν ἤγουν τὰ τραύματα.

Οἶνον δὲ τὸν διδασκαλικὸν τρόπον τὸν στύφοντα καλεῖ.

Σὺν ἐλαίῳ δὲ, ὅτι φιλανθρωπίᾳ τοῦτον ἐκέρασε τὸν λόγον· τοῦτο δὲ διὰ τὸ συνανακλίνεσθαι τελώναις.

Τὸ δὲ ὑπὸ τὸ ἴδιον ὑποζύγιον ἀνεβίβασεν αὐτὸν, ἐν ἑαυτῷ γὰρ ἡμᾶς ἐφόρεσε, ἐσμὲν γὰρ μέλη τοῦ σώματος αὐτοῦ.

Πανδοχεῖον δὲ, τὴν ἐκκλησίαν καλεῖ τὴν πάντας δεχομένην· ἀλλὰ μὴ κατὰ τὸν νόμον λέγουσαν ἀμμανίτης καὶ μωαβίτης εἰς ἐκκλησίαν κυρίου οὐκ εἰσελεύσεται.

35. Τὸ δὲ δοῦναι τῷ πανδοχεῖ δύο δηνάρια εἰς ἐπιμέλειαν αὐτοῦ, σημαίνει τοῖς τῆς ἐκκλησίας ἐπόπταις ἀποστόλοις καὶ διδασκάλοις λέγειν, ὅτι ἐν τῇ δευτέρᾳ ἐλεύσει μου τὸν μισθὸν τοῖς ἐπιμελησαμένοις διδασκάλοις ἀποδώσω.

Ὅτε κρεῖττον τῆς φιλοξενίας, ἡ πίςις· καὶ τοῦτο δηλοῖ Χρι- X.
στὸς ἐν τῇ Μάρθᾳ καὶ τῇ Μαρίᾳ· ἐκείνης γὰρ περὶ τὴν δια- 42.
κονίαν ἀσχολουμένης, ταύτην προέκρινε Χριστὸς ὡς τὸν λόγον
ἀκούσαν αὐτοῦ· ἀλλ᾽ ὅμως τὴν μὲν οὐκ ἀπέςρεψεν ἀφ᾽ ὧν ἐποίει,
τὴν δὲ προσεδέξατο ἐφ᾽ οἷς προσεῖχεν.

Τὸ ζητεῖτε καὶ κρούετε καὶ ἀνοιγήσεται ὑμῖν, καὶ τὸ πο- Cap. XI.
ρεύεσθε ἐν νυκτὶ πρὸς τὸν φίλον εἰς τὸ λαβεῖν τί, τὴν ὄχλη- v. 9.
σιν καὶ τὸ μὴ ταχέως τῆς εὐχῆς ἀφίστασθαι λέγει· νύκτα δὲ
εἶπεν, μᾶλλον δὲ μεσονύκτιον, τὰς ἐσχάτας καὶ πρὸς τῷ τέλει
ἐλπίδας ἡμῶν· οἰκοδεσπότην δὲ, τὸν θεὸν αὐτόν· τρεῖς δὲ ἄρα
ὀνόμασι, τὴν εἰς πατέρα καὶ υἱὸν καὶ ἅγιον πνεῦμα πίστιν· ὁ
δὲ φίλος ὁ παραγενόμενος ἐξ ὁδοῦ ἐπιξενωθεὶς αὐτῷ, νοηθείη
ἂν εἰκότως ὁ ἄγγελος, ἤγουν οἱ ἄγγελοι οἱ πρὸς τὰ ἔσχατα πα-
ραγινόμενοι παραληψεῖν ἡμᾶς· φιλοῦσι γὰρ ἡμᾶς καὶ αὐτοὶ ὡς φι-
λανθρώπου θεοῦ φιλάνθρωποι ὑπηρέται· τὰ δὲ παιδία τὰ ἐπὶ
τῆς κλίνης ἀναπαυόμενα, τοὺς στραφέντας ὡς τὰ παιδία καὶ ἐν
ἁπλῇ καρδίᾳ πεπιστευκότας τῷ εὐαγγελίῳ, καὶ ἠξιωμένους τῷ
κυρίῳ συναναπαύεσθαι· ἀναίδειαν δὲ ἐνταῦθα λέγει τὴν μεθ᾽ ὑπο-
μονῆς ἐπιτεταμένην προσευχήν.

Διὰ τί τῆς γυναικὸς εἰπούσης, μακαρία ἡ κοιλία ἡ βαστα- 27.
σάσα σε, αὐτὸς εἶπεν, μενοῦνγε μακάριοι οἱ ἀκούοντες τὸν λό-
γον τοῦ θεοῦ; διὰ τὸν καιρὸν καὶ τοὺς παρισταμένους τοῦτο λέ-
γει καὶ διὰ τὸ φιλότιμον.

Τίνος ἕνεκεν πονηρῶν ὄντων τῶν Φαρισαίων, πρὸς αὐτὸν 37.
κληθεὶς παρ᾽ ἑνὸς αὐτῶν ἀπῆλθε; νουθετῆσαι τούτους βουλόμε-
νος καὶ ἡμερῶσαι· ἐσκανδαλίσθη δὲ ὁ Φαρισαῖος ὅτι οὐ πρὸ τοῦ
ἀρίστου ἐβλαπτίσθη, ἀσυνέτως· Μωσῆς γὰρ οὐδαμοῦ προσέταξε
τοῦτο ποιεῖν· ἡ γὰρ διὰ τῶν ὑδάτων ἀπόνιψις, χρειώδης ἐςὶν
πρὸς ῥύπον σωματικὸν, ἀκαθαρσίαν δὲ ψυχῆς ἀπαλλάξαι οὐ δύ-
ναται.

Περὶ τοῦ Ζαχαρίου οὗ εἶπεν κύριος, ὅτι μεταξὺ τοῦ ναοῦ 51.
καὶ τοῦ θυσιαστηρίου ἐσφάγη, ὁ Νύσσης φησὶν ὅτι ὁ πατὴρ ἦν

XI. τοῦ προδρόμου· καὶ ἐπειδὴ οὐκ ἀπεχώρισε μετὰ τὸν ἄφθορον τόκον τὴν πανάγιαν Θεοτόκον Μαρίαν τοῦ ταῖς παρθένοις ἀποκεκληρωμένου τόπου ἐν τῷ ναῷ, ἦν δὲ οὗτος ὁ τόπος μεταξὺ τοῦ ναοῦ καὶ τοῦ θυσιαστηρίου, κατέσφαξαν.

Cap. XII. v. 13. Διὰ τί πρὸς τὸν εἰπόντα αὐτῷ, διδάσκαλε εἰπὲ τῷ ἀδελφῷ μου μερίσασθαι μετ' ἐμοῦ τὴν κληρονομίαν, ἀποκριθεὶς εἶπεν, ἄνθρωπε τίς με κατέστησε κριτὴν ἢ μεριστὴν ἐφ' ὑμᾶς; εἶπεν δὲ τοῦτο καὶ διὰ τὸ προκρίνειν αὐτὸν τὰ γήϊνα τῶν θείων, καὶ διὰ τὸ προειπεῖν ἀπὸ δὲ τοῦ αἴροντος τὰ σὰ, μὴ ἀπαίτει· οὐ γάρ ἐστι φησὶν ἐν τῷ περισσεύειν τινὶ ἡ ζωὴ, διὰ τὸ μὴ τῷ πλούτῳ συνεκτείνεσθαι τὸ τῆς ζωῆς μέτρον.

32. Τὸ δὲ μὴ φοβοῦ τὸ μικρὸν ποίμνιον, τοῦτο ἀντὶ τοῦ μὴ ἀπιστήσῃς εἴρηται· μικρὸν δὲ ὀνομάζει τοὺς ἁγίους, ἢ ἐπειδὴ παράκειται μικρότης τοῖς ἁγίοις ἐν τῷ κόσμῳ, ὡς ἑκουσίως ἀκτήμοσιν· ἢ διὰ τὸ ἡττᾶσθαι τῷ τῶν ἀγγέλων πληθύϊ.

35. Ἔστωσαν αἱ ὀσφύες ὑμῶν περιεζωσμέναι· τὸ τῆς διανοίας ἕτοιμον εἰς φιλεργίαν τῶν χρηστῶν ἔργων· διόπερ ὁ διδασκαλικὸς λύχνος ψυχούσθω καὶ ἀρδευέσθω ὑπὸ τῆς πρακτικῆς ἀρετῆς· γάμους δὲ ὀνομάζει, διὰ τὸ μὴ εἶναι ἐκεῖθεν τί κατηφές· ἀωρὶ νυκτῶν λέγει, διὰ τὸ ἄδηλον· τὸ δὲ ἐν τῇ δευτέρᾳ καὶ τρίτῃ φυλακῇ λέγειν αὐτὸν, τοὺς ἀναμένοντας τὴν παρουσίαν αὐτοῦ· μακάριοι φησὶν οἱ δοῦλοι ἐκεῖνοι, περιζώσεται γὰρ καὶ διακονήσει αὐτοῖς, τοῦτό ἐστιν ὅτι τοῖς ἴσοις ἡμᾶς ἀνταμείψεται, καὶ οἷον κάμνοντας ἀνακτήσεται, τρυφὰς ὑμῖν παραθεὶς τὰς πνευματικάς· ἢ πρώτην μὲν φυλακὴν, τὴν πρώτην ἡλικίαν· δευτέραν, τὴν δευτέραν ἡλικίαν· τρίτην τὴν ἐπὶ τὸ γῆρας.

48. Διὰ τί ὁ δοῦλος ὁ μὴ γνοὺς τὸ θέλημα τοῦ κυρίου αὐτοῦ ὑπεῖχε λόγον; διότι μὴ ἠθέλησεν εἰδέναι, δυνάμενος μαθεῖν· ποῖος ἀπαλλάξει λόγος τοῦ χρῆναι πολλὰς ὑπομεῖναι πληγὰς τὸν εἰδότα καὶ ῥαθυμοῦντα.

Εἰπὼν, παντὶ ᾧ ἐδόθη πολὺ, πολὺ ζητηθήσεται παρ' αὐτοῦ, ἔδειξεν ὅτι φορτικώτερον τῶν διδασκόντων ἐστὶ τὸ κρίμα.

Γῆν ἡμῶν τὰ σκηνώματα λέγει, εἰς ἃ βούλεται ταχέως ἀναφθῆναι τὴν ὀξυκίνητον τῆς διδασκαλίας αὐτῶν καὶ διάπυρον πρᾶξιν. XII.

Περὶ δὲ τῶν Γαλιλαίων ὧν ἀπήγγειλαν τῷ Χριστῷ ὅτι τὸ αἷμα αὐτῶν ὁ Πιλάτος ἔμιξε μετὰ τῶν θυσιῶν, χρὴ γινώσκειν ὅτι οὗτοί εἰσιν οἱ τοῖς δόγμασιν ἐξακολουθήσαντες Ἰούδα τοῦ γαλιλαίου, οὗ καὶ αὐτὸς ὁ Λουκᾶς ἐν ταῖς πράξεσι τῶν ἀποστόλων μέμνηται· ἦν δὲ τὸ δόγμα τοῦ Ἰούδα, ὡς Ἰώσηπος λέγει· ἐδίδασκε γὰρ μηδένα κύριον λέγειν μήτε κατὰ φιλοφροσύνην· καὶ τὰς θυσίας δὲ τὰς ὑπὲρ τῶν Ῥωμαίων βασιλέων προσφερομένας καὶ τῆς αὐτῶν σωτήριας ὡς μὴ ἐκ τοῦ Μωσέως οὖσας, ἀπέκοπτεν· ἐπὶ τούτοις ἀγανακτήσας ὁ Πιλάτος παρ' αὐταῖς ταῖς κατὰ τὸν νόμον προσφερομέναις θυσίαις ὑπ' αὐτῶν, κατέσφαξεν αὐτούς· λέγει οὖν αὐτὸς Χριστὸς ἁμαρτωλοὺς οὐ μὴν τῶν πεπονθότων χείρονας, ἁμαρτωλοὺς δὲ διὰ τὸ στασιάσαι αὐτούς. Cap. XIII. v. 1.

Ὅτι ὁ πύργος ἐφ' οὓς ἔπεσε, καὶ τοὺς δεκαοκτὼ κατέσχεν, 4.
ἐσήμαινε διὰ μὲν τοῦ πύργου, τὴν πόλιν· διὰ τῶν καταχωσθέντων, τοὺς ἑαλωκότας ὑπὸ Τίτου.

Ἡ τῆς συκῆς παραβολὴ, τὴν ἀκαρπίαν ἐλέγχει τῆς Ἱερου- 6.
σαλὴμ, φύλλα μόνον πικρὰ ποιούσης καὶ ἀνθηρὰ τῷ φαίνεσθαι, καρπὸν δὲ μὴ ἐχούσης· τρίτον λέγει ἐληλυθέναι, διὰ Μωϋσέως, διὰ τῶν προφητῶν, δι' ἑαυτοῦ.

Ἡ εὐαγγελικὴ συκῆ, ἡ ἀνθρωπότης ἐστίν· ὁ οἰκοδεσπότης, ὁ θεὸς καὶ πατήρ· ὁ δὲ ἀμπελουργὸς, ὁ υἱὸς τοῦ θεοῦ ὁ φιλοπονῆσαι καὶ ἐκκαθάραι τὸν ἀμπελῶνα ἐλθών. ὁ δὲ θεὸς καὶ πατὴρ ὁ καὶ οἰκοδεσπότης, ἐκεῖνός ἐστιν ὁ κελεύων τὴν συκῆν ὡς ἄκαρπον ἐκκοπῆναι· τὸ δὲ ἄφες αὐτὴν καὶ τούτῳ τῷ ἔτει λέγειν, διὰ νόμου καὶ προφητῶν οὐκ ἐβελτιώθησαν, καὶ τοῖς ἐμοῖς ἀρδευθῆναι δόγμασιν, ὡς εἰ μὲν ποιήσωσι καρπὸν εὖ· εἰ δὲ μὴ, εἰς τὸ μέλλον ἐκκόψεις, εἰς τὸν ἔπειτα αἰῶνα καὶ εἰς τὴν κρίσιν· ἔστι δὲ ἡ μὲν πρώτη ἀθέτησις, ἡ ἐν τῷ παραδείσῳ· ἡ δευτέρα, ἡ ἐν τῷ νόμῳ· ἡ τρίτη, ἡ ἐν τῇ χάριτι.

XIII. 11. Ἡ συγκύπτουσα χαμαὶ, ἔπαθε τοῦτο ἐκ σατανικῆς ἀγριότητος, ὡς παρεωραμένη παρὰ Θεοῦ δι' οἰκεῖα δηλονότι πταίσματα.

31. Τὸ ἔξελθε καὶ πορεύου ἐντεῦθεν τῶν Φαρισαίων λεγόντων, ἐκ φθόνου ἐστὶ, οὐδὲ γὰρ ἤθελον ὠφελεῖσθαι τινὰς, οὐδὲ θεοσημείας γίνεσθαι ἀπὸ φθόνου· ἐν δὲ τῷ λέγειν αὐτοὺς Ἡρώδης σε θέλει ἀποκτεῖναι, προφασιζόμενοι ἔλεγον καὶ ἐκφοβοῦντες· διὸ καὶ ὡς γινώσκων ὅτι ψεύδονται, λέγει· εἴπατε τῇ ἀλώπεκι ταύτῃ· καὶ τινὲς μὲν ἐνόμισαν, ἀλώπεκα τὸν Ἡρώδην λέγειν· οὐχ' οὕτως δὲ ἔχει· ἀλλὰ ἀλώπεκα λέγει τὴν ἐκείνων δολιότητα καὶ σκαιότητα, εὐφυέσατατα μέσῃ χρώμενος φωνῇ, οὐ γὰρ εἶπεν ἐκείνῃ τῇ ἀλώπεκι ἀλλὰ ταύτῃ· ἐπιπλήττων δὲ αὐτοὺς, λέγει· ἰδοὺ δαιμόνια ἐκβάλλω καὶ ἰάσεις ἐπιτελῶ· διὰ τοῦ εἰπεῖν τελειοῦμαι, τὸν θάνατον αὐτοῦ μηνύει, καὶ ὅτι ἑκὼν, καὶ οὔτε Ἡρώδης οὔτε αὐτοὶ, πρὸ καιροῦ τί ποιήσαιεν.

33. Τὸ οὐκ ἐνδέχεται προφήτην, ἔξω Ἱερουσαλὴμ ἀποθανεῖν λέγει αὐτὸν, ὡς κατηγορίαν εἰσάγει τὸν λόγον.

Cap. XIV. v. 15. Ὁ εἰπὼν μακάριος ὅς τις φάγεται ἄριστον ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν, οὐ τέλειος ἦν· ἐνόμιζε γὰρ σωματικὴν βρῶσιν εἶναι ἐν τῷ οὐρανῷ.

16. Τὸ ἄνθρωπός τις ἐποίησε δεῖπνον· ἄνθρωπον, τὸν θεὸν καὶ πατέρα λέγει· αἱ γὰρ εἰκόνες τῶν παραβολῶν, πλάττουσιν ἀλήθειαν· οὐκ αὗται δὲ πάντως εἰσὶν ἀλήθειαι· δεῖπνον φησὶ πεποίηκεν οὐκ ἄριστον· ἐπὶ γὰρ συντελείᾳ τὸ Χριστοῦ πάθος τὴν οἰκουμενικὴν πανήγυριν· ἐκάλεσε δὲ πολλοὺς, τὰ πλήθη τῶν Ἰουδαίων· τίς δὲ ὁ ἀπεσταλμένος ὃν καὶ δοῦλον φησὶν αὐτὸς ὁ Χριστὸς διὰ τὴν σάρκα; μορφὴν δούλου ἀνέλαβε· τί δὲ ἡτοίμασε τοῖς κεκλημένοις; ἁμαρτιῶν ἄφεσιν, υἱοθεσίας λαμπρότητα· τὸ δὲ ἤρξαντο ἀπὸ μιᾶς παραιτεῖσθαι, τοῦτό ἐστι· τὸ ἐξ ἑνὸς συνθήματος μηδένα λόγον ποιησαμένους τῆς κλήσεως, γεωδεστέροις ἀσυνέτως προσνενευκότες· κέκληνται δὲ ἀντ' ἐκείνων οἱ εἰς τὰς πλατείας καὶ τὰς ῥύμας, οἱ ἐκ τῆς ἰουδαϊκῆς πληθύος ἀσθενῆ τε

καὶ ἀγεννῆ τὴν διάνοιαν ἕως τινὸς ἔχοντες καὶ ἀφεγγῆ καὶ χω- XIV.
λεύουσαν· ὑγιεῖς δὲ καὶ εὔρωστοι διὰ τῆς εἰς Χριστὸν πίστεως·
τὸ δὲ ἔτι τόπος ἐστὶ, λέγει τὸν δειπνοκλήτορα, διὰ τοὺς ἀγροι-
κοτέρους λέγει πάντη καὶ κτηνοπρεπεῖς.

Τὸ ἐκ τῆς τοῦ πύργου οἰκοδομῆς ἡμῖν ὑποδηλούμενον τοῦ- 28.
τό ἐστιν· ἵνα οἱ τὴν εὐκλεᾶ ζωὴν κατορθοῦν ἑλόμενοι, τὴν ἀρ-
κοῦσαν ἐν τούτῳ προθυμίαν, τῷ ἑαυτῶν ἐγκαταθέμενοι νοῒ δια-
τελῶσιν.

Τὸ δὲ ἤ τίς βασιλεὺς πορευόμενος ἐν ἑτέρῳ βασιλεῖ συμβα- 31.
λεῖν εἰς πόλεμον καὶ τὰ ἑξῆς, τοῦτο σημαίνει, ὅτι πρὸς τὰς ἐναν-
τίας δυνάμεις ἔστιν ἡμῖν ὁ ἀγὼν, καθὼς ὁ ἀπόστολος φησίν· ἔτι
δὲ καὶ πρὸς τὸ φρόνημα τῆς σαρκός· διό τὸν θεὸν ἔχοντες βοη-
θὸν, μηδαμῶς περὶ εἰρήνης τοὺς ἐχθροὺς ἡμῶν δαίμονας ἐρω-
τήσωμεν, ὅπέρ ἐστι δουλωθῆναι τοῖς πάθεσιν· ἀλλὰ μᾶλλον ἀν-
τιστῶμεν αὐτοῖς, τὸν κραταιὸν θεὸν ἡμῶν εἰς ἀντίληψιν ὁλοψύ-
χως καὶ ἀδιαλείπτως ἐπικαλούμενοι.

Περὶ τῆς δραχμῆς φησὶν ὁ ἅγιος Γρηγόριος οὕτως· ὅτι λύχ- Cap. XV. v. 8.
νον ἧψε Χριστὸς, δηλονότι τὴν ἑαυτοῦ σάρκα, καὶ τὴν οἰκίαν
ἐσάρωσε τῆς ἁμαρτίας τὸν κόσμον ἀποκαθαίρων· καὶ τὴν δρα-
χμὴν ἐζήτησε, τὴν βασιλικὴν εἰκόνα συγκεχωσμένην τοῖς πάθε-
σι· καὶ συγκαλεῖ τὰς φίλας δυνάμεις ἐπὶ τῇ τῆς δραχμῆς εὑ-
ρέσει· καὶ κοινωνοὺς ποιεῖται τῆς εὐφροσύνης, ἃς καὶ τῆς οἰ-
κονομίας μύστιδας ἐπεποίητο.

Εἰπὼν ὁ δεσπότης Χριστὸς ὅτι ἄνθρωπός τις εἶχε δύο υἱοὺς, 11.
ἁμαρτωλοὺς λέγει καὶ δικαίους· νεώτερον δὲ λέγει τὸν υἱὸν, οὐ
διὰ τὸν χρόνον, ἀλλὰ διὰ τὸν τρόπον· τὸ δὲ δός μοι τὸ ἐπι-
βάλλον μέρος τῆς οὐσίας, ἀντὶ τοῦ αὐτεξούσιος ἐθέλω εἶναι καὶ
οὐχ' ὑπείκειν σοι· ἔδωκε δὲ αὐτῷ ὁ πατὴρ τὸ ἐπιβάλλον τὴν αὐ-
τεξουσιότητα, τὸν φυσικὸν νόμον· τὸ δὲ ἀπεδήμησεν, οὐ τοπι-
κῶς νοήσεις ἀλλὰ προαιρετικῶς, ἀπὸ θεοῦ ἀπέστη, καὶ ὁ θεὸς
ἀπ' αὐτοῦ· τὸ δὲ ἀνήλωσε τὴν οὐσίαν αὐτοῦ, τουτέστι τὸν ἔμ-
φυτον λογισμὸν, τὴν σωφροσύνην καὶ τὰ ἑξῆς· γέγονε δὲ αὐτῷ

XV. λιμὸς τοῦ ἀκοῦσαι λόγον Θεοῦ· ἐκολλήθη δέ, φησι, ἑνὶ τῶν πολιτῶν ἤγουν δαίμονι· διὸ ἔπεμψεν εἰς τοὺς ἀγροὺς αὐτοῦ βόσκειν χοίρους, χοιρώδη βίον ἔχειν· οὕτως γὰρ τιμῶσιν οἱ δαίμονες τοὺς τιμῶντας αὐτούς, ἔβοσκε δὲ χοίρους· χρονίσας γὰρ τῇ κακίᾳ, καὶ διδάσκαλος ἀσωτίας γίνεται· τὸ δὲ ἐπεθύμει ἐκ τῶν κερατίων ὧν ἤσθιον οἱ χοῖροι, καὶ οὐδεὶς ἐδίδου αὐτῷ, τοῦτο ἔστιν· ὅτι ἄλλους διδάσκων τὰ κακά, αὐτὸς τῶν κακῶν οὐκ ἐλάμβανε κόρον· κεράτια δὲ τὴν ἁμαρτίαν εἰκάζει, ὅτι γλυκέα ἐστὶν ἐκεῖνα καὶ τραχέα, ὥσπερ καὶ ἡ ἁμαρτία· εἰς ἑαυτὸν δὲ ἐλθών, τοῦτό ἐστι, λογισάμενος τὰ πρότερον, εἶπεν, πόσοι μίσθιοι τοῦ πατρός μου περισσεύουσιν ἄρτῳ, τουτέστι κατηχούμενοι ἀπὸ γραφῶν· ἀναστὰς ἦλθε πρὸς τὸν πατέρα· ἀναστὰς ἐκ τῆς ἡδονῆς, ἦλθε πρὸς τὸν Θεόν· ἔτι δὲ αὐτοῦ μακρὰν ὄντος, ἀντὶ τοῦ προέλαβεν ἡ εὐεργεσία τὴν μετάνοιαν· καὶ τὰ ἑξῆς ἔχει τὴν ἀκολουθίαν· ἐνέγκατε τὴν στολὴν τὴν πρώτην, τουτέστι τὴν πίστιν· καὶ δότε τὸν δακτύλιον τὴν σφραγίδα, τουτέστι τὸ βάπτισμα· καὶ ὑποδήματα τὴν εὐαγγελικὴν ὁδόν· μόσχον δὲ σιτευτὸν τὸν τυθέντα Χριστὸν ὑπὲρ τῆς οἰκουμένης τὴν μετάληψιν· καὶ ἤρξαντο εὐφραίνεσθαι· χαρὰ γὰρ γίνεται ἐν οὐρανοῖς ἐφ' ἑνὶ ἁμαρτωλῷ μετανοοῦντι· τὸ δὲ ὅτι ἐγόγγυσε ὁ πρεσβύτερος, οὐ φθόνον εἰσάγει τῷ ἁγίῳ ἐν τῷ σώζεσθαι τοὺς ἁμαρτωλούς, ἀλλὰ τὴν ὑπερβάλλουσαν φιλανθρωπίαν ἐμφάναι βουλόμενος τοῦτο λέγει· ὅτι δὲ ἡ παραβολὴ οὕτως λέγει, οὐ χρὴ πάντα τὰ τῆς παραβολῆς ἐρευνᾷν, ὅμως οὖν ὡς προασφαλίζεται τοὺς ἀγαθοὺς τοιαῦτα λέγων, μὴ δέξασθαι φθόνον ἐπὶ σωτήριᾳ ἁμαρτωλῶν· ἄλλοι δὲ λέγουσι τὸν μὲν πρεσβύτερον, ἀγγέλους· τὸν δὲ νεώτερον, ἀνθρώπους· ἕτεροι τοι μὲν πρεσβύτερον, τὸν κατὰ σάρκα Ἰσραὴλ δηλοῦσθαι· διὰ δὲ τοῦ νεωτέρου τὰ ἔθνη· ὁ δὲ ἅγιος Κύριλλος ταῦτα οὐ δέχεται.

Cap. XVI. v. 1. Ἄνθρωπός τις ἦν πλούσιος, ὃς εἶχεν οἰκονόμον, καὶ τὰ ἑξῆς· ἔστιν οὖν ὁ σκοπὸς ὡς πρὸς παραβολὴν μὴ πάντα ἔχουσαν· βούλεται γὰρ ὁ τῶν ὅλων Θεὸς ἵν' ἀπερισπάστως ὑπηρετῶμεν αὐ-

τῷ· δείκνυσι δὲ διὰ ταύτης ὅτι περ εἰ μὴ βούλοιντό τινες πᾶ- XVI.
σαν τὴν ἐπὶ γῆς αὐτῶν καταλιπεῖν περιουσίαν, κἂν οἰκονόμοι
γενέσθωσαν τῶν πτωχευόντων, συμμεριστὰς τῶν ὑπαρχόντων τού-
τους ποιούμενοι, ὅπως φίλους καὶ μάρτυρας τῆς εὐσπλαγχνίας
κτησάμενοι, ὅτ' ἂν αὐτοῖς ἡ ἐπίγειος ἐκλείποι ζωὴ, τύχωσι τό-
που τινός· εἰ δὲ μὴ βούλοιντο, ἀποπεσοῦνται πάντως τῆς οἰ-
κονομίας· καὶ διὰ τὴν ἀπανθρωπότητα, τῷ αἰωνίῳ παραδοθή-
σονται πυρί.

Τί ἐστι τὸ ὁ πιστὸς ἐν ἐλαχίστῳ; ἤγουν ἐν τῷ γηΐνῳ καὶ 10.
εὐτελεῖ τούτῳ πλούτῳ, καλῶς δαπανῶν εἰς τοὺς δεομένους· τοῦ-
τον τὸν πλοῦτον καὶ ἄδικον μαμωνᾶ λέγει ἐν τοῖς πνευματικοῖς·
ὁ δὲ τοὐναντίον καὶ ἐν ἐκείνῳ ἄπιστος.

Ὅτι ἀλλότριον τὴν τῶν κτημάτων περιουσίαν ὠνόμασεν, ὡς 12.
οὐκ ἐκ φύσεως, ἀλλ' ἐπίκτητα ἡμῖν ὄντα· ἐγὼ γὰρ καὶ τὰ ἐμὰ
καὶ τὰ ἔξωθεν ὡς οἱ ἔξω λέγουσιν.

Ἄνθρωπός τις ἦν πλούσιος· τὸ ὄνομα οὐ λέγει τοῦ πλου- 19.
σίου· λέγει γὰρ ὁ θεὸς περὶ τῶν μὴ φοβουμένων αὐτὸν, οὐ μὴ
μνησθῶ τῶν ὀνομάτων αὐτῶν διὰ χειλέων μου· ἔχει δὲ ὁ λό-
γος, ὡς ἦν ἐν Ἱεροσολύμοις Λάζαρός τις ὀνόματι, κατ' ἐκεῖνο τοῦ
καιροῦ ἐσχάτην νοσῶν πενίαν καὶ ἀῤῥωστίαν· οὗ μνημονεῦσαι λέ-
γεται τὸν κύριον ὡς εἰς παράδειγμα λαβόντα αὐτὸν γνωριζόμε-
νον· μηδεὶς δὲ νομιζέτω ὅτι γέγονεν ἤδη ἀνταπόδοσις· ἔστι γὰρ
παραβολὴ τὸ λεγόμενον.

Διὰ τί ἐν τοῖς κόλποις αὐτὸν Ἀβραὰμ ὁρᾷ; ἵνα λάβῃ συναί- 23.
σθησιν τῆς μισοξενίας τὸν φιλόξενον Ἀβραάμ.

Διὰ τί πρὸς τὸν Λάζαρον οὐ λέγει, ἀλλὰ πρὸς τὸν Ἀβραάμ; 24.
ἐπειδὴ ἐνόμιζε μνησικακεῖν αὐτῷ πάντως· οὐκ ἔχει δὲ ὅτι ἔλα-
βες, ἀλλ' ὅτι ἀπέλαβες ὡς ἀμοιβὴν τῆς αὐτοῦ προαιρέσεως· τὸ
δὲ χάσμα μέγα ἐστήρικται, τὴν τῶν δικαίων διαφορὰν αἰνίττε-
ται πρὸς τοὺς ἁμαρτωλούς· αἰτεῖ δὲ τὸν Λάζαρον ἀναστῆναι,
ἵν' ἰδόντες αὐτόν, φησι, πιστεύσωσι· τοῖς γὰρ προφήταις, οὐχ'
οὕτω πιστεύουσι· τοῦτο δὲ ὅτι ὡς μύθους τοὺς προφήτας ἔχου-

XVI. σιν, ἐξ αὐτοῦ ἐγίνωσκεν. ὅτι δὲ ὁ μὴ Μωσέως ἀκούων, οὐδὲ νεκροῦ ἀνισταμένου ἀκούσει, ἔδειξαν οἱ Ἰουδαῖοι μήτε Μωσέα πιστεύσαντες, μήτε τοὺς ὑπὸ Χριστοῦ ἐγερθέντας· κόλπους δὲ Ἀβραάμ, τὰς θειοτάτας λήξεις ὁ ἅγιος Διονύσιος λέγει.

Cap. XVII. v. 5. Ὅτι περὶ τῶν ἀρχαιοτέρων ἁγίων φησὶν ὁ ἀπόστολος διὰ πίστεως κατηγωνίσαντο βασιλείας· οἱ ἀπόστολοι οὖν τοῦτο εἰδότες, λέγουσι τῷ Χριστῷ· πρόσθες ἡμῖν πίστιν· οὐκ αἰτοῦσι δὲ πίστιν ἁπλῶς, οὐ γὰρ ἦσαν ἄπιστοι, ἀλλὰ προσθήκην πίστεως, τουτέστι τὴν εἰς τοῦτο βεβαίωσιν.

7. Ὅτι τὸ τίς ἐξ ὑμῶν δοῦλον ἔχων ποιμαίνοντα καὶ τὰ ἑξῆς, διδάσκει ὅτι τῆς δεσποτικῆς ἐξουσίας ἡ δύναμις ὡς ὄφλημα πανταχοῦ παρὰ τῶν οἰκετῶν ζητεῖ τὴν ὑποταγήν· οὐ γὰρ χάριν φησὶν ὁμολογήσει, κἂν εἰ γένοιτο παρ' αὐτοῦ πᾶν ὅπερ ἔδει γενέσθαι· ἀλλὰ μὴ πληροῦντος μὲν, κίνδυνος· πληροῦντος δὲ, οὐδεμία ἔσται χάρις.

21. Ἐν τῷ λέγειν ὅτι ἡ βασιλεία τοῦ θεοῦ ἐντὸς ὑμῶν ἐστι, τί λέγει; ὅτι ἐν ταῖς προαιρέσεσιν ὑμῶν, φησὶ, κεῖται τὸ ἐκλέξασθαι ταύτην.

22. Τί λέγειν βούλεται Χριστὸς ὅτ' ἂν φῇ, ἐλεύσονται ἡμέραι ὅτε ἐπιθυμήσετε μίαν τῶν ἡμερῶν τοῦ υἱοῦ τοῦ ἀνθρώπου ἰδεῖν, καὶ οὐκ ὄψεσθε· τουτέστι τῆς ἐπὶ γῆς συνδιαγωγῆς αὐτοῦ· καίτοι καὶ ἔσχατον συνόντες αὐτῷ· τοῦτο δὲ ἔλεγε διὰ τὰς θλίψεις ἃς ἔμελλον ὑπομένειν ὑπὸ τῶν τυράννων.

Cap. XVIII. v. 2. Τί ἂν εἴη ὁ κριτὴς οὗτος, λεγέτω Δαβὶδ, ὁ θεὸς κριτὴς δίκαιος καὶ ἰσχυρὸς καὶ μακρόθυμος· ὡς ἔστιν αὐτοῦ ἀκοῦσαι καὶ πάλιν λέγοντος· ὅτι οὔτε ἐξ ἐξόδων, οὔτε ἀπὸ δυσμῶν, οὔτε ἀπὸ ἐρήμων ὀρέων, ὅτι ὁ θεὸς κριτής ἐστιν· ἔχει δὲ ὡς πόλιν ἰδίαν ὁ θεὸς, ποίαν ταύτην; τὴν ἐκκλησίαν· δεδοξασμένα ἐλαλήθη περὶ σοῦ ἡ πόλις τοῦ θεοῦ· αὕτη ἡ πόλις μίμημά ἐστι τῆς οὐρανοπόλεως Ἱερουσαλήμ. Μήτε θεὸν φοβούμενος μήτε ἄνθρωπον ἐντρεπόμενος· ὁ γὰρ θεὸς οὔτε θεὸν ἔχει ὃν φοβηθήσεται, οὐδὲ ἄνθρωπον ὃν ἐντραπήσεται· προσωποληψία γὰρ οὐκ ἔστι παρ' αὐτῷ.

Πᾶσα ψυχὴ ἐκκλησιαστικὴ ἡ τὸν ποτὲ διάβολον ἄνδρα ἐάσασα καὶ ἀποῤῥίψασα, καὶ Χριστὸν ἐνστερνισαμένη, χήρα τυγχάνει, καὶ δεῖται καθ' ἑκάστην ἡμέραν καὶ νύκτα τοῦ κριτοῦ, λέγουσα ἐκδίκησόν με ἀπὸ τοῦ ἀντιδίκου μου· τίς δ' ἂν εἴη ὁ ἀντίδικος καθ' οὗ εὐχόμεθα νυκτὸς καὶ ἡμέρας, λεγέτω ὁ ἀπόστολος Πέτρος· τεκνία, ὁ ἀντίδικος ὑμῶν διάβολος, ὡς λέων ὠρυόμενος διέρχεται ζητῶν τίνα καταπιεῖν. XVIII. 3.

Ὅτι ὁ κριτὴς τῆς ἀδικίας, οὐκ ἔστιν ὁ Θεὸς, ὡς οἱ πολλοὶ φλυαροῦντες λέγουσιν, ἀλλὰ τὶς ἦν κρίτης ἄδικος κατ' ἐκεινοκαιροῦ, ὡς ὁ Χρυσόστομος λέγει, πρὸς ὃν ἐξ αὐτοῦ τὴν παραβολὴν ποιεῖται Χριστός· βούλεται δὲ διὰ τούτου δεῖξαι, μὴ ἐκκακεῖν ἐν τῷ προσεύχεσθαι· ἐν δὲ τῷ λέγειν, πόσῳ μᾶλλον ὁ πατὴρ ὑμῶν ὁ οὐράνιος, ἄλλον εἶναι τὸν ἄδικον κριτὴν, καὶ ἄλλον τὸν Θεόν. 6.

Ἀλλ' ὅτε ἀκούσῃς τὸν Θεὸν κριτὴν ἀδικίας, μὴ φοβηθῇς εἰπεῖν αὐτὸν κριτὴν ἀδικίας καὶ οὐ δικαιοσύνης· δικαίῳ γὰρ νόμος οὐ κεῖται.

Τοῦ φαρισαίου καὶ τοῦ τελώνου ἡ παραβολὴ ὑποδείκνυσιν 10.
ὅτι ἐπιστημόνως δεῖ προσεύχεσθαι· πολλὰ γὰρ αὐτοῦ τὰ ἐγκλήματα· ἐθαύμασε γὰρ αὐτὸς αὐτὸν, καὶ πολλοὺς ἑτέρους σὺν τῷ τελώνῃ κατέκρινεν· ἀληθὲς οὖν τὸ γεγραμμένον ῥητὸν, ὅτι ἐστὶ δίκαιος ἀπολλύμενος ἐν δικαίῳ αὐτοῦ.

Ὅτι πῶς ὁ μὲν φαρισαῖος μεγαλορημονήσας ἐπὶ τοῖς οἰκείοις 14.
δικαιώμασι κατακέκριται, ὁ δὲ Ἰὼβ ἐπὶ τούτῳ αὐτῷ μᾶλλον καὶ δεδικαίωται; ὅτι οὗτος μὲν μηδενὸς ἀντιπίπτοντος καὶ παρακινοῦντος ἢ ἐρεθίζοντος, μεγαλορημονεῖ· ὁ δὲ ἐν μὲν τῷ εὐδοκιμεῖν, ἔκρυβεν ἑαυτόν· ἐν δὲ τῷ κατηγορεῖσθαι ὑπὸ τοῦ Ἐλιφὰζ ἢ τοῦ διαβόλου, ἀποδύεται τὰ ἐπιφερόμενα ἐγκλήματα· τοῦ Πηλουσιώτου.

Ὅτι λέγει ὁ εὐαγγελιστὴς ὅτι οὐδὲν τοῦτο συνῆκαν, ἀλλ' ἦν 34.
τοῦτο τὸ ῥῆμα κεκρυμμένον ἀπ' αὐτῶν· ἤγουν περὶ τῆς ἀναστάσεως· διὰ τί; ἐπειδὴ οὐδέπω ᾔδεισαν ἀκριβῶς τὰ παρὰ τῶν προφητῶν ἐπ' αὐτῷ λεγόμενα ὡς ἁλιεῖς.

XVIII. 35. Ὅτι ὁ τυφλὸς ἀκούων τῶν γραφῶν, καὶ ἀπὸ τοῦ Δαβὶδ καὶ θεὸν εἶχεν αὐτὸν, καὶ ἐπιςομιζόμενος οὐκ ἔπαυεν· ὅθεν καὶ ἀκούει ἡ πίστις σου σέσωκέ σε· ἀφίησι δὲ αὐτὸν λαλεῖν καὶ βοᾷν, τὴν πίστιν αὐτοῦ δεικνύων τοῖς συνοῦσιν.

42. Ὅτι φῶς γέγονεν ἡ φωνὴ τῷ τυφλῷ, ἐκ φωτὸς γὰρ ἦν ὁ λόγος ἀληθινοῦ· οὗτος ἰαθεὶς ἠκολούθει αὐτῷ.

Διὰ τί ὁ Ζακχαῖος ὁ τελώνης ὑποδεξάμενος Χριστὸν, τοῖς ἠδικημένοις τετραπλοῦν ἀπέδωκε; κατὰ τὸν νόμον τοῦτο πεποίηκε τὸν κελεύοντα ἀντὶ ἑνὸς τέσσαρα πρόβατα ἀποτιννύειν.

Cap. XIX. v. 8. Ὁ μὲν Ζακχαῖος ἀγνοῶν ὃ ἐποίει θερμῷ ζήλῳ φερόμενος καὶ θείῳ ἔρωτι φλεγόμενος, ἐπὶ συκομοραίαν ἀνέτρεχεν· ὁ δέ γε κύριος μυστικόν τι θεωρήσας, ἔλεγε κατάβηθι ἐντεῦθεν, κατάβηθι ἀπὸ τῆς συκομοραίας· μνήσθητι ὅτι ὁ Ἀδὰμ γυμνωθεὶς, ἐπὶ τὴν συκῆν ἐκρύπτετο· σὺ θέλων σωθῆναι, ἐπὶ συκῆν μὴ ἀνάτρεχε· δεῖ με τοῦτο τὸ σύκομόρον ξηράναι, καὶ ἄλλο φυτεῦσαι σταυρόχριστον δένδρον.

12. Ὁ σκοπὸς τῆς παρούσης παραβολῆς, ὅλην παριστᾷ τῆς Χριστοῦ οἰκονομίας τὴν δύναμιν· ἄνθρωπος γὰρ ὢν ἀνέβη λαβεῖν ἑαυτῷ βασιλείαν· δηλονότι ἐνανθρωπήσαντι τῷ υἱῷ ὁ πατὴρ καὶ ἡ τοῦ λόγου ὑπόστασις δέδωκε τῷ προσλήμματι τὴν βασιλείαν· οἱ δὲ μισοῦντες αὐτὸν οἱ πολῖται, αὐτοί εἰσιν οἱ Ἰουδαῖοι· ποίους δὲ δούλους καλέσας τούτοις διένειμε τὰς δέκα μνᾶς; τοὺς τελείους τὴν ἕξιν, τοὺς μυςαγωγεῖν ἑτέρους εἰδότας· ὑποστρέψαντος μετὰ τὸ λαβεῖν τὴν βασιλείαν τοῦ ἀνθρώπου τοῦ εὐγενοῦς, εὐγενοῦς διὰ τὴν θεότητα ὄντος, ἐντρυφήσουσι δεκαπλασιάσαντες καὶ πενταπλασιάσαντες· ἐπάνω οὖν δέκα πόλεων ἢ πέντε γενήσονται· τουτέστι δοξασθήσονται πλειόνως ἢ πρότερον· ἀτιμία δὲ ἔςαι τοῖς ὄκνῳ νικηθεῖσι· τῷ δὲ κρύψαντι τὸ τάλαντον, τουτέστι τὴν χάριν ἣν ἕκαστος ἔλαβε λέγει· διὰ τί τοῖς τραπεζίταις, τουτέστι διὰ τί μὴ προύθηκας εἰς ἀπολαύσιν τοῖς εὖ εἰδόσι δοκιμάζειν τὰ παρὰ σοῦ; ἐγὼ γὰρ ἐλθὼν, ἔπραξα ἂν, τουτό ἐστιν ἀπήτησα σὺν τόκῳ τὸ ἐμόν· καὶ οἱ μὲν ἀπέλαβον τὰ

ἀγαθά· οἱ δὲ μὴ θελήσαντες τὸν εὐγενῆ ἄνθρωπον βασιλεῦσαι XIX.
ἐπ' αὐτοὺς, κατεσφάγησαν ἔμπροσθεν αὐτοῦ· λέγει δὲ ἅπερ ἔπαθον ἔσχατον ἐν τῇ ἁλώσει· καὶ ἐν τῇ φοβερᾷ αὐτοῦ ἐλεύσει, πάντες ὡς σφαγῇ τῇ κολάσει παραδοθήσονται.

Ὅτι ἐδάκρυσεν ἐπὶ Ἱερουσαλὴμ ὁ φιλανθρώπος κύριος· ἵνα 41.
δείξῃ ὅτι λυπεῖται περὶ αὐτῆς, ὅθεν καὶ μετὰ τριακονταπέντε ἔτη τῆς ἀναλήψεώς αὐτοῦ, ἡ ἅλωσις γέγονεν, ἀναβολὴν μετανοίας
τοῦ θεοῦ ποιουμένου περὶ αὐτῆς· τὸ δὲ εἰ ἔγνως καὶ σὺ τὰ πρὸς 42.
εἰρήνην, τοῦτό ἐστιν, ὅτι χρήσιμα καὶ ἀναγκαῖα πρὸς τὸ εἰρηνεῦσαι θεῷ διὰ τῆς πίστεως καὶ τῆς χάριτος, οὐκ ἂν τοιαῦται σε θλίψεις περιέμενον, ἀλλ' ἐκρύβη φησὶν ἀπὸ ὀφθαλμῶν σου· ἀντὶ τοῦ ἑκουσίως οὐκ ἠθέλησας εἰδέναι· καιρὸν δὲ λέγει τῆς ἐπισκοπῆς σȣ ἣν αὐτὸς ἐποιήσατο κατελθὼν ὡς ἐπισκεψάμενος αὐτούς.

Ὅτι ἡ χήρα δύο ὀβολοὺς προσήγαγε, ταῦτα γάρ εἰσι τὰ Cap. XXI.
λεπτὰ, προσεδέχθη δὲ ὑπερβαλλόντως· ὅτε ὥσπερ ἀποκτωμένη v. 2.
ὅλον αὐτῆς τὸν βίον, μεγαλοψύχως πάντα προσήγαγεν.

Ὅτι εἰπὼν ἐπεθύμησα τοῦτον τοῦ πάσχα φαγεῖν μεθ' ὑμῶν, Cap. XXII.
δείκνυσιν ὅτι ἑκουσίως ἔπαθεν. v. 15.

Πῶς νοεῖται τὸ λέγειν αὐτὸν ἐγὼ ἐν μέσῳ ὑμῶν εἰμι ὡς δια- 27.
κονῶν; τοῦτο διὰ τὸ πρόσλημμα λέγει.

Τὸ ἵνα ἐσθίητε καὶ πίνητε ἐπὶ τῆς τραπέζης μου ἐν τῇ βα- 30.
σιλείᾳ μου, διὰ τὴν τῶν ἁγίων ἐκεῖθεν λαμπρότητα λέγει, ἀπὸ μεταφορᾶς τῶν συναριστώντων τοῖς βασιλεῦσιν.

Διὰ τί τοὺς ἄλλους ἀφεὶς, πρὸς τὸν Πέτρον φησὶ, Σίμων Σί- 31.
μων, ἰδοὺ ὁ σατανᾶς ἐξῃτήσατο ὑμᾶς σινιάσαι ὡς τὸν σῖτον; ἵνα παιδεύσῃ αὐτὸν μὴ ἑαυτῷ θαῤῥεῖν· τί δέ ἐστι σινιάσαι; ταράξαι, βλάψαι· ἔθος γὰρ τῷ σατανᾷ τοὺς εὐδοκιμοῦντας ἐξαιτεῖσθαι, ὥσπερ καὶ ἐπὶ Ἰώβ.

Τὸ δὲ λέγειν αὐτὸν ἐγὼ ἐδεήθην περὶ σοῦ, ἔδειξεν ὅτι ὡς 32.
ἄνθρωπος προσεύχεται· τὸ δὲ ἐπιστρέψας στήριξον τοὺς ἀδελφούς σου, ἵνα μὴ εἰς ἀπόγνωσιν ἐμπέσωσιν, ἀντὶ τοῦ γενοῦ στήριγμα καὶ διδάσκαλος τῶν διὰ πίστεως ἰόντων.

XXII. 35. Πῶς πρὸ τούτου μὲν πήραν καὶ χαλκὸν καὶ ῥάβδον καὶ τὰ
ἄλλα λέγει μὴ κεκτῆσθαι, νῦν λέγει ὅτι ὁ ἔχων φησὶ βαλάν-
τιον ἀράτω ὁμοίως καὶ πήραν· καὶ ὁ μὴ ἔχων, πωλησάτω τὸ
ἱμάτιον αὐτοῦ καὶ ἀγορασάτω μάχαιραν; κατ᾽ ἀρχὰς μὲν πεῖραν
τῆς αὐτοῦ δυνάμεως διδοὺς, ἔδειξεν ὅτι ἐκεῖνον ἔχοντες, οὐδε-
νὸς δέονται τούτων εἰς τὸ κήρυγμα, ὡς πρὸς τὰ ἔθνη ἀπερχό-
μενοι· πρὸς δὲ τῷ τέλει τοῦ πάθους, τὴν ἐν Ἰουδαίᾳ νῦν ἐσο-
μένην αὐτῶν πτωχείαν αἰνίττεται, ὅτι στερηθήσονται πολλῶν τέως
καὶ πεινάσουσι καὶ γυμνοὶ ἔσονται, καὶ ἐν τούτοις τὴν οἰκείαν
φιλοσοφίαν ἐνδείξονται· ἔτι δὲ τοῦτο λέγει ἵνα καὶ μετριάζειν
μάθωσιν· ἔτι δὲ ἵνα καὶ παρ᾽ ἑαυτῶν τὶ εἰσενέγκωσιν, ἀλλὰ μὴ
τὸ πᾶν ὥσπερ ἐν ἀψύχοις τισὶ τῆς τοῦ θεοῦ ῥοπῆς νομίζεται·
ἐν δὲ τῷ λέγειν ἀγοράσαι μαχαίρας, τὴν ἔφοδον τῶν Ἰουδαίων
προλέγει τὴν κατ᾽ αὐτοῦ, ταῦτα λέγων δι᾽ αἰνίγματος· καθα-
ρῶς δὲ οὐ βούλεται λέγειν τὴν προδοσίαν, ἵνα μὴ θορυβήσῃ αὐ-
τούς· εἰπόντων δὲ ἰδοὺ κύριε ὧδε δύο μάχαιραι, καὶ τὸ λεχ-
θὲν μὴ συνιέντων, αὐτός φησιν, ἱκανόν· εἰ μὲν οὖν ἀνθρωπίνης
βοηθείας ἐδεῖτο, οὐδὲ εἰ ἑκατὸν ἦσαν μάχαιραι ἱκαναὶ ἦσαν·
ἐπειδὴ δὲ μὴ τοῦτο, καὶ αἱ δύο περιτταί· ὥστε χάριν μηνύσεως
τῆς προδοσίας ταῦτα λέγει· ἵνα γνῶσιν ὅτι προεγίνωσκεν, οὐχ᾽
ἕνεκεν τοῦ χρῆσθαι τὰ εἰρημένα.

44. Ὅτι ἵδρωσεν ὡσεὶ θρόμβους αἵματος, τὴν ἀνθρωπότητα δη-
λῶν· τὸ δὲ ἐνίσχυσεν αὐτὸν ἄγγελος, οὐχ ὡς δεόμενον, ἀλλ᾽ ἵνα
πληρωθῇ τὸ ῥητὸν τὸ λέγον, καὶ ἐνισχυσάτωσαν αὐτῷ πάντες
ἄγγελοι θεοῦ· τοῦτό ἐστι διὰ τὴν ὑπερβολὴν τῆς θαυμασιότη-
τος δοξολογῶν αὐτὸν ὁ ἄγγελος ἐφαίνετο οἷα λέγων, σή ἐστιν
ἡ ἰσχὺς δέσποτα, σὺ γὰρ ἴσχυσας κατὰ θανάτου, ἐλευθερώσας
τὸ γένος τὸ τῶν ἀνθρώπων.

Cap. XXIII. v. 2. Ὅτι ἄπιστος ἦν ἡ κατηγορία ἣν κατηγορεῖτο Χριστὸς ὑπὸ
Ἰουδαίων· οὔτε γὰρ φόρον ἐκώλυσε Καίσαρι δοῦναι, ἀλλὰ μᾶλ-
λον καὶ αὐτὸς δέδωκεν· οὔτε γὰρ βασιλεῦσαι ἠβούλετο, ἀλλὰ καὶ
βουλομένων αὐτῶν τοῦτο ποιῆσαι, ἀνεχώρησεν ἐκεῖθεν· ἀλαζο-

νικὸς οὐκ ἦν, πεζὸς γὰρ ὥδευε· καὶ τοῦτο ἐνόησε μὲν ὁ Πιλά- XXIII.
τος· ἐρωτᾷ δὴ χλευάζων αὐτούς, σὺ εἶ ὁ βασιλεὺς τῶν Ἰου-
δαίων, εἰ καὶ ὁ κύριος τὸ ὄντως εἶναι βασιλεὺς οὐκ ἀρνεῖται.

Διὰ τί πρὸς Ἡρώδην παρὰ Πιλάτου πεμφθεὶς, οὐδὲ ἀπο- 7.
κρίνεται, ἐπειδὴ οὐκ ἔδει πρὸς ἄνθρωπον ἀποκρίνεσθαι οὐδὲν
ἄξιον ἀποκρίσεως ἔχοντα· πάλιν δὲ οὐδὲ διδασκαλίας ἦν ὁ και-
ρὸς, οὐδὲ ἐπιδείκνυσθαι σημείων δύναμιν, τῷ πρὸς τεραστίων
ὄψιν φιλοθεάμονι μᾶλλον, ἢ σημεῖα θείας δυνάμεως ἰδεῖν βου-
λομένῳ.

Ὅτι Ἡρώδης χλευάζει τὸ σεμνὸν καὶ τίμιον· μαρτυρεῖ δὲ 11.
δι' ὧν χλευάζει ὅτι μηδὲν ἄδικον ἔπραξε Χριστὸς, οὐ γὰρ ἐσθῆ-
τος ἔδει λαμπρᾶς ἐπὶ τοῦ κακόν τι δεδρακότος ἢ εἰρηκότος· ὅθεν
Ἰουδαῖοι καὶ οὕτω καταισχύνονται, ἐκ τοῦ δικαστηρίου καὶ τῆς
κατηγορίας αὐτῶν, ἀπιόντος τοῦ κατηγορουμένου μετὰ λαμπρᾶς
ἐσθῆτος· εἰ καὶ διαπαίζων Ἡρώδης ἐποίει τοῦτο, οὐκ ἂν δὲ τοῦ-
το διεπράξατο εἴπερ ὀργῆς ἦν καιρός· μαρτυρεῖ δὲ αὖθις καὶ
ὁ Πιλάτος ὅτι ψῆφος ἦν αὕτη τοῦ Ἡρώδου, μηδὲν ἠδικηκέναι
τὸν κύριον· ἐξ ὧν πρὸς τοὺς ἀρχιερεῖς καὶ τοὺς ἄρχοντας (εἶπε)
ὅτι προσηνέγκατέ μοι τὸν ἄνθρωπον τουτονὶ ἀποστρέφοντα τὸν 14.
λαὸν, καὶ ἰδοὺ ἐγὼ ἐνώπιον ὑμῶν ἀνακρίνας, οὐδὲν εὗρον ἐν τῷ
ἀνθρώπῳ τούτῳ ὧν κατηγορεῖτε αὐτοῦ, ἀλλ' οὐδὲ Ἡρώδης.

Ὅτι πάτριον ἦν αὐτοῖς κατὰ ἑορτὴν ἀπολύειν ἕνα· ὅπερ εἰ- 17.
δὼς ὁ Πιλάτος, συνεβούλευσε τοῦτον μᾶλλον ἀπολῦσαι, ἀλλ' ὁ
φθόνος οὐκ εἴασεν.

Διὰ τί ἐπιτιμᾷ τὰς κλαιούσας γυναῖκας ὅτι ἐπὶ τὸν σταυ- 28.
ρὸν ἤρχετο; ὡς τροπαιοῦχος τοῦ θανάτου· τῷ μὲν γὰρ ἄκοντι
συμπάθεια παράκλησιν φέρει, τῷ δὲ ἑκόντι, ὕβριν· διὰ τοῦτο
ἐπετίμησε ταύτας· καὶ τὰ μέλλοντα συμβήσεσθαι προεμήνυσεν,
ἅπερ ὁ Ῥωμαίων πόλεμος εἰργάσατο.

Ξύλον ὑγρὸν ἑαυτὸν λέγει, διὰ τὴν ἐν τῷ σώματι αὐτοῦ 31.
θείαν ζωὴν τὴν ἀμάραντον, καὶ τὸ ἔγκαρπον καὶ εὐθαλές· ὃ δὲ
λέγει, τοιοῦτό ἐστιν· εἰ ἐμέ φησι τοιαύταις δειναῖς ὑποβεβλή-

XXIII. κασιν ἀτιμίαις οἱ Ῥωμαίων στρατιῶται καὶ ὁ τούτων στρατηγός Πιλάτος, τί δράσουσιν ὑμῖν τῷ ξηρῷ ξύλῳ καὶ ἀκάρπῳ τῷ λαῷ τῶν Ἰουδαίων προσπολεμοῦντα τὰ τῶν Ῥωμαίων στρατόπεδα, μηδὲν ἐπ' αὐτῷ τῷ λαῷ τῶν Ἰουδαίων δηλονότι τεθαυμασμένων καὶ καρπὸν δικαιοσύνης ἐχόντων βλέποντες, ἐφ' οἷς ἦν εἰκὸς τιμῆς καὶ φειδοῦς ἀξιωθῆναι τῆς παρ' αὐτῶν; μᾶλλον δὲ κατακαύσουσιν ὑμᾶς ὥσπερ ξύλον ξηρόν, ἤγουν πολιορκήσουσι τῆς εἰς τὸν σωτῆρα δυσσεβείας ἕνεκεν.

39. Πῶς Ματθαῖος μὲν καὶ Μάρκος τοὺς δύο λέγουσι λῃστὰς ὀνειδίσαι τὸν κύριον, Λουκᾶς δὲ τὸν ἕνα; ὅτι ἐν ἀρχῇ μὲν οἱ δύο λῃσταὶ παραπλήσια τοῖς Ἰουδαίοις ἐφθέγγοντο, χαριζόμενοι αὐτοῖς εἴπως τινὰ βοήθειαν εὕροιεν παρ' αὐτῶν· ἐπειδὴ δὲ ἅπερ προσεδόκουν ἤργησαν, θάτερος τῶν λῃστῶν, αὐτός τε ἀνένηψε καὶ τὸν ἄλλον εἰς τοῦτο προετρέπετο· πόθεν δὲ ὁ εἷς ἀνένηψεν, οὔπω γὰρ ἦν τὰ κατὰ τὸν σταυρὸν θεασάμενος θαύματα; ἐκ τῶν λόγων ἴσως ὧν περ ὁ κύριος παῤῥησίᾳ εἶπεν πρὸς τὸν πατέρα, πάτερ ἄφες αὐτοῖς τὴν ἁμαρτίαν ταύτην· οὐ γὰρ οἴδασι τί ποιοῦσιν.

42. Ὅτι ὁ μὲν Ματθαῖος καὶ Μάρκος ἐπειγόμενοι πρὸς ἕτερα εἰπόντες ἕως οὗ ὠνείδιζον αὐτὸν οἱ λῃσταὶ, τὰ λοιπὰ τῆς ἱστορίας τῆς περὶ τὸν σταυρὸν παρέλιπον, Λουκᾶς δὲ ἀφέμενος τῶν προτέρων, ὡς παρὰ τοῖς ἄλλοις εἰρημένων, τὰ παραλειφθέντα ἐκείνοις, τουτέστι τὴν τοῦ ἑνὸς λῃστοῦ ἐπίγνωσιν ἱστορεῖ, ἀπὸ τῆς φωνῆς ἀρξάμενος ἣν ὁ κύριος εἶπεν, πάτερ ἄφες αὐτοῖς.

43. Πῶς ἡ τοῦ δεσπότου ὑπόσχεσις εἰς τὸν λῃστὴν πεπλήρωται; ὡς θεοῦ· εἰ γὰρ καὶ ἐν ᾅδῃ ὑπῆρχε, καὶ ἐν οὐρανῷ, ἀλλὰ καὶ ἐν τῷ παραδείσῳ ὡς θεός.

Ὅτι καὶ τοῦ ἀποστόλου λέγοντος ἵνα μὴ χωρὶς ἡμῶν τελειωθῶσι, πῶς ἀπελάβεν ὁ λῃστὴς τὸν παράδεισον; ὅτι οὐκ αὐτή ἐστιν ἡ ἐπαγγελία ἣν Παῦλος λέγει, ἀλλὰ τὰ οὐράνια ἀγαθά· οὐ γὰρ εἰς παράδεισον ἡμῖν ἐπαγγέλλεται ὁ θεὸς εἰσελθεῖν (1).

(1) Recole dicta ad Procopium in Proverb. p. 121. n. 1.

Ποῦ πεπλήρωται τὸ λεγόμενον, ὅτι ὅτ' ἂν ὑψωθῶ, τότε πάν- XXIII.
τας ἑλκύσω πρὸς ἐμαυτόν; τοῦτο καὶ ἐπὶ τοῦ σταυροῦ πεπλή-
ρωται, καὶ ἐπὶ τῆς ἀναλήψεως· ἐπὶ μὲν τοῦ σταυροῦ, ὅτι ἤρ-
ξατο σαγηνεύειν πολλούς, ὅθεν καὶ ὁ ἑκατόνταρχος ἰδὼν τὰ γι-
νόμενα, ἐδόξασε τὸν θεόν· καὶ ὁ λῃστής, μὴ ἰδών· ἔτυπτον δὲ
καὶ τὰ στήθη τῶν Ἰουδαίων τινές, κατανυττόμενοι πάντως καὶ
εἰς ἐπίγνωσιν ἐρχόμενοι.

Διὰ τί ἐπιφαίνεται τοῖς μαθηταῖς τοῖς πορευομένοις εἰς Ἐμ- Cap. XXIV. v. 15.
μαοῦς; ἐπειδὴ ἀπιστίᾳ εἴχοντο τέως· καὶ πῶς, ἄκουσον· λέγουσι
γὰρ ὅτι ἡμεῖς ἠλπίζομεν ὅτι αὐτός ἐστι· καὶ τῶν γυναικῶν δὲ οἱ
λόγοι ὡσεὶ λῆρος ἐφάνησαν, καὶ ἄλλα λέγουσιν τοιαῦτα πολλά.

Διὰ τί μετὰ τὴν ἀνάστασιν ὁμιλῶν αὐτοῖς ἄφαντος ἐγίνετο 31.
ἀπ' αὐτῶν; ἵνα εἰς πλείονα πόθον αὐτοὺς ἐφελκύσηται, ἄλλως
τε δὲ καὶ οὐκ εἶχε, φησίν, ἔτι τὸ σῶμα τὸ θεῖον ἐκεῖνο οὕτως
ὡς πρότερον συνδιάγειν μετ' αὐτῶν ἀεί· λεπτότερον γὰρ ἦν καὶ
θεοειδέστερον.

Ὅτε οὐκ αὐτῇ τῇ ὥρᾳ εὗρον τοὺς δώδεκα καὶ ἀπήγγειλαν 33.
τὰ κατὰ τὸν κύριον καὶ τὴν ὁδόν, ἀλλὰ μετά τινας ὥρας ὅσας
εἰκὸς ἦν αὐτοῖς ποιῆσαι τὸ διάστημα τῶν ἑξήκοντα σταδίων βα-
δίζοντας· ἐν αἷς διὰ μέσου καὶ ὁ δεσπότης ὤφθη τῷ Σίμωνι·
κἀκεῖνοι μὲν ἔλεγον τοῖς δυσὶ ὅτι ὄντως ἠγέρθη ὁ κύριος καὶ
ὤφθη τῷ Σίμωνι, αὐτοὶ δὲ ἐξηγοῦντο τὰ ἐν τῇ ὁδῷ, καὶ ὡς
ἐγνώσθη αὐτοῖς ἐν τῇ κλάσει τοῦ ἄρτου· ταῦτα δὲ φησὶ λαλούν-
των αὐτῶν, αὐτὸς ἔστη ἐν μέσῳ αὐτῶν, οὐκέτι κρατουμένων τῶν
ὀφθαλμῶν αὐτῶν.

Ὅτι τὸ εὐλογήσας αὐτοὺς ἀνεφέρετο εἰς τὸν οὐρανόν, μετὰ 51.
τεσσαράκοντα ἡμέρας χρὴ νοεῖν γεγονέναι.

ΚΑΤΑ ΙΩΑΝΝΗΝ.

CAP. I.

v. 1. Διὰ τί ἀπὸ θεολογίας ἤρξατο; ἵνα μὴ τῇ τῶν ἄλλων εὐαγ-
γελιστῶν κατὰ σάρκα γεννήσει ἀκολουθῶν, νομίσωσι τὸν Χριστὸν
οἱ ἄνθρωποι ψιλὸν ἄνθρωπον· ἀλλ᾽ οὖν οὐδὲ οὗτος τῆς οἰκονό-
μίας ἠμέλησεν· ἀλλ᾽ οὐδὲ ἐκεῖνοι τὰ κατὰ σάρκα λέγοντες, τῆς
θείας γεννήσεως ἠμέλησαν.
Διὰ τί εἶπεν ἐν ἀρχῇ; διὰ τὸ τοὺς ἀνθρώπους τὸ πρεσβύ-
τερον τιμᾷν, καὶ τίθεσθαι θεόν.
Διὰ τί ἀφεὶς τὸν πατέρα, περὶ τοῦ υἱοῦ διαλέγεται; διότι
ἐκεῖνος δῆλος ἦν, κᾂν μὴ ὡς πατὴρ, ἀλλ᾽ οὖν ὡς θεός· ὁ δὲ
υἱὸς ἠγνοεῖτο.
Τὸ δὲ ἦν οὐδὲν ἕτερον δηλοῖ, εἰ μὴ τοῦ εἶναι δηλωτικὸν
καὶ ἀπείρως εἶναι.
Λόγον δὲ αὐτὸν καλεῖ, ἵνα μὴ παθητὴν τὴν γέννησιν ὑπο-
λάβωμεν, καὶ διὰ τὸ ἀπαγγεῖλαι τὰ τοῦ πατρός.
Διὰ τί λόγον εἶπεν μετὰ τῆς τοῦ ἄρθρου προσθήκης; ὅπως
τῶν λοιπῶν λόγων χωρίσῃ· οὐσίᾳ γὰρ ἀπαθὴς οὗτος καὶ θεός.
Ὅτι θεὸν καὶ θεὸν εἰπὼν, καὶ γὰρ θεός φησιν ἦν ὁ λό-
γος, οὐκ ἐμφαίνει τί μέσον τῆς θεότητος· ἐπειδὴ οὐχ ἧττον θεὸς
ὁ υἱός.
2. Ὅτι διὰ τοῦ ἐν ἀρχῇ ἦν, τὸ ἀΐδιον αὐτοῦ δείκνυσι· διὰ
δὲ τοῦ οὗτος ἦν ἐν ἀρχῇ πρὸς τὸν θεὸν δηλοῖ· ὅτι μὴ νομίσῃς
πρεσβυτέραν εἶναι φησὶ τὴν ὕπαρξιν τοῦ πατρός· ὡς γὰρ τὸ
ἀπαύγασμα τοῦ ἡλίου ἐξ αὐτῆς ὂν τῆς τοῦ ἡλίου φύσεως, οὐχ᾽
ὕστερον εἶναι φαμὲν τῆς ἡλιακῆς φύσεως, οὕτω καὶ ὁ λόγος καὶ
ἐξ αὐτοῦ καὶ οὐχ᾽ ὕστερον αὐτοῦ.
3. Ὅτι τὰ πάντα δι᾽ αὐτοῦ ἐγένετο· τουτέστιν οὐ τὰ αἰσθητὰ
καὶ ἁπτὰ, ἀλλὰ καὶ τὰ νοητά.

Οὐ χρὴ δὲ τὴν τελείαν στιγμὴν οὐδὲ ἐν ἐπιθεῖναι, κατὰ τοὺς 1.
αἱρετικούς, ἐκεῖνοι γὰρ οὕτως λέγουσιν· ὃ γέγονεν, ἐν αὐτῷ ζωὴ
ἦν· βουλόμενοι τὸ πνεῦμα τὸ ἅγιον, κτίσμα λέγειν· εἶτα εἰπὼν
περὶ τῆς δημιουργίας, ἐπάγει καὶ περὶ της προνοίας· ἵνα γὰρ
μὴ ἀπιστῶσιν ὅτι πῶς ἔκτισε, λέγει ἐν αὐτῷ ζωὴ ἦν· τουτέστιν
ὅτι ἐν αὐτῷ ζῇ πάντα καὶ ἐν αὐτῷ προνοεῖται· ὃ καὶ περὶ τοῦ
πατρός· ὅτι ἐν αὐτῷ ζῶμεν, καὶ κινούμεθα, καὶ ἐσμέν.

Τί ἐστι καὶ ἡ ζωὴ ἦν τὸ φῶς τῶν ἀνθρώπων; νοητὸν φῶς 4.
λέγει τὴν ψυχὴν φωτίζον αὐτήν.

Τί ἐστιν ὅτι τὸ φῶς ἐν τῇ σκοτίᾳ φαίνει; σκοτίαν λέγει, 5.
ἢ τὸν θάνατον ἢ τὴν πλάνην· ὁ δὲ μέγας Γρηγόριος, τὴν κατὰ
σάρκα τοῦ Χριστοῦ λέγει· ἄλλοι δὲ τὴν διδαχὴν λέγουσι φῶς.

Ἡ σκοτία δὲ αὐτὸ οὐ κατέλαβεν, ἐπειδὴ οὔτε ἡ πλάνη ἐνί-
κησεν αὐτὸν, οὔτε θάνατος, οὔτε τὰ ἀνθρώπινα πάθη.

Ἐγένετο οὐ τὸ ἐγεννήθη ἢ τὸ εἶναι ἁπλῶς δηλοῖ, ἀλλὰ τῆς 6.
ἀποστολῆς αὐτῆς τὸν τρόπον δηλοῖ.

Τὸ φωτίζον πάντα ἄνθρωπον, καὶ πῶς ἀφώτιστοι πολλοί; 9.
τό γε ἧκον εἰς αὐτὸν πάντα ἐφώτισεν.

Καὶ ὁ κόσμος αὐτὸν οὐκ ἔγνω· κόσμον ἐνταῦθα τὸ χυδαῖον 10.
καὶ δημῶδες λέγει, καὶ τὸ τῷ κόσμῳ προσηλωμένον.

Εἰς τὰ ἴδια ἦλθε, περὶ τῶν Ἰουδαίων λέγει ὡς ἐξαιρέτου 11.
λαοῦ καὶ περιουσίου· ποῖον τόπον ἀφεὶς ὁ τὰ πάντα πληρῶν ἦλ-
θε; τόπον μὲν οὐδένα ἤμειψε, τῇ δὲ πρὸς ἡμᾶς συγκαταβάσει
τοῦτο εἰργάσατο.

Ἔδωκεν αὐτοῖς ἐξουσίαν τέκνα θεοῦ γενέσθαι· οὐκ εἶπεν ὅτι 12.
ἐποίησεν αὐτοὺς, ἀλλ᾽ ἔδωκεν αὐτοῖς ἐξουσίαν· καὶ ὁ λόγος σὰρξ
ἐγένετο, οὐ τῆς φύσεως αὐτοῦ μεταπεσούσης εἰς σάρκα, ἀλλὰ
μενούσης αὐτῆς ὅπερ ἦν, τὴν τοῦ δούλου μορφὴν ἀναλαβούσης·
τὸ δὲ ἐγένετο, πρόσκειται παχέως οὕτω πως διὰ τοὺς λέξοντας
αὐτὸν ἐν φαντασίᾳ.

Τί ἐστι τὸ ἐσκήνωσεν ἐν ἡμῖν; τὸ ἐσκήνωσεν οὐ ταυτόν ἐστι 14.
τῷ σκηνοῦντι· ὥστε ἐκ τούτου ἐλύθη, καὶ τὸ ὁ λόγος σὰρξ
ἐγένετο.

1. Ὁ μὲν θεῖος ἀπόστολος Παῦλος τὴν τοῦ λόγου γνῶσιν ἐκ μέρους ἔφη γινώσκειν· ὁ δὲ μέγας εὐαγγελιστὴς Ἰωάννης, τεθεᾶσθαι λέγει πλήρη τὴν δόξαν αὐτοῦ, δόξαν ὡς μονογενοῦς παρὰ πατρὸς, πλήρης χάριτος καὶ ἀληθείας· καὶ μήποτε ὁ μὲν ἅγιος Παῦλος τὴν ὡς θεοῦ λόγου γνῶσιν ἐκ μέρους ἔφη γινώσκειν· ἐκ γὰρ τῶν ἐνεργειῶν ποσῶς μόνον γινώσκεται· ἡ γὰρ ἐπ' αὐτῷ κατ' οὐσίαν τε καὶ ὑπόστασιν γνῶσις, ὁμοίως πᾶσιν ἀγγέλοις τε καὶ ἀνθρώποις καθέστηκε ἄβατος, κατ' οὐδὲν οὐδενὶ γινωσκομένη· ὁ δὲ ἅγιος Ἰωάννης τέλειον ἐν ἀνθρώποις τὸν τῆς ἐνανθρωπήσεως τοῦ λόγου μυηθεὶς λόγον, τὴν ὡς σάρκα λόγου δόξαν ἔφη θεάσασθαι· τουτέστι τὸν λόγον, ἤγουν τὸν σκοπὸν καθ' ὃν ὁ θεὸς γέγονεν ἄνθρωπος, πλήρης χάριτος ἐθεάσατο καὶ ἀληθείας· οὐ γὰρ καθὸ κατ' οὐσίαν θεὸς καὶ τῷ θεῷ πατρὶ ὁμοούσιος ὁ μονογενὴς κεχαρίτωται· ἀλλὰ καθὸ φύσει κατ' οἰκονομίαν γέγονεν ἄνθρωπος, καὶ ἡμῖν ὁμοούσιος δι' ἡμᾶς κεχαρίτωται τοὺς χρήζοντας χάριτος ἐκ τοῦ πληρώματος αὐτοῦ, διὰ παντὸς κατὰ πᾶσαν ἡμῶν προκοπὴν τὴν ἀναλογοῦσαν χάριν δεχόμενος· ὥστε ὁ τὸν λόγον τέλειον ἐν αὐτῷ φυλάξας, ἀβέβηλον τοῦ δι' ἡμᾶς σαρκωθέντος θεοῦ λόγου τὴν πλήρης χάριτος καὶ ἀληθείας κομίσηται δόξαν τοῦ δι' ἡμᾶς ἑαυτὸν καθ' ἡμᾶς δοξάσαντος, καὶ ἁγιάσαντος κατὰ τὴν αὐτοῦ παρουσίαν· ὅτ' ἂν γὰρ, φησιν, ἐκεῖνος φανερωθῇ, ὅμοιοι αὐτῷ ἐσόμεθα.

Δόξαν ὡς μονογενοῦς παρὰ πατρὸς, πλήρης χάριτος καὶ ἀληθείας· τὸ δὲ ὡς ἐνταῦθα οὐχὶ παραβολῆς, ἀλλ' ὁμοιώσεως· ἀντὶ τοῦ οἵαν ἔπρεπεν ἔχειν μονογενῆ καὶ γνήσιον υἱὸν ὄντα.

15. Ἰωάννης μαρτυρεῖ περὶ αὐτοῦ, τίνος χάριν τοῦτο λέγει, ὅτι μεγάλη ἦν ἡ δόξα τότε τοῦ Ἰωάννου, καὶ τοσοῦτον μεγάλη, ὅτι καὶ Ἰώσηπος διὰ τὴν τούτου τελευτὴν λέγει τὴν πόλιν ἀφανισθῆναι.

Τί ἐστι τὸ κέκραγε; τὴν παῤῥησίαν αὐτοῦ διὰ τούτου δηλοῖ.

Τὸ ἔμπροσθέν μου γέγονεν, ὅτι πρῶτός μου ἦν, τὸ ὀπίσω μου ἐρχόμενος· τὸ ὀπίσω, ἀντὶ τοῦ ὁ μετ' ἐμὲ κηρύττων· τὸ δὲ

ἔμπροσθέν μου, ἀντὶ τοῦ λαμπρότερος ἐντιμότερος· τὸ δὲ πρῶ- I.
τός μου ἦν, ὅτι οὐκ ἔκ τινος προκοπῆς φησὶ πρῶτόν με ὄντα
ὀπίσω πεποίηκεν εἶναι, ἀλλ' ἀεὶ πρῶτος ἦν· εἰ καὶ ὕστερον πα-
ραγίνεται.

Τί ἐστι τὸ ἐκ τοῦ πληρώματος αὐτοῦ ἡμεῖς πάντες ἐλάβο- 16.
μεν; ὅτι οὐ μεθεκτὴν ἔχει τὴν δωρεὰν, ἀλλὰ αὐτοπηγὴ καὶ αὐ-
τορίζαν, ὥστε ἀντὶ τοῦ ὑπερτελείου βούλεται λέγειν τὸ ὄνομα
τοῦ πληρώματος.

Καὶ χάριν ἀντὶ χάριτος· ἀντὶ τῆς παλαιᾶς, τὴν καινήν.

Ὅτε τὸ ὢν εἰς τὸν κόλπον τοῦ πατρὸς, τὸ ὁμοούσιον δηλοῖ. 18.

Ὅτε τὸ ἐγὼ φωνὴ βοῶντος ἐν τῇ ἐρήμῳ λέγειν αὐτὸν πῶς 23.
νοήσομεν; ἐπὶ τὸν προφήτην κατέφυγεν, ἀξιόπιστον λόγον ποιῶν·
καὶ γὰρ ὁ Ἡσαΐας τοῦτο φησίν.

Ὃν ὑμεῖς οὐκ οἴδατε, ἀντὶ τοῦ περὶ οὗ ὑμεῖς ἀληθῆ δό- 26.
ξαν οὐκ ἔχετε.

Οὗ οὐκ εἰμὶ ἄξιος τὸ ὑπόδημα λῦσαι· τὴν ἐσχάτην διακονίαν 27.
ἐν τούτῳ δηλοῖ.

Διὰ τί μνημονεύει ὅτι ταῦτα ἐν Βηθαβαρᾷ ἐγένετο; ἵνα μή 28.
τις εἴπῃ ὅτι ἐν γωνίᾳ καὶ οὐκ ἐν πλήθει ἐπαῤῥησιάσατο.

Χρὴ δὲ γινώσκειν ὅτι τὰ ἀκριβῆ τῶν ἀντιγράφων ἐν Βηθα-
βαρᾷ, ἡ γὰρ Βηθανία οὐχὶ πέραν τοῦ Ἰορδάνου ἀλλ' ἐγγὺς τῶν
Ἱεροσολύμων ἐστίν.

Ἴδε ὁ ἀμνὸς τοῦ θεοῦ, ἀμνὸν αὐτὸν καλεῖ, τῆς προφητείας 29.
ἀναμιμνήσκων αὐτοὺς τοῦ Ἡσαΐου, καὶ τῆς σκιᾶς τοῦ τύπου.

Ἔμπροσθέν μου γέγονεν· ἀντὶ τοῦ ἐντιμότερος· ἐντιμότερος 30.
δὲ διὰ τὸ βαπτίσαι ἐν πνεύματι ἁγίῳ, διὰ τὸ τὰς ἁμαρτίας λα-
βεῖν τοῦ κόσμου.

Κἀγὼ οὐκ ᾔδειν αὐτὸν λέγει, διὰ τὸ εἶναι αὐτὸν συγγενῆ 33.
κατὰ σάρκα· καὶ γὰρ ὁ ἄγγελος πρὸς τὴν Μαρίαν, ἰδοὺ Ἐλισά-
βετ ἡ συγγενής σου· ἵνα οὖν μὴ δόξῃ χαρίζεσθαι διὰ τὴν συγ-
γένειαν τοῦτο, φησὶ καὶ ὅτε τεθέαμαι τὸ πνεῦμα καταβαῖνον ἐπ'
αὐτόν· καὶ ἐφ' ὃν ἂν ἴδῃς τὸ πνεῦμα καταβαῖνον· ταῦτα πάντα,
ἀληθεύων μὲν λέγει, τὴν δὲ ὑπόνοιαν ἀναιρεῖ.

I. 36. Ὅτι ἐμβλέψας τῷ Ἰησοῦ περιπατοῦντι λέγει ἴδε, ἵνα διτ-
τῶς καὶ διὰ τῶν ὀφθαλμῶν, καὶ διὰ τῆς φωνῆς τοὺς μὴ προσ-
εσχηκότας ἑλκύσηται.

39. Διὰ τί ἐρωτᾷ τί θέλετε, ὁ πάντα γινώσκων; ἵνα ἐφελκύ-
σηται αὐτοὺς διὰ τῆς ἐρωτήσεως.

40. Ὃς ἀλλαχοῦ λέγει ὅτι οὐκ ἔχει ποῦ τὴν κεφαλὴν κλίνει ὁ
υἱὸς τοῦ ἀνθρώπου, πῶς ὧδε λέγει ἔρχεσθε καὶ ἴδετε; οὐ τὸ
μὴ μένειν ἐν οἰκίᾳ ἔλεγεν ἐκεῖ, ἀλλὰ τὸ μὴ εὐπορεῖν οἰκίαν καὶ
σκέπην ἰδίαν.

Διὰ τί ὅτε ἦλθον πρὸς αὐτὸν οἱ μαθηταὶ Ἰωάννου, ὁ εὐαγ-
γελιστὴς ἐπεσημήνατο λέγων, ὥρα ἦν ὡς δεκάτη; ἵνα τὴν σπου-
δὴν αὐτῶν ἐκ τῆς ὥρας ἐπιδείξηται.

41. Διὰ τί τὸ τοῦ ἑτέρου οὐκ ἐγνώρισεν ὄνομα, ἀλλὰ τὸ τοῦ Ἀν-
δρέου μόνον; διὰ τὸ αὐτὸν εἶναι τὸν λέγοντα.

43. Διὰ τί λέγει σὺ κληθήσῃ Κηφᾶς, καὶ ὅτι οὐχὶ ἐγώ σε κα-
λέσω; ὅτι τέως ἀρχὴ ἦν, καὶ οὐκ ἐβούλετο τὴν αὐθεντίαν δεῖξαι.

49. Τί σημαίνει τὸ πρὸ τοῦ σε Φίλιππον φωνῆσαι ὄντα ὑπὸ τὴν
συκῆν εἶδόν σε; τὸ κατ᾽ αὐτὴν τὴν ὥραν ὅτε ἐν τῇ συκῇ οὐδε-
νὸς παρόντος, μόνος ὁ Φίλιππος τῷ Ναθαναὴλ κατ᾽ ἰδίαν περὶ
Χριστοῦ διελέγετο.

50. Πῶς εἶπεν τῷ ῥαββὶ, σὺ εἶ ὁ υἱὸς τοῦ θεοῦ, σὺ εἶ ὁ βα-
σιλεὺς τοῦ Ἰσραήλ; υἱὸν θεοῦ οὐχ ὡς ὁ Πέτρος ὕστερον φύ-
σει, ἀλλ᾽ ὡς ἐν ἀρετῇ ὄντα καὶ ὕστερον προσδοκώμενον.

52. Διὰ τί εἶπεν ὁ Χριστὸς, ἀπάρτι ὄψεσθε τὸν οὐρανὸν ἀνεῳ-
γότα καὶ τὰ ἑξῆς; ἀπὸ τῆς γῆς αὐτὸν κατασμικρῶν, ὅτι θεός
ἐστι· τὸ δὲ ἀναβαίνοντας δηλοῖ, ἐπὶ τοῦ σταύρου καὶ τῆς ἀνα-
λήψεως καὶ τοῦ τάφου καὶ τοῦ ἱδρῶτος.

Cap. II. v. 4. Τὸ δὲ τί ἐμοὶ καὶ σοὶ γύναι; οὔπω ἥκει ἡ ὥρα μου· τούτου
ἕνεκα ἔλεγεν ὥστε μὴ ὑποπτευθῆναι τὸ γινόμενον θαῦμα· καὶ γὰρ
οὐ παρὰ τῆς μητρὸς παρακληθῆναι ἐχρῆν, ἀλλ᾽ ὑπὸ τῶν κλη-
θέντων.

Τί ἐστι τὸ οὔπω ἥκει ἡ ὥρα μου; οὐκ ἀνάγκη ὡρῶν ὑπο-

κείμενος, οὐδὲ ὥρας παρατηρούμενος ὁ χρόνων δημιουργός· ἀλλ' II.
ὅτι πάντα μετὰ καιροῦ προσηκόντως ἐργάζεται· ἐπεὶ οἱ μαθη-
ταὶ οὐδέπω ᾔδεσαν· οὐδέ τις τῶν φίλων παρεκάλει εἰς τοῦτο,
οὐδὲ δῆλος ἦν πρὸς θαύματα· διὰ τοῦτο λέγει, οὔπω ἥκει ἡ
ὥρα μου.

Ὅτι τοῖς διακόνοις εἶπεν ἡ μήτηρ αὐτοῦ, ὅ τι ἂν λέγῃ ὑμῖν 5.
ποιήσατε· ᾔδει γὰρ ὅτι οὐκ ἀσθενείας ἦν ἡ παραίτησις, ἀλλὰ
τοῦ μὴ δόξαι ἐπιῤῥίπτειν αὐτὸν τοῖς θαύμασιν.

Οὐχ ἁπλῶς δὲ εἶπεν κατὰ τὸν καθαρισμὸν τῶν Ἰουδαίων, 6.
ἀλλ' ἵνα μή τινες τῶν ἀπίστων ὑποπτεύσωσιν ὅτι τρυγίας τὶς ἐνα-
πομείνας, εἶτα τοῦ ὕδατος ἐπιβληθέντος καὶ κραθέντος, οἶνος λε-
πτότατος γέγονε, δείκνυσιν ὅτι οὐδέποτε ἐκεῖνα γέγονεν οἴνου
δοχεῖα· ἐπειδὴ γὰρ ἄνυδρός ἐστιν ἡ Παλαιστίνη, καὶ οὐκ ἦν πολ-
λαχοῦ κρήνας εὑρίσκειν, ἐπλήρουν ἀεὶ τὰς ὑδρίας ὕδατος, ὥστε
μὴ τρέχειν εἰς ποταμοὺς εἰ γένοιντο ἀκάθαρτοι· ἐξ οὐκ ὄντων
δὲ οὐ ποιεῖ οἶνον, περικόπτων ἑκὼν τὸ μέγεθος τῶν θαυμάτων.

Ὅτι πρῶτον τῷ ἀρχιτρικλίνῳ δοθῆναι κελεύει, ὡς νήφον- 8.
τι· καὶ γὰρ οἱ τὴν τοιαύτην διακονίαν πεπιστευμένοι μάλιστα εἰσὶ
νήφοντες, ὥστε ἐν κόσμῳ καὶ τάξει πάντα διατίθεσθαι· εἰ γὰρ
τοῖς ἄλλοις ἐδόθη, εἶπον ἂν ὅτι μεθύουσι, καὶ ἀλόγοις καὶ μὴ
διακρίνουσιν ἔδωκε πιεῖν.

Διά τί τὸν νυμφίον ἐφώνησεν ὁ ἀρχιτρίκλινος καὶ οὐ τοὺς 9.
διακόνους; οὕτω γὰρ ἂν καὶ τὸ θαῦμα ἐξεκαλύφθη· κατ' οἰκο-
νομίαν γέγονε τοῦτο ἵνα μὴ πάντες γνῶσιν.

Ὅτι ὁ βασιλικὸς διὰ τοῦτο αὐτὸν πρὸς τὴν τοῦ παιδὸς ὑγείαν
προσεκαλέσατο, διὰ τὸ μαθεῖν τοῦτο αὐτὸν πεποιηκέναι τὸ ση-
μεῖον· ὅπερ καὶ παραδηλῶν ὁ εὐαγγελιστὴς ἔλεγεν, ὅπου ἐποίη-
σε τὸ ὕδωρ οἶνον· οὐχ' ἁπλῶς δὲ οἶνον ἐποίησε, ἀλλὰ οἶνον
κάλλιστον.

Διά τί κατέβη εἰς Καπερναοὺμ; ἢ διὰ τὴν εἰς μητέρα τιμὴν, 12.
ἵν' ἀποκαταστήσῃ τὴν μητέρα καὶ τοὺς ἀδελφούς.

Καὶ διά τί εἰς Καπερναοὺμ οὐκ ἐποίησε σημεῖα; ὅτι οὐχ

11. ὑγιῶς προσέκειντο αὐτῷ· καὶ τοῦτο ἐδήλωσεν εἰπὼν, καὶ σὺ Καπερναοὺμ ἡ ἕως τῶν οὐρανῶν ὑψωθεῖσα, ἕως ᾅδου καταβήσῃ.

13. Διὰ τοῦ εἶπεν ὅτι ἦν ἐγγὺς τὸ πάσχα τῶν Ἰουδαίων, δείκνυσιν ἡμῖν ὅτι οὐ πρὸ πολλῶν πάνυ ἡμερῶν τοῦ πάσχα ἐβαπτίσατο.

14. Ὅτι τοὺς πωλοῦντας καὶ ἀγοράζοντας ἐξέβαλεν ἐκ τοῦ ἱεροῦ λέγων, μὴ ποιεῖτε τὸν οἶκον τοῦ πατρός μου οἶκον ἐμπορίου· ἕτερος δὲ εὐαγγελιστὴς λέγει σπήλαιον λῃστῶν· ὅθεν οὐ κατὰ τὸν αὐτὸν καιρὸν ἀμφότερα γέγονεν· ἐκεῖ μὲν γὰρ πρὸς αὐτὸ τὸ πάθος ἐλθὼν, ἐνταῦθα δὲ ἐν προοιμίοις τῶν σημείων ὑφειμένως τῇ ἐπιτιμήσει· ἐπεὶ οὖν καὶ ὁ λόγος καὶ ὁ χρόνος διάφορος, διχῶς τὸ πραχθέν.

18. Ὅτι τὸ λέγειν αὐτοὺς, τί σημεῖον δεικνύεις ἡμῖν ὅτι ταῦτα ποιεῖς, ἐσχάτης ἀπονοίας ἐστί· ποίου γὰρ σημείου χρεία ἦν ὥστε τὰ κακῶς γινόμενα παῦσαι, ἤγουν τοὺς ἁμαρτάνοντας ἐπιστρέφεσθαι;

19. Ὅτι τὸ λύσατε καὶ ἐγερῶ, δύο εἰσάγει νοήματα, καὶ ὅτι ἀναστήσεται, καὶ ὅτι Θεὸς ὁ ἀναστήσων, ἑαυτὸν γὰρ εἶπεν ἐγερῶ.

20. Πῶς νοητέον τὸ ἐν τεσσαράκοντα καὶ ἓξ ἔτεσιν ᾠκοδομήθη ὁ ναός; τὴν ὑστέραν οἰκοδομὴν ἐδήλωσεν· ἐπὶ γὰρ Κύρου ἤρχθη τὸ ἔργον, εἶτα ἀνεκόπη· μετὰ δὲ ταῦτα πάλιν ἤρχθη ἐπὶ Δαρείου· ἐπὶ γὰρ Σολομῶντος, εἰς εἴκοσι ἔτη ἐκτίσθη.

Cap. III. v. 1. Ὅτι ὁ Νικόδημος, νυκτὸς ἤρχετο· ἐφοβεῖτο γάρ· οὗτός ἐστι ὁ λαλῶν ἐν μέσῳ τοῦ εὐαγγελίου ὑπὲρ Χριστοῦ· μὴ ὁ νόμος ἡμῶν κρίνει τινὰ, ἐὰν μὴ ἀκούσει πρότερον τί λαλεῖ; οὗτος καὶ τολμήσας ἠτήσατο τὸ σῶμα, καὶ ἕτερον δὲ ὁ Νικόδημος λέγει πρὸς Χριστόν· ὅτι οὐδεὶς δύναται τὰ σημεῖα ἃ ποιεῖς ποιῆσαι, ἐὰν μὴ ᾖ ὁ Θεὸς μετ' αὐτοῦ.

5. Τί ἐστιν ἐὰν μή τις γεννηθῇ ἄνωθεν, οὐ δύναται περὶ ἐμοῦ καλῶς δοξάσαι; τὸ δὲ ἄνωθεν, ἐκ τοῦ οὐρανοῦ.

5. Διὰ τί τὰ δύο καὶ οὐχὶ μόνον τὸ πνεῦμα αὔταρκες ἐνομίσθη πρὸς τὴν συμπλήρωσιν τοῦ βαπτίσματος; σύνθετος ὁ ἄν-

θρωπος καὶ οὐχ' ἁπλοῦς ὡς ἀκριβῶς ἐπιστάμεθα· καὶ διὰ τοῦτο III.
τῷ διπλῷ καὶ συνεζευγμένῳ τὰ συγγενῆ καὶ ὅμοια φάρμακα πρὸς θεραπείαν ἀπεκληρώθη· σώματι μὲν τῷ φαινομένῳ, ὕδωρ τὸ αἰσθητόν· ψυχῇ δὲ τῇ ἀοράτῳ, πνεῦμα τὸ ἀφανὲς· πίστει καλούμενον, ἀῤῥήτως παραγενόμενον· ὕδωρ δὲ ὑπηρετεῖ πρὸς ἔνδειξιν τῆς καθάρσεως· ἐπειδὴ γὰρ εἰώθαμεν καὶ ῥύπῳ βορβόρῳ τὸ σῶμα καθυβρισθὲν, ὕδατι ῥύπτοντες καθαρὸν ἀποφαίνειν, διὰ τοῦτο καὶ ἐπὶ τῆς μυστικῆς πράξεως αὐτὸ παραλαμβάνομεν· τῷ αἰσθητῷ πράγματι, τὴν ἀσώματον δηλοῦντες λαμπρότητα.

Καὶ μετ' ὀλίγα.

Πρὸς δὲ χρείαν, αἱ τρεῖς καταδύσεις παραλαμβάνονται· τοῦτο τυγχάνει· τέσσαρα στοιχεῖα γνωρίζομεν, ἀφ' ὧν ὁ κόσμος ἔχει τὴν σύστασιν, πῦρ, ἀὴρ, γῆ, καὶ ὕδωρ· ὁ τοίνυν θεὸς ἡμῶν καὶ σωτὴρ τὴν ὑπὲρ ἡμῶν οἰκονομίαν πληρῶν τὸ τέταρτον τούτων ὑπῆλθεν τὴν γῆν, ἵν' ἐκεῖθεν τὴν ζωὴν ἀνατείλῃ· ἡμεῖς δὲ τὸ βάπτισμα παραλαμβάνοντες εἰς μίμησιν τοῦ κυρίου καὶ διδασκάλου καὶ καθηγεμόνος ἡμῶν, εἰς γῆν μὲν οὐ θαπτόμεθα· αὐτὴ γὰρ τοῦ νεκρωθέντος παντελῶς σώματος γίνεται σκέπη, τὴν ἀσθένειαν καὶ φθορὰν τῆς φύσεως ἡμῶν περιστέλλουσα· ἐπὶ δὲ τῆς γῆς τὸ συγγενὲς στοιχεῖον τὸ ὕδωρ ἐρχόμενοι, ἐκείνῳ ἑαυτοὺς ἐγκρύπτομεν, ὡς ὁ σωτὴρ τῇ γῇ· καὶ τρίτον τοῦτο ποιήσαντες, τὴν τριήμερον τῆς ἀναστάσεως χάριν ἐξεικονίζομεν.

Τί ἐστι τὸ γεγεννημένον ἐκ τοῦ πνεύματος, πνεῦμά ἐστι; 6.
γέννησιν ἐνταῦθα τὴν κατὰ τιμὴν καὶ χάριν λέγει διὰ τοῦ βαπτίσματος ἀναγέννησιν καὶ υἱοθεσίαν.

Διὰ τί φέρει παράδειγμα λέγων, τὸ πνεῦμα ὅπου θέλει πνεῖ, 8.
καὶ τὴν φωνὴν αὐτοῦ ἀκούεις, οὐκ οἶδας δὲ πόθεν ἔρχεται καὶ ποῦ ὑπάγει; ἔστι δὲ τὸ νόημα τοιοῦτον· εἰ γάρ φησι τοῦ ἀνέμου οὐ τῇ αἰσθήσει δέχῃ τὴν ἀκοὴν, τὴν ὁρμὴν δὲ ἑρμηνεῦσαι οὐκ οἶδας, πῶς τὴν ἀπὸ τοῦ θείου πνεύματος ἐνέργειαν περιεργάζῃ νοῆσαι;

Εἰ τὰ ἐπίγεια εἶπον ὑμῖν καὶ οὐ πιστεύετε, τουτέστι περὶ 12.

III. τοῦ βαπτίσματος καὶ τῆς κατὰ χάριν γεννήσεως, πῶς ἐὰν εἴπω ὑμῖν τὰ ἐπουράνια, τουτέστι περὶ τῆς ἀπορρήτου καὶ ἀφράστου γεννήσεως; ἄλλοι δὲ τὸ ἐπίγειον, περὶ τῆς τοῦ ἀνέμου ἐνεργείας νοοῦσιν· εἰ δὲ τὸ βάπτισμα, ἐπίγειον λέγει ἢ διὰ τὸ ἐν τῇ γῇ τελεῖσθαι, ἢ πρὸς σύγκρισιν τῆς ἄνωθεν αὐτοῦ γεννήσεως.

13. Διὰ τί εἶπεν τὸ οὐδεὶς ἀναβέβηκεν εἰς τὸν οὐρανὸν, εἰ μὴ ὁ ἐκ τοῦ οὐρανοῦ καταβὰς; ἵνα τὸν Νικόδημον διορθώσηται, ἐπεὶ ἐκεῖνος εἶπεν ὅτι ἀπὸ Θεοῦ ἐλήλυθας διδάσκαλος· ἐκκόπτει οὖν αὐτοῦ τὸ φρόνημα εἰς τὸ μὴ ἔχειν αὐτὸν διδάσκαλον.

14. Διὰ τί εἶπεν καὶ καθὼς Μωσῆς ὕψωσε τὸν ὄφιν ἐν τῇ ἐρήμῳ; πρῶτον μὲν, ἵνα μάθωμεν ὅτι συγγενῆ τὰ παλαιὰ τοῖς νέοις, καὶ ἵνα γνῶμεν ὅτι οὐ κακόν· ἔπειτα ὅτι εἰ πρὸς εἰκόνα χαλκὴν ὄφεως βλέποντες οἱ Ἰουδαῖοι διέφυγον θάνατον, πολλῷ μᾶλλον εἰς τὸν ἐσταυρωμένον πιστεύοντες· διὰ τοῦτο ἐπήγαγεν, ἵνα πᾶς ὁ πιστεύων εἰς αὐτὸν, μὴ ἀπόληται.

17. Τὸ οὐκ ἀπέστειλε τὸν υἱὸν αὐτοῦ ἵνα κρίνῃ τὸν κόσμον, ἀλλ' ἵνα σώσῃ τὸν κόσμον· τὴν γὰρ κρίσιν, φησὶν, ἐν τῇ δευτέρᾳ ἐλεύσει δεῖ γενέσθαι.

18. Ὁ πιστεύων εἰς τὸν υἱὸν, οὐ κρίνεται· φυλάττων δηλονότι καὶ τὰς ἐκείνου ἐντολάς· ἐνταῦθα δὲ τὸ οὐ κατακρίνεται νοήσεις.

Ὁ δὲ μὴ πιστεύων, ἤδη κέκρεται· πῶς; ὅτι αὐτὸ τὸ ἀπιστεῖν, κόλασίς ἐστι, τῇ τοῦ πράγματος καταδικαζόμενος φύσει· ὥσπερ ὁ φονεὺς, καὶ μὴ κρίνοντός τινος μὴ καταδικασθῇ, τῇ τοῦ πράγματος καταδεδίκασται φύσει.

21. Ὁ ποιῶν τὴν ἀλήθειαν, ἔρχεται πρὸς τὸ φῶς· ὁ τῷ χριστιανισμῷ προστρέχων δηλονότι.

22. Διὰ τοῦ εἰπεῖν ὅτι μετὰ ταῦτα ἐξῆλθεν ὁ Ἰησοῦς εἰς τὴν Ἰουδαίαν γῆν, δείκνυσιν ὅτι ἐν ταῖς ἑορταῖς εἰς τὴν πόλιν ἀνῄει καὶ διδάσκειν καὶ θαυματουργεῖν.

23. Ὅτι καὶ οἱ μαθηταὶ καὶ ὁ Ἰωάννης ἐβάπτιζε, τὸ δὲ τέλος ἐπετίθει Χριστὸς τὸ πνεῦμα χαριζόμενος.

25. Τί σημαίνει ἡ λεγομένη ζήτησις ἐκ τῶν μαθητῶν Ἰωάννου

πρός τινα ἰουδαῖον περὶ καθαρισμοῦ; τὴν ζηλοτυπίαν αὐτῶν ἣν III.
εἶχον ἀεὶ πρὸς τοὺς τοῦ Χριστοῦ μαθητὰς πρὸς αὐτόν τε τὸν
Χριστὸν, ὡς τοῦ παρὰ αὐτῶν βαπτίσματος πλέον ἔχοντος τῶν
τοῦ Χριστοῦ μαθητῶν· ὅτι δὲ τοῦτό ἐστε, τὰ ἑξῆς δηλοῖ· ἦλ-
θον γὰρ πρὸς τὸν Ἰωάννην λέγοντες· ῥαββὶ, ὃς ἦν μετὰ σοῦ,
τουτέστιν ὃς τάξιν ἔχει μαθητοῦ, ἀποσχίσας βαπτίζει· ἀντὶ τοῦ
ᾧ σὺ μεμαρτύρηκας, ἀντὶ τοῦ ὃν σὺ ἐβάπτισας.

Τί ἐστι τὸ χαρᾷ χαίρω; διὰ τὸ ἐκ τῆς φωνῆς τοῦ νυμφίου 29.
τὴν νύμφην ἐπιγνῶναι αὐτόν· ὃ λέγει τοιοῦτόν ἐστιν· ἀντὶ τοῦ
εἰ μὴ προσῆλθεν ἡ νύμφη, τουτέστιν ὁ λαὸς ἤγουν ἡ ἐκκλησία τῷ
νυμφίῳ Χριστῷ, τότε ἂν ἤλγησα, νῦν δὲ τούτου γενομένου ὡς
φίλος χαρᾷ χαίρω.

Τί σημαίνει ὁ ἄνωθεν ἐρχόμενος, ἐπάνω πάντων ἐστί; τὴν 31.
ὑπερβάλλουσαν τῆς δόξης αὐτοῦ ὑπεροχήν· τὸν δὲ ἐκ τῆς γῆς
ὄντα καὶ λαλοῦντα, ἑαυτὸν φησὶν, οὐχ' ὅτι δὲ γήϊνα ἔλεγεν,
ἀλλὰ παραβάλλων τὰ αὐτοῦ πρὸς τὸν Χριστόν.

Ὅτι δὲ εἶπεν τὴν μαρτυρίαν αὐτοῦ οὐδεὶς λαμβάνει, ἀντὶ 32.
τοῦ ὀλίγοι φήσιν· ὥσπερ γὰρ τὸ πάντες ἐπὶ τῶν πολλῶν νοεῖ-
ται, οὕτω καὶ τὸ οὐδεὶς ἐπὶ τῶν ὀλίγων.

Τί ἐστιν ὁ γὰρ λαβὼν αὐτοῦ τὴν μαρτυρίαν ἐσφράγισεν ὅτι 33.
ὁ Θεὸς ἀληθής ἐστιν; ἀντὶ τοῦ ὥστε ὁ μὴ τούτῳ πιςεύων, καὶ
τῷ πατρὶ ἀπιςεῖ· τὸ γὰρ ἐσφράγισεν ἐνταῦθα ἔδειξε σημαίνει.

Τί ἐστι τὸ οὐ γὰρ ἐκ μέτρου δίδωσιν ὁ Θεὸς τὸ πνεῦμα; ἐν- 34.
ταῦθα τὴν ἐνέργειαν λέγει· ἡμεῖς μὲν οὖν φησι μέτρῳ τὴν ἐνέργειαν
λαμβάνομεν· αὐτὸς δὲ ὁλόκληρον πᾶσιν τὴν ἐνέργειαν παρέχει.

Ὅτι αὐτὸς ὁ Χριστὸς οὐκ ἐβάπτιζεν ἀλλ' οἱ μαθηταὶ, οἱ Cap. IV.
δὲ ἀπαγγέλλοντες ἔλεγον τοιαῦτα, ὅπως διεγείρωσι τοὺς ἀκούον- v. 2.
τας ὅτε ὁ Χριστὸς βαπτίζει· ἔλεγον δὲ μὴ γινώσκοντες τὸν τοῦ
Ἰωάννου σκοπόν ὃν εἶχεν εἰς Χριστόν.

Πῶς νοητέον τὸ ἔδει δὲ αὐτὸν διέρχεσθαι διὰ τῆς Σαμα- 4.
ρείας; ὅτ' ἂν φησιν ἀπήλαυνον αὐτὸν οἱ Ἰουδαῖοι, ἐπὶ τὰ ἔθνη
ἤρχετο.

IV. Πόθεν ἐκλήθησαν Σαμαρεῖται, καὶ πῶς συνέστησαν; Σομὸρ τὸ ὄρος ἐλέγετο ἀπὸ τοῦ κτησαμένου· καθάπερ καὶ Ἡσαΐας φησί· καὶ ἡ κεφαλὴ Σομόρων, Ἐφραίμ· ἀλλ᾽ οἱ οἰκοῦντες οὐ Σαμαρεῖται, ἀλλ᾽ Ἰσραηλῖται ἐλέγοντο· χρόνου δὲ προϊόντος προσέκρουσαν τῷ Θεῷ, καὶ βασιλεύσαντος Φακεὲ ἀνῆλθε Φελγαφασὰρ, πόλεις τε εἷλε, πολλὰς, καὶ ἐπέθετο τῷ Ἠλᾷ, καὶ ἀνελὼν αὐτὸν, Ὡσηὲ τὴν βασιλείαν ἔδωκε· καὶ ἐπὶ τούτον ἐλθὼν ὁ Σαλαμανασὰρ εἷλε πόλεις ἑτέρας, καὶ φόρους ἐποίησεν ὑποτελεῖς· ἀλλ᾽ οὗτος τὸ μὲν πρῶτον ἦρξεν· ὕστερον δὲ ἀπέστη τῆς ἀρχῆς, καὶ πρὸς τὴν τῶν Αἰθιόπων κατέφυγε συμμαχίαν· ἔγνω τοῦτο ὁ ἀσσύριος, καὶ ἐπιστρατεύσας καὶ ἀνελὼν αὐτοὺς, οὐκέτι τὸ ἔθνος ἐκεῖ μένειν ἀφίησι διὰ τὴν τῆς στάσεως ὑποψίαν· ἀλλὰ ἐξ αὐτῶν, τοὺς μὲν εἰς Βαβυλῶνα ἤγαγε καὶ Μήδους· ἐκεῖθεν δὲ ἔθνη διαφόρων τόπων ἀγαγὼν, κατῴκισεν ἐν τῇ Σαμαρείᾳ, ὥστε λοιπὸν ἀσφαλῆ αὐτῷ τὴν ἀρχὴν εἶναι, τῶν οἰκείων ἐχόντων τὸν τόπον· τούτων δὲ γενομένων, βουλόμενος ὁ Θεὸς δεῖξαι τὴν αὐτοῦ δύναμιν, καὶ ὡς οὐ δι᾽ ἀσθένειαν ἐξέδωκεν Ἰουδαίους ἀλλὰ δι᾽ ἁμαρτίας, ἐπαφίησι λέοντας τοῖς βαρβάροις οἵ τινες ἐλυμαίνοντο τὸ ἔθνος ἅπαν· ἀπηγγέλη σὺν ταῦτα τῷ βασιλεῖ, καὶ πέμπει ἱερέα τινὰ τὸν παραδώσοντα αὐτοῖς τὸν Θεοῦ νόμον· ἀλλ᾽ ὅμως οὐδὲ οὕτως ἐξ ὁλοκλήρου τῆς ἀσεβείας ἀπέστησαν· χρόνου προϊόντος, τῶν μὲν εἰδώλων ἀπεστήσαν, ἐσέβοντο δὲ τὸν Θεόν· καὶ τῶν πραγμάτων ἐν τούτοις ὄντων, ἀνελθόντες οἱ Ἰούδα, ζηλοτύπως πρὸς αὐτοὺς εἶχον, ἅτε πρὸς ἀλλοφύλους, καὶ ἀπὸ τοῦ ὄρους Σαμαρείτας αὐτοὺς ἐκάλουν· καὶ οὐ μικρὰ ἐντεῦθεν ἦν φιλονεικία· οὐδὲ γὰρ ταῖς γραφαῖς ἁπάσαις ἐχρῶντο, ἀλλὰ Μωσέα, τοὺς δὲ προφήτας, οὐχί· ἐφιλονείκουν μέν τοι εἰς τὴν εὐγένειαν ἰσωθῆναι αὐτοὺς, καὶ ἐφιλοτιμοῦντο ἐπὶ τῷ Ἀβραὰμ, καὶ πρόγονον αὐτὸν ἀπεγράφοντο, ἅτε ἀπὸ τῆς Χαλδαίας ὄντα· οἱ δὲ Ἰουδαῖοι μετὰ πάντων τῶν ἐθνικῶς ζώντων, καὶ τούτους ἐβδελύσσοντο.

6. Εἰπὼν ὅτι κεκοπιακὼς ἐκ τῆς ὁδοιπορίας, ἔδειξεν ὅτι οὕτως

ἐβάδιζεν εὐτόνως ὡς καὶ κοπιάσαι· οὐ γὰρ ὑποζυγίοις ἐκέχρη- IV.
το, παιδεύων ἡμῖν τὸ ἀπέριττον καὶ μὴ πολλῷ δεῖσθαι· ἐπὶ γῆν
δὲ ἀλλ' οὐκ ἐπὶ θρόνου καθέζεται, καὶ παρὰ πηγῇ διὰ τὸ ψύ-
χος· διὰ τοῦτο καὶ ὁ εὐαγγελιστὴς ἐδήλου, ἦν δὲ ὡσεὶ ὥρα
ἕκτη· τὸ δὲ ἄτυφον αὐτοῦ φαίνεται ἐκ τοῦ μόνον καταλειφθῆ-
ναι ἐν τῇ ὁδῷ, καὶ τὸ περὶ τὰς τροφὰς ἠμελημένον ἐκ τοῦ ἀπελ-
θεῖν τοὺς μαθητὰς ἀγοράσαι τροφὰς δείκνυται. Καὶ μετ' ὀλίγα.
Πῶς δύναται φησὶν ἴσος εἶναι ὁ υἱὸς τῷ πατρί; ὁ γὰρ θεὸς οὐ-
δέποτε κοπιᾷ· ὁ δὲ Ἰησοῦς ἐκοπίασε· ἄκουε γὰρ τοῦ προφήτου
λέγοντος Ἡσαΐου· ὁ θεὸς ὁ αἰώνιος, ὁ θεὸς ὁ κατασκευάσας τὰ
ἄκρα τῆς γῆς, οὐ πεινάσει, οὐδὲ κοπιάσει· οὐδέ ἐστιν ἐξεύρε-
σις τῆς φρονήσεως αὐτοῦ· σύμφημι κἀγώ σοι Εὐνόμιε ὅτι θεὸς
οὐδέποτε κοπιᾷ· ἀλλ' ὅτ' ἂν ἀκούσῃς Ἰησοῦν κεκοπιακέναι ἐκ τῆς
ὁδοιπορίας, μὴ τὸν θεὸν λόγον τὸν ἐν αὐτῷ φαντάζου κεκοπια-
κέναι, ἀλλὰ τὴν τοῦ δούλου μορφὴν, θεὸς γὰρ οὐδὲ πώποτε
κοπιᾷ, πάθος οὐκ ἐπιδέχεται· ὅτι δὲ ὁ θεὸς λόγος ἦν τῇ τοῦ
δούλου μορφῇ, λεγέτω καὶ ὁ Ἰωάννης, καὶ ὁ λόγος σὰρξ ἐγέ-
νετο καὶ ἐσκήνωσεν ἐν ἡμῖν· οὐ τραπεὶς καὶ μεταβληθεὶς, ἀλλὰ
σάρκα προσλαβών· ἵνα οὖν δειχθῇ ὅτι καὶ ἄνθρωπός ἐστι, κε-
κοπίακεν.

Πῶς ὁ λέγων εἰς πόλιν Σαμαρειτῶν μὴ εἰσελθεῖν, Σαμαρεί- 7.
ταις διελέγετο; κατὰ τύχην ἐξῆλθεν ἡ γυνὴ ἀντλῆσαι ὕδωρ· τῷ
δὲ Χριστῷ ἡ καθέδρα διὰ τὸν κόπον γέγονεν, οὐ μὴν διὰ τὴν
γυναῖκα.

Πόθεν αὐτὸν ἰουδαῖον ἐγνώρισεν ὄντα; ἀπὸ τοῦ σχήματος 9.
καὶ ἀπὸ τῆς φωνῆς.

Τὸ πόθεν ἔχεις τὸ ὕδωρ τὸ ζῶν, εἶπεν πρὸς τὴν πηγὴν 11.
ἐξετάζουσα τοῦ ὕδατος, τὸ ἐκείνου ὕδωρ· οὐδὲ γάρ φησι κρείτ-
των εἶ τοῦ Ἰακὼβ, ἵνα κρεῖττον ὕδωρ δῷς.

Πῶς λέγει; Ἰακὼβ ὁ πατὴρ ἡμῶν ἔδωκεν ἡμῖν τὴν πηγὴν ταύ- 12.
την; χρὴ γινώσκειν ὅτι ὁ τόπος ἦν ἔνθα περὶ τῆς Δείνας οἱ περὶ
τὸν Λευὶ καὶ Συμεὼν ἀγανακτοῦντες, τὸν χαλεπὸν ἐκεῖνον εἰρ-
γάσαντο φόνον.

IV. Ποῖον ἐστὶ τὸ ὕδωρ τὸ ζῶν ὃ λέγει Χριστὸς παρέχειν; ὁ
14. καθαρμὸς ἐξ αὐτοῦ, καὶ ἡ παραψυχὴ ἡ ἐκ πίστεως.

20. Τὸ οἱ πατέρες ἡμῶν ἐν τῷ ὄρει τούτῳ προσεκύνησαν, τοὺς περὶ τὸν Ἀβραὰμ δηλοῖ, καὶ γὰρ ἐκεῖ φασὶ τὸν υἱὸν ἀνενηνοχέναι.

22. Πῶς λέγει ὅτι ὑμεῖς προσκυνεῖτε ὃ οὐκ οἴδατε; ὅτι μερικὸν Θεὸν καὶ τοπικὸν ἐνόμιζον εἶναι· οὕτως γὰρ καὶ Πέρσαις πέμψαντες ἀπήγγειλαν, ὅτι ὁ τοῦ τόπου Θεὸς αὐτοὺς λυμαίνεται.

Πῶς λέγει ὅτι ἡμεῖς προσκυνοῦμεν ὃ οἴδαμεν; πρὸς τὴν ὑπόνοιαν τῆς γυναικὸς λέγει· εἶχε γὰρ αὐτὸν ὡς προφήτην ἰουδαῖον.

23. Τοιούτους γὰρ ὁ πατὴρ τοὺς προσκυνοῦντας αὐτὸν ζητεῖ, τοὺς μὴ τόπῳ περικλείοντας τὴν λατρείαν.

24. Πνεῦμα ὁ Θεὸς τὸ ἀσώματον λέγει, καὶ ὅτι ἡ λατρεία αὐτοῦ, ἀσώματος θέλει εἶναι· καὶ διὰ τοῦ ἐν ἡμῖν ἀσωμάτου προέρχεσθαι.

25. Πόθεν Σαμαρεῖται τὸ προσδοκᾷν τὸν Χριστὸν εἶχον, τὸν Μωσέα μόνον ἀλλ' οὐ τοὺς προφήτας ἔχοντες; ἐκ τοῦ λέγειν τὸν Ἰακὼβ ὅτι οὐκ ἐκλείψει ἄρχων ἐξ Ἰούδα καὶ ἡγούμενος ἐκ τῶν μηρῶν αὐτοῦ, ἕως ἂν ἔλθῃ ᾧ ἀπόκειται· καὶ αὐτὸς Μωσῆς, προφήτην ὑμῖν ἀναστήσει κύριος.

27. Καὶ ἐθαύμασαν ὅτι μετὰ γυναικὸς ἐλάλει· τί ἐθαύμαζον; τὸ ἄτυφον, τὸ μεθ' ὑπερβολῆς ταπεινὸν, ὅτι πενιχρᾷ καὶ σαμαρείτιδι διελέγετο Θεὸς ὤν.

29. Δεῦτε ἴδετε μήτι οὗτός ἐστιν ὁ Χριστός· διὰ τί λέγει τὸ μήτι; οὐκ ἐκ τῆς οἰκείας αὐτὸν ἀποφάσεως παρεισαγαγεῖν βουλόμενη, ἀλλὰ καὶ αὐτοὺς τῆς τοιαύτης ψήφου ποιῆσαι κοινωνοὺς βουλομένη.

31. Τὸ ἠρώτων δὲ οἱ μαθηταὶ τὸν Χριστὸν ῥαββὶ, φάγε· τῷ ἐγχωρίῳ αὐτῶν φωνῇ τὸ ἐρωτῶ, παρακαλῶ σημαίνει.

35. Οὐχ ὑμεῖς λέγετε ὅτι τετράμηνόν ἐστι, καὶ ὁ θερισμὸς ἔρχεται; χώρας μὲν καὶ θερισμὸν τὸ πλῆθος τῶν ψυχῶν λέγει τῶν ἑτοίμων πρὸς ὑποδοχὴν τοῦ κηρύγματος· ὀφθαλμοὺς δὲ ἐνταῦθα

καὶ τοὺς τῆς διανοίας καὶ τοῦ σώματος λέγει· καὶ γὰρ ἑώρων IV.
λοιπὸν τὸ πλῆθος τῶν Σαμαρειτῶν ἐρχόμενον.

Ὁ γὰρ θερίζων φησὶ μισθὸν λαμβάνει, καὶ συνάγει καρ- 36.
πὸν εἰς ζωὴν αἰώνιον· ἵνα καὶ ὁ σπείρων ὁμοῦ χαίρῃ καὶ ὁ θε-
ρίζων· ὃ λέγει τοιοῦτόν ἐστιν· προφῆται, φησίν, ἔσπειραν, ἀλλ᾽
οὐκ ἐθέρισαν· οὐ μὲν ἀπεστέρηνται ἡδονῆς, ἀλλὰ σὺν ἡμῖν χαί-
ρουσιν, εἰ καὶ μὴ σὺν ἡμῖν θερίζουσι· τοῦτο δὲ οὐ συμβαίνει ἐν
τοῖς αἰσθητοῖς· οὐχ ὁμοῦ γὰρ χαίρουσιν, ἐὰν ἄλλος σπείρῃ καὶ
ἄλλος θερίσῃ.

Ὅτι ἡ Καπερναοὺμ οὐκ ἐτίμα αὐτὸν πατρὶς αὐτοῦ οὖσα· ἡ 44.
γὰρ συνήθεια εὐκαταφρονήτους ποιεῖν εἴωθεν.

Ὅτι καὶ Σαμαρεῖται καὶ Ναζηραιοὶ καὶ Γαλιλαιοὶ πιστεύου-
σιν εἰς αἰσχύνην Ἰουδαίων τῶν λεγόντων αὐτὸν σαμαρεῖτα· καὶ
πάλιν, ἐκ Ναζαρὲθ δύναταί τι καλὸν εἶναι;

Διὰ τί καλεῖ βασιλικόν; ἤτοι ἀπὸ βασιλικῆς καταγόμενον 46.
σειρᾶς, εἴτε ἀξίωμά ἐστιν ἀρχῆς οὕτω καλούμενον· τινὲς μὲν οὖν
αὐτὸν ἐκεῖνον νομίζουσι τὸν παρὰ τῷ Ματθαίῳ· δείκνυται δὲ ἕτε-
ρος ὢν παρ᾽ ἐκεῖνον, οὐκ ἀπὸ τοῦ ἀξιώματος μόνον, ἀλλὰ καὶ
ἀπὸ τῆς πίστεως· ἐκεῖνος μὲν γὰρ καὶ βουλόμενον τὸν Χριστὸν
ἐλθεῖν, ἀξιοῖ μένειν· οὗτος δὲ εἰς τὴν οἰκίαν ἕλκει· κἀκεῖνός μὲν
οὐκ εἰμὶ ἄξιος λέγει· αὐτὸς δὲ καὶ κατεπείγει· κἀκείνου μὲν ὁ
παῖς παρέσει κατείχετο, τούτου δὲ πυρετῷ.

Διὰ τί λέγει αὐτῷ, πορεύου, ὁ υἱός σου ζῇ; ἵνα δείξῃ αὐ- 50.
τῷ ὅτι καὶ ἀπὼν θεραπεύει· ἀσθενὴς γὰρ ἦν ἐν τῷ λέγειν, ὅτι
κατάβηθι κύριε πρὶν ἀποθανεῖν τὸν υἱόν μου.

Ὅτι οὐχ ἁπλῶς τὸ δεύτερον προσέθηκεν, ἀλλὰ δεικνύς, ὅτι 54.
καὶ δευτέρου σημείου γενομένου, οὐδὲ πρὸς τὸ ὕψος τῶν Σα-
μαρειτῶν ἔφθασαν τῶν οὐδὲ ἓν σημεῖον ἑωρακότων.

Ἑορτὴν ἐνταῦθα τὴν πεντηκοστήν φησι· συνεχῶς δὲ ἐν ταῖς Cap. V.
ἑορταῖς ἐπιχωριάζει· τοῦτο μὲν ἵνα δείξῃ μετ᾽ αὐτῶν ἑορτάζειν· v. 1.
τοῦτο δὲ διὰ τὸ πλῆθος· μάλιστα γὰρ ἐν ταύταις ταῖς ἡμέραις
οἱ ἀφελέστεροι συνέτρεχον.

V. 2. Ὅτι τὸ ἐν τῇ προβατικῇ κολυμβήθρᾳ τελούμενον, τύπος ἦν τοῦ βαπτίσματος.

6. Ὅτι οὓς ἀπήτει πίστιν οὐ πρὸ τῶν θαυμάτων, ἀλλὰ μετὰ τὸ ἰδεῖν αὐτὸν θαύματα πεποιηκότα ἀπήτει.

9. Ἦρε δὲ τὸν ἑαυτοῦ κράβαττον, ἐπειδὴ ἅμα ἤκουσε, πιστεύσας ἠγέρθη.

Διὰ τί οὐκ ἐρωτῶσιν αὐτὸν τίς ἐστιν ὁ ποιήσας ὑγιῆ, ἀλλ' ὁ εἰπών σοι ἆρον τὸν κράβαττόν σου; ἀπὸ πολλῆς κακουργίας, ἄνω γὰρ καὶ κάτω τὴν δοκοῦσαν παράβασιν εἰς μέσον ἦγον τοῦ σαββάτου.

13. Διὰ τί ἐξένευσε ποιήσας τὸ θαῦμα; ἵνα μὴ πλέον παρασκευάσῃ αὐτοὺς ἐκκαῆναι· οἶδε γὰρ καὶ ὄψις μόνη τοῦ διαφθονουμένου οὐ μικρὸν τοῖς βασκαίνουσιν ἐνιέναι σπινθῆρα.

14. Διὰ τί λέγει, ἴδε ὑγιὴς γέγονας, μηκέτι ἁμάρτανε; ἅμα μὲν ὅτι ἐξ ἁμαρτιῶν ἐτέχθη τῷ ἀνθρώπῳ τὸ νόσημα· ἔπειτα δὲ ἵνα μάθωμεν ὡς ἡ ἀτελεύτητος κόλασις, οὐκ ἔχει ἀποκατάστασιν· οὗτος γὰρ ἁμαρτήσας μικροῦ δεῖν ὅλην ζωὴν ἀνθρώπου ἐκολάζετο· οὐδὲ γὰρ ἐν χρόνῳ τὰ ἁμαρτήματα κρίνεται, ἀλλ' ἐν αὐτῇ τῇ φύσει τῶν πεπλημμελημένων· καὶ τοῦτο δὲ μανθάνομεν ὅτι κἂν χαλεπὴν δῶμεν ὑπὲρ ἁμαρτιῶν δίκην, εἶτα τοῖς αὐτοῖς περιπέσομεν, χαλεπώτερα πολλῷ πεισόμεθα μᾶλλον· ὡς ἀναίσθητος γὰρ καὶ καταφρονητὴς κολάζεται τότε· καὶ διὰ τί οὐ πάντες ὧδε παιδεύονται; ὅτι μακροτέρας δέονται κολάσεως, ἢ κατὰ χρόνον ζωῆς ἀνθρωπίνης· καὶ ὅτι τοῦτό ἐστι, λέγοντος ἄκουσον Παύλου· κρινόμενοι δὲ ὑπὸ κυρίου παιδευόμεθα, ἵνα μὴ σὺν τῷ κόσμῳ κατακριθῶμεν.

Ὅτι τὰ νοσήματα ἢ δι' ἁμαρτίας ὥσπερ καὶ ἐν ταῖς βασιλείαις ὁρῶμεν τινὰ ποδαλγίᾳ κατασχεθέντα, καὶ δι' εὐδοκίμησιν ὡς ἐπὶ τοῦ Ἰὼβ· γίνεται καὶ ἀπὸ ῥᾳθυμίας καὶ ἀπὸ γαστριμαργίας.

17. Ὅτι τὸ ὁ πατήρ μου ἕως ἄρτι ἐργάζεται κἀγὼ ἐργάζομαι, τὸ ὁμοούσιον δείκνυσι· καὶ ἀνάγων αὐτοὺς ἵνα προσέχωσιν αὐτῷ

ὡς Θεῷ· ὅτι ἡ προνοητικὴ δύναμις καὶ ἐν σαββάτῳ ἔστι· ῥεῖ γὰρ V.
τὸ ὕδωρ καὶ σπερμαίνει πάντα καὶ αὔξει καὶ κινεῖται.

Τὸ οὐ δύναται ὁ υἱὸς ἀφ᾽ ἑαυτοῦ ποιεῖν οὐδὲν, ἀντὶ τοῦ 19.
ἄνευ τοῦ πατρός· ἤγουν οὐδὲν ἀλλότριον οὐδὲν ξένον· εἰ γὰρ μὴ τοῦτό ἐστι τὸ ὁ πατήρ μου ἕως ἄρτι ἐργάζεται κἀγὼ ἐργάζομαι, ἐναντιωθήσεται τούτῳ τὸ ῥητόν· ἃ γάρ φησιν ὁ πατὴρ ποιεῖ, ταῦτα καὶ ὁ υἱὸς ὁμοίως ποιεῖ· καὶ τοῦτο δὲ πάλιν τὸ ὁμοούσιον κυροῖ. Καὶ μετ᾽ ὀλίγα.

Τὸ οὐ δύναται, οὐκ ἀσθενείας, ἀλλὰ τῆς ἄκρας πρὸς τὸν πατέρα ταυτοφυΐας μοι πίστωσις· τὸ γὰρ ἀδύνατον ἐφ᾽ υἱοῦ οὐ τὸ ἀνεγχώρητον δείκνυσιν, ὡς τὸ ἀδύνατον ψεύσασθαι Θεὸν οὐκ ἀσθενείας ἀλλ᾽ ἄκρας δυνάμεως ἔνδειξις· σφόδρα γὰρ ἐν τῷ ἀληθεύειν πολλὴν ἔχων τὴν δύναμιν, οὐκ ἂν ὑπ᾽ ἀσθενείας κατενεχθείη πρὸς τὸ ψεῦδος· οὕτως τὸ οὐ δύναται ὁ υἱὸς ἀφ᾽ ἑαυτοῦ ποιεῖν οὐδὲν, ἀνεγχώρητον φησὶ τὸν υἱὸν διῃρημένην τοῦ πατρὸς ἔχειν ἐνέργειαν· οὐ γὰρ δυνατὸν τὸ γέννημα δίχα τοῦ γεννήσαντος τί ποιεῖν, οὐκ ἐγχωρεῖ τὸ ἀπαύγασμα δίχα τοῦ πατρὸς ἀνατέλλειν· οὐκ ἔνεστι τὸν κλάδον δίχα τῆς ῥίζης φέρειν καρπόν· οὐ δύναται ῥεῖν ποταμὸς τῆς βλυζούσης διῃρημένος πηγῆς· πῶς οὖν μακάριε ἑρμήνευσον ἡμῖν εὐαγγελιστὰ τὸ τοιοῦτον· εἰπὲ τὸ ἀκόλουθον ὃ ἀπέκρυψεν Ἄρειος. Καὶ μετ᾽ ὀλίγα.

Ὥσπερ εἴ τις κακοῦργος καὶ τὸ μὴ εἶναι Θεὸν ἐκ τῶν γραφῶν ἀποδεῖξαι τολμήσει· εἰ γάρ τις τὸ, εἶπεν ἄφρων ἐν καρδίᾳ αὐτοῦ, τὴν ἀρχὴν ἀφελόμενος, λέγει τὴν γραφὴν εἰρηκέναι μὴ εἶναι Θεὸν, προφέρων μόνον τὸ οὐκ ἔστι Θεὸς, ἆρ᾽ οὐ δόξειε τοῖς ἀγνοοῦσιν ἐκ τῶν γραφῶν διαλέγεσθαι; ἀλλ᾽ ὅμως κατατεμὼν τὴν γραφὴν ἀσεβὴς, ἀλλ᾽ οὐχ ὡς ἐκ γραφῆς λαλῶν εὐσεβὴς ὁ τοιοῦτος, τὴν γραφὴν ἑαυτῇ πολεμοῦσαν δεικνὺς τὴν ἀλήθειαν ψεῦδος διελέγχειν πειρᾶται· τοῦτο καὶ σὺ ποιεῖς ὦ Ἄρειε· διὰ τί γὰρ γράψας, οὐ δύναται ὁ υἱὸς ἀφ᾽ ἑαυτοῦ ποιεῖν οὐδὲν, οὐκέτι προσέθηκας τὸ ἀκόλουθον, ἃ γὰρ ἂν ὁ πατὴρ ποιῇ, ταῦτα καὶ ὁ υἱὸς ὁμοίως ποιεῖ; ἀλλ᾽ ἐφοβήθης τοῦτο προσθεῖναι, ἔδεισας

V, τὸν ἀναφυόμενον ἔλεγχον· εἰ γὰρ ὁμοίως τῷ πατρὶ ποιεῖ, δηλονότι μετὰ αὐθεντίας ποιεῖ, δῆλον ὡς οὐχ ὁμοίως ποιεῖ· μάτην κατὰ σέ γε βοᾷ· ἃ γὰρ ἂν ὁ πατὴρ ποιεῖ, ταῦτα καὶ ὁ υἱὸς ὁμοίως ποιεῖ· τὸ γὰρ ὅμοιον ψεύδεται, εἰ μὴ κατὰ πάντα ὅμοιον, ἢ διὰ τοῦτο κατέκρυψας.

Οὐχ ἕτερα μὲν ὁ πατὴρ, ἕτερα δὲ ὁ υἱὸς ἀπεργάζεται, ἀλλὰ ταῦτα ποιεῖ ἅπερ ἐκεῖνος ποιεῖ· τί οὖν εἴποι εἰ μὲν τὰ αὐτὰ ὁ υἱὸς τῷ πατρὶ ἀσθενεστέρᾳ δὲ δυνάμει καὶ τρόπῳ προσχωρούμενος; διὰ τοῦτο φησὶν εἶπον, ταῦτα καὶ ὁ υἱὸς ὁμοίως ποιεῖ· ἀκούεις ὦ Ἄρειε τὸ ὁμοίως, καὶ τὸ ἀνόμοιον λέγεις; ὁμοίως ποιεῖ μετὰ τῆς αὐτῆς αὐθεντίας, μετὰ τῆς αὐτῆς ἐξουσίας· εἰ γὰρ ὡς ὑπακούων ποιεῖ, οὐχ' ὁμοίως ποιεῖ· εἰ ὁμοίως ποιεῖ, οὐχ' ὡς ὑπακούων ποιεῖ· εἰ ὡς κτίσμα ποιεῖ, οὐχ ὁμοίως ποιεῖ.

20. Πῶς νοητέον τὸ καὶ μείζονα τούτων δείξει αὐτῷ ἔργα; ἵνα ὑμεῖς θαυμάζητε· τὸ δὲ δείξει, πάλιν λέγει ἵνα τὴν μανίαν αὐτῶν συστείλῃ· τὸ δὲ μείζονα ποιῆσαι Χριστὸν, τί ἐστιν ἄλλο, ἀλλὰ νεκροὺς ἐγεῖραι;

21. Τὸ ὥσπερ ὁ πατὴρ ἐγείρει τοὺς νεκροὺς καὶ ζωοποιεῖ, οὕτως καὶ ὁ υἱὸς οὓς θέλει ζωοποιεῖ· τὸ μὲν γὰρ ὥσπερ ὁ πατὴρ ἐγείρει, τῆς δυνάμεως δείκνυσι τὴν ἀπαραλλαξίαν· τὸ δὲ οὓς θέλει ζωοποιεῖ, τῆς ἐξουσίας τὴν ἰσότητα. Καὶ ἄλλως.

22. Τὴν πρὸς τὸν πατέρα ταυτότητα διὰ τοῦ ὥσπερ καὶ οὕτως ἐνδείξαντος, σὺ τοῦτο κρύψας, τοῦτο μόνον τὸ εὐθὺς ἀκόλουθον ἔγραψας· οὐδὲ γὰρ ὁ πατὴρ κρίνει οὐδένα ἀλλὰ τὴν κρίσιν πᾶσαν δέδωκεν τῷ υἱῷ· ἐκ τοῦ δέδωκεν, ὦ πονηρὲ, τὸν υἱὸν διαβάλλειν θελήσας· δέον γὰρ πᾶσαν γράψαι τὴν λέξιν ἔχουσαν οὕτως, ὥσπερ γὰρ ὁ πατὴρ ἐγείρει τοὺς νεκροὺς καὶ ζωοποιεῖ, οὕτως καὶ ὁ υἱὸς οὓς θέλει ζωοποιεῖ, οὐδὲ γὰρ ὁ πατὴρ κρίνει οὐδένα, πᾶσαν δὲ τὴν κρίσιν δέδωκε τῷ υἱῷ· εἰ γὰρ ᾔδεις συνηγοροῦσάν σοι τὴν γραφὴν, οὐκ ἂν ἐνόθευσας ταύτην, οὐκ ἂν ἔκρυψας τὰ ὑψηλὰ τοῦ Χριστοῦ, οὐκ ἂν τὰ μὲν τῆς γραφῆς παρεποίησας, τῶν δὲ τὰς ἀρχὰς μόνας προέγραψας, τῶν δὲ τὰς τε-

λευταίας μόνας προυβάλου· ἀλλ᾽ εἴπερ ἐπὶ πᾶσι δικαίοις ἐφθέγ- V.
γου, σῶα πάντως τὰ κεφάλαια τῶν γραφῶν προὔφερες.

Διὰ τί αὐτοῖς λέγει ὅτι τὴν κρίσιν πᾶσαν δέδωκε τῷ υἱῷ; εἰς φόβον αὐτοὺς ἐμβάλλων· ὥσπερ δὲ τὸ ἔδωκε ζωὴν, ἀντὶ τοῦ ἐγέννησεν αὐτὸν ζῶντά ἐστιν, οὕτως καὶ τὸ ἔδωκεν αὐτῷ κρίσιν, ἀντὶ τοῦ κριτὴν αὐτὸν ἐγέννησεν.

Πάλιν ἐκ τοῦ εἰπεῖν ὁ πατήρ μου ἕως ἄρτι ἐργάζεται, κἀγὼ ἐργάζομαι, ἔδειξε τὸ ὁμότιμον· ἠθέλησαν αὐτὸν διὰ τοῦτο ἀποκτεῖναι Ἰουδαῖοι· διὸ τὴν λέξιν μὲν καθυφίησι, τὰ νοήματα δὲ τὰ αὐτὰ προτίθησιν οὕτω λέγων· οὐ δύναται ποιεῖν οὐδὲν ἀφ᾽ ἑαυτοῦ ὁ υἱός· εἶτα πάλιν ἐπὶ τὰ ὑψηλὰ ἀνάγει λέγων, ἃ γὰρ ἂν ἐκεῖνος ποιῇ, φησιν, ταῦτα καὶ ὁ υἱὸς ὁμοίως, φησὶ, ποιεῖ· εἶτα πάλιν ἐπὶ τὸ ταπεινότερον· ὥσπερ γὰρ ὁ πατὴρ ἐγείρει τοὺς νεκροὺς καὶ ζωοποιεῖ, οὕτως καὶ ὁ υἱός· εἶτα τὸ ταπεινὸν ὁμοῦ καὶ ὑψηλόν· οὐδὲ γὰρ ὁ πατὴρ κρίνει οὐδένα, ἀλλὰ τὴν κρίσιν πᾶσαν δέδωκε τῷ υἱῷ· εἶτα ἐπὶ τὸ ὑψηλότατον· ἵνα πάντες τιμῶσι τὸν υἱὸν καθὼς τιμῶσι τὸν πατέρα· οὕτως τὸν λόγον ποικίλλει· ὥστε τοῖς μὲν τότε γενέσθαι εὐπαράδεκτον, καὶ τοὺς νῦν ὠφεληθῆναι ἀπὸ τῶν ὑψηλῶν· εἶτα ὅτι συμπέπλεκται ἡ τιμὴ τοῦ υἱοῦ τῇ τιμῇ τοῦ πατρός, λέγει· ὁ μὴ τιμῶν τὸν υἱὸν, οὐ τιμᾷ τὸν πατέρα.

Τὸ δὲ εἰς κρίσιν οὐκ ἔρχεται, ἀλλὰ μεταβέβηκε ἀπὸ τοῦ θα- 24.
νάτου πρὸς τὴν ζωὴν, τὸ εἰς κρίσιν ἀντὶ τοῦ οὐ κολάζεται οὐ
κατακρίνεται· θάνατον δὲ οὐ τοῦτον, ἀλλὰ τὸν αἰώνιον· ὥσπερ
καὶ ζωὴν οὐ ταύτην, ἀλλὰ τὴν αἰωνίαν.

Ἔρχεται ὥρα καὶ νῦν ἐστιν, ὅτε οἱ νεκροὶ ἀκούσωσι τῆς 25.
φωνῆς τοῦ υἱοῦ ἀνθρώπου καὶ ζήσονται· περὶ Λαζάρου καὶ τοῦτο
ὁμοίως λέγει.

Ὥσπερ γάρ φησιν ὁ πατὴρ ἔχει ζωὴν ἐν ἑαυτῷ, οὕτως ἔδω- 26.
κε καὶ τῷ υἱῷ ζωὴν ἔχειν ἐν ἑαυτῷ· τὴν τοῦ ἔδωκε λέξιν ἐνταῦθα τέθεικε ἐπὶ τὸ δεῖξαι μόνον τὰ δύο πρόσωπα· ἢ τοῦτο λέγει τὸ ἐγείρειν νεκροὺς, οὕτω καὶ τῷ υἱῷ δέδωκε· τοῦτο δὲ, τῆς ὑποστάσεως τὸ ἀπαράλλακτον εἰσάγει.

V. 30. Τὸ καθὼς ἀκούω κρίνω, δηλοῖ οὐ διδασκαλίαν, ἀλλὰ τὸ τῆς ψήφου ἴσον· ὡς ἂν ἔλεγε οὕτω κρίνω ὡσανεὶ αὐτὸν ὁ πατὴρ ὁ κρίνων εἴη.

Τί λέγει ἡ κρίσις ἡ ἐμὴ δικαία ἐστὶν, ὅτι οὐ ζητῶ τὸ θέλημα τὸ ἐμὸν, καὶ τὰ ἑξῆς; τοῦτο δὲ τοιοῦτόν ἐςιν· ἔμελλον λέγειν αὐτῷ οἱ Ἰουδαῖοι, ἐὰν σὺ μαρτυρῇς περὶ σεαυτοῦ, ἡ μαρτυρία σου οὐκ ἔστιν ἀληθείας· διὰ τοῦτο οὖν προλαβὼν τοῦτο εἶπε· ὡσανεὶ ἔλεγε, ἴσως ἐρεῖτέ μοι σοὶ οὐ πιςεύομεν· οὐδὲ γὰρ ἑαυτῷ μαρτυρήσας ἀξιόπιστος ἐν ἀνθρώποις· οὐ τοίνυν πρὸς τὴν ἀξίαν τὴν αὐτοῦ, ἀλλὰ πρὸς τὴν ὑπόνοιαν τὴν ἐκείνων, καὶ τὴν μέλλουσαν παρ' ἐκείνων ἀντίθεσιν ἐπάγεσθαι, δεικνὺς αὐτοῖς ὅτι οἶδε αὐτῶν τὰ ἀπόῤῥητα τῆς διανοίας· ὅταν δὲ λέγει ὅτι ἀληθής ἐστι ἡ μαρτυρία αὐτοῦ, αὐτῶν δείκνυσι τῶν πράγματων τὴν φύσιν.

31. Ὅτι ὡς θεὸν ἀξιόπιστον αὐτὸν ἔδει νομίζειν, τρεῖς παραγαγὼν μαρτυρίας τῶν λεγομένων, τὰ ἔργα τὰ ὑπ' αὐτοῦ γινόμενα, τοῦ πατρὸς τὴν μαρτυρίαν, τὸ Ἰωάννου κήρυγμα· ἐπιφέρει γοῦν, ἄλλος ἐςὶν ὁ μαρτυρῶν περὶ ἐμοῦ, καὶ οἶδα ὅτι ἀληθής ἐστιν ἡ μαρτυρία αὐτοῦ, περὶ Ἰωάννου λέγων· ἵνα δὲ μὴ λέγωσιν ὅτι χαριζόμενός σοι τοῦτο ἐποίησεν, ἐπιφέρει· ὑμεῖς ἀπεστάλκατε πρὸς Ἰωάννην καὶ μεμαρτύρηκε τῇ ἀληθείᾳ· οὐκ ἂν δέ φησιν ἀπεστείλατε, εἰ μὴ ἀξιόπιστον αὐτὸν ἡγεῖσθε.

34. Τί ἐστι τὸ ἐγὼ παρὰ ἀνθρώπου τὴν μαρτυρίαν οὐ λαμβάνω, ἀλλὰ ταῦτα λέγω ἵνα ὑμεῖς σωθῆτε; ἐγὼ μέν φησι οὐκ ἐδεόμην τῆς τούτου μαρτυρίας, θεὸς ὢν, τῆς ἀνθρωπίνης· ἐπειδὴ δὲ μᾶλλον αὐτῷ προσέχετε ἤπερ ἐμοί, διὰ τοῦτο ὑμᾶς ἀναμιμνήσκω τῆς μαρτυρίας αὐτοῦ.

35. Λύχνον δὲ καιόμενον λέγει τὸν Ἰωάννην, διὰ τὸ μὴ οἴκοθεν ἔχειν τὸ φῶς, ἀλλ' ἀπὸ τῆς τοῦ πνεύματος χάριτος.

Τί ἐστι τὸ ὑμεῖς ἠθελήσατε ἀγαλλιασθῆναι πρὸς ὥραν ἐν τῷ φωτὶ αὐτοῦ; δηλοῖ ὅτι ἀπεδέξαντο μὲν τὰ εἰρημένα παρὰ Ἰωάννου, καὶ ὀρθὴν περὶ αὐτοῦ κρίσιν εἶχον, ἀλλὰ πρόσκαιρος ἦν

καὶ ἀβέβαιος ἐκείνη ἡ σπουδή· εἰ γὰρ ἐπέμειναν, ταχέως ἂν αὐ- V.
τοὺς ἐχειραγώγησε πρὸς Χριστόν.

Τί δέ ἐστι τὸ ἐγὼ δὲ ἔχω τὴν μαρτυρίαν μείζω; τοῦ Ἰωάν- 36.
νου, καὶ ποίαν ταύτην δηλῶν, λέγει, τὰ ἔργα ἃ ἔδωκέ μοι ὁ πα-
τὴρ ἵνα ποιῶ, αὐτὰ μαρτυρεῖ ὅτι ὁ πατήρ με ἀπέστειλεν.

Ὅτι ὁ πέμψας με πατὴρ, αὐτὸς μεμαρτύρηκε περὶ ἐμοῦ· ποῦ; 37.
ὅτ' ἂν εἶπεν, οὗτός ἐστιν ὁ υἱός μου ὁ ἀγαπητός.

Τί ἐστι τὸ οὔτε φωνὴν αὐτοῦ ἀκηκόατε; τοῦτο λέγει, ὅτι περὶ
Θεὸν οὔτε φωνή ἐστιν οὔτε εἶδος· τοῦτο δὲ εἶπεν ἵνα μὴ ἔχωσι
λέγειν ὅτι Μωσεῖ λελάληκεν ὁ Θεός.

Οὐκ εἶπεν ἀνάγνωτε, ἀλλ' ἐρευνᾶτε· οὐ γὰρ ἡ ψιλὴ ἀνάγνω- 39.
σις παριστᾷ τὴν γνῶσιν, ἀλλ' ἡ ἀκριβὴς κατανόησις παρίστησι
τὸ ζητούμενον.

Περὶ τίνος λέγει ὅτι ἐὰν ἄλλος ἔλθῃ ἐν τῷ ἰδίῳ ἐκεῖνον λή- 43.
ψεσθε; περὶ τοῦ Ἀντιχρίστου λέγει.

Διὰ τί ἀπῆλθε πέραν τῆς θαλάσσης τῆς Γαλιλαίας τῆς Τι- Cap. VI. v. 1.
βεριάδος; διὰ τὸ μὴ ἐκ τῶν εἰρημένων φθόνον κινηθῆναι.

Διὰ τί οὐκ ἀνῆλθεν οὖν εἰς τὸ πάσχα ἀλλ' εἰς τὴν Γαλι- 3.
λαίαν, κἀκεῖθεν εἰς Καπερναούμ; ἠρέμα λοιπὸν ὑπεκλύων τὸν νό-
μον, ἀφορμὴν λαμβάνων ἀπὸ τῆς ἰουδαϊκῆς πονηρίας.

Τί ἐστι τὸ ἀναβλέψας τοῖς ὀφθαλμοῖς αὐτοῦ, εἶπεν; ὅτι οὐ- 5.
δέποτε ἁπλῶς ἐκάθητο, ἀλλὰ μετὰ κηδεμονίας τῆς πρὸς τοὺς
μαθητάς.

Τί ἐστιν ὅτι οἱ μὲν ἄλλοι εὐαγγελισταὶ τοὺς μαθητὰς φασὶ προσελθόντας ἐρωτᾶν καὶ παρακαλεῖν ὥστε μὴ ἀπολῦσαι αὐτοὺς νήστεις, οὗτος δὲ ὁ εὐαγγελιστὴς τὸν Φίλιππον ἐρωτηθῆναι παρὰ Χριστοῦ; δοκεῖ οὖν μοι ἀμφότερα εἶναι ἀληθῆ, ἀλλ' οὐκ ἐπὶ τοῦ αὐτοῦ γενόμενα καιροῦ.

Διὰ τί ἐρωτᾷ τὸν Φίλιππον; ἐπειδὴ ἐγίνωσκε, τίς ἐδέετο πλείονος διδασκαλίας· οὗτος γάρ ἐστιν ὁ λέγων, δεῖξον ἡμῖν τὸν πατέρα καὶ ἀρκεῖ ἡμῖν.

Διὰ τί λέγει πόθεν ἵνα φάγωσιν οὗτοι; ἆρα ὡς ἀγνοῶν τὸ

VI. μέλλον γενέσθαι; ἄπαγε· ἀλλὰ διὰ τὸ εἰρηκέναι τὸν Φίλιππον ὅτι διακοσίων δηναρίων καὶ τὰ ἑξῆς· εἰρωνικὸν ὂν τὸν λόγον ποιεῖται.

11. Διὰ τί ἐπὶ μὲν τοῦ παραλυτικοῦ καὶ τοῦ Λαζάρου καὶ ὅτε τὴν θάλασσαν ἐχαλίνου οὐκ ηὔξατο, νῦν δὲ εὔχεται; τύπους ἡμῖν διδοὺς ἵνα ἐν τῷ τροφῆς μεταλαμβάνειν ἡμᾶς, εὐχώμεθα.

12. Διὰ τί συνεχώρησε περισσεῦσαι ταῦτα; οὐ δι' ἐπίδειξιν, ἀλλ' ἵνα μὴ φαντασία δόξῃ τὸ γενηθέν· οὐκ ἔδωκε δὲ τοῖς ὄχλοις βαστάζειν, ἀλλὰ τοῖς μαθηταῖς· ἐπειδὴ τούτους μάρτυρας ἔδει εἶναι μᾶλλον καὶ κήρυκας τῶν θαυμάτων.

13. Ὅτι χρὴ θαυμάσαι ὅτι ἰσαρίθμους τῶν μαθητῶν τοὺς κοφίνους τῶν λειψάνων ἐποίησε περισσεῦσαι, ἵνα ἐν τῷ βαστάζειν μιμνήσκωνται.

14. Διὰ τί θαυμάζουσιν οἱ ὄχλοι τοῦτο μᾶλλον τὸ σημεῖον, δι' ὑπερβολὴν γαστριμαργίας.

Τί λέγει μὴ μεριμνήσητε, φησὶν, εἰς τὴν αὔριον; δηλοῖ δὲ οὐ τὸ μὴ μεριμνᾷν, ἀλλὰ τὸ μὴ προσηλῶσθαι τῷ κόσμῳ καὶ τοῖς βιωτικοῖς πράγμασιν· ἔξεστι δὲ ἐργαζόμενον μηδὲν εἰς τὴν αὔριον θησαυρίζειν· οὐ γὰρ ταυτὸν μέριμνα καὶ ἐργασία.

Τί ἐστι, τὸ ἑνός ἐστιν χρεία; οὐ περὶ ἔργου νῦν ἐστι καὶ ἐργασίας, ἀλλὰ περὶ τοῦ δεῖν καιρὸν εἰδέναι, καὶ μὴ τὸν τῆς ἀκροάσεως πρὸς τὰ σαρκικὰ ἀναλίσκειν· οὐ τοίνυν ἀργίαν νομοθετῶν, ἀλλὰ προσηλῶν τῇ ἀκροάσει ταῦτα ἔλεγεν.

27. Τί ἐστι, τοῦτον γὰρ ὁ πατὴρ ἐσφράγισεν; ἀντὶ τοῦ ὁ θεός· τουτέστιν ἀπέδειξε διὰ τῆς αὐτοῦ μαρτυρίας.

31. Τίνος ἕνεκεν εἶπον, οἱ πατέρες ἡμῶν ἔφαγον τὸ μάννα ἐν τῇ ἐρήμῳ; νομίζοντες αὐτὸν ἐρεθίσαι εἰς τὸ ποιῆσαί τι σημεῖον τοιοῦτον, ὅπερ αὐτοὺς θρέψει σαρκικῶς, τοῦτο γὰρ ἐπεθύμουν διὰ γαστριμαργίας ὑπερβολήν.

32. Διὰ τί λέγει, οὐ Μωσῆς δέδωκεν ὑμῖν τὸν ἄρτον καὶ τὰ ἑξῆς; ἄρτον δὲ ἀληθινὸν καλεῖ, οὐκ ἐπειδὴ ψευδὲς ἦν τὸ θαῦμα τὸ ἐπὶ τοῦ μάννα, ἀλλ' ὅτι τύπος ἦν οὐκ αὐτοαλήθεια.

34. Διὰ τί λέγουσιν, κύριε δὸς ἡμῖν πάντοτε τοῦτον τὸν ἄρτον; ἐπειδὴ ἔτι αἰσθητὸν πρᾶγμα ἐνόμιζον.

Πῶς νοητέον τὸ ἄρτος τοῦ Θεοῦ ἐστιν ὁ καταβὰς ἐκ τοῦ οὐ- VI.
ρανοῦ καὶ ζωὴν διδοὺς τῷ κόσμῳ; οὐκ Ἰουδαίοις μόνον, ἀλλὰ
καὶ τῇ οἰκουμένῃ· ζωὴν δὲ λέγει, ἐπεὶ πάντες ἦσαν νεκρωθέν-
τες τῇ ἁμαρτίᾳ.

Τί ἐστι τὸ πᾶν ὃ δέδωκέν μοι ὁ πατὴρ, πρὸς ἐμὲ ἥξει; ὅτι 37.
οὐ τὸ τυχὸν πρᾶγμα ἡ πίστις ἡ εἰς αὐτὸν, ἀλλὰ τῆς ἄνωθεν
δεῖται ῥοπῆς, καὶ ψυχῆς τινος γενναίας καὶ εὐγνώμονος δεχο-
μένης πίστει τὴν τοῦ πνεύματος ἀποκάλυψιν.

Διὰ τί εἰπόντων αὐτῶν οὐχ' οὗτός ἐστιν Ἰησοῦς ὁ υἱὸς Ἰω- 42.
σὴφ, μὴ ἀπεκρίθη αὐτοῖς οὐκ εἰμί; διὰ τὸ μήπω δύνασθαι τὸν
θαυμαστὸν τόκον ἀκοῦσαι τὸν ἐκ παρθένου· εἰ δὲ τὸν κατὰ σάρ-
κα οὐκ ἠδύναντο ἀκοῦσαι, πολλῷ μᾶλλον τὴν ἄῤῥητον καὶ ἄνω
γέννησιν.

Διὰ τί εἶπεν ὅτι οὐδεὶς δύναται ἐλθεῖν πρός με, ἐὰν μὴ ὁ 44.
πατήρ μου ἑλκύσῃ αὐτόν; οὐ τὸν ἐκ βίας αἰνίττεται, ἀλλὰ τὸν
πολλῆς ἐκ Θεοῦ ἀπολαύοντα συμμαχίας.

Τί ἐστιν ὃ λέγει γραφικὸν, ἔσονται πάντες διδακτοὶ Θεοῦ; 45.
ὅτι τότε δι' ἀνθρώπων ἐμάνθανον τὰ τοῦ Θεοῦ, νῦν δὲ δι' αὐ-
τοῦ υἱοῦ τοῦ Θεοῦ καὶ τοῦ ἁγίου πνεύματος.

Πῶς ἀκουστέον, τὸν πατέρα οὐδεὶς ἑώρακεν εἰ μὴ ὁ ὢν ἐκ 46.
τοῦ Θεοῦ; οὐ χρὴ δὲ κατὰ τὸν τῆς αἰτίας λόγον νοεῖν ἐνταῦ-
θα, πάντες γὰρ ἐκ Θεοῦ ἐσμὲν, ἀλλὰ κατὰ τὸν τρόπον τῆς ἀλη-
θοῦς γεννήσεως.

Ὃς ἂν φάγῃ ἐκ τοῦ ἄρτου τούτου, ζήσεται εἰς τὸν αἰῶνα· 51.
ἢ τὴν σάρκα λέγει ἢ τὰ σωτήρια διδάγματα.

Διὰ τί ἀληθῆ βρῶσιν καὶ ἀληθῆ πόσιν; διὰ τὸ σώζειν τὰς 53.
ψυχὰς τῶν πίστει λαμβανόντων, ἀλλ' οὐκ ἀπολλύειν ὥσπερ τὴν
πρόσκαιρον βρῶσιν.

Ὅτι ὁ τρώγων μου τὴν σάρκα, ἐν ἐμοὶ μένει· τὴν δι' αὐτοῦ 54.
τοῦ ἐν αὐτῷ Χριστῷ ἀνάκρασιν λέγει τὴν διὰ τῆς μεταλήψεως.

Τί ἐστιν καὶ ἐγὼ ἀναστήσω αὐτὸν ἐν τῇ ἐσχάτῃ ἡμέρᾳ; τὸ 55.
κἀγὼ, δείκνυσιν αὐτὸν ἰσοστάσιον τοῦ πατρός.

VI. 57. Κἀγὼ ζῶ διὰ τὸν πατέρα πῶς νοητέον; ὅτι καθώς ἐστι ζωὴ ὁ πατὴρ, οὕτω κἀγὼ ζῶ· καὶ ὁ τρώγων με, κἀκεῖνος ζήσεται δι᾽ ἐμέ· ζωὴν λέγων συνεχῶς τὴν ἀνάστασιν τὴν ἐκεῖθεν.

Διὰ τί ζωῆς μέμνηται πανταχοῦ; ὅτι ποθεινὸν τοῦτο ἀνθρώποις, καὶ οὐδὲν οὕτως ἡδὺ ὡς τὸ μὴ ἀποθανεῖν.

59. Διὰ τί ἐν συναγωγαῖς καὶ ἐν ἑορταῖς ἐδίδασκεν; ὁμοῦ μὲν τὸ πλῆθος θηράσαι θέλων, ὁμοῦ καὶ δεικνύων ἑαυτὸν οὐκ ἐναντίον τῷ πατρί.

62. Διὰ τί ἔλεγεν, ἐὰν ἴδητε τὸν υἱὸν τοῦ ἀνθρώπου ἀναβαίνοντα ὅπου ἦν τὸ πρότερον; καὶ διὰ τούτων ἀπάγων αὐτοὺς ὡς οὐκ ἔστι τοῦ Ἰωσήφ.

63. Τί ἐστιν ὅπερ εἶπεν, τὸ πνεῦμά ἐστι τὸ ζωοποιοῦν; τὸ πνευματικῶς ἀκούειν αὐτοὺς τῶν παρ᾽ αὐτοῦ λεγομένων· ὁ γὰρ σαρκικῶς ἀκούων, οὐδὲν ὠφεληθήσεται· σαρκικὸν δέ ἐστι τὸ ἀκούειν πῶς ἐκ τοῦ οὐρανοῦ καταβέβηκε, καὶ πῶς ἔδει τὴν σάρκα φαγεῖν, ἅπερ ἔδει μυστικῶς καὶ πνευματικῶς νοεῖν· διὸ καὶ ἐπάγει, τὰ ῥήματα ἃ ἐγὼ λελάληκα ὑμῖν, πνεῦμα ἐστὶ καὶ ζωὴ, τουτέστι πνευματικά ἐστιν, οὐδὲν ἔχοντα σαρκικόν.

64. Πῶς νοητέον τὸ ᾔδει γὰρ ἐξ ἀρχῆς οἵ τινές εἰσιν οἱ μὴ πιστεύοντες; ἀπὸ καταβολῆς φησὶ κόσμου· τοῦτο δὲ περὶ Ἰούδα καὶ τῶν ἀπιστησάντων Ἰουδαίων.

66. Τί δηλοῖ ὅτι πολλοὶ τῶν μαθητῶν αὐτοῦ ἀπῆλθον εἰς τὰ ὀπίσω; οὐ περὶ τῶν δώδεκα λέγει, ἀλλὰ περὶ ἄλλων μαθητῶν αὐτῶν τῶν ἀποστόλων. ὅτι δὲ οὕτως ἐστὶ, δῆλον ἐκ τοῦ λέγειν τοῖς μαθηταῖς· μὴ καὶ ὑμεῖς θέλετε ὑπάγειν;

68. Διὰ τί εἰπόντος τοῦ Πέτρου ποῦ ἀπελευσόμεθα, οὐκ ἐμακάρισεν αὐτὸν ὁ Χριστός; ἵνα μὴ δόξῃ διὰ τὸ ἐμμεῖναι αὐτοὺς, κολακεύειν αὐτούς.

Cap. VII. v. 3. Διὰ τί λέγουσί πρὸς αὐτὸν οἱ ἀδελφοὶ αὐτοῦ, μετάβηθι ἐντεῦθεν εἰς τὴν Ἰουδαίαν; δοκεῖ μὲν ἀπὸ φιλίας εἰρῆσθαι· ἔστι δὲ οὐχ οὕτως, ἀλλὰ δειλίας καὶ φιλοδόξιας σκόπτουσι· τὸ μὲν γὰρ εἰπεῖν οὐδὲ ἔτι ἐν κρυπτῷ ποιεῖ, δειλίαν ἐγκαλούντων ἐστί· τὸ δὲ καὶ εἰπεῖν ἐν φανερῷ εἶναι, φιλοδοξίαν.

Τί ἐστι τὸ ὁ καιρὸς ὁ ἐμὸς οὔπω πάρεστιν, ὁ δὲ καιρὸς ὁ ὑμέτερος πάντοτε ἕρημος; καιρὸν ἴδιον τὸν τοῦ ϛαυροῦ λέγων, καιρὸν δὲ ἕρημον πάντοτε, ὅτι φησὶν οὐκ ἀναιρήσουσιν ὑμᾶς, κἂν ἀεὶ μετ' αὐτῶν ἦτε. VII. 6.

Πῶς νοητέον τὸ ὁ καιρὸς ὁ ἐμὸς οὔπω πεπλήρωται; ὅτι ἔδει καὶ σημεῖα γενέσθαι.

Οὐ δύναται ὁ κόσμος μισεῖν ὑμᾶς ὡς τὰ αὐτοῦ βουλομένους· ἐμὲ δὲ φησι μισεῖ, ὅτι ἐλέγχω αὐτόν. 7.

Διὰ τί οὐκ ἀναβαίνει μετὰ τῶν ἀδελφῶν, ἀλλ' ἔσχατον; τοῦ- 8.
το μὲν μὴ βουλόμενος δῆλον ἑαυτὸν καταστήσειν, καθὼς ἐκεῖνοι ἐβούλοντο· ἀναβαίνει δὲ, ἵνα μὴ δειλίας εἶναι νομίσωσιν ἐκεῖνοι τὸ μεῖναι κάτω.

Τίνος ἕνεκεν ζητοῦντες αὐτὸν οὐκ ὀνομαστὶ ἔλεγον, ἀλλὰ ποῦ 11.
ἐστιν ἐκεῖνος; ἀπὸ πολλῆς εἰρωνίας καὶ φθόνου.

Πῶς νοητέον τὸ ἡ ἐμὴ διδαχὴ οὐκ ἔστιν ἐμὴ, ἀλλὰ τοῦ πέμ- 16.
ψαντός με; ὃ λέγει τοιοῦτόν ἐστιν· οὐδὲν ἔχω παρηλλαγμένον· εἰ καὶ ὑπόστασις ἄλλη εἰμί· ἀλλ' οὕτω καὶ λέγω καὶ πράττω ὡς μὴ νομίζεσθαι ἕτερον τι παρὰ τὸν πατέρα.

Τί δηλοῖ τὸ ἐάν τις θέλῃ τὸ θέλημα αὐτοῦ ποιεῖν; τοῦτ- 17.
έστιν ὁ ἐραστὴς τοῦ βίου τοῦ κατ' ἀρετὴν γνώσεται περὶ τῆς διδαχῆς· ἀντὶ τοῦ ὃς ἀποβλέπει εἰς τοὺς προφήτας, γνώσεται τὴν ἐμὴν διδαχήν.

Ὅτι χρὴ σκοπῆσαι ὅτι τοῦ ταπεινὰ φθέγγεσθαι αὐτὸν, πολ- 18.
λαί εἰσιν αἰτίαι, οἷον διὰ τὸ μὴ ἀγέννητον εἶναι νομισθῆναι· διὰ τὸ μὴ ἀντίθεον· διὰ τὸ σάρκα περιβεβλῆσθαι· διὰ τὸ ἀσθενὲς τῶν ἀκουόντων· διὰ τὸ διδάσκειν τοὺς ἀνθρώπους μετριάζειν, τὰ δὲ ὑψηλὰ φθέγγεσθαι· μίαν εὕροι τὶς αἰτίαν διὰ τὸ μέγεθος τῆς θείας φύσεως.

Τί ἐστιν ὃ λέγει ὅτι οὐ Μωσῆς ἔδωκεν ὑμῖν τὸν νόμον; 19.
ἐπειδὴ γὰρ ἐνεκάλουν αὐτῷ ὅτι τὸ σάββατον ἔλυε, πρὸς τοῦτο ἵσταται· ὡσανεὶ ὁ νόμος εἶπεν οὐ φονεύσεις, ὑμεῖς δὲ φονεύετε· ἀφέντες οὖν τὸ ἑαυτοὺς καταδικάζειν, περὶ τούτου ἐμοὶ

VII. ἐγκαλεῖτε ὡς παραβαίνοντι τὸν νόμον ὅτι τεθεράπευκα ἄνθρωπον.

22. Τί λέγει καὶ διὰ τί Μωσῆς δέδωκεν ὑμῖν τὴν περιτομήν; οὐχ᾽ ὅτι ἐκ τοῦ Μωσέως ἐστὶν, ἀλλ᾽ ἐκ τῶν πατέρων· ὁ νοῦς τοιοῦτός ἐστι· διὰ τί φησιν οὐδεὶς ἐνεκάλεσε Μωσεῖ ἢ ἠπείθησε κελεύοντι διὰ τὴν περιτομὴν λύεσθαι τὸ σάββατον; δηλονότι ὡς σαββάτου, τῆς περιτομῆς οὔσης κυριωτέρας, καί τοι οὐκ ἔστιν ἐκ τοῦ Μωσέως ἡ περιτομή· ταῦτα δὲ ἔλεγε θέλων δεῖξαι ὅτι μεῖζον ἔργον ἐποίησε τῆς περιτομῆς αὐτός· διὰ δὲ τοῦ εἰπεῖν ὅλον ἄνθρωπον, δείκνυσι μερικὴν ὑγείαν τὴν περετομὴν πρὸς τὴν τοῦ παραλυτικοῦ τελείαν γενομένην.

28. Τὸ καὶ ἐμὲ οἴδατε καὶ οἴδατε πόθεν εἰμὶ, ἀλλ᾽ ὅθεν ὁ πέμψας με, εἰπὼν δὲ ὃν ὑμεῖς οὐκ οἴδατε, τὴν διὰ τῶν ἔργων ἄγνοιαν λέγει· οὐ γὰρ ἀγνοίας ἦν τὸ ἁμάρτημα ἀλλὰ κακίας· τὸ δὲ παρ᾽ αὐτοῦ εἰμὶ, ἀντὶ τοῦ μετ᾽ αὐτοῦ εἰμί· τοῦτο δὲ εἶπεν ὥστε μὴ νομισθῆναι ἀλλότριος τοῦ θεοῦ.

30. Τί δεικνύει τὸ εἰς τὴν ἑορτὴν αὐτῶν αὐτὸν ζητεῖν πιάσαι; τὴν γνώμην αὐτῶν τὴν ἄθεον, ὅτι οὐδὲ ἐν ναῷ τοιαῦτα ποιεῖν ἐφοβοῦντο.

31. Πῶς ἔχει ὅτι τῶν ὄχλων οἱ μὲν ἀγαθὸν αὐτὸν εἶχον, οἱ δὲ οὔ, ἀλλὰ πλάνον; ἐκείνη μὲν οὖν ὡς δοκῶ ἡ δόξα τῶν πολλῶν ἐστιν, αὕτη δὲ τῶν φθονούντων ἀρχιερέων.

34. Τὸ ὅπου εἰμὶ ἐγὼ, οὐ δύνασθε ὑμεῖς ἐλθεῖν, σημαίνει ὅτι οὐκ ἔμελλεν ἐναπομένειν τῷ θανάτῳ· ἐκεῖ γὰρ πάντες ἡμεῖς ἀπερχόμεθα.

35. Τί σημαίνει ἐν τῷ λέγειν διασποράν; οὕτω τὰ ἔθνη ἐκάλουν οἱ Ἰουδαῖοι ὡς πανταχοῦ διεσπαρμένα.

37. Διὰ τί λέγει ὁ εὐαγγελιστὴς ὅτι τῇ ἐσχάτῃ ἡμέρᾳ τῇ μεγάλῃ; διὰ τὸ τὴν πρώτην καὶ τὴν τελευταίαν μεγάλην εἶναι· τὰ γὰρ μεταξὺ μᾶλλον εἰς τρυφὴν ἀνήλισκον· ἦλθε δὲ ἐν τῇ ἐσχάτῃ διδάσκων ὥστε μνημονεύεσθαι τὰ λεγόμενα, καὶ εἰς λήθην ἐλθεῖν αὐτὰ ὑπὸ τῆς τρυφῆς τῶν μέσων ἡμερῶν.

Πῶς νοητέον τὸ ὁ πιστεύων εἰς ἐμὲ, καθὼς εἶπεν ἡ γραφὴ, VII.
ποταμοὶ ἐκ τῆς κοιλίας αὐτοῦ ῥεύσουσιν ὕδατος ζῶντος; κοιλίαν 38.
ἐνταῦθα τὴν καρδίαν λέγει· καθάπερ καὶ ἀλλαχοῦ λέγει, καὶ τὸν
νόμον σοῦ ἐν μέσῳ τῆς κοιλίας μου.

Ποῦ εἶπεν ἡ γραφὴ ποταμοὶ ἐκ τῆς κοιλίας αὐτοῦ ῥεύσουσιν; ἢ ἐνταῦθα δεῖ ὑποστίξαι εἰς τὸ καθὼς εἶπεν ἡ γραφή· λέγω ἵνα ᾖ τὸ ποταμοὶ ἐκ τῆς κοιλίας αὐτοῦ ῥεύσουσι τῆς αὐτοῦ ἀποφάσεως· ἐπειδὴ γὰρ ἡ γραφὴ μαρτυρεῖ ὅτι ἐλεύσεται ὁ Θεὸς, διὰ τοῦτο τῆς γραφῆς ἐμνημόνευσε· τὸ δὲ ῥεύσουσι τὸ δαψιλὲς τῆς χάριτος αἰνίττεται· ζῶν δὲ λέγει, διὰ τὸ ἐνεργεῖν ἀεί· ἔλεγε δὲ τοῦτο φησὶ περὶ τοῦ πνεύματος.

Τί ἐστιν ὅπερ εἶπεν οὔπω γὰρ ἦν πνεῦμα ἅγιον δεδομένον; 39.
ὅτι τῶν προφητῶν διὰ πνεύματος ἁγίου λαλησάντων, συνεστάλη
τέως ἐν τῷ μέσῳ ἡ τοιαύτη χάρις· ἔμελλε δὲ δίδοσθαι μετὰ τὸν σταυρόν· διὰ τοῦτο ἐπιφέρει ὅτι Ἰησοῦς οὐδέπω ἐδοξάσθη· δόξαν δὲ τὸν σταυρὸν καλεῖ· ἐγὼ δὲ τὴν ἀνάληψιν τὴν τελείως δείξασαν ὅτι ἔστι Θεός· ἢ τὸ οὔπω ἦν, νοήσεις, οὐκ ἦν γνωρισθὲν ἀνθρώποις τὸ πνεῦμα.

Ὅτι χρὴ γινώσκειν ὅτι οἱ ἀπόστολοι πρὸ τοῦ πάθους τὰς ἰάσεις οὐ πνεύματι ἁγίῳ, ἀλλὰ τῇ παρὰ τοῦ Χριστοῦ ἐξουσίᾳ ἐποίουν· ὅτε δὲ ἀπέστελλεν αὐτοὺς εἰς τὴν οἰκουμένην, τότε λέγει λάβετε πνεῦμα ἅγιον· καὶ πάλιν τῇ πεντηκοστῇ ἦλθεν ἐπ' αὐτοὺς τὸ πνεῦμα.

Διὰ τί λέγει τὸ ἐγώ εἰμι τὸ φῶς τοῦ κόσμου; ἐπειδὴ ἔλε- Cap. VIII.
γον αὐτὸν ἐκ τῆς Γαλιλαίας εἶναι, ἐπιφέρει ὅτι οὐκ ἐξ αὐτῆς καὶ v. 12.
οὐ δι' αὐτὴν ἦλθον φησὶν, οὐδὲ διὰ τὴν Παλαιστίνην, ἀλλὰ διὰ τὸ τὸν ἅπαντα κόσμον φωτίσαι· τὸ δὲ οὐ περιπατήσει ἐν τῇ σκοτίᾳ, ἀντὶ τοῦ ἐν τῇ πλάνῃ κεῖται.

Τὸ ὑμεῖς κατὰ τὴν σάρκα κρίνετε, τὸ ἀδίκως κρίνειν λέ- 15.
γει· καθάπερ καὶ τὸ κατὰ σάρκα ζῆν, τὸ φαύλως ζῆν.

Διὰ τί ἀλλαχοῦ λέγων ὅτι ὁ πατὴρ κρίνει οὐδένα, ἀλλὰ τὴν κρίσιν πᾶσαν δέδωκε τῷ υἱῷ, ἐνταῦθα λέγει ἐγὼ οὐ κρίνω οὐ-

VIII. δένα; ὅτι τοῦτο οὐ περὶ τοῦ μέλλοντος λέγει καιροῦ, ἐκεῖνο δὲ περὶ τῆς δευτέρας παρουσίας.

16. Εἰπὼν δὲ ὅτι μόνος οὐκ εἰμὶ ἀλλ' ἐγὼ καὶ ὁ πέμψας με πατὴρ, δείκνυσιν ὅτι οὐκ ἐγὼ μόνος καταδικάζω ὑμᾶς, ἀλλὰ καὶ ὁ πατήρ· ἢ ὡς ἐγὼ, οὐδὲ ἐγὼ, εἰ μὴ ὡς ὁ πατήρ· διὰ τοῦτο καὶ ἐπιφέρει, ὅτι καὶ ἐν τῷ νόμῳ τῷ ὑμετέρῳ γέγραπται, ὅτι δύο ἀνθρώπων ἡ μαρτυρία ἀληθής ἐστιν· ἢ τοῦτο λέγει, ἵνα δείξῃ ὅτι ὁμοούσιος τοῦ πατρός ἐστιν.

Τί ἐστι τὸ οὔπω ἐληλύθει ἡ ὥρα αὐτοῦ, τοῦτό ἐστι τὸ οὐδέπω καιρὸς ἦν ἐπιτήδειος καθ' ὃν ἤθελεν σταυρωθῆναι.

21. Ἐν τῷ λέγειν τὸν Χριστὸν συνεχῶς ὅτι ἐγὼ ὑπάγω καὶ ζητήσετέ με, διὰ τὸ κατασείειν αὐτῶν τὰς ψυχὰς, ἐκεῖνοι ἐπιφέρουσι μήτι ἀποκτενεῖ ἑαυτὸν καὶ τὰ ἑξῆς, αὐτὸς ἀναιρῶν αὐτῶν τὴν ὑποψίαν φησίν· ὑμεῖς ἐκ τῶν κάτω ἐστὲ, ἐγὼ ἐκ τῶν ἄνω εἰμί· ὃ δὲ λέγει, τοιοῦτόν ἐστιν· ὑμεῖς ἐκ τοῦ κόσμου ὄντες καὶ ἄνθρωποι πεφυκότες, τοιαῦτα λογίζεσθε.

24. Τί σημαίνει ὅτι ἐὰν μὴ πιστεύσητε ὅτι ἐγώ εἰμι, ἀποθανεῖσθε ἐν ταῖς ἁμαρτίαις ὑμῶν; ἐπειδὴ ἦλθεν ἵνα ἄρῃ τὴν ἁμαρτίαν τοῦ κόσμου, ἐκεῖνοι οὐκ ἐδέξαντο, ἐξ ἀνάγκης ἐν ταύταις αὐτοὺς ἀποθανεῖν λέγει.

25. Ἐρωτῶσι δὲ αὐτὸν σὺ τίς εἶ, ὁ δὲ ἀποκρίνεται· τὴν ἀρχὴν ὅτι καὶ λαλῶ ὑμῖν· τοῦτο δὲ τοιοῦτόν ἐστιν· ἐπειδὴ θαύματα καὶ διδασκαλίαν ἀκούοντες καὶ ἰδόντες ἐρωτᾶτε τίς εἰμὶ, τὸ ὅλως ἀκούειν τῶν λόγων τῶν ἐμῶν ἀνάξιοι ἐστὲ, μήτι γε καὶ μαθεῖν ὅτι ἐγώ εἰμι· ὑμεῖς γὰρ πάντα πειράζοντες φθέγγεσθε, ἵνα με μὴ νομίσητε ὅτι τοσαῦτα ἀκούων παρ' ὑμῶν, δι' ἀσθένειαν οὐκ ἐξέρχομαι· ἢ ὅτι οὐκ οἶδα ὑμῶν τὰς διανοίας, ἰδοὺ λέγω ὑμῖν ὅτι δύναμαι ὑμᾶς ἐλέγξαι· οὐκ ἐλέγξαι δὲ μόνον, ἀλλὰ καὶ κολάσαι· τοῦτο γάρ ἐστι τὸ πολλὰ ἔχω λαλεῖν περὶ ὑμῶν καὶ κρίνειν· τὸ δὲ ταῦτα λαλῶ εἰς τὸν κόσμον, ἐδήλωσεν ὅτι εἰς τὰ ἔθνη μέλλει.

28. Τί ἐστιν ὃ λέγει ὅτι ὅτ' ἂν ὑψώσητε τὸν υἱὸν τοῦ ἀνθρώ-

που, τότε γνώσεσθε ὅτι ἐγώ εἰμι; ὃ λέγει τοιοῦτόν ἐστιν· ὅτι VIII.
ἐγώ εἰμι ὁ υἱὸς τοῦ Θεοῦ.

Διὰ τί ἐπισημαίνεται ὁ εὐαγγελιστὴς λέγων, ταῦτα αὐτοῦ 30.
λαλοῦντος, πολλοὶ ἐπίστευσαν εἰς αὐτόν· ποῖα ταῦτα; τὰ ταπεινὰ ῥήματα· ποῖα; οἷον τὸ ἀπ' ἐμαυτοῦ λαλῶ οὐδὲν, ὅπερ τὸ ἴσον πρὸς τὸν πατέρα σημαίνει· ἐκεῖνοι δὲ τὸ ἔλαττον νοοῦσι· καὶ αὐτὸς οὐκ ἀφῆκέ με μόνον ὁ πατὴρ, ὅτι ἐγὼ τὰ ἀρεστὰ αὐτοῦ ποιῶ πάντοτε.

Τί ἐστιν πᾶς ὁ ποιῶν τὴν ἁμαρτίαν, δοῦλός ἐστιν τῆς ἁμαρ- 34.
τίας, ὁ δὲ δοῦλος οὐ μένει ἐν τῇ οἰκίᾳ εἰς τὸν αἰῶνα, καὶ τὰ ἑξῆς; διὰ τούτων ἠρέμα καὶ τὰ διὰ τοῦ νόμου καταβάλλει, καὶ αὐτὸν συνιστῶν ἐν τῷ ἐπιφέρειν, ὁ δὲ υἱὸς οἰκοδεσπότης ἐστίν· διό φησιν μένει εἰς τὸν αἰῶνα· εἶτα δεικνὺς τὸ ὁμοούσιον, λέγει· ἐὰν ὁ υἱὸς ὑμᾶς ἐλευθερώσῃ, ἐλεύθεροι ἔσεσθε.

Ὑμεῖς ἐκ τοῦ πατρὸς τοῦ διαβόλου ἐστὲ, καὶ τὰ ἑξῆς· τοῦτο 44.
λέγει αὐτοῖς διὰ τὸν φόνον, καὶ ὅτι τοῦτο ἐπιφέρει· ἐκεῖνος ἀπ' ἀρχῆς ἀνθρωποκτόνος ἐστὶν, ὥσπερ φησὶ καὶ ὑμεῖς.

Καὶ ὁ πατὴρ αὐτοῦ ψεύστης· ὁ πατὴρ τοῦ ψεύδους τουτέστιν ὁ διάβολος, ὁ γεννήσας τὸ ψεῦδος, ψεύστης ἐστίν.

Τὸ τίς ἐξ ὑμῶν ἐλέγχει με περὶ ἁμαρτίας, τοῦτο ἐκ τοῦ 46.
ἄνω συνάγεται ῥητοῦ· ἐπειδὴ γὰρ εἶπεν ὅτι ψεῦσται ἐστὲ, καὶ τοῦ τὸ ψεῦδος γεννήσαντος διαβόλου ἐστὲ, ὥστε μὴ δυνάμενοι ἀληθῶς ἐλέγξαι, κατηγοροῦντες δὲ ματαίως ψεῦσται ἐστὲ ψεύστου πατρὸς τοῦ διαβόλου τέκνα· καὶ οὔτε Ἀβραὰμ φατὲ οὔτε τοῦ Θεοῦ.

Ὅτι οὐδαμοῦ σαμαρείτην αὐτὸν λεγόντων Ἰουδαίων, πῶς 48.
λέγουσιν, ὅτι οὐ καλῶς αὐτὸν ἐλέγομεν; δηλονότι πολλάκις αὐτῶν εἰπόντων.

Πῶς νοητέον ἐὰν ἐγὼ δοξάζω ἐμαυτὸν, ἡ δόξα μοῦ οὐδέν 54.
ἐστι; τοῦτο δὲ πρὸς τὴν ἐκείνων εἶπεν ὑπόνοιαν· ὥσπερ καὶ τὸ ἡ μαρτυρία μου οὐκ ἔστιν ἀληθής.

Τί ἐστιν ὅτι Ἀβραὰμ ὁ πατὴρ ὑμῶν ἠγαλλιάσατο ἵνα ἴδῃ 56.

VIII. τὴν ἡμέραν τὴν ἐμὴν, καὶ εἶδε, καὶ ἐχάρη· ἡμέραν ἐνταῦθα λέγει τὴν τοῦ σταυροῦ, ἣν ἐν τῇ προσφορᾷ τῇ τοῦ Ἰσαὰκ προετύπωσεν· ἐπαινεῖ δὲ ὡς εὐφρανθέντα διὰ τὸν σταυρὸν τὸν Ἀβραὰμ, δεῖξαι θέλων ὅτι οὐκ ἄκων ἐπὶ τὸ πάθος ἔρχεται.

57. Διὰ τί λέγουσι πεντήκοντα ἔτη οὔπω ἔχεις, καὶ Ἀβραὰμ ἑώρακας; οὕτως ἐνόμιζον αὐτὸν τοσούτων εἶναι ἐτῶν, τριακοντατριῶν ὄντα.

58. Τί λέγει πρὶν Ἀβραὰμ γενέσθαι, ἐγώ εἰμι; ὅτι ὡς θεὸς δηλονότι· τὸ δὲ ἐγώ εἰμι λέγειν ἀλλ' οὐχὶ ἐγὼ ἤμην, ἔμφασιν ἔχει τοῦτο τὸ ῥῆμα διηνεκῶς εἶναι· καὶ σημαντικὴ ἐστὶν αὕτη ἡ ῥῆσις, παντὸς ἀπηλλαγμένη χρόνου· διὸ καὶ βλάσφημον αὐτοῖς ἐδόκει εἶναι τὸ ῥῆμα.

Cap. IX. v. 2. Διὰ τί οὕτως ἀλόγως ἐρωτῶσιν ὅτι τίς ἥμαρτεν, οὗτος ἢ οἱ γονεῖς αὐτοῦ; ἄλογον δέ ἐστι τὸ ἐρώτημα, ἐκεῖνος γὰρ πρὶν γεννηθῇ πῶς ἂν ἥμαρτεν; ὑπὲρ δὲ γονέων πῶς ἂν καὶ δίκην ἔδωκε, πρὶν γεννηθῇ; μᾶλλον μὲν οὖν γονεῖς ὑπὲρ τέκνων, ἔστιν ὅτε εἰς τοῦτο τὸ ἐρώτημα ἤγαγεν αὐτοὺς, τὸ τοῦ παραλυτικοῦ θαῦμα· ἐκεῖ γαρ εἶπεν αὐτῷ ὁ Χριστὸς μηκέτι ἁμαρτᾶν ἵνα μὴ χεῖρον τί σοι γένηται.

6. Διὰ τί ἔπτυσε καὶ πηλὸν ποιήσας ἔχριε τοὺς ὀφθαλμοὺς τοῦ τυφλοῦ; δεικνύων ὅτι ὁ καὶ τὸν Ἀδὰμ πλάσας, αὐτός ἐστι. Καὶ ἄλλως· ἵνα μὴ νομισθῇ τὸ θαῦμα τῆς κολυμβήθρας.

8. Διὰ τί ἀμφιβάλλουσιν οἱ γείτονες αὐτοῦ καὶ οἱ λοιποὶ λέγοντες ὅτι οὐκ ἔστιν οὗτος ὁ προσαιτῶν; διὰ τὸ παράδοξον· ἐγὼ δὲ λέγω διὰ τὸ ἀναβλέψαι, καὶ τρόπον τινὰ τῶν ὀφθαλμῶν αὐτοῦ ἀνοιχθέντων, ὥσπερ ἕτερον ἀπὸ τούτου τὸ σχῆμα μικρὸν διαλλαγῆναι τῇ τῶν ὀφθαλμῶν ἀνεώξει.

Πόθεν ἐγίνωσκεν ὅτι διὰ τοῦ πτύσματος ἰάθη; τὸ μὲν ἀπὸ τῆς ἀφῆς, τὸ δὲ ἀπὸ τῆς ἀκοῆς τῆς γενομένης πρὸς γῆν.

10. Διὰ τί οὐκ ἐρωτῶσι τὸν τυφλὸν πῶς ἀνέβλεψας, ἀλλὰ πῶς ἀνέωξέ σου τοὺς ὀφθαλμούς; διδόντες αὐτῷ πρόφασιν τοῦ διαβαλεῖν αὐτόν.

Τίνες εἰσὶν οἱ εἰπόντες τῷ τυφλῷ, σὺ τί λέγεις περὶ αὐτοῦ; IX.
οἱ συσχισθέντες ἀπὸ τῶν ἄλλων· ἔχει γὰρ οὕτως, ὅτι σχίσμα 17.
δὲ ἦν ἐν αὐτοῖς.

Διὰ τί ἔστησαν τοὺς τοῦ τυφλοῦ γονεῖς μέσον; ὅπως εἰς 18.
ἀγωνίαν αὐτοὺς ἐμβάλωσι· καὶ μετὰ κακουργίας ἐρωτῶσιν οὗτός ἐστιν ὃν ὑμεῖς λέγετε ὅτι τυφλὸς ἐγεννήθη; μονονουχὶ λέγοντες ὃν ὑμεῖς ἐποιήσατε τυφλὸν τῇ φήμῃ.

Πῶς λέγουσι δὸς δόξαν τῷ θεῷ, ἡμεῖς οἴδαμεν ὅτι ὁ ἄν- 24.
θρωπος οὗτος ἁμαρτωλός ἐστι; καὶ πῶς ὅτε ἔλεγεν ὁ Χριστὸς τίς ἐλέγχει με περὶ ἁμαρτίας, οὐκ εἶπον τι; ὥστε νῦν ματαιολογοῦσι· τὸ δὲ δὸς δόξαν τῷ θεῷ, ὡς ἐκείνου φησὶ μηδὲν ἐνεργήσαντος.

Ὅτι ὁ τυφλὸς ὅτ' ἂν λέγῃ μὴ καὶ ὑμεῖς θέλετε αὐτοῦ μα- 27.
θηταὶ γενέσθαι, κωμῳδῶν τοῦτο λέγει ἠρέμα καὶ διαπαίζων αὐτοὺς, καὶ δεικνὺς ὅτι ἐγὼ ἤδη μαθητὴς αὐτοῦ εἰμι.

Διὰ τί λέγουσιν ἐν ἁμαρτίαις σὺ ἐγεννήθης ὅλος, καὶ σὺ δι- 34.
δάσκεις ἡμᾶς; τὴν τύφλωσιν αὐτοῦ διὰ τούτου αἰνίττονται.

Τίνος ἕνεκεν ἐρωτᾷ ὁ Χριστὸς τὸν τυφλὸν, σὺ πιστεύεις εἰς
τον υἱὸν τοῦ θεοῦ; καὶ τότε μετὰ τοσαύτην ἀντίῤῥησιν ἣν ἐποιή- 35.
σατο πρὸς Ἰουδαίους οὐκ ἀγνοῶν, ἀλλὰ βουλόμενος αὐτὸν γνωρίσαι, ὅτι πολλοῦ τιμᾶται τὴν αὐτοῦ πίστιν.

Τί ἐστιν ὃ λέγει Χριστὸς, εἰς κρίμα ἐγὼ ἦλθον εἰς τὸν κό- 39.
σμον; ἀντὶ τοῦ εἰς μείζονα κόλασιν φησὶ καὶ κατάκριμα τῶν μὴ πιστευόντων.

Τί ἐστιν ὃ λέγει Χριστὸς ὅτι πάντες ὅσοι ἦλθον πρὸ ἐμοῦ, Cap. X.
κλέπται ἦσαν καὶ λῃσταί; οὐ περὶ τῶν προφητῶν λέγει, καθὼς οἱ v. 8.
μὴ δεχόμενοι τὰ μωσαϊκὰ Μανιχαῖοι λέγουσι· δι' ἐκείνων γὰρ ἐπίστευσαν οἱ πιστεύσαντες τῷ Χριστῷ· ἄλλως τε οὐκ ἂν αὐτοὺς κλέπτας ἔλεγεν ὁ περιὼν λέγει· εἰ ἠκούετε Μωσέως καὶ τῶν γραφῶν, ἠκούετε ἂν ἐμοῦ· ἀλλὰ περὶ τίνος λέγει; περὶ Θευδᾶ καὶ Ἰούδα καὶ τῶν λοιπῶν στασιαστῶν οἳ εἰς Χριστοῦ ἦλθον ὄνομα.

Τίνα λέγει νομὴν εὑρήσει; ἢ τροφὴν λέγει, ἢ κυριότητα· 9.
τουτέστιν ἔνδον μένει, καὶ οὐδεὶς αὐτὸν ἔξω θήσεται.

X. Πῶς δὲ νοεῖται τὸ ἵνα ζωὴν ἔχωσι καὶ περισσὸν ἔχωσι;
10. ζωὴν μὲν τὴν διδασκαλίαν, τὸ δὲ τούτου περισσότερον τὴν τῶν οὐρανῶν βασιλείαν.

11. Τί δηλοῖ τὸ ὁ ποιμὴν ὁ καλὸς τὴν ψυχὴν αὐτοῦ τίθησιν ὑπὲρ τῶν προβάτων; τὸ ἑκούσιον πάθος εἰσάγει.

12. Ποῦ πεπλήρωται ἐπ' αὐτῷ τὸ ἐναντίον τὸ λεγόμενον παρ' αὐτοῦ ὅτι θεωρεῖ τὸν λύκον καὶ ἀφίησιν αὐτὰ καὶ φεύγει; ὅτε αὐτὸς συλληφθεὶς οὐκ ἔφυγεν, ἀλλ' εἶπεν μᾶλλον ἄφετε τούτους ὑπάγειν· οἱ δὲ περὶ Θευδᾶν καὶ Ἰούδαν οὐχ οὕτως ἐποίησαν.

15. Ὅτι τὸ καθὼς γινώσκει ὁ πατὴρ, κἀγὼ γινώσκω τὸν πατέρα, τὸ ἴσον καὶ ὁμοούσιον δηλοῖ.

16. Τί ἐστιν ὃ λέγει Χριστὸς, καὶ ἄλλα πρόβατα ἔχω; περὶ τῶν ἐθνῶν τῶν πιστευσάντων λέγει.

Ὅτι κἀκεῖνά με δεῖ ἀγαγεῖν· ἐνταῦθα τὸ δεῖ οὐκ ἀνάγκην εἰσάγει, ἀλλὰ τοῦ πάντως ἐσομένου δηλωτικόν.

18. Περὶ ποίας ἐντολῆς λέγει ὅτι ταύτην ἔλαβον παρὰ τοῦ πατρός μου; τὸ ἀποθανεῖν ὑπὲρ τοῦ κόσμου.

20. Διὰ τί δαιμόνιον ἔχεις λέγουσιν αὐτῷ; ἐπειδὴ πλέον ἢ κατὰ ἄνθρωπον ἦν τὰ λεγόμενα παρ' αὐτοῦ καὶ οὐ τῆς κοινῆς συνηθείας.

22. Τίνα λέγει ἡμέραν ἐγκαινίων γενέσθαι ἐν Ἱεροσολύμοις; χρὴ γινώσκειν ὅτι μεγάλη τίς ἦν αὕτη ἡ ἑορτὴ καὶ δημοτελής· τὴν γὰρ ἡμέραν καθ' ἣν ὁ ναὸς ᾠκοδομήθη ἐπανελθόντων ἀπὸ τῆς μακρᾶς αἰχμαλωσίας ταύτην ἦγον.

24. Τὸ ἐρώτημα ὃ ποιοῦνται λέγοντες, ἕως πότε τὴν ψυχὴν ἡμῶν αἴρεις, δοκεῖ πόθου τινὸς καὶ φιλομαθίας· ἔστι δὲ μετὰ διανοίας ἐφθαρμένης καὶ ὑπούλου· τῶν γὰρ ἔργων βοώντων ἐβούλοντο μαθεῖν· ἐπιστομίζειν αὐτὸν ἀπὸ τῶν λόγων βουλόμενοι.

30. Τὸ ἐγὼ καὶ ὁ πατὴρ ἕν ἐσμεν, τὴν ἰσοτιμίαν ἐμφαίνει καὶ τὸ ὁμοούσιον· ὅθεν καὶ αὐτοὶ οὕτως νοήσαντες τὸ λεχθὲν, λίθοις ἔβαλλον αὐτὸν λέγοντες, περὶ καλοῦ ἔργου οὐ λιθάζομέν σε, ἀλλ' ὅτι ἄνθρωπος ὢν, ποιεῖς σεαυτὸν θεόν.

Καὶ πῶς ἐπιφέρει τὸ ἐγὼ εἶπον θεοὶ ἐστε; τοὺς χάριτι μιμ- X.
νησκόμενος υἱοὺς, λοιπὸν χάριτι ἔλεγεν ἑαυτὸν, τοῦτο δὲ κἀ- 34.
κεῖνοι ἦσαν· ὃ λέγει τοιοῦτόν ἐστιν· εἰ οἱ χάριτι τοῦτο λαβόν-
τες οὐκ ἐγκαλοῦνται θεοὺς ἑαυτοὺς καλοῦντες, πῶς ἐγὼ δικαίως
ἐπιτιμῶμαι ὁ φύσει τοῦτο ἔχων; καὶ ὅτι οὕτως ἐστὶν, ἄκουσον
τί ἐπιφέρει.

Εἰ γὰρ οὐ ποιῶ τὰ ἔργα τοῦ πατρός μου, μὴ πιστεύετέ 37.
μοι· εἰ δὲ ποιῶ, κἂν ἐμοὶ μὴ πιστεύετε, τοῖς ἔργοις πιστεύσα-
τε· ἐπειδὴ γὰρ τὴν οὐσίαν αὐτοῦ ἀμήχανον ἦν ἰδεῖν, ἀπὸ τῆς
τῶν ἔργων ἰσότητος καὶ ταυτότητος τὸ τῆς ἀπαραλλάξιας παρ-
έχεται.

Ὅτι ἐγὼ ἐν τῷ πατρὶ, καὶ ὁ πατὴρ ἐν ἐμοὶ τοῦτό ἐστιν· 38.
οὐδὲν ἄλλο εἰμὶ ἐγὼ, ἢ ὅπερ ὁ πατὴρ μένων υἱὸς, καὶ οὐδὲν
ἄλλο ἐκεῖνος, ἢ ὅπερ ἐγὼ μένων πατήρ.

Διὰ τί οὐδὲν σημεῖον Ἰωάννης ὁ πρόδρομος ἐποίησε; καὶ 41.
γάρ φησι σημεῖον ἐποίησεν οὐδέν· οἰκονομίας ἔργον ἦν καὶ τοῦτο
τῆς θείας, μηδὲν σημεῖον τὸν Ἰωάννην ποιῆσαι· ὡς ἂν ἀληθῶς
λύχνος δειχθείη, μὴ δυνάμενος φαίνειν παρόντος ἡλίου.

Ὅτι ἡ παρὰ τῷ Ἰωάννῃ ἀλείψασα τὸν κύριον μύρῳ, οὐκ Cap. XI.
ἔστιν ἡ αὐτὴ ἡ παρὰ τῷ Ματθαίῳ, οὐδὲ ἡ παρὰ τῷ Λουκᾷ, ἄλλη v. 2.
γὰρ καὶ ἄλλη ἐστὶν ἐκείνη· αὕτη δὲ ἑτέρα ἐστὶν, ἀλλὰ σεμνή
τις καὶ σπουδαία, καὶ γὰρ περὶ τὴν ὑποδοχὴν ἐσπούδαζε τοῦ
Χριστοῦ.

Ὅτι σφόδρα θαῤῥοῦσαι εἰς Χριστὸν οὐκ ἔρχονται αὗται, ὡς 3.
ὁ ἑκατόνταρχος καὶ ὁ ἄρχων τοῦ βασιλικοῦ, ἀλλὰ ἀποστέλλουσι
μηνύσασαι.

Ὅτι τοσοῦτον ἦσαν πιστεύουσαι τῷ Χριστῷ αἱ περὶ Μάρ- 4.
θαν, ὅτι ἀκούσασαι ἡ ἀσθένεια αὕτη οὐκ ἔστι πρὸς θάνατον,
ἀποθανόντος τοῦ ἀδελφοῦ οὐκ ἐσκανδαλίσθησαν.

Τί ἐστι τὸ λεγόμενον παρὰ Χριστοῦ, οὐχὶ δώδεκα εἰσὶν ὧραι 9.
τῆς ἡμέρας; ὃ λέγει τοιοῦτόν ἐστιν, εἰ ὁ τὸ φῶς τοῦ κόσμου τοῦ-
του βλέπων ἐν ἀσφαλείᾳ ἐστὶ, πολλῷ μᾶλλον ὁ μετ' ἐμοῦ ὢν δια-
παντὸς τοῦ δημιουργοῦ τοῦ φωτός;

XI. 12. Πῶς ἄλογον νοεῖται τὸ αὐτοῖς πιστεύειν; ὅτι διὰ τὸ ἐξυπνίσαι ἐκεῖ παραγίνεται, διὸ καὶ λέγουσιν, εἰ κεκοίμηται, σωθήσεται· οὐ περὶ ὕπνου νομίζουσι λέγειν αὐτὸν, οὐδὲ περὶ θανάτου· ἀλλὰ αἴνιγμα νομίζουσι τὶ αὐτὸν λέγειν· ἐπεὶ πῶς πέντε στάδια πορευομένου αὐτοῦ, οὐκ ἂν ἔφθασεν ἐξύπνισεν;

16. Πῶς λέγει ὁ Θωμᾶς ἄγωμεν καὶ ἡμεῖς ἵνα ἀποθάνωμεν μετ' αὐτοῦ; τινὲς μὲν οὖν προθυμούμενον αὐτὸν τοῦτο λέγουσιν εἰπεῖν· τινὲς δὲ δειλιῶντα καὶ εἰρωνευόμενον.

23. Πόθεν ἡ Μάρθα ἔλεγε πρὸς τὸν Χριστὸν, ὅτι οἶδα ἀναςήσεται ἐκ τῇ ἐσχάτῃ ἡμέρᾳ; ἐκ τῆς αὐτοῦ διδασκαλίας· ἤκουσε γὰρ αὐτοῦ πολλὰ τοιαῦτα.

28. Διὰ τί λάθρα καλεῖ τὴν ἀδελφὴν; ἵνα μὴ ἀκούσαντες ὅτι περὶ Χριστοῦ λαλεῖ αὕτη, ἀναχωρήσωσιν· ἔλεγεν γὰρ ὅτε εἴ τις Χριστὸν καλέσει, ἀποσυνάγωγος γένηται.

33. Τί ἐςι τὸ ἐνεβριμήσατο τῷ πνεύματι; τοῦτό ἐστιν ἀντὶ τοῦ ἐπετίμησε τῷ πάθει ἐπισχὼν τὴν σύγχυσιν τῶν δακρύων.

34. Διὰ τί ὁ πάντα εἰδὼς, πῦ τεθήκατε αὐτὸ ἐρωτᾷ; οὐκ ἀγνοῶν ἀλλὰ μὴ βουλόμενος ἑαυτὸν ἐπιρρίπτειν τῷ θαύματι.

37. Διὰ τί λέγουσι τὸ οὐκ ἠδύνατο οὗτος ὁ ποιήσας ἀνοιχθῆναι τοὺς ὀφθαλμοὺς τοῦ τυφλοῦ, ποιῆσαι ἵνα καὶ οὗτος μὴ ἀποθάνῃ; διεφθαρμένῳ σκοπῷ ὡς ἐνδιαβάλλοντες τὸ θαῦμα ἐκεῖνο ὡς μὴ γεγονός.

41. Διὰ τί εὔχεται; μᾶλλον δὲ εὐχῆς σχῆμα ἀναλαμβάνει· φησὶ γὰρ διὰ τὸν περιεστῶτα ὄχλον εἶπον ἵνα πιστεύσωσιν ὅτι σύ με ἀπέστειλας· ὁ δὲ λέγει τοιοῦτόν ἐστιν, ἵνα μὴ ἀντίθεόν με νομίσωσι.

44. Διὰ τί λέγει ἄφετε αὐτὸν ὑπάγειν; ἵνα μὴ ἐπαγόμενος αὐτὸν δόξῃ κομπάζειν.

48. Διὰ τί λέγουσιν ὅτι ἐὰν ἀφῶμεν αὐτὸν, ἔρχονται οἱ Ῥωμαῖοι καὶ αἴρουσιν ἡμῶν τὸ ἔθνος καὶ τὴν πόλιν; τὸν λαὸν ἐπισεῖσαι σπουδάζοντες, ὡς μελλόντων αὐτῶν κινδυνεύειν δι' αὐτὸν ἐπὶ ὑποψίᾳ τυραννίδος.

Τί σημαίνει ὃ λέγει ὁ ἀρχιερεὺς τοῦ ἐνιαυτοῦ ἐκείνου; ἵνα XI.
δείξῃ ὅτι ὠνηταὶ ἦσαν αἱ ἀρχαὶ τῶν ἱερέων· ἀλλὰ καὶ οὕτως πα- 49.
ρῆν τὸ πνεῦμα· προεφήτευσε γὰρ καὶ ἄκων ὁ Καϊάφας.

Ὅτι τὸ συμφέρει ἵνα εἷς ἄνθρωπος ἀποθάνῃ καὶ μὴ ὅλον τὸ 50.
ἔθνος ἀπόληται, οὕτως τῷ στόματι κέχρηται ὡς ἱερέως, τῆς δὲ
μιαρᾶς καρδίας οὐχ ἥψατο· οὕτως Ναβουχοδονόσορ, καὶ Φα-
ραὼ, καὶ Βαλαάμ.

Διὰ τί λέγει ἵνα τὰ τέκνα τοῦ θεοῦ τὰ διεσκορπισμένα συν- 52.
αγάγῃ εἰς ἓν; τέκνα θεοῦ τὰ ἔθνη καλεῖ ἀπὸ τοῦ μέλλοντος
ἔσεσθαι.

Διὰ τί κλέπτῃ ὄντι τῷ Ἰούδᾳ ἐνεχείρισε τὸ γλωσσόκομον; Cap. XII. v. 6.
ἵνα τὴν φιλαργυρίαν αὐτοῦ ἐκκόψῃ.

Διὰ τί μέμνηται ἐνταῦθα ὁ Χριστὸς ἐνταφιασμοῦ; ἐντρέψαι 7.
τὸ Ἰούδαν βουλόμενος, καὶ δεῖξαι ὅτι τὴν προδοσίαν νοεῖ.

Διὰ τί ἔλαβον τὰ βάϊα τῶν φοινίκων καὶ τὸ ὡσαννὰ ἔλε- 13.
γον, ὃ ἑρμηνεύεται σῶσον δή; ἐπειδὴ μείζονα ἢ προφήτην αὐ-
τὸν εἶχον, θαυμάζοντες διὰ τὸν Λάζαρον.

Πῶς οἱ μὲν ἄλλοι, φασὶν, εὐαγγελισταὶ λέγουσιν ὅτι ἔπεμψε 14.
καὶ εἶπεν, λύσατε τὴν ὄνον καὶ τὸν πῶλον· οὗτος δὲ, οὐδὲν
τοιοῦτον· ἀλλ' ὅτι ὀνάριον εὑρὼν, ἐκάθισεν ἐπ' αὐτό; ἀμφότε-
ρα ἐγένετο· ἀπέστειλε γὰρ καὶ ἠνέχθη, καὶ ἐνεχθὲν ὡς εὑρὼν
ἐκάθισεν.

Ὅτι οἱ εἰπόντες φαρισαῖοι πρὸς ἑαυτοὺς θεωρεῖτε ὅτι οὐκ 19.
ὠφελεῖτε οὐδὲν, ἴδε ὁ κόσμος ὀπίσω αὐτοῦ ὑπάγει, τῶν πιστευόν-
των μὲν ἦσαν, οὐ τολμώντων δὲ παῤῥησιάζεσθαι.

Τίνες ἦσαν οἱ ἕλληνες οἱ συναναβάντες ἵνα προσκυνήσωσιν ἐν 20.
τῇ ἑορτῇ; οἵ τινες προσῆλθον καὶ τῷ Φιλίππῳ λέγοντες, θέλο-
μεν τὸν Ἰησοῦν ἰδεῖν· οἱ ἐγγὺς ὄντες λοιπὸν τοῦ προσήλυτοι
γενέσθαι, τουτέστι τῷ ἰουδαϊσμῷ προσελθεῖν.

Πῶς νοητέον ἐλήλυθεν ἡ ὥρα ἵνα δοξασθῇ ὁ υἱὸς τοῦ θεοῦ; 23.
ἐπειδὴ ἕλληνες καὶ τὰ ἔθνη συνήρχοντο· Ἰουδαῖοι δὲ ἠπίστουν,
καιρός φησιν ἐπὶ τὸ πάθος ἐλθεῖν πάντων πεπληρωμένων.

XII. Πῶς νοητέον τὸ ἐὰν μὴ ὁ κόκκος τοῦ σίτου πεσὼν ἐπὶ τὴν
24. γῆν ἀποθάνῃ, αὐτὸς μόνος μένει· ἐὰν δὲ ἀποθάνῃ, καρπὸν πολὺν φέρει; ὃ λέγει τοιοῦτόν ἐστιν, ὅτι παθόντος μου καὶ θανέντος, μᾶλλον αὐξηθήσεται τὸ κήρυγμα.

25. Τί ἐστιν ὁ φιλῶν τὴν ψυχὴν αὐτοῦ; ὁ τὰς ἐπιθυμίας αὐτοῦ ποιῶν τὰς ἀτόπους· ὁ δὲ μισῶν, ὁ μὴ εἴκων αὐτῇ κελευούσῃ τὰ βλάπτοντα.

26. Τί ἐστι τὸ ὁ ἐμοὶ διακονῶν, ἐμοὶ ἀκολουθείτω; ὁ τὴν διδασκαλίαν καὶ ὑποταγὴν ἐνδεικνύμενός φησι, καὶ τὸν θάνατόν μου μιμείσθω· εἶτα τιθεὶς τὸ ἔπαθλον, ἵνα ὅπου εἰμὶ ἐγὼ, ὁ διάκονος ὁ ἐμὸς ἐκεῖ ἔσται.

27. Ὅτι ἡ περὶ τὸν θάνατον δειλία οἷον τὸ πάτερ σῶσόν με ἐκ τῆς ὥρας ταύτης καὶ ὅσα ὅμοια, τῆς οἰκονομίας ἐστὶν οὐ τῆς θεότητος ἤγουν τῆς ἀνθρωπείας φύσεως.

28. Πῶς νοητέον τὸ πάτερ δόξασόν σου τὸ ὄνομα; τοῦτό ἐστιν, ἄγαγε λοιπὸν ἐπὶ τὸν σταυρόν· καὶ ὅτι ὑπὲρ ἀληθείας ἀποθνήσκει, δόξαν εἰς τὸν θεὸν τὸ πρᾶγμα καλῶν.

Τί λέγει ἡ ἄνωθεν φωνὴ, καὶ ἐδόξασα καὶ πάλιν δοξάσω; ὅτι ἐδόξασα μὲν ἐν τοῖς πρὸ τούτου· δοξάσω δὲ καὶ μετὰ τὸν σταυρόν.

29. Διὰ τί ὁ ὄχλος ἀκούσας τῆς φωνῆς, ἔλεγε βροντὴν γεγονέναι; ὅτι τρανὴ καὶ εὔσημος ἦν, καὶ διὰ τὸ ταχέως ἀποπτῆναι ἐνομίσθη τοῖς παχυτέροις βροντὴ τὸν ἦχον ἀκούσασιν· οἱ δὲ εἰπόντες ἄγγελος αὐτῷ λελάληκεν, ἔναρθρον μὲν τὴν φωνὴν ᾔδεσαν, τί δὲ ἐσήμαινεν, οὐκέτι ᾔδεσαν.

31. Πῶς νοητέον τὸ νῦν ὁ ἄρχων τοῦ κόσμου τούτου κέκριται; δηλοῖ ὅτι ἐπεὶ ἐξ ἀρχῆς ἠπατήθη ὁ ἄνθρωπος καὶ ὑπεύθυνος ἐγένετο καὶ ἀπέθανεν, ἐπιδημήσει καὶ ἐν ἐμοὶ, καὶ οὐ πράξει ὅσα βούλεται, καὶ διὰ τοῦτο ἐκδικηθήσεται ὁ κόσμος· ἄλλοι δὲ περὶ Πιλάτου τοῦτο νοοῦσιν.

32. Τί ἐστι τὸ ὅταν ἂν ὑψωθῶ ἐκ τῆς γῆς, πάντας ἑλκύσω πρὸς ἐμαυτόν; περὶ τοῦ σταυροῦ λέγει· τὸ δὲ πάντας; διὰ τὰ ἔθνη πρόσκειται. Καὶ ἄλλως.

Οὐκ εἶπεν καλέσω, ἀλλ' ἑλκύσω τοὺς πάντας· τὸ βίαιον δεικνὺς τοῦ κηρύγματος· τὸ τῶν εὐαγγελίων δραστικὸν ὑποφαίνων, τὸ τῆς χάριτος δηλῶν ἀνεμπόδιστον· ὅτι πάντας προσάγει ἠπίστει, ὅτι πάντας εὐεργετεῖν μηχανᾶται. XII.

Τί ἐστι τὸ ἵνα υἱοὶ φωτὸς γένησθε; τουτέστιν ἐμοί. 36.

Πῶς νοητέον τὸ ἵνα πληρωθῇ ὁ λόγος ὃν εἶπεν Ἡσαΐας; 38.
τοῦτο τὸ ἵνα, οὐκ αἰτιολογίας ἐστὶν, ἀλλ' ἐκβάσεως.

Πῶς νοητέον τὸ τετύφλωκεν αὐτῶν τοὺς ὀφθαλμοὺς καὶ πεπώρωκεν αὐτῶν τὴν καρδίαν; τοιοῦτον καὶ παρέδωκεν αὐτοὺς εἰς ἀδόκιμον νοῦν, τοῦτό ἐστι συνεχώρησεν ἀφῆκεν· οὐ γὰρ ἐνεργοῦντα αὐτὸν ταῦτα λέγει, ἀλλ' ἐκ τῆς αὐτοπονηρίας ταῦτα γινόμενα δείκνυσιν· οὕτως καὶ ὁ ἥλιος τῶν ἀσθενούντων πλήττει τὰς ὄψεις, οὐ παρὰ τὴν ἀσθένειαν τῶν ὑποδεχομένων. 40.

Ὅτι οὐκ εἶπεν ὁ πιστεύων ἐμοὶ, ἀλλ' ὁ πιστεύων εἰς ἐμέ· 44.
τὸ ἀπαράλλακτον πρὸς τὴν τοῦ πατρὸς οὐσίαν δεικνύς· ὅμοιον δὲ καὶ τὸ ὁ θεωρῶν ἐμὲ, θεωρεῖ τὸν πέμψαντά με.

Πῶς νοητέον τὸ ὁ ἀθετῶν ἐμὲ, ἔχει τὸν κρίνοντα αὐτόν; 48.
τίνα ἔχει τὸν κρίνοντα; εἰ γὰρ ὁ πατὴρ οὐδένα κρίνει, καὶ σὺ λέγεις οὐκ ἦλθον κρίναι τὸν κόσμον, τίς κρίνει τοὺς μὴ πιστεύοντας; ὁ λόγος φησὶν ὃν λελάληκα, ἐκεῖνος κρινεῖ αὐτόν· ἀντὶ τοῦ ἐν τάξει κατηγόρου στησέται.

Ὅτι ταπεινώσεως τελείας καὶ τῆς ἀνθρωπότητος ἔνδειξις τὸ λέγειν αὐτὸν, ὅτι ὁ πατὴρ ἐκεῖνός μοι ἐντολὴν ἔδωκε, τί εἴπω καὶ τί λαλήσω. 49.

Ὅτι μετάβασιν τὸν θάνατον καλεῖ· τὸ δὲ εἰς τέλος ἠγάπησεν αὐτοὺς, ἀντὶ τοῦ οὐκ ἐνέλειψεν ὃν ἔδει τὸν σφόδρα ἀγαπῶντα ποιῆσαι. Cap. XIII. v. 1.

Ὅτι ἰδίους αὐτοὺς λέγει κατὰ τὸν τῆς οἰκειώσεως λόγον, ἐπεὶ καὶ ἄλλους ἰδίους καλεῖ κατὰ τὸν τῆς δημιουργίας λόγον· ὡς ὅτ' ἂν λέγῃ οἱ ἴδιοι αὐτὸν οὐ παρέλαβον.

Τὸ πάντα δέδωκεν αὐτῷ ὁ πατὴρ, τὴν τῶν πιστῶν σωτηρίαν λέγει. 3.

XIII. 6. Τί ἐστι τὸ ἔρχεσθαι πρὸς τὸν Σίμωνα Πέτρον; ὑπόνοιαν δίδωσιν ὅτι τοῦ προδότου πρῶτον ἔνιψε, τὸ σύ μου νίπτεις τοὺς πόδας; τοιοῦτόν ἐστιν, σὺ ὁ διὰ τῶν χειρῶν τούτων τυφλοὺς ὀμματώσας καὶ λεπροὺς καθαρίσας.

Πῶς οἱ ἕτεροι οὐκ ἀνθίστανται; ἐπειδὴ πρῶτον ἔνιψε τὸν προδότην, ἐκεῖνος δὲ διὰ πολλὴν ἰταμότητα κατεκλίθη, καὶ τότε πρὸς Πέτρον ἦλθε δεύτερον ὄντα τῇ κατακλίσει, ὅθεν οἱ λοιποὶ ὑπὸ τῆς ἀγανακτήσεως ἐπὶ Πέτρῳ γενομένης παιδευθέντες ἀνέσχοντο.

7. Τί σημαίνει τὸ ὃ ἐγὼ ποιῶ, σὺ οὐκ οἶδας ἄρτι; τὴν εἰς ἔσχατον ἐκ τούτου ταπεινοφροσύνην λέγει φανήσεσθαι.

9. Ἐνόμισεν ὁ Πέτρος ὅτι ἡ ἀπόνιψις αὕτη, ἁμαρτιῶν ἦν ἄφεσις, καὶ ἤθελε δι' ὅλου τοῦ σώματος λαβεῖν ἄφεσιν· ἡ δὲ οὐχ ἁμαρτιῶν ἄφεσις ἦν, ἀλλ' εὐλαβείας ὑπόθεσις· ὑπόδειγμα γάρ φησιν ἔδωκα ὑμῖν, ἵνα καθὼς ἐγὼ ἐποίησα ὑμῖν, καὶ ὑμεῖς ποιῆτε.

10. Τί λέγει ὅτι ὁ λελουμένος οὐκ ἔχει χρείαν ἢ τοὺς πόδας νίψασθαι μόνον, καὶ τὰ ἑξῆς; διὰ τοῦ λόγου τούτου μεταμεληθῆναι τὸν προδότην διδάσκων καὶ τῆς ἐπὶ προδοσίαν ὁδοῦ ἀφίστασθαι.

Πῶς λέγει καθαροί ἐστε, οὐδέπω τῶν ἁμαρτημάτων ἀπηλλαγμένοι, οὐδὲ πνεύματος ἠξιωμένοι; διὰ τοῦτο τὸ φῶς αὐτοὺς δέξασθαι, καὶ τῆς πλάνης ἀναχωρῆσαι τῆς ἰουδαϊκῆς.

Ὧδε γυμνοῖ τὴν αὐθεντίαν, ἐξέβαλε τὴν τοῦ δούλου μορφὴν, καὶ εἰσάγει τὴν τοῦ θεοῦ.

23. Διὰ τί ἀνέκειτο ὁ Ἰωάννης ἐπὶ τὸν κόλπον τοῦ Χριστοῦ; δεικνὺς ὅτι πόῤῥω προδοσίας ἐστὶ τὸ τοσοῦτον θαῤῥεῖν ἐπ' αὐτῷ καὶ παῤῥησιάζεσθαι· ὁ δὲ Χριστὸς συγχωρεῖ, τὴν ἀθυμίαν αὐτοῦ θεραπεύων.

Διὰ τί ἀπέκρυψε τὸ οἰκεῖον ὄνομα λέγων ὃν ἠγάπα ὁ Ἰησοῦς; διὰ τὴν πολλὴν ταπεινοφροσύνην καὶ τὸ μὴ ἐπιδείκνυσθαι.

24. Διὰ τί ἔνευσεν ὁ Πέτρος τῷ Ἰωάννῃ ἐρωτῆσαι; ἐπειδὴ θερ-

μὸς ὢν πολλάκις ὑποκριθεὶς ἐπεστομίσθη, τούτου χάριν δεδοικὼς XIII.
διὰ μέσου τοῦ Ἰωάννου βούλεται μαθεῖν.

Διὰ τί ἐρωτηθέντος τοῦ κυρίου τίς ἐστιν, εἶπεν· ᾧ ἐγὼ βά- 26.
ψας τὸ ψωμίον ἐπιδώσω; ἔβαψε δὲ καὶ ἔδωκε, καὶ οὐδὲ οὕτως
νοοῦσιν ἰδόντες ὅτι δέδωκε· Τίς ἐστι, λάθρα πρὸς Ἰωάννην εἶ-
πεν τοῦτο· ὥστε μὴ δὲ ἀκοῦσαι τινά· καὶ γὰρ ὁ Ἰωάννης καὶ
διὰ τοῦτο πρὸς τὸ στῆθος ἀναπεσὼν ἐρωτᾷ πρὸς τὸ οὖς· διὸ
οὐδὲ συνῄεσαν, ἢ τάχα αὐτὸν διεσπάσαντο καὶ μάλιστα Πέτρος.

Διὰ τί ψωμίον ἐπιδοὺς οὕτως ἐλέγχει; ἐφελκόμενος αὐτὸν
εἰς οἶκτον, καὶ βουλόμενος ἐντρέψαι αὐτόν.

Πῶς νοητέον ὃ εἶπεν αὐτῷ ὁ Χριστὸς ὅτι ὃ ποιεῖς, τάχιον 27.
ποίησον; οὐ προστάσσοντος ἐστὶ τοῦτο, ἀλλὰ ὀνειδίζοντος καὶ
εἰρωνευομένου.

Πῶς αὐτὸς κελεύων μὴ πήραν μὴ χαλκὸν μὴ ῥάβδον ἐπιφέ- 29.
ρεσθαι, γλωσσόκομον ἐπεφέρετο; ἵνα μάθωμεν ὅτι καὶ τὸν σφό-
δρα ἀκτήμονα, πολλὴν δεῖ πρόνοιαν τῶν πενήτων ποιεῖσθαι.

Διὰ τί τὸν καιρὸν ὁ εὐαγγελιστὴς λέγει, ἦν δὲ νὺξ ὅτε ἐξῆλ- 30.
θεν Ἰούδας; ἵνα μάθωμεν αὐτοῦ τὴν ἰταμότητα, ὅτι οὐδὲ ὁ και-
ρὸς αὐτὸν ἔσχε τῆς ὁρμῆς.

Ὅπου ἐγὼ ὑπάγω, ὑμεῖς οὐ δύνασθε ἐλθεῖν, δείκνυσιν ὅτι 36.
ὁ θάνατος αὐτοῦ, μετάστασίς τίς ἐστι καὶ μετάθεσις ἀμείνων
εἰς τόπον σώματα δεχόμενον φθαρτὰ πρὸ τοῦ ἀποθανεῖν.

Διὰ τί ἐρωτᾷ ὁ Πέτρος κύριε, ποῦ ὑπάγεις; οὐ τοσοῦτον 37.
βουλόμενος μαθεῖν, ὅσον ἀκολουθῆσαι διὰ θερμότητα.

Πιστεύετε εἰς τὸν θεόν, καὶ εἰς ἐμὲ πιστεύετε· τὸ ὁμοού- Cap. XIV. v. 1.
σιον δηλοῖ.

Τὸ λέγειν τὸν Θωμᾶν, κύριε οὐκ οἴδαμεν ποῦ ὑπάγεις, ἀπὸ 5.
δειλίας τοῦτο λέγει.

Τὸ δεῖξον ἡμῖν τὸν πατέρα καὶ ἀρκεῖ ἡμῖν, αἰσθητοῖς ὀφ- 8.
θαλμοῖς ἐβόα τοῦτο ἰδεῖν· ἐξ οὗ ὁ υἱὸς ἐπιφέρει τὸ οὐκ ἔγνω-
σάς με· τοῦτο γάρ ἐστιν αὐτός, ὅπερ ἐστὶν ὁ πατήρ.

Διὰ τί λέγει καὶ ἄλλον παράκλητον πέμψει; καταισχύνων 16.

XIV. καὶ τοὺς τοῦ Σαβελλίου καὶ Ἀρείου· τῷ μὲν γὰρ εἰπεῖν ἄλλον, τῆς ὑποστάσεως τὸ διάφορον δείκνυσιν· τῷ δὲ εἰπεῖν παράκλητον, τῆς οὐσίας τὸ ὅμοιον· ἵνα δὲ μὴ νομίσωσι σαρκωθησόμενον αὐτὸ, ἐπιφέρει· ὃ ὁ κόσμος οὐ δύναται λαβεῖν· ἢ κόσμον τοὺς πονηροὺς λέγει.

19. Εἰπὼν ὅτι ἐγὼ ζῶ καὶ ὑμεῖς ζήσεσθε, οὐχὶ τὴν παροῦσαν ἀλλὰ τὴν μέλλουσαν λέγει ζωήν.

Ὅτι τὸ καθὼς ἀπέστειλέ με, κἀγὼ ἀποστέλλω ὑμᾶς, τὸ ὁμοούσιον δηλοῖ· εἰ γὰρ μὴ οὕτως αὐτὸ ἐκλαβώμεθα, οὐδὲν διοίσει τῶν ἀποστόλων ὁ Χριστός.

22. Τί ἐστι τὸ λεγόμενον, κύριε τί γέγονεν, ὅτι ἡμῖν μέλλεις ἐμφανίζειν σεαυτὸν καὶ οὐχὶ τῷ κόσμῳ; ἐνόμιζον ὄναρ ὀφθήσεσθαι αὐτοῖς, ἢ ὡς τοὺς νεκροὺς ὁρῶμεν.

24. Ὅτι τὸ ὁ λόγος ὃν ἠκούσατε οὐκ ἔστιν ἐμὸς, ἀλλὰ τοῦ πέμψαντός με πατρὸς, δείκνυσιν ὅτι οὐδὲν ἔξω τοῦ πατρὸς φθέγγεται.

28. Τίς ὁ πορευόμενος πρὸς τὸν πατέρα ὦ Ἄρειε; ὁ θεὸς λόγος· ἀλλ' ἐν τοῖς κόλποις ἦν καὶ ἔστιν ἀεὶ τοῦ πατρός· τί γὰρ ἐχωρίσθη πατρὸς; ἵνα πορευθῇ πρὸς τὸν πατέρα· ἐξέπεσε τῶν κόλπων ἵν' ἐπανέλθῃ πρὸς τούτους· τί οὖν ἐστιν; ἡ βλεπομένη φύσις πρὸς τὸν πατέρα πορεύεται· τὸ συγγενὲς ἡμῶν, τὸ ἐκ γῆς, πρὸς τὸν ἐν οὐρανοῖς, οὗπέρ ἐστι μείζων ὁ πατήρ· ὥσπερ τοίνυν βραχύ τι παρ' ἀγγέλους ἠλαττῶσθαι λεγόμενος, οὐκ ἔστιν ἐλάττων ἀγγέλων, τὸ γὰρ βραχύ τι παρ' ἀγγέλους ἠλαττωμένον, βλέπομεν Ἰησοῦν διὰ τὸ πάθημα τοῦ θανάτου· καθό φησιν εἵλετο Χριστὸς θανάτου γεύσασθαι, οὗπερ οὐ μετέχουσιν ἄγγελοι· οὕτως ἑαυτὸν ἐλάττονα λέγων πατρὸς, οὐκ ἔστιν ἐλάττων πατρὸς, ἀλλ' ἐγώ φησι κατὰ τὸν τῆς θεότητος λόγον· ἐλάττονα λέγων τὸν υἱὸν τοῦ πατρὸς, καὶ τὸ μείζων ἀκούων περὶ τοῦ πατρός· νοῶ καλῶς· ἀλλ' οὔπω τὸ μείζων διαφορὰν ἐργάζεται φύσεως· πᾶν γὰρ τὸ μεῖζον, ὁμογενοῦς μεῖζον ἂν καλοῖτο· ὥστε δι' ὧν μείζονα λέγεις, διὰ τούτων ὁμοούσιον λέγεις· τὸ γὰρ μεῖζον καὶ ἔλαττον, ἐπὶ τῆς μιᾶς οὐσίας παρείληπται· καὶ ἵνα τῶν ἔξω περὶ τούτων καταλίπω τοὺς ὅρους, ἐκ τῆς θείας γραφῆς μάνθανε

τοῦτο· μείζων, φησὶν, ὁ προφητεύων ἢ ὁ λαλῶν γλώσσῃ, οὐ XIV.
μιᾶς ὑπῆρχον οὐσίας, καὶ οὐκ ἐγήγερται ἐν γεννητοῖς γυναικῶν
μείζων Ἰωάννου τοῦ βαπτιστοῦ· τί οὖν; ἑτεροούσιος Ἰωάννης τῶν
ἐν γεννητοῖς γυναικῶν; καὶ ὁ μακάριος Ἰακὼβ, καὶ οὗτος ὑψω-
θήσεται, ἀλλ' ὁ ἀδελφὸς αὐτοῦ ὁ νεώτερος, μείζων αὐτοῦ ἔσται·
ὥστε εἰ καὶ τῷ τῆς θεότητος λόγῳ τὸ μεῖζον ἐκλάβοις, ὁ τοῦ
ἑτεροουσίου σοι μᾶλλον διαλύεται λόγος· τοῦ δὲ ἑτεροουσίου λυ-
θέντος, καὶ τὰ τῆς σῆς θρησκείας ἐκλέλυται· καὶ σφίγγων τὸ
μεῖζον, ἐμοὶ τὸ ὁμοούσιον σφίγγεις· τὸ δὲ ὁμοούσιον σφίγγων,
διαλύεις τὸ μεῖζον· οὐκ ἔχει γὰρ οὐσίας μέτρα θεός· οὐ δέχε-
ται τὸ μεῖζον καὶ ἧττον ἡ ἀπερίγραφος φύσις· τί γὰρ μεῖζον
πατὴρ υἱοῦ; πῶς; χρόνῳ· ἀλλ' ἄχρονος ὁ πατήρ· ἀλλ' ἀπερί-
γραφος οὗτος· σταθμῷ; καὶ τί τὸ τὴν οὐσίαν ἐκείνην σταθμί-
ζον; ἀξίᾳ· ἀλλ' ἓν ἀξίωμα πατρὸς καὶ υἱοῦ· τὰ γὰρ ἐμά φησι,
πάτερ, πάντα σά ἐστι, καὶ τὰ σὰ ἐμά· καὶ ὁ λόγος ἦν πρὸς
τὸν θεόν, καὶ θεὸς ἦν ὁ λόγος· θεὸς ὦ Ἄρειε τὸ μᾶλλον καὶ
ἧττον οὐκ ἔχει· τὸ μεῖζον καὶ τὸ μικρὸν ἐπ' αὐτοῦ περιττόν·
ἀπαράβλητος ἡ φύσις ἐκείνη, ἀσύγκριτον τῆς οὐσίας ἐκείνης τὸ
μεγέθος· ἂν κατὰ σύγκρισιν ἐπινοήσῃς τὸ μεῖζον, τῇ συγκρίσει
τὴν οὐσίαν ἐλαττώσεις· καὶ τὸ μεῖζον ἐπὶ θεοῦ εἰ μὴ συγκατα-
βάσει πρὸς τὴν ὁρωμένην ἀποληφθὲν φύσιν, τὴν οὐσίαν τὴν θείαν
σμικρύνει· τὰ γὰρ ἀσύγκριτα κατιόντα πρὸς σύγκρισιν ἐλαττοῦν
τὴν οἰκείαν οὐσίαν, οὐ δοξάζειν ἐπίσταται.

Τίνα λέγει ἄρχοντα τοῦ κόσμου; τὸν διάβολον· τὸ δὲ λέ- 30.
γειν ὅτι ἐν ἐμοὶ εὑρήσει οὐδὲν, ἄξιον φησὶ θανάτου οὐδὲν δεί-
ξει κατ' ἐμοῦ· ἄλλοι δὲ νοοῦσι τὸν Πιλάτον· ἄρχοντα δὲ τὸν διά-
βολον λέγει, ἐπεὶ ἄρχει τῶν ἑαυτοὺς παραδιδόντων αὐτῷ· ἐπεὶ
εἰ ἦρξε γῆς καὶ θαλάσσης, ἀνέστρεψεν ἂν πάντα.

Διὰ τί εἶπεν ἐγείρεσθε ἄγωμεν ἐντεῦθεν; ἐπεὶ ἦσαν ἐν κα- 31.
ταδήλῳ χωρίῳ· ἀπάγων οὖν αὐτοὺς τέως φόβου, τοῦτο καὶ λέ-
γει καὶ ποιεῖ.

Πῶς νοεῖται τὸ πάντα ὅσα παρὰ τοῦ πατρός μου ἐγνώρισα Cap. XV.
v. 15.

XV. ὑμῖν; καὶ πάλιν ἀλλαχοῦ λέγειν αὐτὸν, πολλὰ ἔχω λέγειν ὑμῖν, ἀλλ' οὐ δύνασθε βαστάζειν ἄρτι; οὐδὲν ἄλλο διὰ τοῦ πάντα καὶ τοῦ ἀκοῦσαι κατασκευάζει, ἢ ὅτι οὐδὲν ἀλλότριον φθέγγεται, ἀλλὰ τὰ τοῦ πατρός.

18. Εἰ ὁ κόσμος ὑμᾶς μισεῖ· κόσμον τοὺς πονηροὺς ἀνθρώπους λέγει τοὺς τὰ κοσμικὰ φρονοῦντας.

26. Τὸν παράκλητον λέγει ὃν ἐγὼ πέμψω ὑμῖν, ὅτι ὡς ὁ πατὴρ πέμπει, οὕτως καὶ ὁ υἱὸς τὸ ἅγιον πνεῦμα, οὐχ ὡς δοῦλον δὲ, ἀλλ' ὡς συμφυΐας καὶ ὑποταγῆς ὅ ἐστιν ἐνεργείας.

Cap. XVI. v. 7. Τὸ ἐὰν μὴ ἐγὼ ἀπέλθω, ὁ παράκλητος οὐκ ἐλεύσεται λέγειν, οὐ δοῦλον δείκνυσι τὸ πνεῦμα ἀλλὰ ἴσον καὶ ὅμοιον.

8. Περὶ δικαιοσύνης δὲ ὅτι πρὸς τὸν πατέρα μου ὑπάγω καὶ οὐκέτι θεωρεῖτέ με, τοῦτό ἐστιν ὅτι ἀνεπίληπτον παρεσχόμην βίον· καὶ τούτου τεκμήρια τὸ πρὸς τὸν πατέρα πορεύεσθαι με.

11. Τὸ ὁ ἄρχων τοῦ κόσμου τούτου κέκριται, ἀντὶ τοῦ καταδεδίκασται παλαίσας μετ' ἐμοῦ.

13. Τί ἐστιν, οὐ γὰρ λαλήσει ἀφ' ἑαυτοῦ, ἀλλ' ὅσα ἂν ἀκούσῃ λαλήσει; ὅμοιόν ἐστιν ὁ καὶ περὶ αὐτοῦ οὐ λαλῶ, δεῖξαι θέλων τὸ ἀπαράλλακτον καὶ πρὸς τὸ πνεῦμα· καὶ τὰ ἐρχόμενα ἀναγγελεῖ ὑμῖν, ἤγουν τὸ ποῦ εἰμὶ, καὶ ὅσα ἄλλα.

14. Πῶς ἄνω καὶ κάτω τὸ πνεῦμα τὸ ἅγιον ἴσον δεικνύων τοῦ πατρὸς καὶ αὐτοῦ, ἐνταῦθα λέγει ὅτι ἐκ τοῦ ἐμοῦ λαμβάνει, καὶ ἀναγγελεῖ ὑμῖν; οὐδὲν ἕτερον ἐμφαίνει ἢ ὅτι ἴσον ἐστὶ καὶ οὐ μεῖζον, ὅπερ ἦν ἐκ τῶν ἄνω ῥημάτων· καὶ διὰ τὸ λέγειν ἐκεῖνος ἐμὲ δοξάσει· καὶ ἐπιφέρει ὅτι ἐκ τοῦ ἐμοῦ λαμβάνει.

Πῶς δὲ νοηθήσεται τὸ ἐκεῖνος ἐμὲ δοξάσει; ἀντὶ τοῦ ἐν τῷ ὀνόματί μου δώσει τὰς ἐνεργείας ὑμῖν.

52. Περὶ ποίας ὥρας λέγει ὅτι ἔρχεται ὥρα ὅτε οὐκέτι ἐν παροιμίαις λαλήσω ὑμῖν; τὸν τῆς ἀναστάσεως αὐτοῦ χρόνον (λέγει·) καὶ γὰρ ἐπὶ μὲν ἡμέρας συνὴν ὁμιλῶν αὐτοῖς.

33. Τί ἐστι τὸ ταῦτα λελάληκα ὑμῖν ἵνα ἐν ἐμοὶ εἰρήνην ἔχητε; τοῦτό ἐστιν ἵνα μὴ ἐκβάλλητέ με ἀπὸ τῆς ὑμῶν διανοίας.

Cap. XVII. v. 1. Διὰ τί ἀλλαχοῦ καὶ γόνατα κάμπτει καὶ εὔχεται; ὅτι ἀρε-

τὴν φανερώσων ἦλθεν, οὐχὶ τὴν θεότητα αὐτοῦ μόνον· τὸν δὲ XVII.
παιδεύοντα, οὐ διὰ ῥημάτων μόνον, ἀλλὰ καὶ διὰ πραγμάτων χρὴ παιδεύειν.

Δεῖξαι θέλων ὅτι οὐκ ἄκων ἐπὶ τὸ πάθος ἔρχεται φησὶν, πατὲρ ἐλήλυθεν ἡ ὥρα, δόξασόν σου τὸν υἱὸν, καὶ τὰ ἑξῆς· ἰδοὺ γὰρ εὔχεται τοῦτο γενέσθαι, καὶ δόξαν τὸ πρᾶγμα καλεῖ.

Ἵνα γινώσκωσί σε τὸν μόνον ἀληθινὸν θεὸν· πρὸς ἀντιδια- 3.
στολὴν τῶν οὐκ ὄντων, οὐχὶ πρὸς σύγκρισιν τοῦ υἱοῦ.

Τί οὖν ὦ Ἄρειε; ὁ λέγων ἐγώ εἰμι ἡ ἀλήθεια, τῆς ἀληθείας ἐκπέπτωκεν; οὐκοῦν εἰ μὴ ἔστι θεὸς ἀληθινὸς ὁ υἱὸς, οὐδὲ θεὸς ἂν καλοῖτο δικαίως· τὸ γὰρ μὴ ὂν ἀληθῶς, πῶς ἂν κληθείη θεὸς; τί οὖν ἐκείνην ποιήσομεν τὴν φωνὴν τὸ ἐν ἀρχῇ ἦν ὁ λόγος καὶ ὁ λόγος ἦν πρὸς τὸν θεὸν, καὶ θεὸς ἦν ὁ λόγος· ἀκούεις θεὸν τὸν λόγον· καὶ τοῦτο φησὶν ἦν λόγος, ὅπερ ἐκεῖνος ἦν πρὸς ὃν ἦν τουτέστι θεός· οὐκοῦν εἰ μὲν οὐκ ἐςι θεὸς ἀληθινὸς ὁ υἱὸς ἀνάγκη σε τοῦτον ψευδῆ νομίζειν θεόν· εἰ δὲ ψευδῆ, τούτον θεὸν οὐκ ἂν τολμήσῃς εἰπεῖν· ἀνάγκη θεὸν ἀληθινὸν αὐτὸν εἶναι· ἀληθινὸς δὲ θεός· ἀληθινῷ θεῷ ὁμοούσιος ἂν καλοῖτο δικαίως· τῆς παρ᾿ ἑκατέρῳ μιᾶς ἀληθείας μίαν καὶ τὴν οὐσίαν δείκνυσιν· εἶτα ἀναγινώσκεις μὲν τὸ μόνος ἀληθινὸς θεός· ὡς δὲ τυφλὸς προσκόπτων τῷ ῥήματι τούτῳ, μόνῳ τῷ πατρὶ προσαρμόζεις· πόθεν εἰπέ μοι περὶ τοῦ πατρὸς εἰρῆσθαι μαθὼν τὴν φωνὴν; ἐκ τῆς λέξεως; ἀλλ᾿ οὐκ ὀνομάζει πατέρα, οὐ γὰρ εἶπεν ἵνα γινώσκωσι σὲ τὸν μόνον ἀληθινὸν θεὸν καὶ πατέρα, ἀλλ᾿ ἀφέτωσαν τὸν μόνον ἀληθινὸν θεὸν, θεὸν ὅ ἐστι προσηγορία τριάδος καὶ σημασία· ἀλλ᾿ οὐδὲ πάλιν ὃν ἀπέστειλας υἱὸν μονογενῆ εἶπεν, ἀλλ᾿ Ἰησοῦν Χριστόν· εὐθὺς τῇ Χριστὸς προσηγορίᾳ νύττων σου τὸν διαλογισμὸν τῆς οἰκονομίας μνησθῆναι· εἰ μὲν γὰρ εἶπε, ἵνα γινώσκωσί σε τὸν μόνον ἀληθινὸν θεὸν καὶ πατέρα, ἀναγκαίως ἐπῆγε θεοῦ προσηγορίαν· ἐπειδὴ δὲ οὐκ εἶπεν πατέρα, διὰ τοῦτο παρῆκεν εἰπεῖν καὶ υἱόν· οὐ γὰρ πρόσωπα, ἀλλὰ φύσεις ἡμῖν παρεδίδου· τὸ μὲν ἀληθινὸν, τὴν θείαν φύσιν· τὸ δὲ ὃν ἀπέστειλας Ἰησοῦν Χριστὸν, τὴν ἀνθρωπείαν· καθὼς Παῦλος φησὶν

XVII. εἷς καὶ μεσίτης Θεοῦ καὶ ἀνθρώπων, ἄνθρωπος Ἰησοῦς Χριστός· αὐτὸ γὰρ τὸ ἀποστεῖλαι οὐκ ἀνθρωπείαν φύσιν σημαίνει· ὁ γὰρ καὶ πρὶν τῆς ἐνανθρωπήσεως ἐν τῷ κόσμῳ ὤν, καθώς φησιν ὁ εὐαγγελιστὴς, ἐν τῷ κόσμῳ ἦν, πῶς ἀπεστέλλετο ὁ ὢν ἐν τῷ κόσμῳ; ἀλλὰ τίς ἀπεστάλη; ἡ βλεπομένη μορφή· τί οὖν φησι βούλεται, καὶ ὃν ἀπέστειλας Ἰησοῦν Χριστὸν, πάλιν ἐρωτᾷς· ἄκουε· ἵνα μὴ τὴν οἰκονομίαν ἀρνήσῃ· ἵνα μὴ δοξολογῶν τῆς θεότητος τὴν οἰκονομίαν χωρίσῃς· ἀλλ' ἅμα θεότητι συνεπινοῇς τὸ ληφθέν· ἵνα μίαν μὲν τὴν θείαν φύσιν ἐν τριάδι γινώσκῃς· τὴν δὲ ἐπ' ἐσχάτων ληφθεῖσαν καὶ ἀποσταλεῖσαν μορφὴν ὡς χαρακτῆρα, βλέπῃς θεότητος, ὡς πρόσωπον ἀδιαίρετον ταύτης.

4. Τὸ ἐγώ σε ἐδόξασα ἐπὶ τῆς γῆς, τὴν δι' αὐτοῦ τῶν ἀνθρώπων πρὸς τὸν πατέρα λατρείαν λέγει.

5. Πῶς νοητέον τὸ, ἔργον ἐτελείωσα ὃ ἔδωκάς μοι ἵνα ποιήσω, καί τοι γε ἀρχὴν ἔτι εἶχε τὸ πρᾶγμα; τὸ μέλλον ὡς παρὸν λέγει· ἢ ὅτι τὸ ἐμαυτοῦ πᾶν ἐποίησα.

Πῶς νοεῖται τὸ, δόξασόν με τῇ δόξῃ ᾗ εἶχον πρὸ τοῦ τὸν κόσμον εἶναι παρὰ σοί; διὰ τὸ περικείμενον ἔνδυμα τῆς σαρκὸς λέγει· τὸ δὲ παρὰ σοὶ, ἀντὶ τοῦ μετὰ σοῦ καὶ σὺν σοί· οὐ γὰρ εἶπεν ἐπὶ τῆς γῆς. Καὶ ἄλλως.

Οὐχ ὑπὲρ ἑαυτοῦ ταῦτα λέγει ἀλλ' ὑπὲρ τοῦ Ἀδὰμ ὃν καὶ ἀνέλαβεν· ὥσπερ γάρ τις εἰσέρχεται εἰς τὸ δικαστήριον καὶ πάντα τὰ ἐγκλήματα τοῦ κατηγορουμένου ἐνδύεται, καὶ ὡς ὑπὲρ ἑαυτοῦ λέγει ἐπὶ τοῦ δικαστοῦ, καί τοι ὢν αὐτὸς ἀνεύθυνος, τὸν αὐτὸν τρόπον καὶ ὁ κύριος ἡμῶν ἀναλαμβάνει τὰ ἡμῶν ἐγκλήματα ἀναμάρτητος ὤν· ἁμαρτίαν γὰρ οὐκ ἐποίησε, καὶ ὑπὲρ ἡμῶν πρεσβεύει· δόξασόν με τῇ δόξῃ ᾗ εἶχον πρὸ τοῦ τὸν κόσμον εἶναι παρὰ σοί· ἐπὶ ἀφθαρσίᾳ γὰρ ἤμην πεποιημένος ἐγὼ ὁ Ἀδὰμ, συνόμιλος Θεῷ ἐτύγχανον· ἀγγέλοις ἤμην ὁμοτράπεζος, πνεύματος ἁγίου χάριν καὶ δόξαν ἐπ' ὄψεως ἔφερον· ταύτην διὰ τῆς ἐμῆς παραβάσεως ἀπώλεσα· νῦν ἱκετεύω δόξασόν με πάτερ· τῇ δόξῃ ᾗ εἶχον πρὸ τοῦ τὸν κόσμον εἶναι· διὸ ἄνωθεν ἀντιφθέγγεται ὁ πατὴρ, καὶ ἐδόξασα τότε ἐν τῷ παραδείσῳ, καὶ πάλιν δοξάσω,

εἰς τε τὴν αὐτὴν τοῦ παραδείσου τιμὴν καὶ τρυφὴν σε πόλιν ἀπο- XVII.
καταστήσω· ὅτι δὲ ταῦτα ὅτε ἔλεγεν ὁ υἱὸς τοῦ Θεοῦ εἶχε τὴν
δόξαν ἴσην τῷ πατρί, αὐτὸς ἔλεγεν· ἐγὼ καὶ ὁ πατὴρ ἕν ἐσμεν·
καὶ ὁ ἑωρακὼς ἐμὲ, ἑώρακε τὸν πατέρα· καὶ ὁ Ἰωάννης βοᾷ· ἐθεα-
σάμεθα τὴν δόξαν αὐτοῦ, δόξαν ὡς μονογενοῦς παρὰ πατρὸς,
πλήρης χάριτος καὶ ἀληθείας.

Τὸ νῦν ἔγνωκαν, οὐ δι' ἑαυτὸν λαλεῖ, ἀλλὰ διὰ τοὺς μα- 7.
θητάς.

Τὰ ἐμὰ πάντα σά ἐστι, καὶ τὰ σὰ ἐμά· τὴν μεγίστην ἰσο- 10.
τιμίαν δηλοῖ.

Τὸ τήρησον αὐτοὺς πάτερ, καὶ τὸ ὅτε ἤμην ἐν τῷ κόσμῳ 15.
ἐγὼ ἐτήρουν αὐτοὺς, πρὸς τὴν ἐκείνων ὑπόνοιαν λέγεται· ἐνό-
μιζον γὰρ ὅτι τεθνηκὼς οὐ τηρήσει αὐτούς.

Τὸ καθὼς οὐκ εἰμὶ ἐγὼ ἐκ τοῦ κόσμου· οὐκ ἔστιν ἀπαράλ- 16.
λακτον ἀκριβείας· ὥσπερ τὸ καθὼς ἐγὼ καὶ σὺ ἕν ἐσμεν, ἤγουν
ἐκ τῶν τὰ κοσμικὰ φρονούντων.

Τί ἐστιν ἁγίασον αὐτοὺς ἐν τῇ ἀληθείᾳ σου; τουτέστιν ἁγίους 17.
ποίησον αὐτοὺς διὰ τῆς τοῦ πνεύματος δόσεως παιδεύων δίδαξον
αὐτοὺς τὴν ἀλήθειαν.

Τί ἐστὶ τὸ ὑπὲρ αὐτῶν ἁγιάζω ἐμαυτόν; τουτέστιν προσ- 19.
φέρω σοι θυσίαν ἐμαυτόν· αἱ γὰρ θυσίαι, ἅγιαι λέγονται· ὡς
τὸ ἁγιάσεις μοι τὸ πρόβατον ἐν τῇ παλαιᾷ.

Τὸ ἵνα πάντες φησὶν ἓν ὦσι, καθὼς σὺ πατὲρ ἐν ἐμοὶ, κἀγὼ 21.
ἐν σοὶ, ἵνα καὶ αὐτοὶ ἐν ἡμῖν ἓν ὦσι, πάλιν τὸ καθὼς οὐκ ἀκρι-
βοῦς ἐξισώσεως ὡς ἐπ' αὐτῷ· οὐδὲ γὰρ δυνατόν, ἀλλ' ὥσπερ ὅτ'
ἂν λέγῃ· γίνεσθε οἰκτείρμονες ὡς ὁ πατὴρ ὑμῶν, οὕτω καὶ ἐν-
ταῦθα· τί δέ ἐστι τὸ ἐν ἡμῖν; τὸ ἐν τῇ πίστει τῇ εἰς ἡμᾶς.

Ἄνω καὶ κάτω διὰ πάντων τὸν υἱὸν ἀπεστάλθαι προφέρεις ὦ Ἄρειε, ὡς μείζονος μὲν τοῦ ἀποστέλλοντος ὄντος, ἐλάττονος δὲ τοῦ ἀποστελλομένου· ἂν οὖν ἐκ τῆς θείας γραφῆς καὶ τὸν πατέρα σοι δείξω ἀποστελλόμενον ὦ Ἄρειε, καταλύεις τὸν πόλεμον· σπεῦδε πρὸς τὸν υἱὸν μεμηνὼς, ὑπελείφθη γὰρ φησὶ Ἰακὼβ μόνος, καὶ ἐπάλαιεν ἄνθρωπος μετ' αὐτοῦ ἕως πρωΐ· εἶδε

XVII. δὲ ὅτι οὐ δύναται πρὸς αὐτόν· καὶ ἥψατο τοῦ πλάτους τοῦ μηροῦ αὐτοῦ, καὶ ἐνάρκησε τὸ πλάτος τοῦ μηροῦ αὐτοῦ ἐν τῷ παλαίειν αὐτὸν μετ' αὐτοῦ· καὶ εἶπεν αὐτῷ ὁ παλαίων· ἀπόστειλόν με, ἀνέβη γὰρ ὁ ὄρθρος· ὁ δὲ εἶπεν, οὐ μή σε ἀποστείλω ἐὰν μή με εὐλογήσῃς· καὶ εἶπεν αὐτῷ, οὐ κληθήσεται τὸ ὄνομά σου Ἰακὼβ, ἀλλ' Ἰσραὴλ ἔσται τὸ ὄνομά σου, ὅτι ἐνίσχυσας μετὰ θεοῦ, καὶ μετὰ ἀνθρώπων δυνατὸς ἔσῃ· τίς ὁ λέγων Ἄρειε ἀπόστειλόν με, ἀνέβη γὰρ ὁ ὄρθρος; οὐχ ὁ θεὸς καὶ πατήρ; πρὸς τίνα δὲ ὁ Ἰακὼβ ἐβόα, οὐ μή σε ἀποστείλω, ἐὰν μή με εὐλογήσῃς; οὐ πρὸς τὸν τῶν ὅλων θεὸν καὶ πατέρα; εἶδον γὰρ θεόν φησι πρόσωπον πρὸς πρόσωπον, καὶ ἐσώθη ἡ ψυχή μου· ἀλλὰ τί περὶ υἱοῦ λέγῃ εἰρῆσθαι; ἀλλὰ καὶ οὕτως κενόν σοι τὸ σόφισμα· θεὸς γὰρ ὢν καὶ ὁ υἱὸς, ὑπ' ἐλάττονος ἀνδρὸς ἀπεστάλη· καὶ τὸ τῆς ἀποστολῆς ὄνομα οὐκ ἔδειξε τὸν ἀπεσταλμένον ἐλάττονα· οὐκοῦν εἰ παρὰ ἀνθρώπου θεὸς ἀποςαλῆναι βοῶν, οὐδαμῶς ἐλάττων ἀνθρώπου, οὐκ ἄρα οὐδὲ ὁ υἱὸς ἐλάττων πατρὸς, παρὰ πατρὸς ἀπεςάλθαι λεγόμενος· ἀλλ' ἐκεῖ, φησὶ, συγκαταβάσεως καὶ οἰκονομίας ὁ λόγος ὑπάρχει· ἐγὼ γὰρ τέως περὶ τῆς σαρκὸς εἰρῆσθαι τὸν λόγον· ἀλλ' ὅτι καὶ τὸ τῆς ἀποστολῆς ὄνομα, τὸν μονογενῆ κατασμικρύνειν οὐκ οἶδεν, ὅτε καὶ πατὴρ οἰκονομικῶς κηρύττεται ἀπεστάλθαι, καὶ τὴν ἀΐδιον φύσιν οὐδαμῶς ἐλαττοῦται.

23. Τὸ ἐγὼ ἐν αὐτοῖς καὶ σὺ ἐν ἐμοὶ, οὕτως χρὴ νοεῖν; ὅτι ἔδωκε τὴν δόξαν αὐτοῦ ἐν αὐτοῖς γενόμενος, καὶ τὸν πατέρα ἔχων μεθ' ἑαυτοῦ, ὥστε αὐτοὺς συγκρατεῖν· ἀλλαχοῦ δὲ οὐχ οὕτως φησίν· οὐ γὰρ δι' αὐτοῦ τὸν πατέρα παραγενέσθαι, ἀλλ' αὐτὸν καὶ τὸν πατέρα παραγενέσθαι, καὶ μονὴν παρ' αὐτῷ ποιεῖν.

24. Πῶς νοητέον τὸ ἠγάπησας αὐτοὺς καθὼς ἐμὲ ἠγάπησας; πάλιν τὸ καθὼς ὡς ἀνθρώπους ἀγαπηθῆναι ἐγχωρεῖ νοῆσαι ἡμῖν διδωσιν ὅπερ ἐζήτουν ἀεί.

25. Διὰ τί λέγει τὸ πάτερ δίκαιε καὶ ὁ κόσμος σε οὐκ ἔγνω, ἐγὼ δέ σε ἔγνων; ὃ λέγει τοιοῦτόν ἐστιν· Ἰουδαῖοι λέγουσιν αὐ-

τοὶ μὲν σε γινώσκειν, ἐμὲ δέ σε ἀγνοεῖν· ἀλλὰ τοὐναντίον· ἐκεῖ- XVII.
νοι μὲν ἀγνοοῦσί σε, ἐγὼ δέ σε ἐγίνωσκων καὶ γινώσκω.

Τὸ ἐγνώρισα αὐτοῖς τὸ ὄνομά σου καὶ γνωρίσω πῶς νοη- 26.
θήσεται; καὶ τί λοιπὸν τὸ πνεῦμα γνωρίσει αὐτοῖς; τοῦτο λέ-
γει, ἵνα δείξῃ ὅτι καὶ τὰ τοῦ πνεύματος αὐτοῦ ἐστι· καὶ λέ-
γει γὰρ ἀλλαχοῦ ὅτι ἐκ τοῦ ἐμοῦ λαμβάνει.

Ἵνα ἡ ἀγάπη ἣν ἠγάπησάς με ἐν αὐτοῖς μείνῃ· ἐὰν γὰρ μά-
θωσι, φησὶν, ὅτι οὐκ ἀπέσχισμαι ἐγὼ ἀπὸ σοῦ, ἀλλ' εἰμὶ γνή-
σιος υἱός σου καὶ σφόδρα ἠγαπημένος καὶ συνημμένος, πάντως
τὴν πίστιν τὴν εἰς ἐμὲ καὶ τὴν ἀγάπην τηρήσουσιν ἀκριβῆ· ἀγα-
πώντων δὲ αὐτῶν ὡς χρὴ, κἀγὼ μενῶ ἐν αὐτοῖς.

Τίνος χάριν ἐρωτᾷ, τίνα ζητεῖτε; δεῖξαι θέλων ὅτι ἑκὼν ἐπὶ Cap. XVIII.
τὸ πάθος ἔρχεται. v. 4.

Πόθεν εἶχεν ὁ Πέτρος μάχαιραν; ἐμοὶ δοκεῖ πρὸς τοῦτο αὐ- 10.
τὸ παρεσκευασμένος· ἢ ἀπὸ τῆς θυσίας τοῦ ἀρνοῦ τοῦ πάσχα.

Καὶ πῶς μὴ ἀμύνασθαι κελευσθεὶς, ἀμύνεται; οὐκ αὐτῷ ἀλ-
λὰ τῷ διδασκάλῳ βοηθεῖ ὡς δοκεῖ· ἔπειτα οὐδὲ τέλειος πῶς ἦν,
οὐδὲ ἀπηρτισμένος ἤδη ὁ Πέτρος.

Διὰ τί τὸ ὄνομα τέθεικε τοῦ δούλου ὁ εὐαγγελιστής; ὥστε
τοῖς τότε ἀναγινώσκουσιν ἐξεῖναι ζητῆσαι καὶ περιεργάσασθαι εἰ
ὄντως γέγονε τὰ γεγενημένα· ἐπ' αὐτὴν οὖν ὥρμησε τὴν κεφα-
λὴν αὐτοῦ· διὰ τοῦτο καὶ τὸ δεξιὸν ὠτίον λέγει.

Διὰ τί θαυματουργεῖ Χριστὸς; καὶ τὴν ἰσχὺν δεικνύων, καὶ
τὸ μὴ κακὸν ἀντὶ κακοῦ ποιεῖν τινὶ, μὴ δὲ τοῖς λησταῖς, διδάσκων.

Τὸ πάντες οἱ λαβόντες μάχαιραν ἐν μαχαίρᾳ ἀποθανοῦνται,
ἐμοὶ δοκεῖ τὸ οἱ πάντες, ἀντὶ τοῦ πολλοὶ κεῖται, ὡς τὸ οἰω-
νοῖσί τε πᾶσι.

Διὰ τί λέγει ἠκολούθει αὐτῷ Πέτρος καὶ ὁ ἄλλος μαθητής; 15.
ὅτε μὲν γὰρ ἐπὶ τὸ στῆθος ἀνέπεσεν, εἰκότως χάριν ἀφιλοτι-
μίας τοῦτο κρύβει, νῦν δὲ τί; διὰ ταύτην αἰτίαν, ἵνα μὴ δό-
ξῃ κομπάζειν ὅτι πάντων φυγόντων, μόνος ἠκολούθησεν· ἠναγ-
κάσθη δὲ καὶ ἑαυτοῦ ἐπιμνησθῆναι, ἵνα δείξῃ ὅτι ἀκριβῶς πάν-
τα οἶδε τὰ ἐν τῇ αὐλῇ, ἅτε ἔνδον συνεισελθών· διὰ τοῦτο καὶ

XVIII. μέμνηται ὅτι γνωστὸς ἦν τῷ ἀρχιερεῖ, ἵνα δείξῃ ὅτι ἠδύνατο συνεισελθεῖν.

19. Διὰ τί καθ' ἡμέραν ἐν τῷ ἱερῷ ὁρῶν αὐτὸν ὁ ἀρχιερεὺς, νῦν ἐρωτᾷ τὴν διδαχὴν αὐτοῦ, καὶ ποῦ εἶεν οἱ μαθηταὶ, καὶ τίνος ἕνεκεν αὐτοὺς συνέλεξε, καὶ τί βουλόμενος, καὶ ἐπὶ τίσι; τοῦτο ἠρώτα ὡς στασιαστὴν καὶ νεωτεροποιὸν ἐλέγξαι θέλων, ὡς ἐργαστηρίου τινὸς ὄντος πονηροῦ.

20. Πῶς λέγει ὁ Χριστὸς ἐν κρυπτῷ ἐλάλησα οὐδὲν, καίπερ πολλὰ λαλήσας τοῖς μαθηταῖς ἐν κρυπτῷ; περὶ ὧν ἐκεῖνοι ἐνόμιζον ἀποκρίνεται, στάσεις λέγω καὶ ταραχὰς δηλῶν.

21. Τὸ εἰπεῖν τί με ἐπερωτᾷς, ἐπερώτησον τοὺς ἀκηκοότας, οὐκ αὐθαδειαζομένου ἐστὶν, ἀλλὰ παῤῥησιαζομένου εἰς ἀλήθειαν.

23. Τὸ εἰ μὲν κακῶς ἐλάλησα, μαρτύρησον περὶ τοῦ κακοῦ· εἰ δὲ καλῶς, τί με δέρεις; καὶ διὰ τί μὴ ἔστρεψε καὶ τὴν ἄλλην, ὡς ἐδίδασκε; καὶ λέγουσί τινες ὑπόψυχρα καὶ ἄπιστα· ἐγὼ δὲ λέγω ὅτι ἡ Χριστοῦ νομοθεσία, πρὸς γείτονας, πρὸς ὁδεύοντας, πρὸς τοὺς ἐν οἴκῳ, πρὸς πολεμίους αὐτοὺς, ἀλλ' οὐ πρὸς κριτήρια ἔνθα φυλάττεσθαι τὸ δίκαιον βούλεται· ὧδε γὰρ ἡ σιωπὴ καταδίκην εἰσῆγεν ὡς καλῶς τυφθέντος αὐτοῦ, ὃ οὐκ ἔδει.

28. Διὰ τί ἄγουσιν αὐτὸν ἀπὸ τοῦ Καϊάφα εἰς τὸ πραιτώριον; ἐπειδὴ ὑπὸ Ῥωμαίους ἦσαν, καὶ χωρὶς αὐτῶν ἐποίουν οὐδὲν ἐν τοῖς δημοσίοις πράγμασι, καὶ ἐδεδοίκεσαν δὲ μὴ δώσουσι δίκην ὡς κατηγόρησαν ματαίως.

Τί ἐστιν ἐν τῷ λέγειν ἵνα φάγωσι τὸ πάσχα; καὶ πῶς Χριστὸς ἦν αὐτὸ πεποιηκὼς τῇ μιᾷ τῶν ἀζύμων; πάσχα ἐνταῦθα τὴν ἑορτὴν πᾶσαν λέγει.

29. Ἐρωτηθέντες τίνα κατηγορίαν φέρετε κατὰ τοῦ ἀνθρώπου τούτου, ἀποκρίνονται· εἰ μὴ ἦν οὗτος κακοποιὸς, οὐκ ἄν σοι παρεδώκαμεν αὐτόν· οὕτως πανταχοῦ παραιτοῦνται τὴν ἐξ εὐθείας κατηγορίαν.

31. Διὰ τί λέγει αὐτοῖς ὁ Πιλάτος, λάβετε αὐτὸν ὑμεῖς, καὶ τὰ ἑξῆς; ἀπαλλαγῆναι ἀδικίας βουλόμενος.

33. Διὰ τί οὐκ ἐπ' αὐτῶν ποιεῖται τὴν ἐξέτασιν, ἀλλ' ἰδίᾳ; εἰσ-

ἦλθε γὰρ εἰς τὸ πραιτώριον πάλιν ὁ Πιλάτος· ἐπειδὴ μεγάλην XVIII.
τινὰ ὑπόνοιαν εἶχον περὶ αὐτοῦ, καὶ ἐβούλετο μὴ θορυβούντων
Ἰουδαίων πάντα ἀκριβῶς μαθεῖν.

Διὰ τί λέγει Χριστὸς, ἀφ' ἑαυτοῦ σὺ τοῦτο λέγεις, ἢ ἄλ- 34.
λοι σοι εἶπον; τὴν πονηρὰν τῶν Ἰουδαίων ἐκκαλύπτων γνώμην,
καὶ ὑπὸ τοῦ Πιλάτου κατηγορηθῆναι αὐτοὺς βουλόμενος, ὡς ἐκεῖ-
νοι τοῦτο λέγουσιν.

Διὰ τί ἀπεκρίθη τὸ ἡ βασιλεία ἡ ἐμὴ οὐκ ἔστιν ἐκ τοῦ κό- 36.
σμου τούτου; ὅπερ ἐδεδοίκει τέως ὁ Πιλάτος, διέλυσε Χριστὸς
τὴν τῆς τυραννίδος ὑποψίαν· ὁ δὲ λέγει τοιοῦτόν ἐστι, βασι-
λεὺς μέν εἰμι, φησὶν, ἀλλ' οὐ τοιοῦτος.

Πῶς τοῦ Πιλάτου εἰπόντος ὅτι οὐκοῦν βασιλεὺς εἶ σὺ, ὁ 37.
Χριστὸς λέγει εἰς τοῦτο γεγέννημαι; ἔδειξεν ὅτι οὐδὲν μετὰ ταῦ-
τα προσλαβὼν ἔχει· ὥστε καὶ ὅτ' ἂν ἀκούσωμεν ὅτι καθὼς ὁ πα-
τὴρ ἔχει ζωὴν, οὕτως ἔδωκε καὶ τῷ υἱῷ ζωὴν ἔχειν, μηδὲν ἄλ-
λο ἢ τὴν γέννησιν νομίζομεν.

Τὸ λέγειν αὐτὸν εἰς τοῦτο ἐλήλυθα εἰς τὸν κόσμον, σημαί-
νειν βούλεται ὅτι ἵνα τοῦτο αὐτὸ δείξω καὶ πείσω πάντας ὅτι
βασιλεὺς καὶ κύριος καὶ δεσπότης εἰμὶ, ἐπισπάσασθαι θέλων διὰ
τούτων τὸν Πιλάτον.

Διὰ τί εἰπὼν τί ἐστιν ἀλήθεια, ὁ Πιλάτος ἀνίσταται καὶ πρὸς 38.
αὐτοὺς ἔρχεται; συνεῖδεν ὅτι καιροῦ δεῖται τὸ ἐρώτημα· ἔδει δὲ
αὐτὸν ἐξαρπάσαι τέως τῆς τῶν Ἰουδαίων ὁρμῆς· διὰ τοῦτο ἐξῆλ-
θε πρὸς αὐτούς.

Διὰ τί ἐμαστίγωσεν αὐτὸν ὁ Πιλάτος; βουλόμενος ἐκλῦσαι Cap. XIX.
τὴν ὁρμὴν αὐτῶν καὶ παραμυθήσασθαι τὴν ὀργὴν καὶ τὸν φθό- v. 1.
νον αὐτῶν· καὶ ὅτι τοῦτο ἀληθὲς, ἄκουσον λέγοντος τοῦ Πιλά-
λάτου· λάβετε αὐτὸν ὑμεῖς καὶ σταυρώσατε, ἐγὼ γὰρ οὐδεμίαν
αἰτίαν εὑρίσκω ἐν αὐτῷ.

Πῶς νοητέον τὸ εἰ μὴ ἦν σοι δεδομένον ἄνωθεν; τὸ δεδο- 11.
μένον ἐνταῦθα, τὸ συγκεχωρημένον ἐστίν· ὡς ἂν ἔλεγεν, εἴασε
μὲν ταῦτα γενέσθαι θεός· οὐ μὴν διὰ τοῦτο τῆς ἁμαρτίας ὑμεῖς
ἐκτὸς ἔσεσθε, τοιαύτην προαίρεσιν πονηρὰν κεκτημένοι.

XIX. Πῶς ὁ μὲν Μάρκος τρίτην ὥραν λέγει σταυρωθῆναι, ὁ δὲ
14. Ἰωάννης ἕκτην; ὁ μὲν τῆς ἀποφάσεως λέγει τὴν ὥραν, ὁ δὲ τῆς
σταυρώσεως αὐτῆς, λέγονται γὰρ ἀπὸ τότε τιμωρεῖσθαι ἀπό τε
τὴν ἀπόφασιν ὁ κριτὴς δοίη.

Τὸ λέγειν τὸν Πιλάτον ἴδε ὁ βασιλεὺς ὑμῶν, εἰρωνευομένου ἐστὶ πρὸς αὐτούς· ὡς ἂν ἔλεγεν ὅτι οὐδεμίαν αἰτίαν εὑρίσκω ἐν αὐτῷ, καθ' ὑμᾶς δὲ ἴδε ὁ βασιλεὺς ὑμῶν.

15. Ὅτε ἐν τῷ λέγειν αὐτοὺς οὐκ ἔχομεν βασιλέα εἰ μὴ Καίσαρα, δείκνυνται ὅτι θεὸν βασιλέα μὴ βουλόμενοι ἔχειν, ἄνθρωπον ᾑρετίσαντο ἔχειν· διὰ τοῦτο τέλεον καὶ ὑπὸ Ῥωμαίους παρεδόθησαν.

17. Καὶ ἑαυτῷ ὁ κύριος τὸν σταυρὸν ἐβάσταζε καθὰ φησι Ἰωάννης, καὶ πάλιν Σίμων ὁ ἄνθρωπος ἔφερεν αὐτὸν κατὰ τοὺς ἄλλους εὐαγγελιστὰς, καὶ γὰρ ἀμφότερα γέγονεν ἐπὶ τούτου· ὡς μὲν οὖν κατὰ τοῦ διαβόλου τρόπαιον ἐβάσταζε πρῶτος τὸν σταυρὸν ἑαυτοῦ, καὶ γὰρ οὐκ ἀναγκαζόμενος ἤρχετο εἰς τὸν θάνατον· καὶ πάλιν ἐβάσταζεν αὐτὸν Σίμων ὁ ἄνθρωπος, Ἵνα γνωσθῇ πᾶσιν ὅτι οὐ τὸν ἑαυτοῦ, ἀλλὰ τὸν τῶν ἀνθρώπων ἀποθνήσκει θάνατον ὁ κύριος. Καὶ ἄλλως.

Διὰ τί ὁ μὲν Ἰωάννης αὐτὸν τὸν Χριστὸν λέγει τὸν σταυρὸν βαστάξαι ἑαυτοῦ, οἱ δὲ λοιποὶ εὐαγγελισταὶ Σίμωνα τὸν κυρηναῖον ἀπατήσαντες ἀγγαρεύοντες αὐτὸν εἰς τὸ βαστάζειν; (deest solutio.)

18. Ὅτε εἰς τὸν κρανίου τόπον σταυροῦται, ἐπειδὴ ἐκεῖ λέγεται ὁ Ἀδὰμ τεθάφθαι· ἔνθα οὖν ὁ θάνατος ἐβασίλευσεν, ἐκεῖ τὸ τρόπαιον ἔστησεν.

19. Διὰ τί ἐπιγράφει τὸν σταυρὸν ὁ Πιλάτος; ἀμυνόμενος τοὺς Ἰουδαίους ὡς οὐ κατὰ λῃστὴν ἔστιν, ὅθεν καὶ οὐ μιᾷ γλώττῃ ἀλλὰ τρισσαῖς τὴν μανίαν αὐτῶν ἅπασι δηλῶν· ὅθεν καὶ αὐτῇ τῇ γραφῇ βασκαίνοντες ἔλεγον, μὴ γράφε ὁ βασιλεὺς τῶν Ἰουδαίων, ἀλλ' ὅτι ἐκεῖνος εἶπεν ὅτι βασιλεύς εἰμι τῶν Ἰουδαίων· ᾠκονομήθη δὲ γραφῆναι καὶ διὰ τὴν εὕρεσιν αὐτοῦ ἔσχατον.

23. Ἀδὰμ εἰς τὸν παράδεισον ἐξεδύσατο τὰ ἱμάτια, ἔδει γὰρ

τοῦτο ποιῆσαι καὶ ἀπεκδύσασθαι τοὺς χιτῶνας, οὓς ἔλαβεν ἐκ- XIX.
βαλλόμενος ὁ Ἀδὰμ ἐκ τοῦ παραδείσου· ὁ πάντα γὰρ τὰ ἡμῶν δι' ἡμᾶς ἀναδεξάμενος, ἐνεδύσατο ταῦτα ἵνα καὶ ἀπεκλύσηται, καὶ ἀντὶ τούτων ἡμᾶς ἐνδύσῃ ζωὴν καὶ ἀφθαρσίαν· εἰς τέσσαρα δὲ διαμερίζονται, ἐπειδήπερ ὑπὲρ τῆς ἁμαρτίας τῆς τετραμεροῦς οἰκουμένης, ἀνατολῆς καὶ δύσεως, ἄρκτου καὶ μεσημβρίας ἐφόρει ταῦτα.

Τοῦτον ἐνεδύσατο τὸν χιτῶνα, ἵνα πιστεύσωσιν οἱ Ἰουδαῖοι ὅτι οὐκ ἀπὸ γῆς, ἀλλ' ἄνωθεν ἐρχόμενος ἦν ὁ λόγος· καὶ ὅτι οὐ μεριστὸς ἀλλ' ἀμέριστός ἐστι τοῦ πατρὸς, καὶ ὅτι γενόμενος ἄνθρωπος οὐ ῥεραμμένον εἶχε τὸ σῶμα ἐξ ἀνδρὸς καὶ γυναικὸς, ἀλλ' ἐκ παρθένου μόνης ὑφαμμένον τῇ τοῦ πνεύματος τέχνῃ· ὅθεν τὰ μὲν ἄλλα διαμερίζονται, μεριστὰ γὰρ ἦν, τὸν δὲ χιτῶνα μόνον οὐκ ἠδυνήθησαν σχίσαι, φόβῳ τοῦ δι' αὐτοῦ γνωριζομένου σημείου· καὶ τοῦτο γὰρ οὐκ αὐτῶν, ἀλλὰ τοῦ κρεμαμένου σωτῆρος τὸ ἔργον ἦν· ἵνα τούτου μείναντος, μείνῃ καὶ ὁ κατὰ τῶν Ἰουδαίων ἔλεγχος ὁ μετ' οὐ πολὺ γενόμενος· ὅτι τὸ μὲν καταπέτασμα ἐσχίσθαι, ὁ δὲ χιτὼν τοῦ σταυροῦ οὐδὲ ὑπὸ δημίων διῃρέθη, ἀλλ' ἔμεινεν ὁλόκληρος· μένει γὰρ τὸ εὐαγγέλιον διὰ παντὸς ὁλόκληρον, τῶν σκιῶν διαιρουμένων.

Διὰ τί σταυρούμενος τῷ μαθητῇ τὴν μητέρα παραδίδωσι; 26.
παιδεύων ἡμᾶς μέχρις ἐσχάτης ἀναπνοῆς τῶν γονέων φροντίζειν.

Πάλιν καὶ ἐνταῦθα περὶ αὐτοῦ λέγων ἐπιφέρει τὸν μαθητὴν ὃν ἠγάπα μετριάζων, ἐπεὶ καὶ τὴν αἰτίαν εἶπεν ἀν δι' ἣν ἠγαπᾶτο.

Διὰ τί πρὸ τοῦ σταυροῦ ἀγωνιᾷ καὶ ἱδροῖ καὶ φοβεῖται, ἐνταῦθα δὲ τῷ μαθητῇ λαλεῖ καὶ τῇ μητρὶ, καὶ τῷ λῃστῇ; ὅτι ἐκεῖ μὲν τὸ ἀνθρώπινον δείκνυσιν, ἐνταῦθα δὲ τὴν θείαν δύναμιν ὡς οὐ δέδοικεν.

Τί ἐστι τὸ εἰδὼς δὲ ὁ Ἰησοῦς ὅτι πάντα ἤδη τετέλεσται; 28.
ἀντὶ τοῦ τὰ τῆς οἰκονομίας ἅπαντα πεπλήρωται.

Ὅτι καὶ μετὰ τὸ ποτισθῆναι ὄξον, λέγει τὸ τετέλεσται· ἀν- 29.
τὶ τοῦ πεπλήρωται ἡ προφητεία.

Διὰ τί λέγει ὅτι καὶ κλίνας τὴν κεφαλὴν παρέδωκε τὸ πνεῦ- 30.

XIX. μα; δεικνὺς ὅτι ὅτε ἐβούλετο, τότε καὶ ἀπέθανε· πρότερον γὰρ οἱ ἀποθνήσκοντες ἀποθνήσκουσι καὶ οὕτως κλίνουσι τὴν κεφαλήν· οὗτος δὲ τὸ ἀνάπαλιν.

34. Ὅτι χαριζόμενοι τοῖς Ἰουδαίοις μετὰ τὸ τεθνάναι, νύττουσιν αὐτῷ λόγχην.

Ὅτι αἷμα καὶ ὕδωρ ἐξῆλθε, τὸ μὲν ἢ δεικνύον αὐτὸν ἄνθρωπον, τὸ δὲ ὑπὲρ ἄνθρωπον· ἢ ὅτι τὸ μὲν ὕδωρ σημαίνει τὸ βάπτισμα, τὸ δὲ αἷμα τὸ πόμα ἡμῶν τὸ πνευματικόν.

37. Τί ἐστιν εἰς ὃν ἐξεκέντησαν; ἀντὶ τοῦ ὃν τοῖς ἥλοις προσήλωσαν· καὶ οὐκ εἶπεν ὄψονται ὃν ἐξεκέντησαν, ἀλλ' εἰς ὃν ἐξεκέντησαν· τί ἐστι τὸ εἰς ὄν; σταυρὸς ἦν εἰς ὃν ἐξεκέντησαν· πρὸ δὲ τῆς παρουσίας τοῦ σταυροῦ, ὥσπερ βασιλικὸν σημεῖον τὸ λεγόμενον κατὰ τὴν κοινὴν συνήθειαν σίγνον * προτρέχει τῆς Χριστοῦ παρουσίας καὶ βασιλείας ὑπὸ τῶν ἀγγέλων δοξαζόμενον, καὶ φανήσεται ὁ σταυρὸς ἐπὶ γῆς, σκέπων ἥλιον, ἀμβλύνων σελήνην.

* nota vocab. latinum.

38. Διὰ τί εἷς τῶν ō μαθητῶν αἰτεῖ τὸ σῶμα τοῦ Ἰησοῦ ὅς ἐστιν Ἰωσήφ; ἐμοὶ δοκεῖ τῶν ἐπισήμων εἶναι καὶ τῷ Πιλάτῳ γνώριμος.

Cap. XX. v. 1. Εἰς τί φέρουσι τὰ μύρα; εἰς συντήρησιν τοῦ σώματος, ἐπὶ πολὺ γὰρ πέφυκε ταῦτα φυλάττειν ἄσηπτα τὰ σώματα.

5. Ὅτι οὐδεὶς κλέπτων νεκρὸν σχολιότερον ἐργαζόμενος ἀφίησι τὰ ὀθόνια, μάλιστα συγκεκολλημένων ὄντων αὐτῶν τῇ σαρκὶ ἀπὸ σμύρνης.

12. Διὰ τί φαίνονται αὐτῇ οἱ ἄγγελοι καθήμενοι, εἰς ἐρώτησιν ἐπαγόμενοι αὐτήν, καὶ ὥστε μὴ θροηθῆναι.

14. Τίνος ἕνεκεν λαλοῦσα πρὸς τοὺς ἀγγέλους ἐστράφη εἰς τὰ ὀπίσω καὶ ὁρᾷ τὸν κύριον; ἐμοὶ δοκεῖ ὅτι οἱ ἄγγελοι μὲν τὸν κύριον ὁρῶντες, αὐτὴ δὲ τοὺς ὁρῶντας αὐτὴν ὁρῶσα κατενόησεν ὅτι τινὰ πρὸς τὰ ὀπίσω αὐτῆς βλέπουσι καὶ ἐστράφη· οὕτως τοῖς μὲν ἀγγέλοις, θαυμαστὸς ἀνεφάνη· τῇ δὲ γυναικὶ οὐχί· ἵνα μὴ θροήσῃ, καὶ δῆλον ἐξ ὧν καὶ κηπουρὸν αὐτὸν ἐνόμισεν.

15. Ὅμοιον τῶν ἐν γενέσει καὶ φθορᾷ δημιουργὸν νομίζων τὸν κύριον, εἰς κηπουρὸν αὐτὸν γνωρίζει κατὰ τὴν Μαγδαληνὴν Μαρίαν· διὸ πρὸς ὠφέλειαν φεύγει τοῦ τοιούτου τὴν ἀφὴν ὁ δε-

σπότης, μήπω παρ' αὐτῷ ὑυνηθεὶς ἀναβῆναι πρὸς τὸν πατέρα XX.
λέγων μή μου ἅπτου· γινώσκεται γὰρ βλάπτεσθαι τὸν μετὰ τοι-
αύτης αὐτῷ προσερχόμενον ταπεινοτέρας προσλήψεως.

Διὰ τί λέγει αὐτῇ Μαρία; εἰρωνικῶς νόησον τὴν τοῦ ὀνό- 16.
ματος ἐκφώνησιν· ἀκούει δὲ τοῦτο, διὰ τὸ ὡς νεκρὸν αὐτὸν ζη-
τεῖν χαμαίζηλον οὖσαν.

Διὰ τί λέγει μή μου ἅπτου; ἐβούλετο ὡς ἂν ὄντος αὐτοῦ 17.
πάλιν συνεῖναι αὐτῷ, ὁ δὲ ἀπάγων αὐτὴν ἀπὸ τοιούτου λογι-
σμοῦ, λέγει αἰτίαν τοῦτο, τὸ οὔπω γὰρ ἀναβέβηκα πρὸς τὸν πα-
τέρα· ὡς ἂν ἔλεγεν ἐκεῖ σπεύδω καὶ ἐπείγομαι· τὸν δὲ ἐκεῖ μέλ-
λοντα ἀπιέναι, οὐκ ἔδει μετὰ τῆς αὐτῆς ὁρᾷν διανοίας ἧς καὶ
πρὸ τούτου.

Τὸ λέγειν αὐτὸν θεόν μου καὶ θεὸν ὑμῶν, καὶ πατέρα ὑμῶν
καὶ πατέρα μου, καὶ τὸ ἀναβαίνω, οἰκονομίας εἰσὶ ῥήματα καὶ
λόγοι πρὸς τὴν μὴ μεγάλα φανταζομένην περὶ Χριστοῦ.

Πῶς αὐτὸν φάντασμα οὐκ ἐνόμισαν εἰσελθόντα κεκλεισμένων 19.
τῶν θυρῶν καὶ ἀθρόον; ὅτι γυνὴ προεῖπεν αὐταῖς, καὶ πολλὴν
τὴν πίστιν εἰργάσατο· ἄλλως δὲ καὶ τρανὴν καὶ ἥμερον ὄψιν αὐ-
τοῖς ἐπεδείξατο.

Τὸ καθὼς ἀπέσταλκέ με ὁ πατὴρ, κἀγὼ πέμπω ὑμᾶς, τὴν 21.
ἰσοτιμίαν δείκνυσιν αὐτοῖς.

Τὸ λάβετε πνεῦμα ἅγιον πῶς νοεῖται, εἰπόντος αὐτοῦ ἐὰν 22.
μὴ ἐγὼ ἀπέλθω οὐ μὴ ἔλθῃ ἐκεῖνος; τινὲς φασὶν ὅτι οὐ τὸ πνεῦ-
μα ἔδωκεν, ἀλλ' ἐπιτηδείους αὐτοὺς διὰ τοῦ ἐμφυσήματος κατ-
εσκεύασεν, ἢ ὅτι κατὰ ἁμαρτημάτων ἐξουσία ἐδόθη αὐτοῖς τοῦ-
το, ὕστερον δὲ διὰ τοῦ πνεύματος καὶ τὰ μείζονα, ὅ ἐςι θαύ-
ματα, λέγει γὰρ ὅτι τότε λήψεσθε δύναμιν.

Πῶς πάντων συνηγμένων ὁ Θωμᾶς ἀπελιμπάνετο μόνος; εἰ- 24.
κὸς ἦν ἀπὸ τῆς διασπορᾶς τῆς ἤδη γενομένης μηδέπω αὐτὸν ἐπαν-
ελθεῖν.

Διὰ τί μεθ' ἡμέρας ὀκτὼ ὁρᾷ αὐτὸν καὶ οὐκ εὐθὺς; ὅπως 26.
διδαχθῇ διὰ τῶν ἀποστόλων καὶ θερμότερος γένηται.

Πῶς ἄφθαρτον σῶμα ἁπτὸν ἐγένετο θνητῇ χειρὶ καὶ τοὺς τύ- 27.

XX. πους ἐδείκνυτο ἔχειν; τοῦτο λεπτὸν καὶ κοῦφον ὡς κεκλεισμέ-
νων εἰσῆλθε τῶν θυρῶν, ἵνα πιστευθῇ ἡ ἀνάστασις, ταῦτα δεί-
κνυται· καὶ τρώγει δὲ διὰ τοῦτο αὐτό.

30. Περὶ ποίων σημείων λέγει ὁ εὐαγγελιστής, πολλὰ μὲν οὖν
καὶ ἄλλα σημεῖα ἐποίησεν ὁ Ἰησοῦς; ἐμοὶ δοκεῖ τὰ μετὰ τὴν
ἀνάστασιν· ἐπιφέρει γὰρ ἐνώπιον τῶν μαθητῶν αὐτοῦ ἀλλ' οὐχὶ
τῶν ὄχλων.

Ὅτι οὐκ ἔγραψαν ἅπαντα οἱ εὐαγγελισταὶ, ἀλλὰ ἄλλος ἄλ-
λα φεύγοντες τὸ φιλότιμον καὶ κενόδοξον· ὅσον δὲ μόνον πρὸς
πίστιν συντελεῖ, διὸ καὶ ἐπιφέρει· ταῦτα δὲ γέγραπται, ἵνα πι-
στεύσητε.

Cap. XXI. v. 1. Ὅτι μετὰ τὴν ἀνάστασιν οὐκ ἐβλέπετο εἰ μὴ συγκατέβη, διὰ
τὸ λοιπὸν ἄφθαρτον εἶναι τὸ σῶμα καὶ ἀκήρατον.

3. Ὅτι οἱ περὶ Πέτρον καὶ Ἰωάννην τὴν οἰκείαν τέχνην μετῄε-
σαν, ἐπεὶ μήτε αὐτὸς Χριστὸς αὐτοῖς συνῆν, μήτε τὸ πνεῦμα τὸ
ἅγιον δοθὲν ἦν· ἐπιστὰς δὲ αὐτοῖς κάμνουσι περὶ τὴν ἄγραν λέ-
γει· παιδία μή τι προσφάγιον ἔχετε; τοῦτο δὲ λέγει, ὡς μέλ-
λων τί ὠνήσασθαι παρ' αὐτῶν.

9. Ὅτι τὴν ἀνθρακιὰν καὶ τὸ ἐπικείμενον ὀψάριον, καὶ τὸν ἄρ-
τον, οὐκ ἐξ ὑποκειμένης ὕλης εἰργάσατο ὁ Χριστὸς, ἐπὶ τὸ θαυ-
μαστότερον ἄγων τὰ σημεῖα· ἐκέλευσε δὲ ἐκ τῶν ὀψαρίων ὧν
ἐπίασαν ἐνεγκεῖν, δεικνὺς ὅτι τὸ ὁρώμενον οὐκ ἦν φάντασμα·
καὶ ὅτι μὲν αὐτὸς ἦν, ᾔδεσαν, κἂν ξένην ἐπιφέρει τὴν μορφήν·
ἐφοβοῦντο δὲ ἐρωτῆσαι.

17. Διὰ τί ἐρωτᾷ αὐτοῦ τρίτον τὸ φιλεῖς με; τὸ τρισσὸν ἐξα-
λείφων τῆς ἀρνήσεως, καὶ δεικνὺς ὅσου τιμᾶται τὴν προστασίαν
τῶν οἰκείων προβάτων, λέγει γὰρ εὐθύς· βόσκε τὰ ἀρνία μου.

18. Ὅτι ἐπὶ τοῦ σταυροῦ τέλειος ἀνὴρ ἦν ὁ Πέτρος, λέγει γὰρ
ὁ Χριστὸς ὅτε ἦς νεώτερος, εἶτα καὶ ὅτ' ἂν γεράσῃς.

19. Τί σημαίνει ἐν τῷ λέγειν ποίῳ θανάτῳ δοξάσει τὸν θεόν;
δείκνυσιν ὅτι τὸ ὑπὲρ Χριστοῦ παθεῖν, δόξα τοῦ πάσχοντός
ἐστι καὶ τιμή.

ΤΕΛΟΣ.

ΕΡΕΝΝΙΟΥ ΦΙΛΟΣΟΦΟΥ

ΕΞΗΓΗΣΙΣ

ΕΙΣ ΤΑ ΜΕΤΑ ΤΑ ΦΥΣΙΚΑ.

CAP. I.

1. Μετὰ τὰ φυσικὰ λέγονται, ἅπερ φύσεως ὑπερῆρται, καὶ ὑπὲρ αἰτίαν καὶ λόγον εἰσί· περὶ ὧν ἐπιβάλλει τὸ παρὸν βιβλίον δεικνύναι, ἅτε ἐγχειροῦν τοῖς ὑπὲρ φύσιν, καὶ περὶ τῆς οὐσίας καὶ τοῦ ὄντος ζητεῖ· τί ἐστιν αὐτὸ καθ᾽ αὐτὸ τὸ ὂν, ᾗ ὂν· ἀλλ᾽ οὐχ᾽ ᾗ ἀριθμὸς, οὐδ᾽ ᾗ μέγεθος, οὐδ᾽ ᾗ ἄστρα· περὶ τούτων γὰρ ἑκάστου αἱ μερικαὶ ἐπιστῆμαι διαλαμβάνουσιν· αὕτη δὲ ἡ πραγματεία καθόλου οὖσα καὶ πασῶν ἐπέκεινα, καθὸ ὄντα, τὰ ὄντα ζητεῖ· ὡς ἡ γνῶσις ἡ σοφία· ὁ δὲ ζητῶν εἰδέναι, φιλόσοφος· γνῶσις γάρ ἐστιν αὕτη τῶν ὄντων, ᾗ ὄντα εἰσὶ, καὶ ὧν ἡ ἐπιστήμη σοφία· θεωρία γὰρ τῶν ὄντων καὶ οὐχ᾽ ἁπλῶς γνῶσις ἡ σοφία· οὐ γὰρ εἴδησις μόνον, ἀλλὰ καὶ ἅπαξ ἁπλῶς ἐντρύφησις· οὐ διεξοδικαῖς τισιν ἐφόδοις τὴν ἐπιστήμην λαμβάνουσα, ἀλλ᾽ ὅλῳ νοῒ τῶν ὄντων ἐπιβατεύοντα· ὄντα δὲ τὰ θεῖα εἰ πάντα καὶ ἀΐδια· ἀλλ᾽ εἰ μὲν ἁπλοί τινες ἦμεν καὶ ἀσύνθετοι καὶ τὴν φύσιν ἑνιαῖοι, μόνῳ ζῶντες νῷ, ἀπηλλαγμένοι τῶν αἰσθητῶν τε καὶ τῶν αἰσθήσεων, τάχα ἂν τότε ἡ περὶ τοῦ νοῦ ἀσχολία μάταιος ἦν, εἰ περὶ ἐπιστήμας καὶ τέχνας κατεγίνετο, καὶ μὴ περὶ τὰ οἰκεῖα διατρίβειν θέλοντος· ἐπεὶ δὲ συνδεδέμεθα ὕλῃ καὶ ταῖς συντρόφοις ζῶμεν αἰσθήσεσιν, ἅτε γενέσει δεθέντες, ὡς μόλις ἂν τῆς

ἀεὶ κινουμένης πλημμύρας ὑπανακύπτειν, καὶ τῶν ὑπὲρ αἴσθησιν, ὡς οἷόν τε ἀνθρώποις διὰ τῆς θεωρίας ὁπωσοῦν ἐπιδράττεσθαι, ἀνάκγη τῷ νῷ διὰ τοὺς συνθέτους τὰ τούτοις σύντροφα αἰσθητὰ συγκατιέναι, καὶ ἅμα δίκην κύκλου πρὸς ἑαυτὸν ἐπιστρέφειν, καὶ τὸ οἰκεῖον ἀναματτόμενον θεωρεῖν· τὸ δὲ, ἐϛὶν αὐτὸ τὸ ὂν δίχα παντὸς τοῦ ἐπ' αὐτῷ φαινομένου· τὸ γὰρ ὂν καὶ ὄντος ὂν καθ' αὑτὴν ἐϛὶν ἡ οὐσία, δίχα τῶν ἐν αὐτῇ παθημάτων· ἅπερ ἀχώριϛα ὄντα ἐν αὐτῇ θεωροῦνται· καὶ αἱ μὲν αἰσθήσεις, τὴν περὶ τὴν οὐσίαν ἐπιδράττονται· εἰ μὲν σκληρὸν τὸ ὑποκείμενον, ἡ ἁφή· εἰ δὲ γλυκὺ, ἡ γεῦσις· εἰ δὲ εὐῶδες, ἡ ὄσφρησις· εἰ δὲ εὔηχον, ἡ ἀκοή· εἰ δὲ λευκὸν, ἡ ὅρασις· ὁ δὲ νοῦς αὐτὴν καθ' αὑτὴν τὴν οὐσίαν δίχα τούτων ἁπάντων γινώσκει.

2. Ἐπεὶ δὲ καὶ ἡ οὐσία τριχῶς· ἡ μὲν, ὡς εἶδος· ἡ δὲ, ὡς ὕλη· ἡ δὲ ὡς τὸ σύνθετον ἐξ ὕλης καὶ εἴδους· ἡ μὲν πρώτη, νῷ μόνῳ καταλαμβάνεται· ἡ δὲ δευτέρα, νόθῳ λογισμῷ· ἡ δὲ τρίτη, αἰσθήσει· ὂν τοίνυν κυρίως καὶ πρώτως ἡ οὐσία· τὰ δὲ ἄλλα δηλονότι τὰ ἐννέα καθόλου γένη τῶν κατηγοριῶν, ὥσπερ ἐν αὐτῇ τὸ εἶναι καὶ τὴν ὕπαρξιν ἔχουσι, καὶ οὐκ εἰσὶ χωριστὰ τὴν φύσιν· οὕτως ἐξ ἐκείνης καὶ τὴν προσηγορίαν εἰλήφασιν, ὄντα καλούμενα, ὡς τὰ ἀφ' ἑνός· ἀπ' αὐτῆς γὰρ ἐκεῖνα καλοῦνται καὶ ὄντα λέγονται· καὶ εἰσὶ καὶ ταῦτα καθάπερ ἀμέλει καὶ ἡ οὐσία ἐϛί· τοσαύτη γὰρ τοῦ εἶναι ἡ χορηγία ὅτι καὶ ἐπὶ τῶν μὴ ὄντων χωρεῖ· καὶ φαμὲν τὸ μὴ ὂν, δοξαϛόν ἐϛι· καὶ ἀληθῶς μὲν πρὸς τὸ δοξαϛόν ἐϛι τὸ ἐϛί· δόξα γὰρ αὐτοῦ ἐϛὶν, οὐχ' ὅτι ἐστὶν, ἀλλ' ὅτι οὐκ ἔϛιν· ὅμως γε μέν τοι καθ' αὑτὸ τὸ εἶναι τὸ μὴ ὂν τὶ ἤγουν δοξαϛὸν, ἢ φανταϛὸν, ἢ τὶ ἄλλο, ἐπιδράττεται ποσῶς καὶ τούτου τὸ εἶναι, ὅτι κατ' εὐθυορίαν δοξάζομεν τοῦτο, τὸ ὅτι, τὸ μὴ ὂν οὐκ ἔϛιν· οὐ γὰρ νοῦς ἢ ἐπιϛήμη καὶ διάνοια καταλαμβάνει περὶ τοῦ ὄντος ὅτι οὐκ ἔϛιν, ἀλλὰ δόξα· πᾶσα τοίνυν οὐσία, αἰώνιος, καὶ ἀμέριϛος· ἡ δὲ περὶ τὰ σώματα, μεριϛή· νοῦς δὲ δυνάμει τὰ νοητὰ ὢν, ὡς αἴσθησις δυνάμει τὰ αἰσθητὰ δι' ἐκείνων τελειούμενος ἐνεργείᾳ γίνεται, ὅπερ ἐκεῖνα,

καὶ θεῖος λέγεταί τε καὶ ἔςιν· ἡ γὰρ ἐκείνων γνῶσις καὶ μόνη, οἰκείωσίς τε πρὸς ἐκεῖνα καὶ μετοχή· διὸ καὶ καλῶς εἴρηται, ὡς φύσις μὲν σῶμα, ἐπιςημονικὴ δὲ θεωρία, καὶ σπουδαῖα πράξεις ψυχὴν ἀποκαθίςησι πρός τινα τελειότητα· νοῦν δὲ ἡ τῶν νοητῶν ἐπιβάτευσις τὸ ἐνεργείᾳ δοῦσα, ὃ ἐκεῖνος δυνάμει εἶχε, θεῖον ἀπέδειξε· ταῦτά εἰσιν ἃ τὸ παρὸν βιβλίον κατεπαγγέλλεται.

CAP. II.

1. Ἔςιν ἐπιςήμη τις, ἥτις θεωρεῖ τὸ ὂν, ᾗ ὂν, καὶ τὰ τούτῳ ὑπάρχοντα καθ᾽ αὑτό· αὕτη δὲ ἐςὶν ἡ παροῦσα, ὡς εἴρηται· οὐδεμία γὰρ τῶν ἄλλων ἐπισκοπεῖ καθόλου περὶ τοῦ ὄντος, ᾗ ὂν, ἀλλὰ μέρος αὐτοῦ τι ἀποτεμνέται, περὶ τούτου θεωροῦσι τὸ συμβεβηκός· οἷον, ἀριθμητικὴ μὲν, ἀριθμούς· μουσικὴ δὲ, φθόγγους· γεωμετρία, μεγέθη· ἀςρονομία δὲ σφαῖρας καὶ τὰ κατ᾽ οὐρανόν· ἐπεὶ δὲ τὰς ἀκροτάτας ζητοῦμεν, δῆλον ὡς φύσεως τινὸς ἀναγκαῖον αὐτὰς εἶναι καθ᾽ αὑτήν· ὅθεν τοῦ ὄντος, ᾗ ὂν, τὰς πρώτας αἰτίας ληπτέον· τὸ δὲ ὂν, δεκαχῶς λέγεται κατὰ τὰ σχήματα τῶν κατηγοριῶν· ἀφ᾽ ἑνὸς δὲ οἷον ἀπὸ τῆς οὐσίας, καὶ ὁμωνύμως· ἔχουσι δὲ τὰ ἀφ᾽ ἑνὸς, πλέον τῶν ὁμωνύμων· ὅτι μὴ μόνον ὀνόματος, ἀλλὰ καὶ πράγματος κατά τι μετέχουσι· τὸ γὰρ ἰατρικὸν βιβλίον, καὶ τὸ ἰατρικὸν ἐπιχείρημα, καὶ τὸ ἰατρικὸν φάρμακον, ἀπὸ τῆς ἰατρικῆς τὰ πάντα λέγομενα, μὴ μόνον ὀνόματος αὐτῇ κοινωνοῦσιν, ἀλλὰ καὶ πρὸς τὸ αὐτὸ τέλος ταύτῃ τὴν ὑγείαν ἀποβλέπουσιν· οὕτω καὶ αἱ ἐννέα κατηγορίαι ἀπὸ τῆς οὐσίας ὂν τά λεγόμενα, οὐχ ἁπλῶς αὐτῇ τοῦ ὄνοματος μόνου κοινωνοῦσιν, ἀλλὰ καὶ τοῦ πράγματος· οὐδεμία γὰρ οὐσία, δίχα τούτων ἅπαξ ἁπλῶς ἐστί· πάντα γὰρ ταῦτα τῆς οὐσίας τί εἰσι, καὶ οὐ χωριςτὰ ταύτης φαίνονται· μὴ μόνον δὲ, ἀλλὰ καὶ τὸ μὴ ὂν, εἶναι μὴ ὂν φαμέν· τοσαύτη γὰρ ἡ δύναμις τοῦ εἶναι καὶ τοῦ ὄντος, ὥστε καὶ ἐπὶ τοῦ μὴ ὄντος χωρεῖν.

2. Εἰ οὖν καὶ τὸ ὂν, ταυτὸν καὶ οὐχ' ἕτερον, καὶ μία φύσις τὸ ἀκολουθεῖν ἀλλήλοις· ταυτὸν γὰρ εἷς ἄνθρωπος καὶ ὢν ἄνθρωπος καὶ οὐχ' ἕτερόν τι δηλοῖ κατὰ τὴν λέξιν ἐπαναδιπλούμενον τὸ εἷς ἔστιν ἄνθρωπος, καὶ ἔστιν ἄνθρωποι, δῆλον ὅτι περὶ ἑνὸς, καὶ πλήθους, καὶ ὄντος, καὶ μὴ ὄντος, καὶ ταὐτοῦ, καὶ ἑτέρου, καὶ ὁμοίου, καὶ ἀνομοίου; καὶ ἐναντίου, καὶ οὐκ ἐναντίου, καὶ διαφέροντος, καὶ περὶ τῶν ἄλλων τῶν τοιούτων δεῖ σκοπεῖν ἐν τῷ παρόντι· ἐπεὶ γὰρ μιᾶς ἐπιστήμης τὰ ἀντικείμενα θεωρῆσαι, ὥσπερ καὶ μιᾶς αἰσθήσεως τῶν ἀντικειμένων αἰσθήσεσθαι· ὥστε τοῦ αὐτοῦ ἐστὶν ἐπισκέπτεσθαι, εἰ ταυτὸν Σωκράτης, καὶ Σωκράτης καθήμενος· ἐπειδὴ τοῦ ἑνὸς ἢ ἓν, καὶ τοῦ ὄντος ἢ ὂν, ταῦτα καθ' αὑτὰ εἰσὶ πάθη· ἀλλ' οὐχ' ᾗ ἀριθμὸς, καὶ ᾗ γραμμή· εἰσὶ γὰρ καὶ ἀριθμοῦ ᾗ ἀριθμοῦ ἴδια πάθη. οἷον περιττότης, ἀρτιότης, συμμετρία, ἰσότης, ὑπεροχὴ, ἔλλειψις· ὁμοίως δὲ καὶ ἐπὶ τῶν ἄλλων, οὕτω καὶ τοῦ ὄντος, ᾗ ὂν, τινὰ ἴδια πάθη εἰσὶ τὰ ῥηθέντα. πάντα δὲ τὰ ἐναντία ἀνάγονται εἰς τὸ ἓν, καὶ πλῆθος, καὶ ὂν· καὶ μὴ ὂν, ἀρχαὶ γὰρ τῶν ἐναντίων ταῦτα· καὶ πρὸς αὐτὰ ἡ ἀναγωγὴ τῶν πάντων γίνεται· ὥστε οὐ μόνων τῶν οὐσιῶν, ἀλλὰ καὶ τῶν ὑπαρχόντων αὐταῖς καθ' αὑτὸ θεωρητικὴ, τῶν τε εἰρημένων· ἀλλὰ καὶ περὶ τελείου, καὶ ἀτελοῦς, καὶ προτέρου, καὶ ὑστέρου, καὶ γένους, καὶ εἴδους, καὶ ὅλου, καὶ μέρους, καὶ τῶν ἄλλων τῶν τοιούτων, ἀλλὰ καὶ περὶ τῶν ἐν τοῖς μαθήμασιν ἀξιωμάτων, τῆς αὐτῆς ἐστὶ γνωρίζειν.

3. Ἐπειδὴ γὰρ μία ἑκάστη τῶν ἐπιστημῶν τοῖς ἰδίοις ἀξιώμασι χρῆται, οὐκ αὐτὴ δὲ ἀποδείκνυσι ταῦτα, ἀλλὰ λαμβάνει ὡς ἀναπόδεικτα, λείπεται περὶ τούτων λέγειν τὴν πρώτην ταύτην φιλοσοφίαν. τῷ γὰρ τὰ τῷ αὐτῷ ἴσα καὶ ἀλλήλοις ἴσα ἀξιώματι ὄντι, χρῆται μὲν καὶ ἀριθμητικὴ, χρῆται δὲ καὶ μουσικὴ, καὶ γεωμετρία ὁμοίως· καὶ τῶν ἄλλων ἑκάστη· ἐπὶ τοσοῦτον δὲ τούτῳ χρῆται ἑκάστη, ἐφ' ὅσον αὐτῇ ἱκανόν· τοῦτο δὲ ἐστιν, ὅσον ἐπέχει καὶ τὸ γένος καὶ τὸ ὑποκείμενον, περὶ οὗ τὰς ἀποδείξεις φέρουσιν· ἡ μὲν

ἀριθμητική, οἱ τῷ αὐτῷ ἀριθμῷ ἀριθμοὶ ἴσοι, καὶ ἀλλήλοις ἴσοι· ἡ δὲ γεωμετρία, τὰ τοῖς αὐτοῖς μεγέθεσιν· ἡ δὲ μουσική, οἱ τοῖς αὐτοῖς φθόγγοις ἴσοι· καὶ ἑκάστη πρὸς τὸ οἰκεῖον γένος· πᾶσαι δὲ χρῶνται τούτῳ καὶ τοῖς ὁμοίοις ἀναποδείκτως· οὐδὲ μία δὲ αὐτῶν περὶ τούτων ζητεῖν[1], ὥσπερ καὶ τὸ, αὐτὸ ἅμα ὑπάρχειν τε καὶ μὴ ὑπάρχειν, ἀδύνατον· ὅπερ βεβαιοτάτη ἐστὶν ἀρχή· ἀδύνατον γὰρ ὄν τινα οὖν τὸ αὐτὸ ὑπολαμβάνειν καὶ εἶναι καὶ μὴ εἶναι· εἰ δὲ μὴ ἐνδέχεται ἅμα τῷ αὐτῷ ὑπάρχειν τὰ ἐναντία· ἐναντία δὲ ἐστι δόξα δόξῃ ἡ τῆς ἀντιφάσεως, φανερὸν ὅτι ἅμα ἀδύνατον ὑπολαμβάνειν τὸν αὐτὸν εἶναι καὶ μὴ εἶναι τὸ αὐτό· ἅμα γὰρ ἂν ἔχοι τὰς ἐναντίας δόξας περὶ τούτου· διὸ πάντες ἀποδεικνύντες, εἰς αὐτὴν ἀνάγουσιν ἐσχάτην δόξαν· καὶ μᾶλλον οἱ δ᾽ ἀδύνατον· ἐπὶ παντὸς γὰρ φασὶν, ἡ κατάφασις, ἢ ἡ ἀπόφασις· φύσει γὰρ ἀρχὴ τῶν ἄλλων ἀξιωμάτων ἐστὶν αὕτη πάντων· σημαίνειν γάρ τι καὶ ἑαυτῷ καὶ ἄλλῳ, ὅταν λέγωμέν τι ἢ καταφατικῶς ἢ ἀποφατικῶς ἀνάγκη. πᾶς γὰρ λόγος σημασίαν ἔχει· οὐδεὶς γὰρ λέγων δύναται τὰ ἐναντία ἑαυτῷ λέγειν· ἐναντία δὲ τὸ γράφειν καὶ μὴ γράφειν· τὸ τρέχειν καὶ τὸ μὴ τρέχειν· τὸ καθῆσθαι, καὶ τὸ μὴ καθῆσθαι· ἂν γὰρ οὐδέν τι σημαίνῃ τῶν ὀνομάτων, ἀνῄρηται καὶ τὸ διαλέγεσθαι πρὸς ἀλλήλους· ἔτι δὲ καὶ διὰ τῆς εἰς ἀδύνατον δειχθείη ἂν ἀληθεῖς αἱ ἀντιφάσεις ἅμα κατ᾽ αὐτοῦ πᾶσαι, δῆλον ὡς ἅπαντα ἔσται ἕν. τί γὰρ διαφέρει γράφειν καὶ μὴ γράφειν εἶναι ταυτόν; καὶ τοῖχον καὶ ἄνθρωπον εἶναι ταυτὸν; μᾶλλον δὲ καὶ πλέον ἢ ἐπ᾽ ἐκείνοις; ἐπὶ τούτοις δὲ, ταυτόν ἐστιν· οὐδὲ γὰρ ἀντίκειται τὸ τοῖχος πρὸς τὸ ἄνθρωπος· τὸ δὲ γράφειν καὶ μὴ γράφειν, ἀντικείμενά εἰσιν· ἔτι δὲ καὶ ἀπὸ τῶν πράξεων φανερόν· ἐπειδὴ γὰρ τὸ βαδίζειν ἀθήναζε, καὶ τὸ μὴ βαδίζειν ἀθήναζε τὸ αὐτὸ, ἵνα τί βαδίσῃ τις ἀθήναζε· καὶ ἐπεὶ τὸ βαδίσαι, τὸ μὴ βαδίσαι συντρέχει, καὶ τὸ ἐλθὸν καὶ γενέσθαι εἰς Ἀθήνας, τῷ μὴ ἐλθεῖν μὴ δὲ γενέσθαι· ὁμοίως καὶ ἐπὶ τῶν ἄλλων πάντων· ὥστε ἀνῄρηται πᾶσα βουλὴ καὶ σκέψις, ἀλλὰ καὶ πᾶσα ὁρμὴ καὶ κίνησις.

CAP. III.

1. Περὶ τῆς ἐν ἡμῖν γνώσεως νῦν ἤδη λέγομεν· ἐν ἡμῖν τὰ ὄντα γινώσκεται· γινώσκεται δὲ τὰ πάντως ἀληθῆ· εἰ δὲ μὴ, οὐκ ἂν ἐγινώσκετο. οὐδεὶς γὰρ τὰ ψευδῆ γινώσκει· εἰ μὴ ἐπειδὰν ψευδῆ εἶναι γινώσκει, καὶ οὕτω πάλιν τὸ ἀληθὲς γινώσκει· ἀληθὲς γάρ ἐςιν ὅτι ψευδῆ εἰσιν· ἐπειδὴ γὰρ δύο εἰσὶ τὰ τῆς γνώσεως κριτήρια τῶν γινωσκομένων πραγμάτων, νοῦς καὶ αἴσθησεις, κατὰ μὲν τῶν τοῦ σώματος αἰσθήσεων, δι᾽ ὃν ὁ νοῦς ἐκτὸς καταλαμβάνει, πλεῖςα οἱ ἐκ τῆς ἀκαδημίας φιλόσοφοι, οἳ καὶ ἐφεκτικοὶ ἀπὸ τοῦ τρόπου τῆς διαλέξεως κληθέντες, ἐφληνάφησαν, ἐπιχειροῦντες διὰ τούτων ἀνελεῖν τὴν τῶν ὄντων γνῶσιν· ἀφ᾽ ὧν τινὰ παραγράψαντες, τὴν ἐγκεκρυμμένην αὐτῶν διάνοιαν ἀνακαλύψομεν, εἶτα καὶ κατὰ δύναμιν ἀπελέγξαι πειρασόμεθα· λέγουσι γὰρ ὅτι πολὺ σκότος τῶν ὄντων καὶ σωμάτων καὶ πραγμάτων κατακεχυμένον, οὐκ ἐᾷ ἡμῶν τὴν ἑκάςου φύσιν ἰδεῖν· ἀλλὰ κἂν βιασάμενός τις ὑπὸ περιεργίας ἢ τοῦ φιλομαθοῦς ἐθελήσει διακύψαι, καθάπερ οἱ πεπηρωμένοι προσπταίων τοῖς ἐν ποσὶ πρὶν τι λαβεῖν ἀναπεσὼν ὑςερίζει· ἢ ταῖς χερσὶν ἐφαπτόμενος, τὰ ἄδηλα εἰκάζει· ςοχασμὸν πρὸ ἀληθείας κτώμενος· εἰ μὲν γὰρ ἀπὸ τῶν αὐτῶν τὰς αὐτὰς ἀεὶ συνέβαινε προσπίπτειν ἀπαραλλάκτως φαντασίας, ἣν ἴσως ἀναγκαῖον τά τε ἐν ἡμῖν αὐτοῖς φύσει κατασκευασθέντα διττὰ κριτήρια, ὡς καὶ ἀδέκαςα θαυμάζειν, καὶ παρὰ μηδενὸς ἐνδοιάζοντας ἐπέχειν, ἀλλὰ τοῖς ἅπαξ φανεῖσι πιςεύοντας· ἐπειδὴ δὲ διαφόρως ἀπ᾽ αὐτῶν εὑρισκόμεθα κινούμενοι, βέβαιον περὶ οὐδενὸς οὐδὲν ἂν ἔχοιμεν εἰπεῖν· ἅτε μὴ ἑςῶτος τοῦ φανέντος, ἀλλὰ πολυτρόποις καὶ πολυμόρφοις χρωμένου ταῖς μεταβολαῖς· ἀνάγκη γὰρ ἀνιδρύτου τῆς φαντασίας οὔσης, ἀνίδρυτον εἶναι καὶ τὴν ἐπ᾽ αὐτῇ κρίσιν· αἰτίαι δὲ τούτου πολλαί· πρῶτον μὲν, αἱ ἐν τοῖς ζώοις οὐ καθ᾽ ἓν μέρος, ἀλλὰ σχεδὸν περὶ πάντα ἀμύθητοι

διαφοραὶ, αἱ περὶ τὴν γέννησιν καὶ κατασκευὴν αὐτῶν, αἱ περὶ τὰς τροφὰς καὶ διαίτας, αἱ περὶ τὰς αἱρέσεις καὶ φυγὰς, αἱ περὶ τὰς αἰσθητικὰς ἐνεργείας τὲ καὶ κινήσεις, αἱ περὶ τὰς τῶν κατὰ σῶμα τὲ καὶ ψυχὴν ἀμυθήτων παθῶν ἰδιότητας· χωρὶς γὰρ τῶν κρινόντων, καὶ τῶν κρινομένων, ἔνια ἴδε οἷα τὸν χαμαιλέοντα, τὸν πολύποδα, τὸν δὲ αὐχένα τῆς περιστερᾶς ἐν ἡλιακαῖς αὐγαῖς κατενόησέ τις μυρίας χρωμάτων ἀλλάττοντα ἰδέας· καὶ γὰρ καὶ φοινικοῦν καὶ κυανοῦν, πυρωπόν τε ἂν καὶ ἀνθρακοειδὲς, ἔτι δὲ ὠχρὸν καὶ ἐρυθρὸν, καὶ ἄλλα παντοδαπὰ ἴσχει χρώματα, ὧν οὐδὲ τὰς κλήσεις ῥᾴδιον ἀπομνημονεῦσαι· τί δὲ τὴν τοῦ θηρὸς Ταράντου δι' ἄλλαξιν τῶν χρωμάτων δι' ἧς λανθάνει τοὺς ἐντυγχάνοντας εἴπομεν ἄν; ταῦτα δὴ καὶ τὰ τούτοις ὅμοια πίστει ἐναργεῖς ἀκαταληψίας εἰσίν· ἔπειτα δὲ, αἱ μὴ μόνον τῶν ζώων ἁπάντων, ἀλλὰ καὶ ἀνθρώπων ποικιλίαι, περὶ πάντα ἴδιαι· οὐ γὰρ μόνον ἄλλοτε ἄλλως τὰ αὐτὰ κρίνουσιν, ἀλλὰ καὶ ἑτέρως ἕτεροι, ἡδονάς τε καὶ ἀηδίας ἔμπαλιν τῶν αὐτῶν λαμβάνοντες· οἷς γὰρ δυσηρέστησαν ἔνιοι, ἐπήρθησαν ἄλλοι· καὶ τὸ ἀνάπαλιν.

2. Ἀλλὰ τί ταῦτα φαμὲν; αὐτός τις εἷς ὢν ἕκαστος ἐφ' ἑαυτοῦ τὸ παραδοξότατον μυρίας μεταβολὰς καὶ τροπὰς δεχόμενος, κατά τε σῶμα καὶ ψυχὴν, τότε μὲν αἵρηται, τότε δ' ἀποστρέφεται, οὐδαμῶς μεταβάλλοντα, ἀλλ' ἐπὶ τῆς αὐτῆς μένοντα κατασκευῆς· οὐ γὰρ τὰ αὐτὰ ὑγιαίνουσι καὶ νοσοῦσι προσπίπτειν φιλεῖ, οὐδὲ γρηγοροῦσι καὶ κοιμωμένοις, οὐδὲ ἡβῶσι, καὶ γεγηρακόσι, καὶ θαῤῥοῦσι καὶ δεδιόσι, καὶ ἑστῶσι καὶ κινουμένοις, ἔτι γε μὴν λυπουμένοις τὲ καὶ χαίρουσι, φιλοῦσι τὲ καὶ μισοῦσι· καὶ τί δεῖ μακρηγοροῦντα περὶ τούτων ἐνοχλεῖν; φασὶ γὰρ ὅτι πᾶσα ἡ σώματος καὶ ψυχῆς κατὰ φύσιν τὲ καὶ παρὰ φύσιν κίνησις, αἰτία τῆς περὶ τὰ φαινόμενα διαφορᾶς γίνεται, μαχόμενα καὶ ἀσύμφωνα προσβαλλούσης φαντάσματα· γίνεται δ' οὐχ' ἥκιστα τὸ περὶ τὰς φαντασίας ἄστατον καὶ παρὰ τὰς θέσεις καὶ παρὰ τὰ διαστήματα καὶ παρὰ τοὺς τόπους οἷς ἕκαστα ἐμπεριέχεται· ἢ οὐχ' ὁρῶμεν

τὰς εὐθυτενεῖς κώπας κεκλασμένας καθ' ὕδατος; τά γε μὲν ποῤῥωτάτω προβάλλοντα φαντασίας ψευδεῖς, τὸν νοῦν εἴωθεν ἀπατᾷν· ἄψυχα γὰρ ἐνίοτε ὑπετοπήθη ἔμψυχα, καὶ τοὐναντίον· ἔτι δὲ τὰ ἑστῶτα κινούμενα, καὶ τὰ κινούμενα ἑστῶτα· καὶ τὰ μὲν προσιόντα ἐξαναχωρεῖν, τὰ δὲ ἀπιόντα πάλιν προσέρχεσθαι· καὶ βραχύτατα μὲν τὰ περιμηκέστατα, περιφερῆ δ' ἂν τὰ πολυγώνια· καὶ τὴν μὲν ναῦν ἑστῶσαν, κινουμένην· τοὺς δ' ἂν πύργους ἑστώτας κινουμένους· καὶ μυρία ἄλλα ὑπὸ τῆς φανερᾶς ὄψεως ψευδογραφεῖται, οἷς οὐκ ἄν τις εὐφρονῶν, ὡς βεβαίοις συνεπιγράψαιτο· τί δὲ αἱ ἐν τοῖς σκαζομένοις ποσότητες; παρὰ γὰρ τὸ πλεῖον ἢ ἔλαττον, αἵ τε βλαβαὶ καὶ ὠφέλειαι συνίστανται· καθάπερ ἐπὶ μυρίων ἄλλων, καὶ μάλιστα τῶν κατὰ τὴν ἰατρικὴν ἐπιστήμην ἔχει φαρμάκων· ἡ γὰρ ἐν ταῖς συνθέσεσι ποσότης, ὅροις μεμέτρηται· ὧν οὔτε ἐν τῷ συστεῖλαι, οὔτε ἐν τῷ ἐπιτεῖναι ἀσφαλές, τὸ μὲν ἔλαττον χαλᾷ, τὸ δὲ πλέον ἐπιτείνει τὰς δυνάμεις· λειότησί τε καὶ τραχύτησι, πυκνότησί τε ἂν καὶ πιλήσεσι, καὶ τουναντίον μανότησι, καὶ ἐξαπλώσεσι τῶν εἰς βοήθειαν καὶ βλάβην, ἔλεγχον ἐναργῶς συνίστησιν.

3. Ἀλλὰ μὴν οὐδὲ ἐκεῖνο τὶς ἀγνοεῖ, ὅτι τῶν ὄντων σχεδὸν, ἐξ αὐτοῦ καὶ καθ' αὐτὸν, νενόηται τὸ παράπαν οὐδέν· τῇ δὲ πρὸς τὸ ἐναντίον παραθέσει δοκιμάζεται· οἷον, τὸ μικρὸν παρὰ τὸ μέγα· τὸ θερμὸν παρὰ τὸ ψυχρόν· παρὰ τὸ ὑγρόν, τὸ ξηρόν· παρὰ τὸ βαρὺ, τὸ κοῦφον· τὸ λευκὸν παρὰ τὸ μέλαν· τὸ ὀλίγον παρὰ τὸ πολύ· τὸ ἀσθενὲς παρὰ τὸ ἰσχυρόν· τὸ πλῆθος παρὰ τὸν τόπον· παρὰ τὴν δύναμιν τὸ φορτίον· πρὸς τὴν διάθεσιν, αἱ ἡδοναὶ καὶ λῦπαι· κατὰ τὸ παραπλήσιον, καὶ ὅσα ἐπ' ἀρετὴν ἢ κακίαν ἀναφέρεται· τὰ ὠφέλιμα, διὰ τῶν βλαβερῶν ἐγνωρίζετο· τὰ καλὰ, τῇ τῶν αἰσχρῶν ἀντιθέσει· τὰ δίκαια καὶ κοινῶς ἀγαθὰ, τῇ τῶν ἀδίκων καὶ κακῶν παραθέσει· καὶ πάντα τοίνυν τὰ ἄλλα, ὅσα ἐν κόσμῳ σκοπῶν ἄν τις εὕροι κατὰ τὸν αὐτὸν τύπον λαμβάνοντα τὴν ἐπίκρισιν, ἐξ ἑαυτοῦ μὲν ἕκαστον ἀκατάληπτον, ἐκ δὲ τῆς πρὸς ἕτερον συγκρίσεως γνω-

ρίζεσθαι δοκεῖ· προσωτέρω γάρ τις χωρήσας τῶν πραγμάτων, καὶ εἰλικρινέστερον αὐτὰ αὐγασάμενος, εἴσεται τοῦτο, ὅτι ἐν οὐδὲν καθ᾿ ἁπλῆν ἡμῖν τὴν ἑαυτοῦ προσπίπτει φύσιν, ἀλλὰ πάντα μίξεις πολυπλοκωτάτας καὶ κράσεις ἔχοντα· αὐτίκα τῶν χρωμάτων ἀντιλαμβανόμεθα πῶς· ἆρ᾿ οὐ σὺν ἀέρι καὶ φωτὶ τοῖς ἐκτὸς καὶ τῷ κατ᾿ αὐτὴν τὴν ὄψιν ὑγρῷ; γλυκὺ δὲ καὶ πικρὸν, τίνα τρόπον δοκιμάζεται; μὴ δίχα τῶν καθ᾿ ὑμᾶς αὐτοὺς ἐνστομίων. χυλῶν, ὅσοι τε κατὰ φύσιν ἢ παρὰ φύσιν; οὐδήπου· τί δὲ αἱ ἀπὸ τῶν ἐπιθυμιωμένων ὀσμαὶ, μὴ τὰς ἁπλῶς εἰλικρινεῖς τῶν σωμάτων φύσεις παριστᾶσιν, ἢ τὰς κεκραμένας ἔκ τε αὐτῶν καὶ ἀέρος; ἔστι δ᾿ ὅτε καὶ τοῦ τήκοντος τὰ σώματα πυρὸς, καὶ τῆς κατὰ τοὺς μυκτῆρας δυνάμεως· ἐκ δὴ τούτων συνάγεται, ὅτι οὔτε χρωμάτων ἀντιλαμβανόμεθα· ἀλλὰ τοῦ συνεςαμένου κράματος ἔκ τε τῶν ὑποκειμένων καὶ φωτός· οὔτε ὀσμῶν, ἀλλὰ μίγματος· ὅπερ συνέστη διά τε τοῦ ῥυέντος ἀπὸ τῶν σωμάτων καὶ τοῦ πανδεχοῦς ἀέρος, οὔτε δὴ χυλῶν· ἀλλὰ τοῦ γενομένου διά τε τοῦ προσιόντος γευστοῦ, καὶ τῆς κατὰ τὸ στόμα ὑγρᾶς οὐσίας.

4. Τούτων δὲ ἤδη τοῦτον ἐχόντων τὸν τρόπον, τί ἂν εἴη λοιπὸν, ἢ τὸ ἐπέχειν ἀναγκαῖον; ἐκεῖνο δ᾿ ὁμῶς οὐ παρακαλεῖ μὴ λίαν τοῖς ἀφανέσι πιςεύειν, ἃ σχεδὸν κατὰ πᾶσαν τὴν οἰκουμένην ἀνακέχυται κοινὸν ἕλλησιν ὁμοῦ καὶ βαρβάροις ἐπάγοντα τὴν ἐκ τοῦ κρίνειν ὄλισθον· τίνα οὖν ταῦτα ἐςίν; ἀγωγαὶ αἱ ἐκ παίδων καὶ ἔθη πάτρια καὶ νόμοι· ὧν ἓν οὐδὲν ὁμολογεῖται ταυτὸν εἶναι παρὰ πᾶσιν, ἀλλὰ κατὰ χώρας καὶ ἔθνη καὶ πόλεις καὶ κώμας καὶ οἰκίας, ἄνδρας τε καὶ γυναῖκας καὶ νήπια· τὰ γοῦν αἰσχρὰ παρ᾿ ἡμῖν, ἑτέροις καλά· καὶ τὰ πρέποντα, ἀπρεπῆ· καὶ τὰ δίκαια, ἄδικα· καὶ ἀνόσια μὲν, τὰ ὅσια· νόμιμα δ᾿ ἂν, τὰ παράνομα· ἔτι δὲ, ψεκτὰ τὰ ἐπαινετά· καὶ ὑπόδικα, τὰ τῆς τιμῆς ἄξια· καὶ ὅσα ἄλλα ταῦτα νομίζουσι· καὶ τί δεῖ μακρηγορεῖν τὸν ὑπὸ ἑτέρων ἀναγκαιοτέρων μεθελκόμενον; εἰ μέντοι βουληθείη τις ὑπὸ μηδεμιᾶς

ἄλλης καινοτέρας θέας ἀγόμενος ἐνευκαιρήσας τῷ εἰρημένῳ κεφαλαίῳ τὰς ἑκάστων ἀγωγάς τε καὶ ἔθη καὶ νόμους ἀπιέναι, χωρῶν, ἐθνῶν, πόλεων, τόπων, ἡγεμόνων, ὑπηκόων, ἐνδόξων, ἀδόξων, ἐλευθέρων, οἰκετῶν, ἐπιστημόνων, ἰδιωτῶν, οὐχ' ἡμέραν μίαν οὐδὲ δύο, ἀλλ' οὐδὲ μῆνα ἢ ἐνιαυτὸν, τὸν δὲ ἅπαντα ἑαυτοῦ κατατρίψει βίον, καὶ οὐδὲν ἧττον πολλὰ ἀδιερεύνητα καὶ ἀπερίσκεπτα λήσει καταλιπών· οὐκοῦν ἄλλων παρ' ἄλλοις οὐ βραχὺ μόνον διεστηκότων, ἀλλὰ καὶ τοῖς ὅλοις ἀπᾳδόντων ὡς ἀντιστατεῖν καὶ διαμάχεσθαι, ἀνάγκη καὶ προσπιπτούσας διαφέρειν φαντασίας, καὶ τὰς κρίσεις ἀλλήλαις πεπολεμῶσθαι· ὧν ὑπαρχόντων, τίς οὕτως ἔμφρων ἐστὶ καὶ παράλληλος, ὡς φάναι βεβαίως, ὅτι τὸ ποῖον δέ ἐστι δίκαιον, ἢ φόνιμον, ἢ συμφέρον ὃ γὰρ ἂν οὗτος ὁρίσῃ ὁ τἀναντία ἐκ παίδων μεμελετηκὼς, ἕτερος ἀκυρώσει· καὶ οὐ θαυμαστὸν εἰ πεφορημένος καὶ μέγας ὄχλος ἐθῶν καὶ νόμων τῶν ὁπωσοῦν εἰσηγμένων ἀκλεὴς δοῦλος, ἀπ' αὐτῶν ἔτι σπαργάνων ὑπακούειν· ὡς ἂν δεσποτῶν ἢ τυράννων ἐκμαθὼν κατακεκορδυλισμένος τὴν ψυχὴν, καὶ μέγα καὶ νεανικὸν φρόνημα λαβεῖν μὴ δυνάμενος, πιστεύει τοῖς παραδοθεῖσιν ἅπαξ, καὶ τὸν νοῦν ἐάσας ἀγύμναστον, ἀδιερευνήτοις καὶ ἀνεξετάστοις συνέσεσί τε καὶ ἀρνήσεσι χρῆται.

5. Ἀλλ' ἤδη καὶ τῶν φιλοσόφων ἡ πληθὺς μὴ δυνηθεῖσα τὸ ἐν τοῖς οὖσι σαφὲς καὶ ἀψευδὲς ἐξευρεῖν, κατὰ στῖφη καὶ λόχους διακέκριται· καὶ δόγματα ἀσύμφωνα, πολλάκις δὲ καὶ ἐναντία, οὐ περὶ ἑνὸς τίθενται τοῦ τυχόντος, ἀλλὰ σχεδὸν περὶ πάντων οἷς αἱ ζητήσεις συνίστανται· οἱ γὰρ ἄπειρον τὸ πᾶν εἰσηγούμενοι, τοῖς πεπερασμένην εἶναι λέγουσιν ἀντιφέρονται· καὶ οἱ τὸν κόσμον ἀγένητον, τοῖς γεγενημένον ἀποφαινομένοις· καὶ οἱ χωρὶς ἐπιστάτου καὶ ἡγημόνος ἀλόγου καὶ αὐτοματιζούσης ἐξάψαντες φορὰν, τοῖς ὑπολαμβάνουσι πρόνοιαν καὶ ἐπιμέλειαν ὅλου καὶ τῶν μερῶν· ἀλλὰ τί ἄν τις εἴποι περὶ τοῦ γεννητὸν ἢ ἀγέννητον εἶναι τὸν κόσμον, φασὶ, παρ' ἡμῶν ἐρωτώμενος; θάτερον γὰρ αὐτῶν εἶναι χρὴ τὸ ἀληθὲς, τρίτου γε μηδενὸς ἐπιδεομένου· ὁ πό-

τερον δὲ, παντελῶς ἄτοπον· τῷ γὰρ ἀγέννητον εἶναι μάχεται, τὸ μηδὲν τὶ μέγα τὸν Θεὸν πεποιηκέναι, εἰ μὴ τὸν κόσμον ἐδημιούργησε· καὶ τὸ μὴ δύνασθαι παρεκτείνεσθαι ἀπείρῳ χρόνῳ προνοίᾳ· καὶ τρίτον ὅτι μὴ δὲ τὴν ἀρχὴν δεήσεται τῆς τοῦ Θεοῦ προνοίας ὁ κόσμος· εἰ γὰρ ἀγέννητος, καὶ ἄφθαρτος δήπου καὶ ἀπαθὴς· ὁ γὰρ οὐδ' ὅλως ἔσχε γενέσεως ἀρχὴν, οὐδ' ἂν ἐν φόβῳ ποτὲ καταςαίη φθορᾶς· οὔκουν ἔτι προστασίας δεῖται· τὸ δὲ γεννητὸν ὅτι εἴ περ ἦν ποτὲ χρόνος ὁπότε κόσμος οὐκ ἦν, ἢ ἀμελὴς τῶν καλλίςων ἦν ὁ Θεὸς ἑκὼν, ἢ ἀδύνατος· ὧν οὐδέτερον ὅσιον ἐπὶ Θεοῦ· τό γε γὰρ ἑκόντα καθησυχάζειν, καὶ μὴ βούλεσθαι κοσμεῖν τὴν ὕλην, ἀμελείας ἐσχάτης· τὸ δὲ βούλεσθαι μὲν, μὴ δύνασθαι δὲ, ἀδυναμίας· ἔτι δὲ καὶ ὁ περὶ κινήσεως καὶ κράσεως μέν τοι γε, καὶ ὁ περὶ ψυχῆς λόγος, οὕτως ἐστὶ χαλεπὸς, ὡς πολλὰ πράγματα παρέχειν τοῖς φιλοσόφοις· αἱ δὲ περὶ τοῦ ἀγαθοῦ τὴν σκέψιν φαντασίας, ἆρ' οὐκ ἐπέχειν μᾶλλον ἢ ὁμολογεῖν βιάζονται; τῶν μὲν ἀγαθὸν εἶναι νομιζόντων καὶ θησαυριζόντων αὐτὸ ἐν ψυχῇ· τῶν δὲ πρὸς πλείονα κατακερματιζόντων, καὶ ἄχρι σώματος καὶ τῶν ἐκτὸς ἀποτεινόντων, οἵ τινες λέγουσιν, ὅτι τὰς μὲν τυχηρὰς εὐπραγίας δορυφόρους εἶναι σώματος, ὑγείαν τὲ καὶ ἰσχὺν καὶ τὸ ὁλόκληρον καὶ ἀκρίβειαν αἰσθητηρίων, καὶ ὅσα ὁμοιότροπα τῆς βασιλίδος ψυχῆς· τρισὶ γάρ φησι τ' ἀγαθοῦ φύσεως κεχρήμεθα τάξεσι· τὴν μὲν τρίτην καὶ ἔξω, τῆς δευτέρας πρόμαχον εἶναι· τὴν δὲ δευτέραν, τῆς πρώτης μέγα πρόβλημα καὶ φυλακτήριον· καὶ περὶ αὐτῶν μέν τοι καὶ βίων διαφορὰς, καὶ τελῶν πρὸς ἃς χρὴ τὰς πράξεις ἀναφέρεσθαι· καὶ μυρίων ἄλλων, ὅσα τὲ ἡ λογικὴ καὶ ἠθικὴ καὶ φυσικὴ πραγματεία περιέχει, γεγόνασι σκέψεις ἀμύθητοι, ὧν ἄχρι τοῦ παρόντος, οὐδὲ μία παρὰ πᾶσι τοῖς σκεπτικοῖς συμπεφάνηται· οὐκ εἰκότως οὖν, τὸ ὑπέχειν δοκεῖ, ἀλλὰ καὶ λίαν ἁρμοζόντως· καὶ ταῦτα μὲν ἐκ πολλῶν καὶ μακρῶν, ὀλίγα καὶ βραχία συναγαγόντες παρεθέμεθα.

6. Πρὸς ταῦτα δὲ πάντα, ἀντυπάγομεν ἡμεῖς λόγους βραχυσυλ-

λάβους μὲν, ἀλλ' ἰσχυροτάτους καὶ βεβαίους καὶ λίαν ἀναντιῤῥήτους, ἐν οἷς οὐ φοβηθησόμεθα τὸν τῶν ἐφεκτικῶν λόγον ὅτι ἀπατώμεθα· εἰ γὰρ εἴπω ὅτι ἀληθῶς καὶ βεβαίως γινώσκω ὅτι ζῶ, τί πρὸς ταῦτα φήσει ὁ ἐφεκτικός; εἰ γὰρ εἴποι ὅτι ἀπατῶμαι ταῦτα ὑπολαμβάνων, ψεύσεται· καὶ γὰρ καὶ ὁ ἀπατώμενος, ζῇ· εἰ δὲ ἴσως ἐρεῖ ὅτι καθεύδεις καὶ ἀγνοεῖς καὶ ἐν ὕπνῳ βλέπεις ἅπερ λέγεις, κᾂν τούτῳ ψεύδεται προδήλως· καὶ γὰρ καὶ ὁ καθεύδων, ζῇ, καὶ ὁ ἀγνοῶν· εἰ δὲ εἴποι ὅτι μαίνῃ καὶ ἀγνοεῖς, ὁμοίως ψεύδεται· καὶ γὰρ καὶ ὁ μαινόμενος, ζῇ· οὐδέ ποτε ἄρα ἀπατηθῆναι, οὐδὲ ψεύσασθαι δύναται ὁ φάμενος εἰδέναι ἑαυτὸν ὅτι ζῇ· τοῦτο δὲ τὸ ῥῆμα εἰ καὶ ἁπλοῦν καὶ μονοειδές ἐστιν, ἀλλ' οὖν ἐπ' ἄπειρον δύναται προχωρῆσαι· ὁ γὰρ λέγων ὅτι οἶδα ἐμαυτὸν ὅτι ζῶ, ἕν. μέν τοι λέγει· εἰ δὲ εἴποι οἶδα ἐμαυτὸν εἰδότα ὅτι ζῶ, δύο δήπου λέγει· εἰ δὲ εἴποι πάλιν, ὅτι οἶδα ταῦτα δύο, τρίτον εἰδέναι ἐστίν· οὔτε δὲ δύναται καὶ τέταρτον προσθεῖναι καὶ πέμπτον· καὶ τοῦτο ἐπ' ἄπειρον χωρήσει ὡς εἴρηται· εἰ δὲ εἴπῃ πάλιν, ὅτι οἶδα ἐμαυτὸν καὶ ὄντα καὶ ζῶντα καὶ νοοῦντα, τίς ἂν ἔχων νοῦν ἀμφιβάλλει; πάντες γὰρ ἑαυτοὺς γινώσκουσι καὶ νοοῦντας καὶ ζῶντας καὶ ὄντας· καὶ οὐδενὶ ἐστὶν ἀμφίβολον τὸ μήτέ τινα νοεῖν τὸν ζῶντα, μήτέ τινα ζῆν τὸν μὴ ὄντα· ἑπόμενον ἄρα ἐστὶν, καὶ εἶναι καὶ ζῆν τὸν νοῦν, ἔτι θέλοντας ἑαυτοὺς γινώσκουσι, καὶ μνημονεύοντας δὲ ἑαυτοὺς ἴσασι, καὶ ἅμα ἴσασιν, ὧν οὐδεὶς ἂν μνημονεύοι, μὴ ὢν μὴ δὲ ζῶν μὴ δὲ νοῶν· περὶ πολλῶν μὲν πραγμάτων ἠμφισβήτησαν οἱ ἄνθρωποι· καὶ ἄλλος μὲν τοῦτο, ἕτερος δὲ ἐκεῖνο ἐδόξασεν· εἶναι δὲ ἑαυτὸν καὶ ζῆν καὶ νοεῖν καὶ μεμνῆσθαι καὶ θέλειν καὶ λογίζεσθαι καὶ κρίνειν, οὐδεὶς ἀμφιβάλλει· ὁπότε καὶ εἰ διστάζει, καὶ ἔστι καὶ ζῇ καὶ νοεῖ· εἰ διστάζει, διστάζοντα ἑαυτὸν νοεῖ· εἰ διστάζει, μέμνηται ὅτι διστάζει· εἰ διστάζει, οἶδε ἑαυτὸν μὴ εἰδότα, καὶ πληροφορηθῆναι βούλεται· εἰ διστάζει, ἀναλογίζεται· εἰ διστάζει, κρίνει· ὅστις γοῦν ἐν ἑτέροις διστάζει, περὶ τούτων πάντων διστάζειν οὐκ ἂν δύναιτο.

7. Ταῦτά τε καὶ τὰ ἐν τῷ δευτέρῳ κεφαλαίῳ εἰρημένα, ἱκανά εἰσι βεβαιῶσαι ὅτι τὲ ἐστι κατάληψις ἀληθεστάτη τῶν ὄντων, καὶ ἐπιστήμη τούτων ἀναμφίβολος· πᾶσα γὰρ γνῶσις ἐκ νοὸς προερχομένη, ἀληθεστάτη ἐστίν· ἡ γὰρ τοῦ νοῦ γνῶσις, ἀναμάρτητός ἐστιν· καὶ τί ταῦτα λέγω; ὅπου γε οὐδὲ τὰς δι᾽ αἰσθήσεων γινομένας καταλήψεις, διαπιστεῖν χρὴ, ἢ ἀμφιβάλλειν· διὰ τούτων γὰρ ἐμάθομεν τὸν οὐρανὸν, καὶ τὰ ἐν οὐρανῷ πάντα, τὴν γῆν καὶ τὰ ἐν αὐτῇ· καὶ τὰ τῶν μέσων πάντα, ἐξ ὧν ἡ τῆς φιλοσοφίας εὑρέθη ἐπιστήμη· οὐ μόνον δὲ ταῖς ἡμετέραις αἰσθήσεσιν ἀμφιβάλλειν χρὴ, ἀλλ᾽ οὐδὲ ταῖς τῶν ἑτέρων μαρτυρίαις ἀπιστεῖν δεῖ· εἰ δὲ μὴ, οὐκ ἴσμεν τὰς πόλεις καὶ χώρας, ἃς ἡ φήμη συνίστησιν ἡμῖν· οὐκ ἴσμεν τοὺς πρώην γεγονότας ἀνθρώπους, καὶ τὰ τούτων ἔργα· καὶ τὰ καθ᾽ ἑκάστην· ὅθεν δήποτε ἀπαγγελλόμενα· οὐκ ἴσμεν ἐν τίσι τόποις καὶ ἐκ τίνων ἀνθρώπον ἔφυμεν· ταῦτα γὰρ πάντα καὶ τὰ τούτοις παραπλήσια, ταῖς ἑτέρων ἐπιστεύσαμεν μαρτυρίαις· καὶ ταῦτα μὲν ἐν τούτοις· περὶ δὲ τῶν ἑτέρων, ἐν τοῖς ἔμπροσθεν ῥηθήσεται.

CAP. IV.

1. Ἀγέννητον τὴν κίνησιν ἀποφαινόμενος Ἀριστοτέλης, οὕτω πως κατασκευάζει τὸν λόγον· εἰ ἐγένετό φησιν ἡ κίνησις ἐπὶ πᾶν τὸ γινόμενον, ὑπό τινος καὶ ἔκ τινος γίνεται· εἴη ἂν καὶ τὰ ἐξ ὧν ἡ κίνησις, ἀεὶ μὲν οὕτως εἶχε, ὥστε τὸ πάσχειν πρὸς τὸ δύνασθαι· τὸ μὲν πάσχειν, τὸ δε ποιεῖν δεῖσθαί τινος μεταβολῆς ἦν καὶ ἡ κίνησις ἤδη· ἀλλ᾽ οὐκ ἐγένετο· εἰ δὲ ἔτι ἦν ἐμποδὼν ἐκείνοις, ἔδει τινὰ κίνησιν γενέσθαι· ὥστε τὸ μὲν, ποιῆσαι· τὸ δὲ, παθεῖν· καὶ γενέσθαι τὴν κίνησιν ἐξ αὐτῶν· οὕτω δὲ ἀνάγκη ἔσται πρὸ τοῦ γενέσθαι τὴν κίνησιν, κίνησιν εἶναι οὐ γεννητὴν· ἀλλ᾽ ἡ κίνησις ἐν τῷ κινουμένῳ· ὥστε καὶ ἡ ἀΐδιος ἐν τῷ ἀϊδίως κινουμένῳ· οὐ γὰρ οἷόν τε ἀΐδιόν τι κίνησιν κινεῖσθαι μὴ ἀΐδιον· εἰ γάρ τις λέγοι ἀΐδιον εἶναι κίνησιν τὸ

ἄλλο ἐξ ἄλλου σῶμα διαδέχεσθαι αὐτὴν, πρῶτον μὲν οὐ συνεχῆ τὴν κίνησιν ποιήσει καὶ μίαν· ἡ γὰρ συνεχὴς, ἑνὸς ὄντος τοῦ κινουμένου αὐτή ἐστιν, ἔτι ἐνδεχόμενον ἔσται τὸ ἐπιλείπειν τὴν κίνησιν, εἰ μή τι ἄλλο ἀΐδιον ὂν τῆς εὐτάκτου τε καὶ ὡρισμένης τῶν κινουμένων διαδοχῆς αἴτιον εἴη ἀΐδιον σῶμα τὸ τὴν ἀΐδιον κίνησιν κινούμενον· ἀλλὰ μὴν ἀΐδιος καὶ συνεχὴς μόνη τῶν κινήσεων ἡ κυκλοφορία· τὸ ταύτην ἄρα κινούμενον, ἀΐδιον, καὶ ἀόριςον δὴ τῶν σωμάτων· τοῦτο γὰρ ἀΐδιον, τῶν οὐκ ἀϊδίων, ἄμεινον· καὶ τὸ τὴν πρώτην κινήσεων ἁπασῶν κινούμενον καὶ ἔμψυχον· τὸ γὰρ ἀόριστον τῶν σωμάτων, ἔμψυχον· ἄμεινον γὰρ σῶμα τὸ ἔμψυχον τοῦ ἀψύχου· τὸ δὲ κυκλοφορητικὸν σῶμα, ἄριστον, ὥστε καὶ ἔμψυχον· ἀλλὰ μὴν πᾶν κινουμένον, ὑπό τινος κινεῖται, καὶ τοῦτο ὂν καὶ τὸ κατὰ ψυχὴν κινούμενον πᾶν, ὑπό τινος· εἴγε τὸ μὲν κατὰ ψυχὴν κινούμενον, καθ' ὁρμὴν κινεῖται· ἡ δὲ ὁρμὴ, κατ' ἔφεσιν τινός· ὥστε εἴη ἂν καὶ τὸ ἀΐδιον σῶμα, καθ' ὁρμὴν καὶ κατ' ἔφεσιν τινὸς κινούμενον· δεῖ οὖν εἶναί τι, οὗ ἐφιεμένου τοῦτο κινεῖται τὴν ἀΐδιον κίνησιν, ἀΐδιον καὶ αὐτὸ ὂν καὶ ἐνεργείᾳ· πᾶν γὰρ τὸ κινητικὸν τινὸς ἐνεργείᾳ τί ὂν, κινεῖ· καὶ τὸ ἀεὶ καὶ συνεχῶς κινοῦν, ἀεὶ τὸ αὐτὸ ἔσται ἐνεργείᾳ, ἄμεινον παντάπασι τοῦ δυνάμει· εἰ γὰρ ἔσται δυνάμει, οἷόν τε ἔσται καὶ τὴν κίνησιν φθαρῆναι, μὴ ὄντος ἐνεργείᾳ τοῦ κινήσοντος αὐτήν· ἀλλὰ καὶ ἀκίνητον ἔσται· εἰ γὰρ καὶ τοῦτο κινήσει κινούμενον, δεήσει καὶ τοῦτο πάλιν ἄλλου κινοῦντος τινός· ἀλλ' εἰ ἀκίνητον, ἀσώματον· πᾶν γὰρ σῶμα καθ' ὃ σῶμα, κινητόν· ἔσται οὖν τις ἀΐδιος οὐσία, ἁπλῆ καὶ ἀκίνητος καὶ ἀσώματος ἐνεργείᾳ οὖσα, τῆς τοῦ κυκλοφορητικοῦ σώματος ἀϊδίου τε καὶ συνεχοῦς κινήσεως αἰτία· κινηθήσεται δ' ὑπ' αὐτοῦ τὸ θεῖον σῶμα τῷ νοεῖν τε αὐτῷ, καὶ ἔφεσιν καὶ ὄρεξιν ἔχειν τῆς ὁμοιώσεως αὐτοῦ· πᾶν γὰρ τὸ κινούμενον, ὑπ' ἀκινήτου τινὸς κεχωρισμένου, τοῦτον κινεῖται τὸν τρόπον.

2. Ὅτι δὲ καὶ πρῶτον νοητὸν, καὶ μάλιστα καὶ πρῶτον ὀρεκτὸν, καὶ μάλιστα τὸ κινητικὸν τῆς κύκλῳ κινήσεως εἴ-

δος, ἐντεῦθεν ἂν δεικνύοιτο· κυρίως νοητὸν, τὸ εἶδος· ἡ γὰρ ὕλη οὐδὲν οὖσα τῶν ὄντων ἐνεργείᾳ, κατ' ἀναλογίαν ἐστὶ νοητὴ, καὶ ὡς ὁ Πλάτων φησὶ, νόθῳ λογισμῷ ληπτή· τὸ δὲ εἶδος, νοητὸν ἐνεργείᾳ τὶ ὂν· καὶ τῶν εἰδῶν μᾶλλον νοητὸν τὸ ἐν οὐσίᾳ ἢ τὸ ἐν ἄλλῳ τινὶ, ὅτι καὶ μᾶλλον καὶ τῶν ἐν τῇ οὐσίᾳ, τὸ μάλιςα ἁπλοῦν καὶ ἀεὶ ὂν ἐνεργίᾳ· μάλιστα γὰρ νοητὸν τοῦτο· τῷ τε μάλιστα εἶναι ἀεὶ ἐνεργείᾳ ὂν, καὶ τῷ τῇ ἑαυτοῦ φύσει τὸ ἁπλοῦν νοητόν· καὶ γὰρ τὰ ἐν τοῖς συνθέτοις, τά τε νοητὰ εἰσὶν, ὅταν ὁ νοῦς αὐτὰ χωρίσῃ τῶν ἐν οἷς ἐστὶ, καὶ ὥσπερ ἁπλᾶ αὐτὰ ἐνεργῇ· τοιαύτη δὲ ἡ κινητικὴ τοῦ παντὸς οὐσία, μάλιστα αὕτη νοητή· ἀλλὰ μὴν καὶ μάλιστα ὀρεκτή· μάλιστα γὰρ ὀρεκτὸν τῇ αὑτοῦ φύσει, τὸ τῇ αὑτοῦ φύσει καλὸν μάλιστα· τοιοῦτον δὲ τοῦτο· τὸ γὰρ καλὸν, ἐν τῷ εἴδει μᾶλλον, ἢ ἐν τῇ ὕλῃ· ἐν γὰρ τῷ ποιοῦντι μᾶλλον, ἢ ἐν τῷ πάσχοντι· καὶ ἐςι πάσχον μὲν, τὸ δυνάμει τὶ ὂν, τὸ δὲ ἐνεργείᾳ ὂν, ποιοῦν· καὶ ἐν τῷ ὡρισμένῳ μᾶλλον ἢ ἐν τῷ ἀορίστῳ· ἐν τῷ εἴδει ἄρα τὸ καλὸν μᾶλλον ἢ ἐν τῇ ὕλῃ· καὶ τῷ ἐν οὐσίᾳ μᾶλλον, ἢ ἔν τινι ἄλλῳ τῶν γενῶν· διὰ γὰρ τοῦτο, καὶ τὰ ἄλλα ἐστί· καὶ τῶν ἐν οὐσίᾳ, τὸ μάλιςα ὂν, καὶ ἁπλοῦν καὶ ἄμοιρον, τοῦ δυνάμει καλὸν μάλιςα· τοιαύτη δὲ οὖσα δέδεικται ἡ προειρημένη φύσις· κυρίως οὖν καὶ πρώτως αὕτη ὀρεκτή τε καὶ νοητή.

3. Τῆς οὖν πρώτης οὐσίας ἀϊδίου τὲ καὶ ἀσωμάτου καὶ ἀκινήτου ὑπαρχούσης, ἐφιέμενον τὸ θεῖον σῶμα, κινεῖται τὴν ἀΐδιον περιφοράν· ἡ δ' ἔφεσις αὐτῷ, οὐ τοῦ λαβεῖν αὐτὸ, ἀλλὰ τοῦ ὁμοιωθῆναι κατὰ δύναμιν αὐτῷ· ὁμοιοῦται δ' αὐτῷ κατὰ τὴν κίνησιν, τῷ τε ἀϊδίῳ καὶ τῇ ὁμοιό τητι καὶ ὁμαλότητι τῆς κινήσεως· στάσις γὰρ ἔοικέ πως ἡ περιφορὰ, ἡ ἀεὶ κατὰ τὰ αὐτὰ καὶ ὡσαύτως ἔχουσα· ἔτι τὲ ὁμοίωσις τῷ τελείῳ, καὶ ἡ καθόλου ἣν δύναται ἕκαστον τῶν ὁμοιουμένων αὐτῷ τελειότης· τελειότης δὲ τοῦ κυκλοφορητικοῦ σώματος, ἡ τοιαύτη περιφορά· πλειόνων δὲ σφαιρῶν οὐσῶν τῶν τοῦ θείου σώματος, ἡ μὲν πρώτη τὲ καὶ ἐξωτάτω, ἁπλῆν τε καὶ μίαν κινεῖ-

ται κίνησιν, ἐκείνης ἔφεσις τῆς οὐσίας· αἱ δὲ μετὰ ταύτην ἑπτὰ, κινοῦνται μὲν καὶ τούτων ἑκάστη ἐφέσει τὲ καὶ ὀρέξει τινὸς οὐσίας, ὁποίας καὶ ἡ πρὸ αὐτῶν· οὐ μὴν μόνην τήνδε κινοῦνται· ἀλλ' ἐξ ἑαυτῶν κινεῖται ἑκάστη, ἣν κινεῖται καὶ περιφέρεται ἀνάπαλιν ἐκείνη, τῷ θέσιν τὲ καὶ τάξιν τοιαύτην ἔχειν· κινεῖται δὲ καὶ δευτέραν κίνησιν ὑπὸ τῆς πρώτης περιφερομένη τὴν αὐτὴν ἐκείνῃ· τῆς δὲ διπλῆς τούτοις αἰτία κινήσεως, τὸ δεῖν μὲν εἶναί τι καὶ ἄλλο σῶμα παρὰ τὸ ἀΐδιόν τε καὶ θεῖον· ὂν ἐν γενέσει τὲ καὶ φθορᾷ, ἐπεὶ πρὸς τὴν ἀΐδιον αὐτῆς περιφορὰν συντελεῖ καὶ τὸ τοιόνδε σῶμα· οὐχ' οἷόν τε δὲ τὸ τοιοῦτον σῶμα κατ' εἶδος ἀΐδιον μένον, μὴ ταῖς ἐκείνων ποικίλαις κινήσεσι κυβερνώμενον· ἐπειδὴ τῆς τούτου χάριν τεταγμένης μεταβολῆς καὶ ἀϊδίου κατ' εἶδος διαμονῆς κεῖνται κινεῖσθαι τοῦ κυκλοφορητικοῦ σώματος αἱ μετὰ τὴν πρώτην τὲ καὶ ἀπλανῆ καλούμενην ἑπτὰ σφαῖραι τὴν κίνησιν τὴν δευτέραν· διότι γὰρ ἔδει τοῖς γινομένοις καὶ φθειρομένοις ποικίλης κινήσεως, οὐχ οἷόν τε ἦν ὡσαύτως ἔχοντα πάντα τὰ θεῖα, ὁμοῦ μὲν γενέσεως ὁμοῦ δὲ φθορᾶς τεταγμένης, αἴτια τοῖς τῇδε γίνεσθαι· δι' ἃς γενέσεις καὶ φθορὰς τοῦτον γινομένας τὸν τρόπον, ἀΐδια καὶ ταῦτα κατ' εἶδος μένει, μενούσης τινὸς καὶ ἐν ἐκείνοις ποικίλης κινήσεως.

CAP. V.

1. Περὶ τοῦ ὑπερουσίου ἑνὸς λέγειν ἀρχόμενοι, πρῶτον μὲν κατίδωμεν, ποῖος τρόπος ἁρμόσει τῶν λόγων πρὸς τὴν τοιαύτην θεωρίαν, καὶ πῶς ἂν πρεπόντως ἀντιλαβοίμεθα τῆς τῶν προκειμένων ἐξηγήσεως· καὶ λογικῶς φαίην ἂν ἐγὼ καὶ νοερῶς ὁμοῦ καὶ θείως ἐνεργῆσαι δυνηθείημεν· καὶ πρὸς τὴν ἄῤῥητον καὶ ἀπερίληπτον τοῦ ἑνὸς συναίσθησιν ἐνθεαστικῶς ἀναδράμωμεν· ἔχομεν γὰρ δὴ καὶ ἡμεῖς ἅτε κατὰ ψυχὰς τεταγμένοι τῶν πρωτίστων αἰτίων εἰκόνας· καὶ μετέχομεν τῆς τε ὅλης ψυχῆς,

καὶ τοῦ νοεροῦ πλάτους, καὶ τῆς θείας ἑνάδος· καὶ δεῖ τὰς ἐν ἡμῖν ἐκείνων δυνάμεις ἀνεγείρειν πρὸς τὴν ἀντίληψιν τῶν προκειμένων· ἢ πῶς ἐγγυτέρω τοῦ ἑνὸς ἐσόμεθα μὴ τὸ ἓν τῆς ψυχῆς ἀνεγείραντες, ὅ ἐστιν ἐν ἡμῖν οἷον εἶκα τοῦ ἑνός· καθ' ὃ καὶ μάλιστα τὸν ἐνθουσιασμὸν γίνεσθαι φασὶν οἱ ἀκριβέστεροι τῶν λόγων· πῶς δ' ἂν τὸ ἓν αὐτὸ τοῦτο καὶ τὸ ἄνθος τῆς ψυχῆς ἀναλάμψαι ποιήσαιμεν, εἰ μὴ κατὰ νοῦν πρότερον ἐνεργήσαιμεν; ἡ γὰρ κατὰ νοῦν ἐνέργεια, πρὸς τὴν ἤρεμον κατάστασιν καὶ ἐνέργειαν ἄγει τὴν ψυχήν· πῶς δ' ἂν τῆς νοερᾶς ἐνεργείας τελείως τύχοιμεν, μὴ διὰ τῶν λογικῶν ἐπιβολῶν πορευθέντες, καὶ πρὸ τῶν ἁπλουστέρων νοήσεων ταῖς συνθετέραις χρησάμενοι; δεῖ τοίνυν ἀποδεικτικῆς μὲν δυνάμεως ἐν ταῖς προσλήψεσιν, νοερᾶς δὲ ἐνεργείας ἐν ταῖς τοῦ ὄντος διερευνήσεσιν· αἱ γὰρ τοῦ ὄντος τάξεις ἀποφάσκονται τοῦ ἑνός· ἐνθεαστικῆς δὲ ὁρμῆς, ἐν τῇ συνθέσει τῶν πάντων ἐξῃρημένου τῶν ὄντων· ἵνα μὴ λάθωμεν ἐκ τῶν ἀποφάσεων εἰς τὸ μὴ ὄν, καὶ τὴν ἀφάνειαν αὐτοῦ διὰ τῆς ἀορίστου φαντασίας ἀπωσθέντες· ἀλλὰ τὸ ἐν ἡμῖν ἓν, ἀνεγείραντες, καὶ ἀναθάλψαντες διὰ τούτου τὴν ψυχὴν, συνάψωμεν πρὸς αὐτὸ ἕν· καὶ οἷον ὁρμήσωμεν ὑπὲρ πᾶν τὸ ἐν ἑαυτοῖς νοητὸν στάντες, καὶ πᾶσαν ἄλλην ἡμῶν ἐνέργειαν ἀφελόντες, ἵνα ἐκείνῳ μόνῳ συγγενώμεθα, καὶ ἐκεῖνο παραχωρεύσωμεν, ἀπολιπόντες τὰς περὶ τὰς δευτέρας στρεφόμεθα τῆς ψυχῆς νοήσεις.

2. Ὁ μὲν οὖν τρόπος τῶν λόγων, τοιοῦτος ἡμῖν ἔστω· λογικὸς, νοερὸς, ἐνθεαστικός· οὕτω γὰρ ἂν τῆς προκειμένης ὑποθέσεως ἀντιλαβοίμεθα δεόντως· εἶτα πότερον κρείττους εἰσὶ τῶν ἀποφάσεων αἱ ἀποφάσεις, ἢ χείρονες, κατασκεψάμεθα· δοκεῖ γὰρ πᾶσιν ἡ κατάφασις σεμνοτέρα τῆς ἀποφάσεως εἶναι· στέρησις γὰρ ἡ ἀπόφασις· ἡ δὲ κατάφασις, εἴδους παρουσία καὶ ἕξις τίς ἐστιν· ἀλλὰ τοῖς μὲν εἴδεσι καὶ τοῖς εἰδοπεποιημένοις, προτιμοτέρα τῆς ἀποφάσεως ἡ κατάφασις· αὐτὸ γὰρ τοῦτο δεῖ τοῖς εἴδεσιν ὑπάρχειν τὴν ἑαυτῶν ἕξιν καὶ τὴν τῆς στερήσεως φυγήν· καὶ ὅλως τοῖς οὖσι, καὶ

τὸ εἶναι, τοῦ μὴ εἶναι· καὶ ἡ κατάφασις οἰκειοτέρα τῆς ἀποφάσεως ἐστί· τὸ μὲν γὰρ ὂν, τῆς καταφάσεως ἐστὶ παράδειγμα· τὸ δὲ μὴ ὂν, τῆς ἀποφάσεως· ἐπειδὴ δὲ πολλαχῶς τὸ μὴ ὂν, τὸ μὲν ὡς κρεῖττον τοῦ ὄντος, τὸ δὲ ὡς τῷ ὄντι συνταττόμενον, τὸ δὲ ὡς στέρησις τοῦ ὄντος, δῆλον δήπουθεν, ὅτι τριττῶς καὶ ἀποφάσεων εἴδη θεωρήσομεν· ποτὲ μὲν ὑπὲρ τὴν κατάφασιν· τὸ δὲ καταφάσεως λειπόμενον· τὸ δὲ παρισούμενόν πως πρὸς τὴν κατάφασιν· οὐκ ἄρα μονοειδῶς ἡ κατάφασις ἀεὶ τῆς ἀποφάσεως κρείττων· ἀλλ' ἔστιν ὅπου καὶ τὴν δευτέραν ἔλαχε τάξιν, ὅταν ἡ ἀπόφασις ἐκεῖνο λέγῃ τὸ μὴ ὂν, ὅ ἐστιν ἐπέκεινα τοῦ ὄντος· ἀλλ' ἐπειδὴ διττὸν καὶ τοῦτο τὸ μὴ ὂν, τὸ μὲν ὡς ὑπὸ τοῦ ὄντος μετεχόμενον, τὸ δὲ οὐδενὶ τῶν ὄντων συναριθμούμενον, δῆλον ὡς ἐπὶ τούτου κυρίως, οὔτε κατάφασις ἁρμόσειεν, οὔτε ἀπόφασις· ἐπ' ἐκείνου δὲ μᾶλλον ἡ ἀπόφασις· ἔστι δὲ ὅπῃ καὶ ἡ κατάφασις, καθ' ὅσον τῷ ὄντι κεκοινώνηκεν· ἀλλ' εἰ καὶ μηδεὶς ἐπ' ἐκείνου κυρίως λόγος ἀληθὴς, λέγεται δὲ τοῦ ἀσυντάκτου πρὸς τὸ ὂν, κυριώτερον ἂν ἡ ἀπόφασις ἐπ' αὐτοῦ ῥηθείη τῆς καταφάσεως· ὡς γὰρ ἐπὶ τῶν ὄντων αἱ καταφάσεις, αἱ ἀποφάσεις ἐπὶ τοῦ μὴ ὄντος· ὅλως γὰρ ἡ κατάφασις, εἴδους θέλει δράττεσθαί τινος· καὶ ὅταν ἡ ψυχὴ ἄλλο ἄλλῳ λέγει παρεῖναι, καὶ ποιεῖ κατάφασιν, τίθησι τῶν ἑαυτῇ συγγενῶν· τὸ δὲ πρῶτον ὑπὲρ εἶδος ἐστίν· καὶ οὐδὲν αὐτὸ προσήκει τῶν ἐν τοῖς δευτέροις προσάγειν· οὐδὲ τὰ ἡμῖν οἰκεῖα μεταφέρειν ἐπ' αὐτό· οὐκ ἄρα καταφάσεσιν ἐπ' αὐτοῦ χρησόμεθα δεόντως, ἀλλὰ μᾶλλον ταῖς τῶν δευτέρων ἀποφάσεσι. καὶ γὰρ αἱ μὲν καταφάσεις, γινώσκειν τὶ σπεύδουσιν ἄλλο ἄλλῳ ὑπάρχον· τὸ δὲ πρῶτον καὶ ἄγνωστον, ἐπὶ ταῖς συμφύλοις πρὸς τὰ ὄντα γνώσεσι, καὶ οὐκ ἔστιν αὐτῷ τὶ λαβεῖν ὡς ὑπάρχον, ἀλλὰ μᾶλλον ὡς μὴ ὑπάρχον· συνθέσεως γὰρ πάσης καὶ μεθέξεως· καὶ τοι πρὸς τούτοις, αἱ μὲν καταφάσεις, ὡρισμένον τι δηλοῦσιν· αἱ δὲ ἀποφάσεις, ἀόριστον ἔχουσι δύναμιν· τὸ γὰρ οὐκ ἄνθρωπος, ἀπειρότερόν ἐστι τοῦ ἄνθρωπος.

3. Τὴν οὖν ἀπερίληπτον καὶ ἀπεριόριστον τοῦ ἑνὸς αἰτίαν, οἰκειότερον ἐστὶν ἐνδείκνυσθαι διὰ τῶν ἀποφάσεων· ἀποτεμμαχίζουσαι γὰρ αἱ καταφάσεις τὰ ὄντα, ἀναπλωτικαὶ δὲ εἰσιν αἱ ἀποφάσεις, ἀπὸ τῶν περιγεγραμμένων ἐπὶ τὸ ἀπερίγραφον· καὶ ἀπὸ τῶν διῃρημένων ὅροις οἰκείοις, ἐπὶ τὸ ἀόριστον· κρείττους ἄρα τῶν καταφάσεων αἱ ἀποφάσεις· καὶ πρέπουσαι τοῖς ἀναγομένοις ἀπὸ τοῦ μερικοῦ πρὸς τὸ ὅλον, καὶ ἀπὸ τοῦ τεταγμένου πρὸς τὸ ἀκατάτακτον, καὶ ἀπὸ τοῦ τετεμμαχισμένου τῆς γνώσεως εἴδους, ἐπὶ τὸ ἀπεριόριστον καὶ ἑνιαῖον, καὶ ἁπλοῦν τῆς ἐνεργείας εἶδος· ὡς γὰρ ἀσώματος οὖσα ἡ ψυχὴ, τὸ σῶμα παρήγαγεν· ὡς ὁ νοῦς ἄψυχος ὢν, ὅτε μὲν ἔστι ψυχὴ, τὴν ψυχὴν ὑπέστησε, οὕτω τὸ ἓν ἀπλήθυντον ὂν, πᾶν τὸ πλῆθος ὑπέστησεν· καὶ ἀνάριθμον ὂν, τὸν ἀριθμὸν καὶ ἀσχημάτιστον ὂν, τὸ σχῆμα· καὶ ἐπὶ τῶν ἄλλων ὁμοίως· οὐδὲν γὰρ ἐστιν ὧν ὑφίστησιν· πάντα δὲ ὑφίστησιν· οὐδὲν ἄρα ἐστὶ πάντων· εἰ οὖν πάντα καταφατικῶς γινώσκομεν, ἐκεῖνο ἀποφατικῶς, ἀφ' ἑκάστου τῶν πάντων ἐνδεικνύμεθα· καὶ οὕτω τοῦτο τὸ εἶδος τῆς ἀποφάσεως, γεννητικὸν ἐστὶ τοῦ πλήθους τῶν καταφάσεων· οἷον τὸ ἀσχημάτιστον ἐπὶ τοῦ ἑνὸς· οὐκ ἔστι τοιοῦτον, οἷον τὸ ἐπὶ τῆς ὕλης, ὃ κατὰ τὴν στέρησιν θεωρεῖται τοῦ σχήματος· ἀλλ' ὃ γεννᾷ καὶ παράγει τὴν κατὰ τὸ σχῆμα τάξιν.

4. Ἐπὶ μὲν οὖν τῆς ὕλης, αἱ ἀποφάσεις χείρους τῶν καταφάσεων, ἐπειδήπερ στερήσεις εἰσὶν· αἱ δὲ καταφάσεις μεθέξεις· ὧν ἐστέρηται καθ' αὐτὴν· ἐπὶ δὲ τῶν ὄντων, σύζυγοι πρὸς τὰς καταφάσεις· οὐ γὰρ παρῄκατο τὸ μὴ ὂν οὐσίας μετέχει τοῦ ὄντος, ὡς εἴρηται ἐν σοφιστῇ· ἐπὶ δὲ τοῦ ἑνὸς, αἰτίας δηλοῦσιν ὑπεροχὴν· καὶ ταύτῃ κρείττους εἰσὶ τῶν καταφάσεων· διὸ καὶ τῶν μετὰ τὸ ἓν τὰ αἴτια τὰς ἀποφάσεις τῶν δευτέρων οὕτως ἔχει κατ' αὐτῶν ἐπαληθευούσας· οὕτω γὰρ καὶ τὴν ψυχὴν ὅταν λέγωμεν μήτε φθέγγεσθαι μήτε σιγᾷν, οὐχ' οὕτω λέγωμεν ταῦτα περὶ αὐτῆς, ὥσπερ λίθων καὶ ξύλων, ἢ ἄλλου τινὸς ἀναισθήτου πράγματος· ἀλλ' ὡς γεννητικῆς οὔσης

ἀμφοτέρων ἐν τῷ ζώῳ φωνῆς καὶ σιγῆς· καὶ πάλιν τὴν φύσιν, οὔτε λευκὴν, οὔτε μέλανα, ἀλλὰ ἀχρώματον, καὶ ἀδιάστατον· ἆρ' οὖν οὕτως ὡς τὴν ὕλην; οὐδαμῶς· κρείττω γάρ ἐστι τῶν ἀποφασκομένων· ἀλλ' ὡς γεννητικὸν καὶ χρωμάτων παντοίων καὶ διαστάσεων, ὁμοίως τοίνυν ἀνάριθμον τὴν μονάδα λέγομεν· οὐχ' ὡς ὑφειμένην τῶν ἀριθμῶν καὶ ἀόριστον, ἀλλ' ὡς γεννῶσαν τὸν ἀριθμὸν, καὶ ὡς ὁρίζουσαν, λέγω δὲ τὴν πρωτίστην μονάδα, καὶ ἣν πάντα ἔχειν τὰ εἴδη φαμὲν τῶν ἀριθμῶν· ὁμοίως λέγομεν ἀσώματον τὸν νοῦν, καὶ τὴν στιγμήν· ἀλλ' οὐχ' ὁμοίως τὸ ἀσώματον ἀμφοῖν κατηγοροῦμεν· ἐπὶ μὲν γὰρ τοῦ νοὸς τὸ ἀσώματον, ὡς κρεῖττον σωμάτων ἀκούομεν· ἐπὶ τῆς στιγμῆς, ὕφεσιν ἀπόπτωσιν σώματος νοοῦμεν· πάντα οὖν ὅσα ἀποφάσκεται τοῦ ἑνὸς, ἐξ αὐτοῦ πρόεισι· δεῖ γὰρ αὐτὸ μηδὲν εἶναι τῶν πάντων ἵνα ᾖ πάντα ἀπ' αὐτοῦ· διό μοι δοκεῖ πολλάκις, καὶ ἀντικείμενα ἀποφάσκειν· οἷον, οὔτε ὅλον, οὔτε μέρος, οὔτε ταὐτὸν, οὔτε ἕτερον, οὔτε ἑστὼς, οὔτε κινούμενον· πάσης γὰρ ἐξήρηται ἀντιθέσεως· πάσης ὑπερήπλωται σχέσεως· πάσης δυάδος καθαρεύει παντὸς πλήθους αὐτῶν καὶ τῶν συστοίχων τῶν διττῶν, αἴτιον ὂν, καὶ τῆς πρώτης δυάδος, καὶ πάσης σχέσεως, καὶ πάσης ἀντιθέσεως· καὶ γὰρ ἡ φύσις αἰτία πασῶν τῶν σωματικῶν ὑποθέσεων· καὶ ἡ ψυχὴ πασῶν τῶν ζωτικῶν αἰτιῶν· καὶ ὁ νοῦς τῶν ψυχικῶν γενῶν· τὸ δὲ ἓν, ἁπασῶν τῶν διαιρέσεων ἁπλῶς· τὸ δὲ πάσης ἀντιθέσεως αἴτιον, αὐτὸ πρὸς οὐδὲν ἀντίκειται· δέοι γὰρ ἂν καὶ ταύτης εἶναί τι τῆς ἀντιθέσεως αἴτιον ἄλλο, καὶ οὐκ ἔτι πάντων αἴτιον τὸ ἕν· ἐκεῖνο δ' ἄν τις ἐπιστήσειεν εὐλόγως, ὅτι δεῖ τὴν ἀρχὴν μηδενὸς ἑτέρου μετέχειν· διότι τοῦ μετεχομένου, δεύτερον ἀναγκαῖον εἶναι τὸ μετέχον ὡς δεόμενον ἄλλου του· καὶ οὗ ἐφίεται μετέχειν, καὶ πεπονθέναι τοῦτο ὅ ἐστιν· ἀλλ' οὐχ' ᾗ ἓν αὐτὸ μόνον καὶ οὐχ' ὡς πεπονθὸς τὸ ἕν.

5. Ἀλλ' ἴσως ἄν τις αὐτὸ τοῦτο τολοιπὸν ἡμῶν ἐπανέροιτο πότερον ταῖς ἀποφατικαῖς χρώμεθα, δι' ἀσθένειαν τῆς ἀκ-

θρωπίνης φύσεως οὐ δυναμένης τὴν ἁπλότητα τοῦ ἑνός παραλαβεῖν δι᾽ ἐπιβολῆς τινὸς ἐπερειστικῶς καὶ θέμις καὶ γνώσεως ἐρηρεισμένης, ἢ καὶ τὰ κρείττονα τῆς ἡμετέρας ψυχῆς κατὰ τὸ ἀνάλογον ἀποφατικῶς γινώσκει τὸ ἕν· φαμὲν τοίνυν, ὅτι καὶ νοῦς ταῖς μὲν συζύγοις πρὸς τὰ εἴδη νοήσεσιν αὐτὰ γινώσκει, καὶ περιλαμβάνει τὰ νοητὰ, καὶ ἔστιν αὕτη καταφατικὴ τις γνῶσις· ἐὸν γὰρ ἐόντι πελάζει· καὶ ὃ νοεῖ, τοῦτό ἐστιν· ὃ δὲ λέγει τοῦτο νοεῖ· ὃ ἄρα ἐστί, τοῦτο λέγει· πῶς ὁ νοῦς διὰ τῆς ἑαυτοῦ νοήσεως, τῇ δὲ ὑπὲρ νοῦν ἑνάδι συνῆπται πρὸς πὸ ἕν· καὶ διὰ τῆς γνώσεως ταύτης, γινώσκει τὸ ἓν τῷ μὴ ὄντι τὸ ὄν· ἀποφατικῶς ἄρα γινώσκει τὸ ἕν· διττὰς δὲ ἔχει τὰς γνώσεις· τὴν μὲν, ὡς νοῦς· τὴν δὲ, ὡς μὴ νοῦς· καὶ τὴν μὲν, ὡς ἑαυτὸν γινώσκων· τὴν δὲ, μεθύων φησί τις, καὶ αὐτὸν ἐκθεάζων τῷ νέκταρι· καὶ τὴν μεν, ὡς ἔστι· τὴν δὲ, ὡς οὐκ ἔστι· τὴν μὲν ἄρα ἀποφατικὴν ἔχει τῶν γνώσεων· τὴν δὲ καταφατικὴν· οὐδ᾽ αὐτός ὁ πολυύμνητος νοῦς καὶ αἱ θεῖαι ψυχαί· τῇ γὰρ ἐνθεαστικῇ περὶ τὸ ἓν ἐνεργείᾳ, τὸ ἀποφατικόν ἐστι καὶ ἐν αὐταῖς τῆς γνώσεως· οὐ γὰρ ὅτι ἐστὶ τὸ ἓν, γινώσκουσιν, ἀλλ᾽ ὅτι οὐκ ἔστι, κατὰ τὸ κρεῖττον τοῦ ἔστιν· οὐδὲ τοῦ ὅτι οὐκ ἔστι νόησις, ἀπόφασις ἐστίν· ὅτε τοίνυν καὶ αἱ θεῖαι ψυχαὶ, καὶ αὐτὸς ὁ πολυύμνητος νοῦς, δι᾽ ἀποφάσεως γινώσκει τὸ ἓν, τί χρὴ καταγινώσκειν ἀδυναμίαν τῆς ἡμετέρας ψυχῆς, ἀποφατικῶς αὐτὸ τὸ ἀπερίληπτον ἐνδείκνυσθαι σπουδαζούσης.

6. Τοίνυν ταὐτό ἐστιν τὸ πάντων αἴτιον τῇ ψυχῇ· καὶ τὴν ἰδιότητα τοῦ πρώτου ζητεῖν, καὶ λογισμῷ τὴν ἐκείνου γνῶσιν ἐπιτρέπειν δεόντως, ἀνεγεῖρον τὸ ἐν ἡμῖν ἓν, ἵνα τῷ ὁμοίῳ τὸ ὅμοιον εἰ θέμις εἰπεῖν γνῶναί πως κατὰ τὴν ἡμετέραν τάξιν δυνατοὶ γνώμεθα· ὡς γὰρ αἰσθήσει τὰ αἰσθητὰ γινώσκομεν, καὶ φαντασίᾳ τὰ φανταστὰ, καὶ δόξῃ τὰ δοξαστὰ, καὶ διανοίᾳ τὰ διανοητὰ, καὶ τῷ ἐν ἡμῖν νοερῷ τὸ νοητὸν, οὕτω καὶ τῷ ἑνὶ τῷ ἐν ἡμῖν, τὸ ἕν· τοῦτο δὲ ταυτὸν τῷ μὴ ὄντι τὸ ἕν· τὸ δὲ αὐτὸν τῷ τῇ ἀποφάσει τὸ ἕν· ἀπόφασις γὰρ τὸ μὴ ὄν· ἀλλ᾽ οὐχ᾽

οὕτως αὐτὸ μηδαμῶς ὄν, καὶ οὐδέν ἐστι πρὸς τὸ μὴ ὄντι· διὸ πάσης ἀποπέπτωκεν ὑποστάσεως, καὶ αὐτοῦ τοῦ ἑνὸς ἀφῃρημένον· λέγεται οὖν οὐδὲ ἕν, ὡς πρὸς τοῖς ἄλλοις πᾶσι καὶ τούτου παντελῶς ἀμέτοχον ὄν· ἔσχατον γὰρ ἀπολείπει τὰ πράγματα· τὸ γὰρ μὴ δὲ ἓν ὑπάρχον πρὸς τοῖς ἄλλοις πάντων ἀναγκαῖον ἐκπεπτωκέναι· καὶ τοῦτό ἐστι τὸ μηδαμῶς ὄν· τὸ δ' αὖ πρὸ τοῦ ὄντος ἓν, μὴ ὂν μέν ἐστιν· οὐ μέντοι καὶ οὐδέν· μὴ ὂν οὖν αὐτῷ φῶμεν, καὶ νοῶμεν τῷ ἐν ἡμῖν ὁμοίῳ· καὶ γὰρ ἐν ἡμῖν ἐστί τι σπέρμα ἐκείνου τοῦ μὴ ὄντος, καὶ οὕτως ἐξῃρημένον αὐτὸ τῶν ὄντων λέγομεν μόνον ἕν· μὴ πρὸς τὸ ἀόριστον ὑπενεχθέντες λάθωμεν, καὶ φανταστικῶς τὸ μὴ ὂν, οὐκ ἐνθεαστικῶς παραβάλλωμεν· τοῦτο γὰρ ἡμῶν οὐ τοῦ ἑνὸς ἀποστήσει μόνον, ἀλλὰ καὶ τῆς τοῦ ὄντος γνώσεως· ὅπως μὲν οὖν οἰκεῖαι πρὸς τὸ ἓν αἱ ἀποφάσεις, καὶ τίνα τρόπον ἀποφάσκεται πάντα ἀπ' αὐτοῦ· καὶ ὅτι πᾶσα γνῶσις τοῦ ἑνὸς δι' ἀποφάσεως ἐστὶν, ἐκ τούτου δῆλον.

7. Ζητεῖν οὖν ἐν τούτοις πάντα εἰώθαμεν, πῶς ἄπειρον τὸ ἕν· καὶ οἱ μὲν οὕτω φασὶν, ἄπειρον προσειρῆσθαι τὸ ἓν, ὡς ἀδιεξίτητον· καὶ ὡς πέρας τῶν ὅλων· διχῶς γὰρ λέγεται τὸ ἄπειρον· τὸ μὲν, οἷον τὸ ἄληπτον καὶ ἀδιεξίτητον· τὸ δὲ, οἷον ὑπέρ ἐστιν, τὸ μὴ ἔχον ἄλλο πέρας· καὶ τὸ ἓν οὖν ἀμφοτέρως εἶναι ἄπειρον· ὡς ἄληπτόν τε καὶ ἀπερινόητον πᾶσι τοῖς δευτέροις· καὶ ὡς πέρας τῶν ὅλων· καὶ μὴ δεόμενον αὐτὸ πέρατος ἄλλου μηδενός· οἱ δὲ, ὡς ἀπειροδύναμον καὶ ὡς πάντων γεννητικὸν· καὶ ὡς πάσης τοῖς ἐν τοῖς οὖσιν ἀπειρίας αἴτιον· καὶ δι' ὅλων τῶν ὄντων ἐκτεῖναν τὴν ἑαυτοῦ δόσιν· πάντα γὰρ τῷ ἑνὶ κατέχεται, καὶ ἔστι διὰ τὸ ἕν· καὶ οὐδ' ἂν ὑποστῆναι δύναιτο μὴ ἓν γενόμενα· οἱ δὲ, ὡς ἐπειδὴ πέρας ὁ νοῦς ὅτι ὑπὲρ νοῦν τὸ ἓν, διὰ τοῦτο καὶ ἄπειρον εἰρήκασι· δύο γὰρ, φασὶ, ταῦτα μόνα τίθησιν ἐπὶ τοῦ ἑνὸς ὁ Πλάτων, τό τε ἄπειρον καὶ τὸ ἀκίνητον· ἐπειδὴ νοῦς μὲν πέρας, ἡ δὲ ψυχὴ κίνησις· ἐνδεικνύμενος ὅτι κρεῖττον ἐκεῖνο καὶ νοῦ καὶ ψυ-

χῆς· τρεῖς γὰρ εἶναι τὰς ἀρχικὰς ὑποστάσεις· ὧν τὴν πρώτην ἐξῃρῆσθαι ταῖν δυοῖν· ἡμεῖς δὲ χαρίεντα μὲν καὶ τὰ τοιαῦτα πάντα νομίζομεν, εἰ καὶ τὰ μὲν μᾶλλον, τὰ δὲ ἧττον ἀποδεχόμενα· πεισόμεθα δὲ τῷ ἡμετέρῳ καθηγέμονι, πάνυγε σφόδρα, καὶ ἐν τούτοις ἰθυβόλως τὴν τοῦ Πλάτωνος τεθηρακότι διάνοιαν· καὶ ἀξιώσομεν τοὺς τῆς ἀληθείας φιλοθεάμονας ὁρᾷν· πρῶτον μὲν, πόσαι τάξεις εἰσὶν ἐν τοῖς οὖσι τῆς ἀπειρίας· ἔπειτα ποῖαι ταῦται· καὶ μετὰ ταῦτα λοιπὸν ἐπισκέπτεσθαι, τί τὸ ἐνταῦθα ἄπειρον· τοῖς γὰρ τὸν τρόπον τοῦτον μετιοῦσι τὴν τοῦ προκειμένου ζήτησιν, ῥᾳδίως ἀναφανήσεται πᾶν τὸ τοῦ Πλάτωνος βούλημα.

8. Τὴν τοίνυν ἀπορίαν, ἵνα κάτωθεν ποιησώμεθα τὴν ἀρχὴν, θεατέον μὲν καὶ ἐπὶ τῆς ὕλης διότι ἀόριστος καθ' αὑτὴν καὶ ἄμορφος καὶ ἀνείδεος· τὰ δὲ εἴδη καὶ αἱ μορφαὶ, πέρατα τῆς ὕλης· θεατέον καὶ ἐπὶ τοῦ ὁποίου σώματος κατὰ τὴν διαίρεσιν· ἐπ' ἄπειρον γὰρ τοῦτο πρῶτον διαιρετὸν, ἅτε πρῶτον διαιρετὸν, ἅτε πρῶτον διαστατόν· θεατέον δὲ, κατὰ τὰς τὸ ἄπειρον πρώτων ὑφισταμένας ποιοτήτων, ἐν αἷς τὸ μᾶλλον ἐστὶ καὶ ἧττον πρώταις· τούτοις γὰρ καὶ ὁ ἐν Φιλήβῳ Σωκράτης ἐχαρακτήρισε τὸ ἄπειρον· θεατέον δὲ καὶ ἐπὶ πάσης τῆς γνώσεως· καὶ γὰρ αὕτη τὸ ἄπειρον ἔχει κατά τε τὴν ἀεὶ γενησίαν καὶ τὸν ταύτης ἄπαυστον κύκλον, καὶ κατὰ τὰς ἀορίστους τῶν γεννητικῶν ἐξαλλαγὰς γινομένων ἀεὶ καὶ φθειρομένων· ἐν οἷς καὶ ἡ κατὰ τὸ πλῆθος ἀπειρία τὴν γένεσιν ἔχει ἐν τῷ γίνεσθαι μόνον οὖσα· πρὸ δὲ τούτων, τὸ ἄπειρον θεατέον ἐπὶ τῆς οὐρανοῦ κυκλοφορίας· ἔχει Γὰρ καὶ αὐτὴ τὸ ἄπειρον, διὰ τὴν ἄπειρον δύναμιν τοῦ κινοῦντος· σῶμα μὲν γὰρ καθ' ὃ σῶμα, δύναμιν ἄπειρον οὐκ ἔχει· διὰ δὲ τὴν τοῦ νοῦ μετουσίαν, καὶ 7ὸ σῶμα ἀεὶ ἐστι, καὶ ἡ κίνησις ἄπειρος· καὶ σὺν τούτοις ἐπὶ τῆς ψυχῆς τὸ ἄπειρον ληπτέον· μεταβατικῶς γὰρ νοοῦσα δύναμιν ἀπταίστου κινήσεως ἔχει· καὶ ἔστιν ἀκίνητος, συνάπτουσα τὰς περιόδους ἀλλήλαις, καὶ ἄτρεπτον ποιουμένη τὴν ἐνέργειαν, καὶ μίαν ἀεὶ καὶ ἀνέκλειπτον.

9. Ἔτι πρὸ τῆς ψυχῆς ἐτ' αὐτοῦ τοῦ χρόνου θεατέον τοῦ μετροῦντος τὴν ψυχικὴν πᾶσαν περίοδον· καὶ γὰρ οὗτος ἐστὶν ἄπειρος ὅλος· διότι ἡ ἐνέργεια αὐτοῦ δι' ἧς ἀνελίσσει τὰς κινήσεις τῶν ψυχῶν, καὶ δι' ἧς μετρεῖ τὰς περιόδους αὐτῶν κατ' ἀριθμὸν ἰοῦσα, ἄπειρός ἐστι κατὰ τὴν δύναμιν· οὐδέποτε γὰρ ἀπολήγει μένουσα καὶ προϊοῦσα καὶ τοῦ ἑνὸς ἀντεχομένη καὶ τὸν ἀριθμὸν ἀνελίπτουσα τὸν τῶν κινήσεων τῶν ὅλων μετρητικόν· ἀλλὰ δὴ καὶ πρὸ τοῦ χρόνου θέαμα τὸ ἄπειρον ἐπ' αὐτοῦ τοῦ νοῦ καὶ τῆς νοερᾶς· αὕτη γὰρ ἀμετάβατος καὶ ἀεὶ πᾶσα καὶ ἀθρόα πάρεστιν· αἰώνιος δὲ καὶ ἀπειροδύναμος· τὸ γὰρ ἀκίνητον αὐτῆς καὶ ἀνέκλειπτον, οὐσίας ἐστὶ καὶ δυνάμεως, οὐκ ἐπιλειπούσης, ἀλλ' ἀεὶ τὸ ζῆν ἄγρυπνον ἐχούσης· δι' ἣν καὶ πᾶν τὸ κινούμενον ἀεὶ δύναται κινεῖσθαι· μετέχον ἐν τῇ κινήσει τῆς ἑστώσης ἀπειρίας, καὶ οὐκ ἄχρι τούτων μόνον τὸ ἄπειρον, ἀλλὰ καὶ πρὸ τοῦ νοῦ πάντως αὐτὸς ὁ πολυύμνητος αἰὼν ἄπειρος, ὃς καὶ πᾶσαν περιέχει τὴν νοερὰν ἀπειρίαν· πόθεν γὰρ τῷ νῷ αἰωνίως ζῆν, ἢ ἐκ τοῦ αἰῶνος; οὗτος οὖν ἄπειρος πρὸ νοῦ κατὰ τὴν δύναμιν· μᾶλλον δὲ τὰ μὲν ἄλλα, κατὰ τὴν δύναμιν ἄπειρα· ὁ δὲ αἰὼν, δύναμις· καὶ γὰρ οὐκ ἄλλο τί ὁ πρῶτος αἰὼν, ἢ δύναμις· ἐπ' αὐτὴν δὴ τὴν πρωτίστην πηγὴν τῆς ἀπειρίας ἀνέδραμεν λοιπόν· καὶ τὴν κρύφιον αἰτίαν πάντων τῶν ὁποσοῦν ἄπειρον γεννήσας, καὶ ἀναδραμὼν, ὄψει κατὰ τὴν δύναμιν πάντα ἐκεῖθεν ἄπειρα· τοιοῦτον γὰρ εἰ βούλει τὸ αὐτὸ ἄπειρον· τοιοῦτον παρ' Ὀρφεῖ τὸ χάος· ὁ μὲν γὰρ αἰὼν εἰ καὶ διὰ τὸ ἀεὶ ἄπειρος, ἀλλὰ καὶ ὡς μέτρον δήπου τῶν αἰώνων, καὶ πέρας ἐστί· τὸ χάος πρώτως ἄπειρον, καὶ μόνως ἄπειρον, καὶ πηγὴ πάσης ἀπειρίας νοητῆς, νοερᾶς, ψυχικῆς, φυσικῆς, σωματικῆς, ὑλικῆς· ὁρᾷς οὖν ὅσαι τάξεις τῆς ἀπειρίας; καὶ ὡς ἀεὶ αἱ δεύτεραι τῶν πρὸ αὐτοῦ ἐξήρτηνται; ἥτε γὰρ ὑλικὴ ἀπειρία, συνέσχεται διὰ τῆς ἀειγενεσίας· ἥτε ἀειγενεσία, διὰ τὴν ἀεικινησίαν τοῦ αἰθέρος, ἐστὶν ἀνέκλειπτος· αὕτη δὲ πάντα, διὰ τὴν τῆς θείας ψυχῆς ἄπαυστον περίοδον ἀποτελεῖται· μίμημα

γάρ ἐστιν ἐκείνης καὶ ἡ ταύτης περίοδος, διὰ τὴν τοῦ χρόνου συνεχῆ καὶ ἀνέκλειπτον δύναμιν· ἀνελίττεται τὴν αὐτὴν ἀρχὴν ποιουμένη καὶ τελευτὴν διὰ τὸ νῦν τὸ χρονικόν· καὶ ὁ χρόνος ἀπείρως ἐνεργεῖ, διὰ τὴν νοερὰν ἀπειρίαν τὴν ἀεὶ ἑζῶσαν· τὸ γὰρ κατ' ἀριθμὸν ἰὼν, ὅταν ἄπειρον ᾖ διὰ τὴν μένουσαν αἰτίαν, ἄπειρον περὶ ἣν ἀνελίττεται τοῦτο καὶ ἣν, ἂν ὡσαύτως περιχορεύει· καὶ ὁ νοῦς ἐπ' ἄπειρον ζῇ διὰ τὸν αἰῶνα· τὸ γὰρ αἰώνιον, πᾶσιν ἐκ τοῦ αἰῶνος· καὶ οὗτος ἐστὶν ὅθεν ἐξήρτηται πᾶσι, τοῖς μὲν ἀμυδρότερον τὸ εἶναι τὲ καὶ ζῆν, καὶ ὁ αἰὼν ἄπειρος διὰ τὴν πηγὴν τῆς ἀπειρίας· ἡ καὶ οὐσίαις πάσαις καὶ δυνάμεσι καὶ ἐνεργείαις, καὶ περιόδοις καὶ γενέσεσιν ἄνωθεν χορηγεῖ τὸ ἀνέκλειπτον· καὶ μέχρι ταύτης ἐνιοῦσι καὶ ἀπὸ ταύτης κατιοῦσιν ἡ τῶν ἀπειριῶν τάξις· καὶ γὰρ ἡ τῶν καλῶν, ἀπὸ τοῦ αὐτοκάλλους· καὶ ἡ τῶν ἰσοτήτων, ἀπὸ τῆς πρώτης ἰσότητος· καὶ ἡ τῶν ἀπειριῶν, ἀπὸ τῆς αὐτοαπειρίας· ἀλλὰ περὶ μὲν τῶν ἀπείρου τάξεων, εἰρήσθω ταῦτα.

10. Τὴν δὲ τοῦ πέρατος σειρὰν, ταύτῃ συμπροϊοῦσαν, ἄνωθεν ἐπισκεπτέον· δύο γὰρ ταύτας αἰτίας ἅμα προήγαγεν ὁ θεὸς, πέρας καὶ ἄπειρον· ἢ ἐπεὶ βούλει λέγειν ἡμᾶς ὀρφικῶς αἰθέρα καὶ χάος· τὸ μὲν γὰρ ἄπειρον, χάος ἐστὶν ὡς χορηγικὸν πάσης δυνάμεως καὶ πάσης ἀπειρίας, καὶ ὡς περιληπτικὸν τῶν ἄλλων· καὶ οἷον τῶν ἀπείρων τὸ ἀπειρότατον· τὸ δὲ πέρας, ὁ αἰθήρ· ὅτι οὗτος ὁ αἰθὴρ τὰ πάντα περατοῖ καὶ μετροῖ· πρῶτον οὖν πέρας, τὸ αὐτὸ πέρας, πηγὴ καὶ στίγμα πάντων ἐστὶ τῶν περάτων, νοητῶν, νοερῶν, ὑπερκοσμίων, ἐγκοσμίων, μέτρον αὐτὸ τῶν πάντων καὶ ὅρος προϋπάρχον· δεύτερον δὲ τὸ κατὰ τὸν αἰῶνα· αἰὼν γὰρ ὁμοῦ καὶ ἄπειρος ἐστὶν, ὡς εἴρηται, καὶ πέρας· καθὸ μὲν γὰρ ἀνέκλειπτος, ζωῆς ἐστὶν αἴτιος· καὶ ὡς δύναμις τοῦ ἀεὶ χορηγὸς, ἄπειρος ἐστίν· καθὸ δὲ μέτρον ἐστὶ πάσης νοερᾶς ἐνεργείας, καὶ ὅρος τῆς νοῦ, ζωὴν ἄνωθεν αὐτὴν ὁρίζων, πέρας ἐστί· καὶ ὅλως καὶ αὐτὸς τῶν μικτῶν ἐστὶ τοῦ ἐκ πέρατος καὶ ἀπειρίας ὑφισταμένων· ὅθεν αὐτὸν οὔτε τὸ πρώ-

τως ἄπειρον λέγειν ἀξιοῦμεν· τὸ γὰρ πρώτως, ἑκάτερον ἐξήρηται τῶν μικτῶν πάντων ὡς φησὶν ὁ ἐν Φιλήβῳ Σωκράτης· τρίτον τοίνυν τὸ πέρας, ἐν τῷ νῷ θεατέον· καθὸ γὰρ ἐν ταυτῷ μένει κατὰ τὴν νόησιν καὶ μίαν καὶ ἀεὶ καὶ τὴν αὐτὴν ἔχει ζωὴν, ὥρισται, καὶ πεπέρασται· τὸ γὰρ ἀμετάβατον καὶ τὸ ἑστὼς, πεπερασμένης ἐστὶ φύσεως, καὶ ὅλως ἀριθμὸς ὢν, δῆλον ὅτι ταύτῃ μετέχει τοῦ πέρατος· τέταρτον τοίνυν ὁ χρόνος πέρας, καὶ ὡς κατ' ἀριθμὸν προϊὼν καὶ ὡς μέτρον τῶν ψυχικῶν περιόδων· πανταχοῦ τὸ μετροῦν καθὸ μετρεῖ· καὶ τὸ ἀφορίζον τὰ ἄλλα τῆς τοῦ πέρατος αἰτίας μετέχον, μετρητικόν ἐστὶν αὐτῶν καὶ ἀναφορικόν.

11. Πέμπτον ἐπὶ τούτοις, ἡ τῆς ψυχῆς περίοδος, καὶ ὁ κύκλος ὡσαύτως ἀποτελούμεναι, μέτρον ἐστὶν ἀφανὲς πασῶν τῶν φαινομένων κινήσεων· ἀπὸ γὰρ τῆς ζωτικῆς περιφορᾶς, ὁρίζεται πᾶσα τῶν αὐτοκινήτων ἡ ἀνέλιξις· ἕκτον ἡ κατὰ ταυτὰ καὶ ἐν τῷ αὐτῷ καὶ περὶ τὸ αὐτὸ τοῦ αἰθέρος κίνησις· περατοῖ γὰρ πανταχόθεν τὸ ἄτακτον τῶν παραλλήλων καὶ εἰς ἕνα συνελίσσει κύκλον, καὶ αὐτὴ καθ' αὐτὴν ὥρισται· τὸ γὰρ ἄπειρον αὐτῆς, ἐν τῷ πάλιν καὶ πάλιν ἐστίν· ἀλλ' οὐ τὸ μὴ ἀνακάμπτειν, οὐδὲ οἷον κατ' εὐθεῖαν ἄπειρον· οὐδ' ὡς ἐστερημένου πέρατος κἀνταῦθα τὸ ἄπειρον· ἡ γὰρ μία περίοδος, τὸ πολλάκις ἐστὶν ἄπειρος· ἕβδομον ἡ ἀνέκλειπτος τῶν εἰδῶν ὑπόστασις, τῶν ἐνύλων λέγω· καὶ τὸ μηδὲν τῶν ὅλων ἀπόλλυσθαι· καὶ τὸ πάντα ὡρίσθαι· τὰ μὲν καθ' ἕκαστα τοῖς κοινοῖς, τὰ δὲ μέρη τοῖς ὅλοις, δείκνυσι τὴν ἐνταῦθα τοῦ πέρατος πρὸς τὸ ἄπειρον ἀντίθεσιν· ἀπειραχῶς γὰρ ἐξαλλαττωμένων τῶν γεννητῶν, ὅμως ὥρισται τὰ εἴδη· καὶ τὰ αὐτὰ διαμένει, μήτε πλείω μήτε ἐλάττω γινόμενα· ὄγδοον καλείσθω πέρας τὸ ποσὸν πᾶν ἰδίως ἐν τοῖς ὑλικοῖς· καθάπερ τὸ ποιὸν ἐλέγετο πρότερον ἄπειρον· οὐδὲ γὰρ ἐπιδέχεται τὸ μᾶλλον καὶ τὸ ἧττον· ἔνατον δὲ, τὸ ἄπειρον σῶμα, ὡς ὅλον πέρας ἐστίν· οὐ γάρ ἐστι κατὰ μέγεθος ἄπειρον, ἀλλὰ τοσοῦτον

ὅσον τὸ πᾶν· δεῖ γὰρ ὅλον ὑποκείμενον αὐτὸ λέγεσθαι τοῦ παντὸς δεκατον, αὐτὸ τὸ ἔνυλον εἶδος, ὃ κατέχει τὴν ὕλην καὶ περιορίζει τὸ ἀόριστον αὐτῆς καὶ ἄμορφον· εἰς ὃ καὶ ἀπιδόντες τινὲς, μόνον εἰς ὕλην καὶ εἶδος ἀνάγουσι τὸ πέρας καὶ ἄπειρον· τοσαῦται μὲν οὖν καὶ αἱ τοῦ πέρατος τάξεις, ὡς συλλήβδην εἰπεῖν.

12. Λοιπὸν δὴ ἐπισκεπτέον πότερον οὕτως ἄπειρον εἴρηται τὸ ἓν, ὡς τὴν ἐν τοῖς οὖσιν ἀπειρίαν λαμβάνομεν καταφατικῶς, ἢ ἄλλως πως· ἀλλ' εἰ πρὸς τοῦτο λέγοιτο τὸ ἄπειρον, ἤδη μᾶλλον αὐτὸ λέγειν οὐκ ἄπειρον· ἐπὶ πάσης γὰρ ἀντιθέσεως, ἀναγκαῖον ἢ ἐξῃρῆσθαι τὸ ἓν ἀμφοτέρων τῶν ἀντικειμένων, καὶ μὴ εἶναι μηδ' ἕτερον αὐτῶν, ἢ τῷ τοῦ κρείττονος αὐτὸ μᾶλλον ὀνόματι προσαγορεύεσθαι· καὶ γὰρ τῷ πάντων ἀρίστῳ χρὴ προσφέρειν τὸ ἄριστον· ἀλλ' οὐ τὸ ὁποσοῦν καταδεέστερον· οὕτως ἀντιθέσεως οὔσης τοῦ ἑνὸς πρὸς τὸ πλῆθος, ἓν ἐκεῖνο πρόσειπωμεν, καὶ αἴτιον πρὸς αἰτιατὸν, αἴτιον ἐκεῖνο προσονομάσομεν· κρεῖττον γὰρ τοῦ μὲν αἰτιατοῦ, τὸ αἴτιον· τοῦ δὲ πλήθους, τὸ ἕν· δέον δὲ ἦν ἢ ὑπεραίτιον αὐτὸν καὶ ὑπὲρ ἓν ἀποκαλεῖν· ἢ ἓν καὶ αἴτιον· ἀλλὰ μὴν πλῆθος καὶ αἰτιατόν· τίνι γὰρ ἀπονέμοιμεν τὰ σεμνότερα, τὰ χείρονα αὐτῶν εἰς τὸ ἓν ἀναπέμποντες; εἰ τοίνυν καὶ τὸ πέρας τοῦ ἀπείρου κρεῖσσον, οὐκ ἀπὸ τοῦ ἀπείρου τί ὄνομα ἐκείνῳ προσοίσομεν· οὐδὲ γὰρ ἦν θέμις ἀπὸ τοῦ χείρονος εἰς ἐκεῖνο τὰς ἐπωνυμίας ἀναπέμπειν· ἀλλ' ὅπερ ἐνεδειξάμεθα καὶ πρότερον κατὰ τὴν ἀπόφασιν ἀπὸ τοῦ κρείττονος· τὸ γὰρ ἄπειρον τοῦτο, ταυτὸν τῷ οὐ πέρας ἔχοντι, ὡς τῷ ἀμερίστῳ τὸ οὐ μέρη ἔχον, ὅταν τάττηται τὸ ἀμερὲς ἐπὶ τοῦ ἑνός· εἰ δὲ μήτε ἀπ' ἄλλης αἰτίας ἐστὶ, μήτε ἐστὶν αὐτῷ ἄλλο τελικὸν αἴτιον, εἰκότως ἄπειρον· περατοῦται γὰρ ἕκαστον ὑπὸ τοῦ αἰτίου, καὶ ἔστε τοῦ οἰκείου τέλους· εἴτε οὖν νοητόν ἐστε πέρας, εἴτε νοερὸν, ἐπέκεινα τὸ ἓν ἐστε πάσης τῆς τοῦ πέρατος σειρᾶς· εἰ δὲ ἐν νόμοις μέτρον λέγεται τῶν ὅλων ὁ θεὸς, οὐ χρὴ

θαυμάζειν· ἐκεῖ μὲν γὰρ ὡς πάντων ἐφεκτὸν καὶ ὡς ἀφορίζον πᾶσι τό τε εἶναι καὶ τὴν δύναμιν καὶ τὴν τελειότητα· ἐνταῦθα δὲ, ὡς αὐτοπέρατον οὐδενὸς· οὐδὲ ἄλλου μέτρου δεόμενον, ἄπειρον εἶναι δέδεικται· πάντα γὰρ ὡς αὐτοῦ πρὸς αὐτὸ διὰ τούτων ἀπαφασκόμενα· ἄπειρον οὖν, ὡς ὑπὲρ πᾶν πέρας· οὐδὲν γὰρ ἐστιν ἐν νῷ πρὸς αὐτὸ πέρας· οὐδὲν γὰρ ἀρχὴ, καθάπερ εἴπομεν, οὐδὲν μέσον, οὐδὲ τέλος· ὅθεν ἡμεῖς εἰς ταυτὸν ἠγάγομεν τὸ ἄπειρον τοῦτο τὸ ἔσχατα μὴ ἔχειν· ὡς τὸ ἀμερὲς τὸ μὴ μέρη μὴ ἔχειν· καὶ ἐκεῖνο λέγομεν ἀποφάσκεσθαι τὸ ἔσχατα ἔχον διὰ τοῦ ἀπείρου· μήτε δύναμιν εἰς τὸ ἓν ἀναπέμποντες, μήτε πλῆθος ἀόριστον, μήτ᾽ ἄλλο τι τῶν ὑπὸ τοῦ ἀπείρου σημαινομένων, ἀλλὰ τὸ παρ᾽ οὐδενὸς ὁριζόμενον, οὐδὲ ἔχον οἰκείαν ἀρχὴν ἢ τελευτήν· ἅπερ ἔσχατα λέγεται τῶν ἐσχάτων αὐτὰ μόνον εἰς τὸ ἓν ἀναπέμποντες· ἑπομένως τοῖς ἐν τῇ δευτέρᾳ ὑποθέσει καταφατικῶς δεικνυμένοις· Ταῦτα μὲν καὶ ταύτῃ διορίζομεν.

13. Ὅτι δὲ τὸ οὐδαμοῦ κυριώτατα καὶ ἁπλῶς ἐπὶ τῆς πρώτης αἰτίας λέγομεν, ὑπομνηστέον· λέγεται μὲν γὰρ καὶ ἡ ψυχὴ πολλάκις οὐδαμοῦ, καὶ διαφερόντως ἡ ἄσχετος· ὑπ᾽ οὐδενὸς γὰρ κατέχεται τῶν δευτέρων· οὐδὲ περιείργεται, διὰ δή τινος σχέσεως ἢ ἐνεργείας αὐτῶν, καθάπερ σχέσει τινὶ δεδεμένης, πρὸς τὰ μετ᾽ αὐτήν· λέγεται δὲ καὶ ὁ νοῦς εἶναι· πανταχοῦ γάρ ἐστιν ὁμοίως καὶ πᾶσι πάρεστιν ἐξ ἴσου· πολλῷ μᾶλλον καὶ διὰ τῆς τοιαύτης παρουσίας ἐν οὐδενὶ κατέχεται τῶν αὐτοῦ μετεχόντων· λέγεται ὁ θεὸς εἶναι οὐδαμοῦ, ὅτι πάντων ἐξήρηται· ὅτι ἀμέθεκτος περὶ τῶν τριῶν ἀρχικῶν ὑποστάσεων· ὅπερ εἶπον ἕκαστα τούτων ὀρθῶς λέγεται· ἀλλ᾽ οὐχ᾽ ὁ αὐτὸς τρόπος ἐπὶ πάντων τοῦ οὐδαμοῦ· ψυχὴ μὲν γὰρ οὐδαμοῦ τῶν μετὰ ταύτην· ἀλλ᾽ οὐχ᾽ ἁπλῶς οὐδαμῶς· πάντως γάρ ἐστι καὶ ἐν ἑαυτῇ ὡς αὐτοκίνητος, καὶ ἐν τῇ αἰτίᾳ τῆς ἑαυτῆς· ἐπειδὴ καὶ πανταχοῦ τὸ αἴτιον, προείληφε τὴν τοῦ ἀποτελέσματος, καὶ περιείληφεν ἑνοειδῶς δύναμιν· νοῦς δὲ οὐδαμοῦ καὶ αὐτῶς μετ᾽ αὐτὸν· ἐπεὶ καὶ ἐν

ἑαυτῷ ἐστιν αὐθυπόστατός· καὶ ἔτε περιέχεταί γε ὑπὸ τῆς οἰκείας αἰτίας, εἰ μὲν βούλει θεολογικῶς φάναι, τῆς πατρικῆς· πᾶς γὰρ ὁ νοῦς, πατρός ἐστι νοῦς· ὁ μὲν, τοῦ ὅλου πατρός· ὁ δὲ, τοῦ τῆς οἰκείας τριάδος πατρός· περιέχεται οὖν ὑπὸ τοῦ πατρὸς ὁ νοῦς.

14. Εἰ δὲ κατὰ τοῦτον βούλει τὸν τρόπον οὐχὶ, ἀλλ' ὅτι πᾶς νοῦς ἐφίεται τοῦ ἑνὸς, καὶ ἐν τῷ ἑνὶ κρατεῖται· καὶ διὰ τοῦτο ψεῦδος οὐδαμοῦ φάναι τὸν νοῦν· μόνον δὲ τὸ ἓν ἁπλῶς, οὐδαμοῦ ἐστίν· οὔτε γὰρ ἐν τοῖς μετ' αὐτό ἐστιν, ἅτε ἐξῃρημένον ἀπὸ πάντων· ὅπουγε οὐδὲ ὁ νοῦς, οὐδὲ ἡ ψυχὴ αἱ μετὰ τὸ ἓν ἀρχαὶ, οὔτε ἐν ἑαυτῷ, ἅτε ἁπλοῦν ὂν, καὶ παντὸς πλήθους ἄδεκτον, οὔτε ἐν τῷ πρὸ αὐτοῦ· διότι οὐδὲ ἔστι κρεῖττον τοῦ ἑνὸς τοῦτο ἄρα τὸ ἁπλῶς οὐδαμοῦ· πάντα δὲ τὰ ἄλλα, δευτέρως ἔχει τὸ οὐδαμοῦ· καὶ πῶς μὲν ἐστὶν οὐδαμοῦ, πῶς δ' οὐκ ἔστιν; εἰ γὰρ θελήσεις θεωρῆσαι πᾶσαν τὴν τῶν ὄντων τάξιν, ὄψει τὰ μὲν εἴδη τὰ ἔνυλα, ἐν ἄλλοις ὄντα, καὶ ἐν τισιν ὑποκειμένοις ἑδραζόμενα· τὰς δὲ φύσει, ἐν ἄλλοις μὲν καὶ ταύτας· δύνουσι γὰρ κατὰ τῶν σωμάτων, καὶ ἐν ὑποκειμένῳ πως εἰσίν· ἤδη μέν τοι αὗται ἐν ἑαυταῖς φέρουσαι ἀπήχημά τι καὶ εἴδωλον ψυχικόν· καθ' ὅσον ζωαί τινες ἤδη καὶ οὐσίαι καὶ πάσχοντος ἑνὸς μορίου τινὸς, καὶ αὗται συμπάσχουσι· τὰς δὲ ἐν σχέσει ψυχὰς, ὡς μὲν σχέσιν ἐχούσας, ἐν ἄλλῳ καὶ ταύτῃ· αὕτη γὰρ ἡ σχέσις ἡ πρὸς τὸ δεύτερον, τὸ ἐν ἄλλῳ πάντα συνεισφέρει· καθόσον δὲ ἐπιστρέφειν εἰς ἑαυτὰς δύναται καθαρώτερον ἐν ἑαυταῖς οὔσας· αἱ μὲν γὰρ φύσεις, πᾶσαν ἐνέργειαν περὶ τὰ σώματα συντείνουσι· καὶ ὅπερ ἂν ποιῶσιν, εἰς ἄλλο ποιοῦσιν· αἱ δὲ ψυχαὶ, ταῖς μὲν τῶν ἐνεργειῶν περὶ τὸ σῶμα χρῶνται, ταῖς δὲ εἰς ἑαυτὰς ἐνεργοῦσι, καὶ πρὸς ἑαυτὰς ἐπιστρέφουσι· τὰς δὲ ἀσχέτους ἐν ἑαυταῖς ἤδη· καὶ ἐν ἄλλοις μὲν οὐκ ἔστι τοῖς δευτέροις, ἐν ἄλλῳ δὲ τῷ πρὸ αὐτῶν οὔσας· διχῶς γὰρ τῷ ἐν ἄλλῳ· τὸ μὲν, τοῦ ἐν αὐτῷ καταδεέστερον, τὸ σχέσιν πρὸς τὰ δεύτερα· τὸ δὲ, ἤδη κρεῖτ-

τον· κἀκεῖνο μὲν μέχρι τῶν ἐν σχέσει ψυχῶν· τοῦτο δὲ μόνον ἀπὸ τῶν θείων ἄρχεται καὶ ὅλως ἀσχέτων· καὶ οἷς μὲν ὑπάρχει τὸ δεύτερον· πάντα γὰρ ἐν τοῖς ἑαυτῶν ἐστιν αἰτίοις, καὶ οὐκ ἂν εἴη τῶν αἰτίων ἐκφοιτήσαντα τελέως· οἷς δὲ τὸ πρότερον ἐν τοῖς ἐσχάτοις οὖσιν, οὐκ ἀνάγκη καὶ ἐν τοῖς πρώτοις εἶναι· πάσας δ' οὖν θείας ψυχάς, ἐν τοῖς πρὸ αὐτῶν εἶναι μόνας· οἷον ἐν τοῖς νοὸς ὧν ἐξέχονται· τὸν δὲ νοῦν λοιπὸν, ἐν αὐτῷ τε καὶ ἐν τῷ πρὸ αὐτοῦ πατρὶ λέγω· καὶ ἐν τῇ δυνάμει τοῦ πατρὸς εἰ βούλει· πάντα γὰρ ἄχρι τούτου τῷ ἐν ἄλλῳ ἔχει· αὐτὸς δὲ πῶς ἂν ἔχοι, πότερον ἐν ἑαυτῷ μόνον, ἢ καὶ ἐν ἄλλῳ, μετὰ ταῦτα σκεπτέον, ὁπόταν περὶ τοῦ αὐθυποστάτου λέγομεν.

15. Τὸ τοίνυν οὐδαμοῦ, τοῦτο γὰρ ἡμῖν προκείμενον ἦν κατιδεῖν, τοῖς μὲν ἔχουσι τὸ ἐν ἄλλῳ, τοῦτο δὴ τὸ τοῦ ἐν αὐτῷ καταδεέστερον, οὐδαμῶς ἂν ὑπάρχει· πῶς ἂν τοῖς ἐν ἄλλῳ γεγονόσιν, ἐφαρμόσοιτο οὐδαμοῦ, τὸ ἔν τινι μαχόμενον; τοῖς δὲ ἔχουσιν ἐκεῖνο τὸ ἐν αὐτῷ κρεῖττον, ἐν ἄλλῳ πάρεστι μέν· ἀλλ' οὐχ ἁπλῶς· ἔστι γὰρ ἐν ταῖς αἰτίαις ἕκαστα ταῖς ἑαυτῶν· μόνῳ δὲ τῷ ἑνὶ πρώτως ὑπάρχει τὸ οὐδαμοῦ ἁπλῶς· οὔτε γὰρ ἐν τοῖς μετ' αὐτὸ, οὐ γὰρ θέμις· οὔτε ἐν τῷ πρὸ αὐτοῦ· οὐ γάρ ἐστιν· οὔτε ἐν ἑαυτῷ, οὐ γὰρ πέφυκεν· τὸ μὲν, ὅτι ἄσχετον· τὸ δὲ, ὅτι πρώτιστον· τὸ δὲ, ὅτι μόνως ἐστὶν ἕν· οὔτε οὐδαμοῦ· τοῦτο μὲν παντάπασιν ἀληθὲς, τὸ δὲ πανταχοῦ.

16. Μετὰ τοῦτο ζητητέον πότερον κρεῖττον ἐστὶν τὸ οὐδαμοῦ καὶ τελειότερον, ἢ καταδεέστερον· εἰ μὲν γὰρ κρεῖττον, διὰ τί μὴ τῷ πρώτῳ τὸ κρεῖττον ἀπονέμομεν, ἀλλὰ τὸ οὐδαμοῦ δεδώκαμεν; ἀλλ' οὐ φαμὲν, ὅτι οὐδαμοῦ ἐστὶ μόνον· εἰ δὲ καταδεέστερον, πῶς οὐκ ἄμεινον, ἐπὶ τοῦ μὴ προνοεῖν, τοῦ προνοεῖν· τὸ μὲν γὰρ προνοοῦν, πᾶσι πάρεστι τοῖς τῆς προνοίας ἀξιουμένοις· τὸ δὲ μὴ προνοοῦν οὐδαμοῦ τῶν δευτέρων εἶναι διηνέγκασθαι· μή ποτε οὖν τὸ πανταχοῦ διττόν·

τὸ μὲν, ὡς πρὸς τὰ μετ' αὐτὸ λεγόμενα· ὡς ὅταν φῶμεν τὴν πρόνοιαν παρεῖναι πανταχοῦ, τῷ μηδενὸς ἀποστατεῖν τῶν οὐ δευτέρων· ἀλλὰ πάντα σώζειν καὶ συνέχειν, καὶ διακοσμεῖν, δι' αὐτῶν τῇ μεταδόσει διήκουσαν· τὸ δὲ, ὡς πρὸς πάντα τὰ πρὸ αὐτοῦ καὶ τὰ μετ' αὐτό· κυρίως γοῦν πανταχοῦ τοῦτό ἐστιν, ὃ καὶ ἐν τοῖς δευτέροις ἐστὶ, καὶ ἐν ἑαυτῷ, καὶ ἐν τοῖς πρὸ αὐτοῦ· διό τι καὶ κυρίως πάντα ταῦτα ἐστί· καὶ τούτο τοῦ πανταχοῦ ἀπόφασίς ἐστι τὸ οὐδαμοῦ, τὸ νῦν παρειλημμένον· καὶ τοῦτο τὸ οὐδαμοῦ καὶ πανταχοῦ κρεῖττον, καὶ μόνου τοῦ ἑνὸς ἐξαίρετον· ἄλλο δὲ ἐστι μηδαμοῦ τὸ τῷ πανταχοῦ σύστοιχον· ὃ πρὸς τὰ δεύτερον μόνον λέγειν εἰώθαμεν· ὧν ἑκάτερον ἀληθές ἐστι διὰ τὸ λοιπόν· οὐδαμοῦ γὰρ τὸ ὂν διότι πανταχοῦ· τὸ γὰρ ὑπό τινος τόπου κρατούμενον, ἔν τινι ἐστί· τὸ δὲ πᾶσιν ὁμοίως παρὸν οὐδαμοῦ ἐστιν ἀφωρισμένως· καὶ διότι πάλιν οὐδαμοῦ, διὰ τοῦτο πανταχοῦ· διὰ τὸ πάντων ὁμοίως ἐξηρῆσθαι, πᾶσιν ὁμοίως πάρεστιν· οἷον ἐξ ἴσου τῶν πάντων ἀφεστός.

17. Ταῦτα μὲν οὖν σύστοιχα ἀλλήλοις· ἐκεῖνο δὲ τὸ μηδαμοῦ, κρεῖττον παντὸς τοῦ πανταχοῦ καὶ τῷ ἑνὶ μόνον δυνάμενον ἐφαρμόζειν· ὡς ἀπόφασις τοῦ ἔν τινι· παντὸς γὰρ τοῦ ἐνδεκαχῶς λεγομένου τρόπου, τοῦ ἔν τινι κρεῖττον ἐστὶ τὸ ἕν· εἰ δὴ πᾶν τὸ ἔν τινι ψεῦδος, ἀληθὴς ἡ ἀπόφασις τοῦ οὐδαμοῦ· τὸ γὰρ ἔν τινι, τῷ οὐδαμοῦ ἀντίκειται· καθάπερ δὴ καὶ τὸ τὶς, τῷ οὐδείς· ἡ μέν τοι ὅλη τοῦ συμπεράσματος ἀπόδειξις, τοιαύτη τίς ἐστιν· τὸ ἓν, οὔτε ἐν ἑαυτῷ ἐστὶν, οὔτε ἐν ἄλλῳ· πᾶν δὲ τὸ ἔν τινι ὂν, ἢ ἐν αὐτῷ ἐστὶν, ἢ ἐν ἄλλῳ· τὸ ἄρα ἓν, οὐδαμῶς ἐστὶν ἔν τινι· τὸ δὲ μηδαμῶς ἔν τινι ὂν, οὐδαμοῦ ἐστιν· τὴν δὲ προτέραν τῶν προτάσεων, ἀποδείκνυσιν οὕτω τὸ ἓν οὐδενὸς ἅπτεσθαι δύναται πολλοῖς· τὸ ἐν ἄλλῳ, ἅπτεται τῶν ἐκείνου πολλὰ ἐν ᾧ ἐστί· τὸ ἄρα ἓν, ἐν οὐδενὶ ἄλλῳ ἐστί· πάλιν τὸ ἓν, οὔτε ἀρχὴν ἔχει, οὔτε τελευτήν· οὔθ' ὅλως περιέχον ἐστὶ καὶ περιεχόμενον· τὸ γὰρ ἐν αὐτῷ ὂν,

ἕξει πάντως· τὸ μὲν, περιέχον· τὸ δὲ, περιεχόμενον· τὸ ἄρα ὡς ἀληθῶς ἓν, οὐκ ἔστιν ἑαυτῷ· δέδεικται δὲ, ὅτι οὐδὲ ἐν ἄλλῳ, τὸ ἓν ἄρα, οὔτε ἐν ἑαυτῷ ἐστὶν, οὔτε ἐν ἄλλῳ· καὶ τοιοῦτοι μὲν οἱ τοῦ προκειμένου δεικτικοὶ συλλογιστικοί.

18. Ἀλλ' ἴσως ἐρεῖ τις· πῶς ἔστε τὴν λέξιν ἀφαρμόσαι, τοῖς τοῦ ἓν τινι τρόποις πολλοῖς οὖσι; τὸ γὰρ σημεῖον ἐν τῇ γραμμῇ λέγεται εἶναι, δῆλον ὡς ἐν ἄλλῳ· καὶ γὰρ ἄλλο μὲν σημεῖον, ἄλλο δὲ γραμμὴ, καὶ οὐκ ἐπειδὴς ἐν ἄλλῳ ἐστί· διὰ τοῦτο περιέχεται ὑπὸ τῆς γραμμῆς· καὶ πολλοῖς ἑαυτοῦ μέρεσιν ἅπτεται ὑπὸ τῆς γραμμῆς· ἔστι μὲν δὴ καὶ πρὸς τοῦτο ἀπαντᾷν λέγοντων, ὅτι εἰ καὶ μὴ διαστηματικῶς περιέχει τὸ σημεῖον ἡ γραμμὴ, ἀλλὰ τρόπον ἄλλον αὐτὸ περιέχει· τὰς γὰρ ἰδιότητας αὐτοῦ περιέχει· πέρας γὰρ ἐστὶ τὸ σημεῖον μόνον· ἡ δὲ γραμμὴ, καὶ πέρας καὶ ἄλλό τι μῆκος οὖσα ἀπλατὲς· καὶ ἀδιάστατον μὲν ἐκεῖνο· αὕτη δὲ κατὰ μῆκος διαστατή· καὶ γὰρ ὅλως ἐπεὶ οὐ ταυτόν ἐστι σημεῖον καὶ ἓν, ἀνάγκη πολλὰ εἶναι τὸ σημεῖον· οὐχ' ὡς μέρη ἔχον διαστηματικῶς· ταύτῃ γὰρ ἀμερὲς· ἀλλ' ὡς ἰδιότητας πλείονας συμπληρωτικὰς αὐτοῦ, καὶ διὰ τοῦτο μερῶν ἐχούσας λόγον· ἃς ἡ γραμμὴ περιέχουσα, κατὰ ἂν λέγοιτο τῷ σημείῳ συνάπτεσθαι· ὅτι δὲ οὐ ταυτόν ἐστι σημεῖον, καὶ ἓν, δῆλον· τὸ μὲν γὰρ, ἀρχὴ πάντων· τὸ δὲ, μεγεθῶν μόνον· ἀλλ' οὐδὲ τὸ σημεῖον πρὸ τοῦ ἑνὸς, καὶ γὰρ ἡ μονὰς, ἓν· καὶ τὸ ἐν τῷ χρόνῳ ἀμερὲς· λείπεται οὖν τὸ σημεῖον εἶναι μετὰ τὸ ἓν· καὶ μετέχειν τοῦ ἑνός· ὥστε καὶ οὐχ' ἓν ἐστίν· εἰ δὲ τοῦτο, κωλύεται οὐδὲν ἀσωμάτους ἔχον ἰδιότητας πολλὰς, αἳ εἰσι καὶ ἐν τῇ γραμμῇ, περιέχεσθαι ὑπ' αὐτῶν· οὕτω μὲν οὖν δυνατὸν ἀπαντᾷν.

19. Τὸ δὲ ἓν, οὔτε μέρη ἔχει, οὔτε ὅλον ἐκ μερῶν, ὥστε οὐ δυνατὸν αἰτίαν εἶναι πρὸ αὐτοῦ ἄλλην, ἀλλ' ἔστιν ἐπέκεινα πάντων, ὡς αἰτίαν κρείττονα οὐκ ἔχον· πᾶσαι γὰρ αἱ τάξεις, ἀθρόως ὑπὸ τοῦ ἑνὸς ὑπέστησαν· καὶ τὸ ὑπὲρ πάντα πάντων αἰτιόν ἐστι τῶν ὄντων, τὸ ἓν· αὐτοῦ δὲ αἴτιον, οὐδέν ἐστιν· εἰ γὰρ αἴτιον ἔχει

τὸ ἓν, δεῖ δήπου τὸ αἴτιον τὸ πρὸ αὐτῶν, μειζόνων αἴτιον εἶναι καὶ καλλιόνων, τοῖς ἐφεξῆς· τὰ γὰρ ὑψηλότερον τῶν αἰτίων, ὑψηλοτέρων ἐστὶν ἀγαθῶν τοῖς ἑαυτῶν δευτέροις παρεκτικά· τί οὖν τοῦ ἑνὸς καὶ τῆς ἑνώσεως θειότερον; ἕξει τὰ πράγματα, παρ' ἐκείνης τῆς αἰτίας, ἣν τοῦ ἑνὸς ἐπέκεινα τάττειν ἀξιοῦμεν· εἰ μὲν γὰρ μηδὲν δώσει τοῖς μεθ' ἑαυτὴν, ἄγονος ἔσται καὶ ἀκοινώνητος πρὸς πάντα· καὶ οὐδὲ ὅτι ἔστιν εἰσόμεθα, μηδὲ μίαν ἔχοντες πρὸς αὐτὴν κοινωνίαν· νῦν γὰρ αὐτοφυῶς πάντες τὸ ἓν ἐπιζητοῦμεν, καὶ ἀνατεινόμεθα πρὸς αὐτό· πρὸς δὲ ἐκείνην τὸ συνάψον οὐκ ἂν ἔχοιμεν, εἴπερ μηδὲν ἀπ' αὐτῆς· εἰ δέ τι δώσει κἀκείνη τοῖς οὖσι, πότερον καὶ τί τοῦ ἑνὸς ἔσται κρεῖττον, οὐδὲ πλάσαι δυνατόν· πάντα γὰρ τὰ ἄλλα, κρείττω καὶ χείρω λέγεται κατὰ τὴν τούτου μείζω καὶ ἐλάττω μετουσίαν· καὶ αὐτὸ οὖν καὶ τὸ κρεῖττον, ἑνὸς μετουσίᾳ κρεῖττον· καὶ ὅλως οὐκ ἂν ᾖ τοῦτο πᾶσι περισπούδαστον ἓν, εἴτι κρεῖττον εἴχομεν αὐτοῦ· οὐδ' ἂν, πάντων ὄντων τῶν ἄλλων κατολιγωροῦντες, τὸ ἓν ἐδιώκομεν· καὶ τὸ δίκαιον παρορῶντες, καὶ τὸ καλὸν οὐ προσποιούμενοι, διὰ τὴν τοῦ δοκοῦντος ἡμῖν ἑνὸς προσποίησιν· εἰ τοίνυν τοῦ μὲν ἑνὸς χάριν πάντων τῶν ἄλλων καταφρονοῦμεν, τὸ δὲ ἓν οὐδέποτε τῶν ἄλλων ἕνεκα τινὸς παρορῶμεν, σεμνότατον ἂν εἴη τὸ ἓν εἰκότερον, ὡς συνέχον πάντα καὶ σῶζον ταῖς ἐννοίαις ἡμῶν· τὸ ἄρα τῆς ἑνώσεως παρακτικὸν, πρώτιστον ἂν εἴη τῶν πάντων· τοῦτο ἄρα πρώτιστον τῶν πάντων· οὐκ ἄρα ἔστι τί τοῦ ἑνὸς ἁπλῶς κρεῖττον· αἴτιον οὐκ ἄρα ἐν ἄλλῳ τὸ ἕν· ἀλλ' ὅτι μὲν οὐκ ἔστιν ἀπ' ἄλλης αἰτίας τὸ ἓν, διὰ τούτων δῆλον.

20. Τεττάρων δὲ ὄντων περὶ τὸ ταυτὸν, καὶ ἕτερον προβλημάτων ἀποφατικῶν τοῦ ἑνὸς, καὶ ἡμῖν εὐληπτοτέρων, ἀρχόμενος οὕτω πρόεισι διὰ τῶν λοιπῶν· ἔστι δὲ τὰ τέσσαρα προβλήματα, τοιαῦτα· τὸ ἓν, οὐκ ἔστιν ἑαυτοῦ ἕτερον· τὸ ἓν, οὐκ ἔστιν τῶν ἄλλων ἕτερον· τὸ ἓν, οὐκ ἔστιν ἑαυτῷ ταυτόν· τὸ ἓν, οὐκ ἔστιν τοῖς ἄλλοις ταυτόν· τούτων σαφέστατα μὲν ἐστὶ τὰ ἄκρα·

καὶ γὰρ ὅτι ταυτὸν τοῖς ἄλλοις, οὐκ ἔστι δῆλον· καὶ ὅτι ἕτερον ἑαυτοῦ οὐκ ἔστιν· τὰ δὲ λοιπὰ δύο, δυσμεταχείριστα· πῶς γὰρ ἄν τις παραδέξαιτο, ὅτι οὐκ ἔστιν ἑαυτῷ ταυτὸν, ὅ γε ἔστιν; ἢ πῶς ἂν πεισθείη τὶς, ὅτι οὐκ ἔστιν ἕτερον τῶν ἄλλων, ὅ γε ἐξῄρηται αὐτῶν; πῶς δὲ αὐτὸ τοῦτο δείκνυται; τῶν τεττάρων τὸ πρώτιστον ὅτι οὐχ' ἕτερον ἑαυτοῦ τὸ ἓν, νῦν ἡμῖν ῥητέον· ἔπειτα αὖθις, περὶ ἑκάστου τῶν ἄλλων ἐροῦμεν. δείκνυται μὴν οὖν τὸν τρόπον τοῦτον· εἰ τὸ ἓν ἑαυτοῦ ἕτερον, ἑνὸς ἂν εἴη πάντως ἕτερον· αὐτὸ γάρ ἐστιν ἕν· τὸ δὲ τοῦ ἑνὸς ἕτερον, οὐχ' ἕν· καὶ γὰρ τὸ τοῦ ἀνθρώπου ἕτερον, οὐκ ἄνθρωπος· εἰ τὸ ἓν ἕτερον ἄρα ἑαυτοῦ, τὸ ἓν οὐχ' ἕν ἐστιν· ἀλλὰ μὴν καὶ ἄτοπον τοῦτο περιάγον ἡμᾶς εἰς τὴν ἀντίφασιν ὅτι τὸ ἓν, οὐχ' ἕν· οὐκ ἄρα αἴτιον ἑαυτοῦ τὸ ἕν.

21. Ἀπορήσειε δ' ἄν τις πρὸς τὴν ἀπόδειξιν ταύτην μή ποτε καὶ ἡ ἑτερότης οὕτως ἀποδειχθήσεται, μὴ οὖσα ἕτερον ἑαυτῆς· καὶ τοιγε τοῦτο ἀναγκαῖον· ἕκαστον γὰρ τῶν ὄντως ὄντων, ἀφ' ἑαυτοῦ τὴν ἐνέργειαν ἄρχεται, καθάπερ εἴρηται πολλάκις· καὶ ὁ ἐλεάτης μὲν Ζηνὼν καὶ τὴν θατέρου φύσιν ἔλεγε τῶν ἄλλων γενῶν, ἕτερον οὖσαν· κατὰ τοῦτο ἑαυτὴν εἶναι μὴ ὄν, ὡς τὴν κίνησιν καὶ τὴν στάσιν· ἀλλ' εἰ ἑαυτῆς ἕτερον ἡ ἑτερότης, ἔσται ἕτερον ἑτερότητος· ὥσπερ καὶ τὸ ἓν, οὐχ' ἕν· οὐκ ἄρα καὶ ἑαυτῆς ἕτερον ἡ ἑτερότης· μήποτε οὖν ἀφ' ἑαυτῆς μὲν ἄρχεται τοῦ ἐνεργεῖν ἡ ἑτερότης καὶ ποιεῖ ἕτερον ἑαυτὴν, οὐχ' ἑαυτῆς δὲ ἕτερον, ἀλλὰ τῶν ἄλλων; καὶ γὰρ ἐκεῖνα διακρίνειν ἀπ' ἀλλήλων δύναται, καὶ ἑαυτὴν ἀπ' ἐκείνων πολλῷ πρότερον· καὶ οὕτως εἰς ἑαυτὸν ἐνεργεῖ φυλλάττειν ἑαυτὴν ἀσύγχυτον τοῖς ἄλλοις· εἰ δὲ ἔτι βούλει λέγειν ἀληθέστερον, καὶ ἡ ἑτερότης, καθ' ὅσον ἑαυτῆς ἕτερόν ἐστιν, οὐκ ἔστιν ἑτερότητος· ἑαυτῆς γὰρ ἕτερον τῷ μετέχειν τῶν ἄλλων γενῶν· ταύτῃ οὖν οὐχ' ἑτερότητος, ἢ τῶν ἄλλων μετείληχε· καὶ οὐδὲν ἄτοπον ἐπί γε τῆς ἑτερότητος· πλῆθος γάρ ἐστιν· ἐπὶ δὲ τοῦ ἑνὸς, ἄτοπον· ἓν γάρ ἐστι μόνον, ἄλλο δὲ οὐδέν· δεῖ δὲ τὴν ἀπόφασιν αὐτοῦ

τινός ποιεῖσθαι, καὶ μὴ ἄλλου· λέγω δέ, οἷον εἴ τι ἐπὶ ἀνθρώπου ἕτερον, τοῦτο λέγειν οὐκ ἄνθρωπον· καὶ εἴ τι λευκοῦ, τοῦτο οὐ λευκόν·

22. Οὕτω δ᾽ ἂν ἀποδείξας καὶ τὴν ταυτότητα αὐτὴν, ἔστιν ὅπῃ ταυτότητα μὴ οὖσαν, εἴπερ εἴη πῶς τῇ ἑτερότητι ταυτὸν, ἢ ἄλλῳ τινὶ τῶν ὄντων παρ᾽ ἑαυτήν· λεγέσθω γὰρ ὅτι ἡ ταυτότης, ταυτόν ἐστιν ἑτερότητι, καθ᾽ ὅσον μετέχει τῆς ἑτερότητος· εἰ γοῦν τὸ ἑτερότητι ταυτόν, ἕτερόν ἐστι καὶ οὐ ταυτὸν, ἡ ἄρα ταυτότης, ἕτερον καὶ οὐ ταυτόν· καὶ οὐδὲν γε ἄτοπόν ἐστι· τῇ μὲν γὰρ οὐσίᾳ τῇ ἑαυτῆς, ταυτότης ἐστί· τῇ δὲ μετουσίᾳ τῇ ἐκείνης, ἕτερον· γίνεται δὲ ἐκείνη ταυτὸν, τὸ μετέχειν ἐκείνης, ὃ καὶ παραδοξότατόν ἐστι τὸ ἕτερον γενέσθαι τὸ πρός τὴν θατέρου γενόμενον φύσιν· καὶ οὗτος δ᾽ οὖν ὁ λόγος, ἠρωτημένος ὑπὸ τοῦ ἑνός ἐστιν ἀληθής· διότι τὸ ἓν, οὔτε γένος ἔχει τὶ πρὸ ἑαυτοῦ, οὔτε εἶδος· τὰ μὲν πρὸ ἑαυτῶν ἔχοντα γένος, ἢ εἶδος, οἷον ἄνθρωπος καὶ ἵππος, ταυτὰ ὄντα κατά τὸ γένος ἢ εἶδος, οὐκ ἔτι καὶ ἀλλήλοις ἁπλῶς ἐστὶ ταυτά· μὴ εἶναι δὲ ἀνάγκην πρὸς τοῦ ἑνὸς γένος ἤτοι εἶδος, εἰ μὴ γένηται τὸ ἓν ἢ γένους μετέχον ἢ εἴδους, οὐχ᾽ ἕν· τὸ γὰρ μετέχον τοῦ γένους, ἔχει τὶ παρὰ τὸ γένος· καὶ τὸ μετέχον ὡσαύτως τοῦ εἴδους, ἔχει τὶ παρὰ τὸ εἶδος· καὶ καθόλου πᾶν τὸ μετέχον τινός, ἔχει τὶ παρά τὸ μετεχόμενον· εἰ γάρ μηδὲν, αὐτὸ ἂν ἐκεῖνο εἴη παντελῶς καὶ οὐ μετέχον ἐκείνου· εἰ οὖν τό ἓν, μήτε ἐν γένει ἐστὶ, μήτε ἐν εἴδει, ταυτόν δὲ ἑτέρῳ τινὶ αὐτὸ ἂν ἐκεῖνο εἴη ᾧ ἐστι ταυτὸν οὐκ ἄλλο ὄν· ἀλλὰ τῶν δύο προβλημάτων, ἓν τοῦτο κοινὸν ποιεῖται συμπέρασμα, κοινωνίαν ἐχόντων καθ᾽ ὅσον ἀντιστρόφως ἀλλήλοις λαμβάνεται· τὸ μὲν ἕτερον, πρὸς ἑαυτὸ· τὸ δὲ ταυτὸν, πρὸς τὰ ἄλλα· δοκεῖ γὰρ τὸ μὲν ἕτερον, οἰκείως ἔχειν τῇ πρὸς τὰ ἄλλα ἀναλήψει· τὸ δὲ ταυτόν τι πρὸς ἑαυτὸ· μᾶλλον γὰρ ἐστι τοῦ ἑνός ἐγγύς, ἡ μὲν πρὸς τὰ ἄλλα ἑτερότης διὰ τὴν ἐξῃρημένην τοῦ ἑνός ὑπεροχήν· ἡ δὲ πρὸς ἑαυτὸ ταυ-

τότης, διὰ τὴν ἄῤῥητον αὐτοῦ καὶ ἄφραστον ὑπερένωσιν· διχῶς δὲ λεγόμενον καὶ τοῦ ταυτοῦ καὶ τοῦ ἑτέρου· λέγεται γὰρ ταυτὸν καὶ ἡ ταυτότης καὶ τὸ μετέχον τῆς ταυτότητος· καὶ ἕτερον ὁμοίως, ἥτε ἑτερότης, καὶ τὸ μετέχον τῆς ἑτερότητος· τοίνυν κατ' οὐδέτερον τρόπον τὸ ἓν ἕτερον ἢ ταυτόν· οὔτε γὰρ ὡς ἑτερότης, οὔτε ὡς ἕτερον τῶν ἄλλων ἕτερον· οὔτε ὡς ταυτότης, οὔτε ὡς ταυτοῦ μεταλαβὸν, ἑαυτοῦ ταυτόν· καὶ τὰ μὲν, προαποδίδεικται τούτων· τὰ δὲ, προϊόντες γνωσόμεθα.

23. τούτων δὲ δεδειγμένων, εἰ τάγε ἄλλα τοῦ ἑνὸς ἕτερα ἂν εἴη αὐτοῦ· τά γὰρ ἄλλα συνεισφέρειν δοκεῖ καὶ τὴν τοῦ ἕτερα εἶναι φήμην αὐτὰ τοῦ ἑνός· ταῦτα μὲν γὰρ οὐδαμῶς· οὐ γάρ ἐστι καὶ ταῦτα ἕν· μή ποτε δὲ ὡς εἴπομεν, τὸ πολλὰ τοῦ ἑνός· ἕτερα μὲν τοῦ πολλὰ, καὶ ἄλλα πάντῃ πάντως ἐςίν, οὐχ' ἕτερα δὲ τοῦ ἑνός· ὡς γὰρ αὐτός προείρηκεν τό ἕτερον, ἑτέρου ἕτερον. καὶ εἰ λέγοιτο οὖν ἄλλα καὶ ἕτερα τοῦ ἑνός, οὐχ' οὕτως λέγεται· ὡς δ' ἑτερότητος ἀπ' ἐκείνου ποιησάμενα μὲν τὴν πρόοδον· ἦν γὰρ ἂν δευτέρα μετὰ τὸ ἓν ἡ ἑτερότης, καὶ μέση τοῦ ἑνὸς καὶ τῶν πολλῶν· ἵνα καὶ ταῦτα προΐῃ κατ' αὐτήν· ἀλλ' ἔσται μὲν τούτοις ὕφεσις περὶ τὸ ἕν· οὐ πᾶσα δὲ ὕφεσις, ἑτερότητος ἐςὶν ἔκγονος· ἀλλ' ἡ ἐν τοῖς εἰδητικοῖς διακόσμησις ὕφεσις· ὅθεν δὴ καὶ πᾶν τὸ ἕτερον, τῆς οἰκείας αἰτίας, καὶ ὑφεῖται αὐτῆς· οὐ πᾶν δὲ 7ὸ ὑφειμένον ἠτεροίωται πρὸς ἐκεῖνο αἴτιον ἑαυτοῦ· τάχα δ' ἂν καὶ οὕτως λέγοιτο· τὰ ἄλλα τοῦ ἑνὸς εἶναι ἕτερα 7οῦ ἑνὸς διὰ 7ὴν εἰσελθοῦσαν αὐ7ῶν ἑτερότητα τὴν ἀπόςασιν ποιησάμενα, τὴν ἀπὸ τοῦ ἑνὸς ἑτεροίηθεν· τὰ γὰρ αὐτὰ τοῦ ἀνετεροιώτου διὰ τὴν ἁπλότητα τάξιν ὑφειμένην εἴληχεν· ὥστε καὶ ἄλλα ῥηθήσεται 7οῦ ἑνός, ὡς διὰ τὸ ἀλλήλων ἄλλα γενέσθαι, χωρισθέντα τοῦ τὴν ἀλλήλων προσηγορίαν ἀναιρομένου παντάπασιν ἑνός.

24. Διττῆς οὖν, μᾶλλον δὲ τριττῆς, ἐν τοῖς οὖσιν οὔσης τῆς ἑτερότητος, τῆς μὲν τῶν κρειττόνων, τῆς δὲ τῶν χειρόνων, τῆς δὲ τῶν ὁμοστοίχων, ἀντὶ μὲν τῆς τῶν κρειτ-

τόνων πρὸς τὰ χείρονα τῶν εἰδῶν ἑτερότητος, τὴν ὑπεροχὴν ληπτέον ἐν τοῖς ὑπερουσίοις· ἀντὶ δὲ τῶν χειρόνων πρὸς τὰ κρείττονα τῶν εἰδῶν ἑτερότητος τὴν ὑπεροχὴν ληπτέον ἐν τοῖς ὑπερουσίοις· ἀντὶ δὲ τῆς τῶν χειρόνων πρὸς τὰ κρείττονα τὴν ὕφεσιν· ἀντὶ δὲ τῆς ἀπ' ἀλλήλων διακρίσεως, τὴν ἰδιότητα· πάντα οὖν ὑφεῖται τοῦ ἑνός· καὶ πάντων ὑπερέχει τὸ ἕν· καὶ οὔτε τὸ ἓν ἕτερον τῶν ἄλλων, οὔτε τὰ ἄλλα ἕτερα τοῦ ἑνός· εἰ δέπου καταχρώμεθα τοῖς ὀνόμασι, τὰ ἄλλα τοῦ ἑνὸς λέγοντες, συγγνώμην ἔχειν δεῖ πρὸς τὴν συνήθειαν ἀποβλεπόντων· ὅτι οὐδὲν κυρίως ἐπὶ τοῦ ἑνὸς λέγομεν· λέγομεν δὲ ὅμως τὶ περὶ αὐτοῦ διὰ τὴν αὐτοφυῆ τῆς ψυχῆς, ὠδῖνει παρὰ τὸ ἕν· ἀνάγκη τοίνυν εἴπερ μόνον καὶ ἅπαν τὸ θεῖον, ὑπὲρ οὐσίαν ἐστὶν, ἢ τοῦ πρώτου θεοῦ μόνου εἶναι τὸν παρόντα λόγον, ὃς δὴ μόνος ἐστὶν ὑπὲρ οὐσίαν, ἢ περὶ πάντων θεῶν καὶ τῶν μετ' ἐκεῖνον· ἐπειδὴ γὰρ πῶς θεὸς ἑνάς ἐστι καθὸ θεός; τοῦτο γάρ ἐστι τὸ πάσης οὐσίας ἐνθεωτικὸν τὸ ἕν· διὰ δὴ τοῦτο, συνάπτειν ἀξιοῦσι τῇ περὶ τοῦ πρώτου θεοῦ θεωρίᾳ, τὴν περὶ θεῶν ἁπάντων ὑφήγησιν· πάντες γὰρ εἰσὶν ἑνάδες ὑπερούσιοι, καὶ τοῦ πλήθους τῶν ὄντων ὑπερανέχουσαι, καὶ ἀκρότητες τῶν οὐσιωδῶν.

25. Ἀλλ' εἰ μὲν ὡσαύτως τήν τε πρωτίστην οὐσίαν, ἓν λέγομεν· καὶ τοὺς ἄλλους θεοὺς, ἔδει μίαν αὐτοῖς ὑπόθεσιν ἀποκληροῦν· οὐδὲν γὰρ ἄλλο μᾶλλον περὶ τοῦ πρώτου ἑνός, ἢ τῶν λοιπῶν ἑνάδων φαμὲν αὐτὸν ποιεῖσθαι τὸν λόγον· εἰ δὲ τὸ μὲν πρώτιστον ἓν ὡς δοκεῖ που, καὶ αὐτοῖς μάλιστα πάντων μόνως ἐστὶ καὶ ἀσύντακτον πρὸς τὰ ἄλλα πάντα καὶ ἀμέθεκτον ἁρπάσαν φασὶν αὐτὸ πρὸς τῶν ὅλων καὶ ἄγνωστον, τοῖς πᾶσιν ἐξῃρημένον· ἑκάστη δὲ τῶν ἄλλων ἁπάντων, μεθεκτή πως ἐστὶ καὶ οὐ μόνον ἑνάς, ἀλλὰ καὶ πλήθους οἰκείου μετέχουσα καὶ οὐσίας ἢ νοητῆς ἢ νοερᾶς ἢ ψυχικῆς ἢ καὶ σωματικῆς· μέχρι γὰρ ταύτης, πρόεισιν ἡ μέθεξις· τί χρὴ τὸ μὴ συναριθμούμενον τοῖς οὖσιν ἕν, μὴ δὲ συνταττόμενον ὅλως τοῖς πολλοῖς, εἰς μίαν ὑπόθεσιν ἐμφέρειν ταῖς μετεχομέναις μὲν ἀπὸ

τῶν ὄντων, συνεκτικαῖς δὲ τῶν πολλῶν· οὐδὲ γὰρ περὶ ψυχῆς τε ἀμεθέκτου καὶ τῆς μεθεκτῆς ὁ αὐτὸς λόγος· οὐδὲ τῆς μεθεκῆς ἰδιότητος ἐφαρμόσειεν ἄν ποτε τῇ ἀμεθέκτῳ· οὐδὲ αἱ τῆς κρείττονος, ταῖς τῆς καταδεεςέρας· οὐδὲ γὰρ ἂν ἡ μὲν ἐξῄρητο τῶν πολλῶν αὐτὴ καθ' αὑτὴν, ἡ δὲ συνετάττετο τῷ πλήθει τῶν ψυχῶν· ἀλλ' οὐδὲν οὖν τὸν ἀμέθεκτον συναριθμεῖν χρὴ τοῖς πολλοῖς· οὐδὲ αἱ αὐταὶ πάντων ἰδιότητες· οὐδὲ ἂν ὁ μὲν μονάδος ἐπεῖχε λόγον, οἱ δὲ ἀριθμοῦ περὶ τὴν μονάδα ταύτην ὑφεςηκότος.

26. Ταῦτα γοῦν γράφουσι περὶ τῆς Πλάτωνος θεολογίας· πῶς ἤτοι κατὰ μίαν ὑπόθεσιν θεὸν καὶ θεοὺς τάξομεν, καὶ τὰς αὐτὰς ἀποφάσεις ὁμοίως πᾶσιν ἐφαρμόσομεν; ἔστω μὲν γὰρ, καὶ πᾶς θεὸς ἓν, ἀλλ' οὐχ' οὕτω χωριςὸν ἑαυτῷ τὸ ἓν, οὐδ' οὕτως ἄγνωςον, οὐδ' οὕτως ἀπερίγραφον, ὡς αὐτὸ τὸ πρώτιςον ἕν· εἰ δὲ καὶ αὐτὸς ὁ Πλάτων ἐπὶ τέλει τῆς πρώτης ὑποθέσεως, οὐδὲ οὐσίας καὶ τοῦ εἶναι, φησὶ μετέχειν τὸ ἓν, οὐδὲ εἶναι τὸ ἓν, τὸ ὑπὸ οὐσίας τινὸς μετεχόμενον, πῶς ἐςὶ τοῦτο ταῖς ἄλλαις ἑνάσιν ἐφαρμόσαι δυνατὸν, πᾶσαι δ' ὑπὸ οὐσιῶν μετέχονται· καθάπερ οὖν εἴτις μηδενὶ σώματι χρῆσθαι τὴν ψυχὴν ἔλεγεν, οὐ περὶ πάσης ἂν ἐποιεῖτο ψυχῆς τὸν λόγον, ἀλλὰ περὶ τῆς ἀμεθέκτου μόνης· καὶ εἰ μὴ δὲ ὅλως μετέχεσθαι τὸν νοῦν ὑπὸ ψυχῆς, μόνον ἂν ἔχει γε νοῦν τὸν ἀμέθεκτον· κατὰ τὰ αὐτὰ δὴ καὶ ὃ τὸ ἓν ὑπερούσιον παντελῶς τιθέμενος πάσης οὐσίας καὶ τοῦ εἶναι παντὸς ἐξῃρημένης, μόνον τὸ πρώτιςον ἓν λέγει καὶ ἀμέθεκτον· ἀλλ' οὐ πᾶν τὸ ὑπονοοῦν ἕν· οὐδὲ δὴ καὶ τοῦ ἑνὸς ἐπέκεινα τῆς οὐσίας φησὶν, αὐτὸς εἶναι τὸ ἕν· οὐδὲ γὰρ τοῦτο κυρίως ἐπονομάζεσθαι· πῶς γὰρ ἂν ἐπὶ τῶν μετὰ πρώτων ἑνάδων ἐπαληθεύσειε; τὸ γὰρ ὑπὸ πλήθους μετεχόμενον ἓν, καὶ τὸ τοῖς οὖσι συνὸν, οὐκ ἔςι κρεῖττον· καὶ τοῦ ἓν ὀνομάζεσθαι παντελῶς, ὃ μὴ δὲ αὐτὸ ἐξήρτηται τοῦ ὄντος ὅμοιον· ὡς εἴ τις καὶ τὴν ψυχὴν τοῖς σώμασι κοινωνήσασαν, κρείττονα ἔλεγεν εἶναι ψυχῆς.

27. Εἰ δὲ καὶ πᾶν τὸ πλάτος τῶν θεῶν, καὶ πᾶν τὸ ἓν τὸ μετεχόμενον ὑπὸ τοῦ ὄντος, ἔχομεν ἐν τῇ δεύτερον παραδεδομένου ὑποθέσει, τοῦτο ἐκεῖνο ὅπερ ζητοῦντες, συνωθοῦσι τὸν περὶ θεῶν λόγον εἰς τὴν πρώτην ὑπόθεσιν, τί χρὴ πράττειν ἐνταῦθα τὸν λόγον τοῖς περὶ τοῦ πρώτου σκέμμασιν προστιθέντα τὴν περὶ τοῦ πλήθους τῶν θεῶν ἐξήγησιν; τί γὰρ ἄλλο ἐστὶ τὸ ἓν ἐκεῖνο, τὸ τῷ ὄντι συντεταγμένον, καὶ μετὰ τοῦ ὄντος προϊὸν, ἢ τὸ πλῆθος τῶν θεῶν, τὸ πάσης ἐκθεωτικὸν τοῦ ὄντος ὑποστάσεως, καὶ παντὸς τοῦ οὐσιώδους πλήθους συνεκτικόν; πᾶσα γὰρ οὐσία, ταῖς ἑνάσιν ὑπέστρωται τῶν θείων, καὶ πᾶν τὸ μεθεκτὸν ἓν, οὐσίας ἐστὶν ἑνωτικὸν, νοητῆς, ἢ νοερᾶς, ἢ πρὸς ταύτῃ καὶ ψυχικῆς, ἢ σωματοειδοῦς· καὶ οὐδὲν ἄλλο ἐστὶν ἕκαστος τῶν θεῶν, ἢ τὸ μετεχόμενον ἕν· ὡς γὰρ ὁ κυρίως ἄνθρωπος κατὰ ψυχὴν, οὕτως ὁ κυρίως θεὸς κατὰ τὸ ἕν· κατὰ γὰρ τὸ κυριώτατον, ἕκαστον ὑφέστηκε τῶν πάντων· ἀναγκαῖον ἄρα τὴν πρώτην ὑπόθεσιν, περὶ θεοῦ μόνου εἶναι, καθόσον ἐστὶ γεννητικὸς οὗτος τῶν πολλῶν θεῶν αὐτὸς ἐξῃρημένου τοῦ πλήθους· καὶ ἀσύντακτος ὢν πρὸς ἀπ' αὐτοῦ προεληλυθότας· διὸ καὶ πάντα ἀποφάσκεται τούτου τοῦ ἑνὸς, ὡς πάντων ὑπεριδρυμένου, καὶ ἀπὸ πάντων ἐξῃρημένου· καὶ πάσας μὲν παράγοντος τὰς τῶν θεῶν ἰδιότητας· αὐτοῦ δὲ ἀπεριορίστου καὶ ἀπεριγράφου τοῖς πᾶσιν ὑπάρχοντος· οὐ γὰρ τὸ ἕν ἐστιν, ἀλλ' ἁπλῶς ἕν· καὶ οὐδὲ νοητὸν ἢ νοερὸν, ἀλλ' ὑποστατικὸν, καὶ τῶν νοητῶν καὶ τῶν νοερῶν ἑνάδων· πάσης γὰρ ἀρχικῆς τάξεως ἡγεῖσθαι χρὴ πρὸ τοῦ μετεχομένου πλήθους, τὸ ἀμέθεκτον αὐτῶν, καὶ πρωτουργὸν εἶδος, καὶ εἰδῶν κρεῖττον αἴτιον· οὕτω που καὶ πρὸ τῶν ἐνύλων εἰδῶν τὰ ἄϋλα, καὶ πρὸ τῆς ἐν ἄλλῳ γενομένης ζωῆς, ἡ χωριστὴ καὶ ἑαυτῆς οὖσα καὶ ἀμιγής· καὶ πανταχοῦ τῶν γεγονότων προηγεῖται τὰ ἐν αὐτοῖς ὑφεστηκότα· καὶ τῶν πολλῶν ἄρα ψυχῶν καὶ τὰ σώματα κατανειμαμένων ἡγεῖται κατ' οὐσίαν ἡ ἀμέθεκτος ψυχὴ, τὸν ὑπερουράνιον τόπον ἐπιστρεφομένη, καὶ τῶν πολλῶν νόων ὁ εἷς καὶ ἀμέθεκτος νοῦς, ὁ χωρι-

ϛὸς καὶ αἰωνίως ἱδρυμένος, καὶ συνέχων ἄνωθεν πᾶσαν τὴν νοερὰν οὐσίαν· καὶ τῶν πολλῶν νοητῶν τὸ πρώτιϛον ὑπερήπλωται νοητὸν, τὸ ἄμικτον καὶ καθ' ἑαυτὸ μονοειδῶς ὑφεϛηκός· ἄλλο γὰρ τὸ ἐν ἑκάϛῳ νοητὸν, καὶ ἄλλο τὸ ἐφ' ἑαυτοῦ προϊδρυμένον· καὶ τοῦτο μὲν μόνως νοητὸν· ἐκεῖνο δὲ ὡς νοεροῖς νοητὸν· καὶ τῶν πολλῶν ἄρα καὶ μετεχόντων ἑνάδων ἐπέκεινα τὸ ἀμέθεκτον ἐϛὶν ἓν πάντων ὥσπερ εἴρηται τῶν θείων διακόσμων ἐξῃρημένον.

28. Πολλοῦ ἄρα δεήσομεν ἡμεῖς τὴν ἀκρότητα τοῦ νοητοῦ λέγειν τὸν θεὸν τὸν πρῶτον, ὥσπερ ἀκούω τινῶν ἐν θεολογίᾳ ϛρωσάντων, καὶ τὸν ἐκεῖ πατέρα ποιεῖν τῶν πάντων τὸ ἓν αὐτόν· οὗτος μὲν γὰρ, ἑνάς ἐϛὶ μεθεκτή· νοητός γοῦν λέγεται πατὴρ, καὶ ἡ τῶν νοητῶν ἀκρότης, καὶ παντὸς τοῦ νοητοῦ συνεκτικός, ἀλλὰ πατήρ· ὁ δὲ πρῶτος θεός ὁ διὰ τῆς πρώτης ὑποθέσεως ὑμνούμενος, οὔτε πατὴρ, ἀλλὰ κρείττων καὶ πάσης τῆς πατρικῆς θεότητος· ἐκεῖνος μὲν γὰρ ἀντιδιῄρηται πρὸς τὴν δύναμιν καὶ τὸν νοῦν ὧν λέγεται πατήρ· καὶ συμπληροῖ τριάδα μίαν μετ' ἐκείνην· οὗτος δὲ ὁ πρῶτος οὗτος θεός, ἐξῄρηται πάσης πρὸς πάντα καὶ ἀντιδιαιρέσεως καὶ συντάξεως· οὕτω πολλῷ πλέον νοητὸς πατήρ· οὐδενός γὰρ ἐστι τῶν δευτέρων· οὐδὲ μεθεκτὸς ὅλως ἐϛίν· οὔτ' ὢν ὑπὸ νοερὰν, οὔτε ὑπὸ νοητὴν οὐσίαν· ἀλλ' ὑπερήνωται μὲν πασῶν τῶν μετεχομένων ἑνάδων· ὑπερήρπαϛαι δὲ πασῶν τῶν τοῦ ὄντος προόδων· σκοπὸς μὲν οὖν οὗτος ἡμῖν νοείσθω τῆς πρώτης ὑποθέσεως· ἀναδραμεῖν ἀπὸ τοῦ ενός ὄντος, ἐπ' αὐτὸ τὸ ἓν, ὡς ἀληθῶς· καὶ θεωρῆσαι πῶς ἐξῄρηται τῶν ὅλων ἐκεῖνο, καὶ πῶς οὐδενὶ συναριθμεῖται τῶν θείων διακόσμων.

29. Ἀλλ' ἐπειδὴ ἀποροῦσι τινὲς λέγοντες ὅτι τὸ πρώτον ἐνέργειαν, εἰς τὰ δεύτερα πάντως ἀναγκαῖον· δίδωσι γὰρ αὐτοῖς τὴν ἕνωσιν πᾶσι καὶ ἐϛὶ πάντων αἴτιον τῶν μετεχομένων ἑνιαίων εἰδῶν ἐν τοῖς οὖσι· τί οὖν κωλύει, ταύτην αὐτῆς τὴν ἐνέργειαν, κίνησιν ἀποκαλεῖν; συντόμως πρὸς τοῦ-

τους λέγομεν, ὅτι τὴν ἐνέργειαν οὐ δεῖ πρὸ οὐσίας τάττειν, οὐδὲ ὅλην ἐνέργειαν τῷ πρώτῳ διδόναι· πᾶν γὰρ τὸ ἐνεργοῦν, δύναται τοῦτο πάντως ὃ ἐνεργεῖ· δέον οὖν ἔσται καὶ δύναμιν τῷ πρώτῳ διδόναι τοὺς τὴν ἐνέργειαν συγχωρήσαντας· δυνάμεως δὲ ἐκεῖ καὶ ἐνεργείας οὔσης, πλῆθος ἡμῖν ἐν τῷ ἑνὶ πᾶσιν ἀναφανήσεται· καὶ οὐχ' ἓν ἐστι τὸ ἕν· εἰρήσθω γὰρ τὸ δοκοῦν, καὶ τὸ εὐθὺς μετὰ τὸ ἓν, κρεῖττον εἶναι δυνάμεως φαμὲν καὶ ὑποστατικὸν τῆς δυνάμεως, καὶ πολλῷ μᾶλλον καὶ ἐνεργείας· εἰς γὰρ τῆς πρώτης τριάδος τῶν νοητῶν ὕπαρξις πάσης ἐστὶν ἐπέκεινα δυνάμεως, καὶ πάσης ἐνεργείας· πόσῳ ἄρα μᾶλλον τὸ ἓν, τὸ πᾶσαν ὕπαρξιν ὑπεραῖρον, κρεῖττον εἶναι θησόμεθα τοῦ ἐνεργεῖν; καὶ οὐ θαυμασόμεθα πῶς πάντα ἀπὸ τοῦ ἑνὸς ἐκείνου μὴ ἐνεργοῦντος· κινδυνεύει γὰρ τὸ τῷ ἐνεργεῖν τὶ παράγειν, δι' ἔλλειψιν τοῦτο πάσχειν δυνάμεως· κρεῖττον δὲ εἶναι τὸ τῷ εἶναι μόνῳ παράγειν· τοῦτο γοῦν ἄπραγμον ἐστὶ ποιήσεως· οὕτω καὶ ἡ ψυχὴ ζῶον ποιεῖ παντὶ, ᾧ ἂν παρῇ τῷ εἶναι ζωὴ μόνον οὐκ ἄλλην ἔχουσα τινὰ ἐνέργειαν παρὰ τὸ ζῆν· ἀλλ' ἐν τῷ ζῆν μόνῳ παντὶ τῷ δυναμένῳ ζῆν μεταδιδοῦσα τῷ ζῆν· καὶ νοῦς ὑφίστησι τὰ μετ' αὐτὸν, τῷ εἶναι ὅ ἐστιν· οὐκ ἔχων ἄλλην ἐνέργειαν παρὰ τὸ εἶναι, τὴν διδοῦσαν τὸ εἶναι οἷς δίδωσιν.

30. Ἐπειδὴ δὲ οὐ μόνον τὸ εἶναι ποιεῖ, νοῦς ὢν, ἀλλὰ καὶ νοεῖ ἃ ποιεῖ, καὶ ἡ ψυχὴ γινώσκει τοῦτο, ὅτι ποιεῖ ζῆν, τὸ ζῆν δὲ δοκεῖ καὶ νοῦς καὶ ψυχὴ δι' ἐνεργείας γνωστικῆς ποιεῖν, ποεῖ δὲ κατ' ἀλήθειαν μετ' ἐνεργείας γνωστικῆς, οὐ δι' ἐνεργείας δὲ γνωστικῆς· κἂν ἀφέλῃς ταύτην καταλιπὼν, τῇ μὲν τῷ εἶναι ζωὴν, ὅ ἐστι παράξει καὶ ψυχὴ καὶ νοῦς, ἃ δὴ μετὰ τοῦ γνωστικοῦ παρῆγεν· εἰ δὲ ταῦτα τῷ εἶναι παράγει, πολλῷ μᾶλλον τὸ ἓν ἐκεῖνο πρὸ τούτων αὐτῷ τὸ ἓν ὑπάρχειν, παράξει τὰ πάντα· μὴ δ' ἐνεργείας μετὰ τὸ εἶναι ἓν δεόμενον· καὶ γὰρ εἰ δι' ἐνεργείας παρῆγεν, ἔδει τὸ ζῆν, ἐπειδὴ ἐνεργεῖ, πότερον ὑφίστησι τὴν ἐνέργειαν

ἑαυτοῦ τὸ ἓν, ἢ οὐχ' ὑφίστησιν; εἰ μὲν γὰρ οὐχ' ὑφίστησι δύο ἔσται τὰ πρῶτα. Τὸ ἓν, καὶ ἡ ἐνέργεια τοῦ ἑνὸς, διαφερόντων ἀλλήλων· εἰ δὲ ὑφίστησιν, ἀνάγκη ταύτην ὑφιστάνειν, τὸ ἓν πρὸ ἐνεργείας, καὶ ἐπ' ἄπειρον ἄνιμεν, ἐνέργειαν πρὸ ἐνεργείας τιθέντες· ὥστε τὸ ἓν ἀνάγκη πρὸ ἐνεργείας παράγειν αὐτὴν τὴν ἐνέργειαν. εἰ δὲ τοῦτο, θαυμαστὸν οὐδὲν, εἰ καὶ τὸ πάντων αἴτιον, οὕτως εἴη πρὸ πάσης ἐνεργείας· εἰ μὴ ἄρα τὸ πρὸ πάσης ἐνεργείας τὸ πρῶτον ἀπ' αὐτοῦ παρελθὸν, ἐνέργειαν αὐτοῦ τὶς ἐθέλοι καλεῖν· πολλαχοῦ καὶ ἐπὶ τῶν τῇδε πραγμάτων τὰ ἀποτελέσματα καλούντων ἡμῶν ἐνεργείας τῶν ἀποτελεσάντων αὐτά· καὶ εἰ τοῦτο λέγοι τὶς, δῆλον ὅτι οὐκ ἐν αὐτῷ ἡ ἐνέργεια, ἀλλὰ μετ' αὐτὸν· ὥστε τὸ ἓν οὐ δεηθὲν ἐνεργείας ὑπέστησεν, ὃ πρῶτον ὑπέστησεν· ὡς δὲ πρῶτον, οὕτω καὶ πᾶν ὑπέστησεν· πάντα ἄρα μὴ ἐνεργῆσαν, ὑπέστησεν· εἰ δὲ αὐτὸ τοῦτο λέγοντες ὑπέστησε, καὶ παρήγαγεν ἐνεργείας ὀνόματα, λέγομεν, οὐδὲ τοῦτο χρὴ θαυμάζειν· ἀπὸ γὰρ τῶν ὄντων αὐτῷ τὰ ὀνόματα προσάγομεν· ὀνόμασιν ἐνεργητικοῖς τὴν ἀνέργητον, ἀπ' ἐκείνου τῶν πάντων σημαίνοντες ἔκφανσιν· καί μοι δοκεῖ καὶ ὁ δαιμόνιος Ἀριστοτέλης διὰ ταῦτα τὸ καθ' ἑαυτὸ πρῶτον ἀπλήθυντον φυλάττων, τελικὸν αἴτιον τῶν πάντων ποιεῖ μόνον· ἵνα μὴ ποιοῦν πάντα διδοὺς, ἀναγκασθῇ δοῦναι τὴν πρὸς τὰ μετ' αὐτὸ ἐνέργειαν αὐτῷ· εἰ γὰρ μόνον τελικόν ἐστι, πάντα μὲν πρὸς αὐτὸ ἐνεργεῖ, αὐτὸ δὲ πρὸς οὐδέν.

31. Ἀλλ' ἐπαναλαβόντες τὸν λόγον, πάλιν λέγομεν· οὔτε τὸ πλῆθος ἀσύντακτον ἐστὶν οὐδαμοῦ τοῦ ἑνὸς καὶ ἀφ' ἑαυτοῦ διεσκευασμένον, οὔτε τὸ ἓν ἄγονον καὶ ἔρημον τοῦ προσήκοντος αὐτῷ πλήθους· ἀλλὰ καὶ τοῦτο δευτέρων ἡγεῖται μονάδων· καὶ τὸ πλῆθος ἔχει τὴν αὐτῷ πρέπουσαν ἕνωσιν· πάντα γὰρ τὰ πλήθη τά τε νοητὰ καὶ τὰ νοερὰ, καὶ ὅσα ὑπὲρ τὸν κόσμον καὶ ἐν τῷ κόσμῳ, μονάδων οἰκείων ἐξήρτηται, καὶ συντέτακται ἀλλήλοις· αἱ δὲ μονάδες ἐκ μιᾶς μονάδος πάλιν· ἵνα καὶ τὸ τῶν μονάδων πλῆθος, μὴ ἀφ' ἑαυτοῦ διῃρημένον ᾖ, καὶ πλῆθος

μόνον τῆς ἑνώσεως ἔρημον· οὐ γὰρ ἦν θέμις τὰς τῶν ἄλλων ἑνοποιοὺς αἰτίας, αὐτὰς ἀπεσπάσθαι ἀλλήλων, καὶ διῃρημένας εἶναι. εἰ δὲ ἥνωνται, πόθεν ἡ ἕνωσις; οὐ γὰρ ἄλλοθεν, ἢ ἐξ ἑνός· δεῖ τοίνυν ἐκ τοῦ ἑνὸς τὰς πολλὰς ἑνάδας· ἐκ δὴ τούτων, τὰ πλήθη, τά τε πρῶτα καὶ τὰ ἐφεξῆς, καὶ ἀεὶ τὰ πορρώτερα τοῦ ἑνὸς, πληθύνεσθαι μᾶλλον τῶν πρὸ αὐτῶν· πάντων δὲ ὅμως πλῆθος, ἔχειν ἑνάδα διττήν· τὴν μὲν, συντεταγμένην· τὴν δὲ, ἐξῃρημένην· ἴδε γὰρ αὐτὸ πρῶτον ἐπὶ τῶν εἰδῶν· οἷον, ὅπως ὁ ἄνθρωπος διττῶς· ὁ μὲν, ἐξῃρημένος· ὁ δὲ, μετεχόμενος· ἄλλος μὲν, ὁ αὐτοάνθρωπος· ἄλλος δὲ, ὁ ἐν τοῖς καθ' ἕκαστα· καὶ ἐκεῖνος μὲν, αἰώνιος· οὗτος δὲ, πῆ μὲν θνητὸς, πῆ δ' οὔ· καὶ ἐκεῖνος μὲν νοητὸς, οὗτος δὲ αἰσθητός· ἄλλη ἡ ἀμέθεκτος ψυχὴ, καὶ ἄλλη ἡ μεθεκτή· ἡ μὲν, συνδέουσα τὸ πλῆθος τῶν ψυχῶν· ἡ δὲ, ἀπογεννῶσα τὸ πλῆθος· καὶ ἄλλος μὲν ὁ ἀμέθεκτος νοῦς, ἄλλος δὲ ὁ μεθεκτός· ὁ μὲν, παράγων τὸ νοερὸν πλῆθος· ὁ δὲ, συνέχων· καὶ ὂν τοίνυν ἄλλο τὸ ἀμέθεκτον· ἀφ' οὗ τὰ ὄντα πάντα, καὶ ὁ τῶν ὄντων ἀριθμός· καὶ ἄλλο τὸ μεθεκτὸν καὶ ἕν· τὸ μὲν, ἁρπᾶσαν ἑαυτὸ πρὸ τῶν ὄντων· τὸ δὲ, ὑπὸ τῶν ὄντων μετεχόμενον.

32. Δεῖ τοίνυν ἐπὶ πάσης τάξεως τῶν πραγμάτων νοεῖν ἑνάδα μὲν ἐξῃρημένην ἄλλην, καὶ ἑνάδα μετὰ τοῦ πλήθους ἄλλην· ἔπειτα τὸ πλῆθος οὕτω καθ' ἑαυτὸ μηδὲν μετέχον τῆς οἰκείας ἑνάδος· πᾶσαι γὰρ αἱ τῶν ὁποιωνοῦν εἶναι λεγομένων μονάδες, τὰ μὲν παράγουσιν ὡς ἀπὸ ὁλικῶν αὐτῶν, καθ' ὑπόβασιν θεωρικώτερα τῆς ἰδιότητος τῆς αὐτῆς μενούσης, μερικωτέρας δὲ τούτων γινομένης· τὰ δὲ, κατ' οὐσίας ἐξαλλαγὴν, ὡς ἀπὸ παραδειγμάτων εἰκόνων γίνεσθαι προόδους· πᾶσαι γὰρ αἱ εἰκόνες, ἐξηλλαγμέναι κατ' οὐσίαν βούλονται εἶναι τῶν οἰκείων παραδειγμάτων, καὶ μηκέτι τὸν αὐτὸν λόγον ἔχειν, ἀλλὰ τὸν ὅμοιον· οὕτω δὲ οὖν, ὁ μὲν ὅλως νοῦς ὑφίστησι τοὺς μερικοὺς καθ' ὑπόβασιν· τὰς δὲ ψυχὰς, κατὰ πρόοδον· τοὺς μὲν, ἐξ ὅλου ἑαυτοῦ μερικούς· τὰς δὲ, ἐκ παραδείγματος ἑαυτοῦ εἰκόνας· ἡ δὲ ὅλη ψυχὴ τὰς

μὲν μερικώτερον ψυχὰς, καθ' ὑπόβασιν πάντως μερικὰς οὔσας ὅσα ἐκείνη ὁλικῶς· τὰς δὲ φύσεις τὰς περὶ τὰ σώματα μεριϛὰς, κατὰ πρόοδον, ὡς εἰκόνας ἑαυτῆς, οὐκέτι τὸν αὐτὸν ψυχικὸν λόγον ἐχούσας, ἀλλὰ τὸν ὅμοιον πρὸς τὴν ψυχὴν, διὰ ζωτικὸν ἰδίωμα μόνον· χρὴ μέντοι εἰδέναι, ὅτι τὰ μὲν πολλὰ καθὸ πολλὰ, μίαν αἰτίαν ἔχει τὸ ἕν· οὐ γὰρ ἀλλαχόθεν πᾶν πλῆθος ἐϛὶν, ἢ ἐκ τοῦ ἑνός· ἐπεὶ καὶ τῶν ὄντων πλῆθος καθόσον μὲν ὄντα ἐϛὶν, ἐκ τοῦ ὄντος ἐϛὶν· καθόσον δὲ πλῆθος ἐκ τοῦ ἑνὸς ὑφέϛηκεν· εἰ γὰρ ἦν τὸ πλῆθος ἔκ τινος ἄλλης αἰτίας παρὰ τὸ ἓν, ἐκείνην ἀναγκαῖον ἦν πάλιν, ἢ ἓν εἶναι, ἢ οὐδὲν, ἢ οὐχ' ἕν· ἀλλ' εἰ μὲν οὐδὲν ἦν, οὐδ' ἂν αἰτίαν εἶναι δυνατὸν αὐτὴν· εἰ δὲ οὐχ' ἓν, πάλιν οὐχ' ἓν οὖσαν, μηδὲν διαφέρειν τῶν πολλῶν, τῆς αἰτίας πανταχοῦ διαφερούσης τῶν πολλῶν ἀπ' αὐτῆς· λείπεται οὖν ἢ ἀναίτια εἶναι τὰ πολλὰ, καὶ ἀσύντακτα ἀλλήλοις, καὶ ἀπειράκις ἄπειρα, μηδενὸς ἐν αὐτοῖς ὄντος ἑνός· ἢ τὸ ἓν, αἴτιον εἶναι τοῖς πολλοῖς· ἢ γὰρ οὔτε ἕκαϛον τῶν πολλῶν ἓν, οὔτε τὸ ἐκ πάντων· καὶ οὕτως ἀπειράκις ἄπειρα, μηδενὸς ἐν αὐτοῖς ὄντος ἑνός, ἢ τὸ ἓν αἴτιον εἶναι τοῖς πολλοῖς· ἢ γὰρ οὔτε ἕκαϛον τῶν πολλῶν ἓν, οὔτε τὸ ἐκ πάντων· καὶ οὕτως ἀπειράκις ἄπειρα ἔϛαι πάντα· ἢ ἕκαϛον μὲν, ἕν· τὸ δὲ ἐκ πάντων οὐχ' ἓν, καὶ ἀσύντακτα ἔϛαι ἀλλήλοις· συνταχθέντα γὰρ, ἑνὸς ἀνάγκη μετέχειν, ἢ ἔμπαλιν· καὶ ἕκαϛον ἀπειράκις εἶναι ἄπειρον, μηδενὸς ὂν ἑνὸς μετέχον· ἢ ἄμφω ἑνὸς μετέχει, καὶ δεῖ πρὸ αὐτῶν εἶναι, τὸ ἑνοποιὸν ἀμφοτέρων καὶ τῶν μερῶν καὶ τοῦ ὅλου· μήτε ὅλον ὂν, μήτε μέρος ἔχον πάλιν· καὶ τοῦτο ἐπειδκὲς ἔϛαι ἑνός· καὶ εἰ ἐπ' ἄπειρον ἦν, ἥξομεν εἰς τὸ πρὸ τοῦ ὅλου καὶ τῶν μερῶν ἕν· πρὸς τούτοις καὶ εἰ ἄλλό τι αἴτιον, ἢ παρὰ τὸ ἓν τῶν πολλῶν, οὐκ ἂν ἦν πλῆθος ἑνάδων ἃς παράγει τὸ ἕν· εἰ ἄρα εἰσὶ πολλαὶ ἑνάδες, αἴτιον τῶν πολλῶν καθὸ πολλὰ τὸ ἕν· τὸ γὰρ ἑνάδων πρώτως αἴτιον τὸ ἕν· διὸ καὶ ἑνάδες λέγονται· τὸ δὲ ὄντων πλῆθος ἐϛὶν ἐκ τοῦ τῶν ἑνάδων πλήθους· ὥϛε πᾶν πλῆθος, ἐκ τοῦ ἑνός ἐϛιν.

C A P. VI.

Τίς ἡ ἀνάβασις ἐπὶ τὸ πρῶτον αἴτιον πάντων τῶν ὄντων, καὶ τίνα τρόπον ἐπιτελουμένη.

1. Τίνα οὖν τρόπον γίνεται ἡ ἐπ' ἐκεῖνο τὸ ἄῤῥητον, τῆς ἡμετέρας διανοίας ἀνάβασις, λέγομεν ἤδη· ἀπὸ τῶν ἐσχάτων καὶ αἰσθητῶν τὴν ἀρχὴν ποιησάμενοι, ἐπ' ἐκεῖνο ἀναβησόμεθα, καὶ εἰς τὴν περὶ αὐτοῦ καθορμιοῦμεν, τὰς τῆς ἀληθείας ὠδῖνας. πῶς οὖν ἄν τις ἐξ ἀρχῆς ἀπὸ τῶν ἐναργῶν ὁρμώμενος, τὴν ὅλην ποιήσαιτο ταύτην ἀνάβασιν; οὐκοῦν ἀξίωμα τοῦτο προβλητέον, ᾧ ἐποχούμενοι, ὑπερβησόμεθα ἐντεῦθεν ἐκεῖσε κατὰ δύναμιν ὡς οἷόν τε ἀσφαλῶς. λεγέσθω τοίνυν τὸ ἀνενδεὲς, φύσει πάντως εἶναι πρὸ τοῦ ἐνδεοῦς· τὸ γὰρ ἄλλου δεόμενον, δουλεύειν ἐκείνῳ πέφυκεν ἐξ ἀνάγκης οὗ ἐστιν ἐνδεές· εἰ δὲ ἀλλήλων ἀντιδεῖται, κατ' ἄλλο καὶ ἄλλον ἑκάτερον ἐνδεόμενον, οὐ κἂν εἴη ἀρχή· τῇ γὰρ ὄντως ἀρχῇ, τὸ ἀνενδεὲς οἰκειότατον· εἰ γάρ του δέοιτο, κατὰ τοῦτο οὐκ ἂν εἴη ἀρχή· δεῖ δὲ τὴν ἀρχὴν, αὐτὸ τοῦτο μόνον εἶναι ἀρχήν· πρέπει ἄρα ταύτῃ τὸ ἀνενδεὲς καὶ τὸ μηδαμῶς τι πρὸ αὐτῆς εἶναι ὁμολογεῖν· ὁμολογήσει δὲ, τὸ ἐνδεὲς ἔχουσα κατά τι· ἔστω τοίνυν σῶμα πεποιημένον· τοῦτο γάρ ἐστι τὸ πρῶτον ἡμῖν αἰσθητόν· ἆρ' οὖν τοῦτο πρώτη ἀρχή; ἀλλὰ δύο τοῦτό ἐστι, σῶμα καὶ εἰδικὴ ποιότης· ὅπερ ἐν ὑποκειμένῳ ἐστὶ τῷ σώματι· ποτέρα οὖν φύσις ἐστὶ προτέρα; ἡ γὰρ συναμφότερος ἐνδεής ἐστι τῶν οἰκείων μερῶν· ἔτι δὲ μεριστόν ἐστι πάντη τὸ σῶμα· καὶ τῶν μερῶν αὐτοῦ ἕκαστον, ἐνδεὲς τῶν ἄλλων καὶ τοῦ ὅλου· καὶ τὸ ὅλον τῶν πάντων ἐνδεές· ἔτι δὲ, εἰ οὐχ' ἕν ἐστιν ἀλλ' ἡνωμένον, δεῖται τοῦ συνέχοντος ἑνός, ὡς φησὶ Πλάτων· ὥστε οὐκ ἀφ' ἑαυτοῦ παράγεται, ἀλλ' ἔστι τὶς ἄλλη ἀρχὴ πρὸ αὐτοῦ.

2. Καὶ δὴ ὑποκείσθω ἣν καλοῦμεν φύσιν, ἀρχὴν κινή-

σεως οὖσαν καὶ ἠρεμίας, ἐν αὐτῷ οὖσαν τῷ κινουμένῳ καὶ ἠρεμιζομένῳ, καθ' αὐτὸ καὶ οὐ κατὰ συμβεβηκός· ἁπλουστέρα γάρ τις αὕτη ἐςὶ καὶ δημιουργητικὴ τῶν συνθέτων εἰδῶν, ὡς ἐσχάτη ζωή· τὸ μὲν γὰρ σῶμα, τὴν πάντη διάςασιν δίδωσιν· ἡ δὲ ποιότης, τὸ ἐπιπολλῆς φαινόμενον καὶ τῇ αἰσθήσει προσπίπτον· ἡ δὲ φύσις, τὴν ἔνδοθεν προϊοῦσαν ἐνέργειαν φυσικὴν, εἴτε κατὰ τόπον μόνον, εἴτε καὶ κατὰ τὸ τρέφειν καὶ αὔξειν· καὶ ὅμοια γεννᾷν· ἤδη γὰρ καὶ αὕτη φύσις ἀξιολογωτέρα, οἷα ἡ τῶν φυτῶν· ἀλλ' ἐν αὐτοῖς ἐςι τοῖς δημιουργουμένοις, καὶ χωρὶς αὐτῶν· οὐδὲ πρὸ αὐτῶν ὑφέςηκεν· ἀλλὰ δεῖται αὐτῶν πρὸς τὸ εἶναι ὅ ἐςιν· ἐχέτω μέν τι ἐξαίρετον πρὸς αὐτὰ, τὸ συμπλάττειν αὐτά· ἀλλ' ἐνδεὴς δὲ ὅμως αὐτῶν ἐςὶν, ᾗ γε σὺν αὐτοῖς ἔχει τὸ εἶναι, καὶ ἐν αὐτοῖς ἐςιν ἀχώριςος· καὶ ὄντων οὖσα, καὶ μὴ ὄντων οὐκ οὖσα, διὰ τὸ πάντη ἐν αὐτοῖς ἐγκαταδῦναι· ἡ δὲ φυτικὴ ζωὴ μὲν γάρ τις καὶ αὕτη, καὶ ἄλλη παρὰ τὴν τοῦ φυσικοῦ σώματος, καὶ τρανεςέρα τῆς ἐν τούτῳ καταπεμπομένης ὑπ' αὐτοῦ φύσεως τῆς ἔνδοθέν πως ἐνεργούσης, οὔτε δὲ τρεφούσης, οὔτε αὐξούσης, οὔτε τὰ ὅμοια γεννώσης· ἀλλὰ γὰρ καὶ αὕτη, ἀχώριςός ἐςι τοῦ ὑποκειμένου καὶ ἐνδεής· ὥςε οὐκ ἂν εἴη ἀρχὴ τὸ ἐνδεὲς ἔχουσα τοῦ χείρονος.

3. Τῷ δὲ αὐτῷ λόγῳ διελέγξομεν καὶ εἴτις ἀρχὴν ὑποθοῖτο τὴν ἄλογον ψυχήν· εἰ γὰρ καὶ δοκεῖ τι χωριςότερον ἔχειν αὕτη κατὰ τὰς ὁρμητικάς τε καὶ γνωςικὰς ἐνεργείας, ἀλλ' ἐνδέδεται ὅμως καὶ αὐτὴ τῷ σώματι, καὶ ἔχει τὶ αὐτοῦ ἀχώριςον, εἴπερ οὐ δύναται πρὸς ἑαυτὴν ἐπιςρέφειν, ἀλλὰ τῷ ὑποκειμένῳ συμπέφυρται αὐτῆς ἡ ἐνέργεια· δῆλον γὰρ ὅτι καὶ ἡ οὐσία τοιαύτη τίς ἐςιν· εἰ γὰρ ἦν ἀπόλυτος αὕτη, καὶ ἐλευθέρα ἐφ' ἑαυτῆς, κἂν ἐπεδείξατό τινα καὶ τοιαύτην ἐνέργειαν, καὶ οὐ πρὸς τὸ σῶμα ἀεὶ, ἀλλὰ καὶ πρὸς ἑαυτὴν ἐπιςρεφομένη ποτέ· καὶ εἰ ἀεὶ πρὸς τὸ σῶμα, ἀλλὰ καὶ κριτικῶς τε, καὶ ἑαυτῆς ἐξεταςικῶς· αἱ γοῦν τῶν πολλῶν ἀνθρώπων καὶ φαύ-

λων ἐνέργειαι, κἂν περὶ τὰ ἔξω εὐτάξωσιν, ὅμως μέν τοι περὶ αὐτὰ τὰ χείριστα ἐπιδείκνυνται· βουλευόμεναι ὅπως αὐτῶν τύχωσι· καὶ ἐφιστάνουσαι, ὅτε βουλῇ, χρεία πρὸς τὸ δρασαί τι, παθεῖν τῶν φαινομένων ἀγαθῶν, ἢ ἐκκλίναί τι τῶν ἐναντίων· αἱ δὲ τῶν ἀλόγων ζώων ὁρμαὶ, μονοειδεῖς τέ εἰσι καὶ αὐτοφυεῖς καὶ τοῖς ὀργάνοις συγκινούμεναι, καὶ αἰτοῦσαι μόνον πρὸς τὰς ἀπὸ τῶν αἰσθητῶν ἡδείας αἰσθήσεις, καὶ ἀποστρεφόμεναι τὰς λυπηράς· εἰ τοίνυν τὸ σῶμα κοινωνεῖ τῆς λύπης καὶ τῆς ἡδονῆς, καὶ διατίθεταί πως ὑπ᾽ αὐτῶν, δῆλον ὅτι καὶ αἱ ψυχικαὶ ἐνέργειαι συμπεφυρμέναι τοῖς σώμασι προέρχονται· καὶ οὐκ εἰσὶ καθαρῶς ψυχικαὶ, ἀλλὰ καὶ σωματοειδεῖς· ὥσπερ οὐδὲ τὸ ψυχικὸν μόνου τοῦ χρώματος, ἀλλὰ τοῦ κεχρωσμένου σώματος· οὐδ᾽ ἡ τομὴ τοῦ σιδήρου μόνου, ἀλλ᾽ οὐδὲ τοῦ σχήματος μόνου, ἀλλὰ τοῦ συναμφότερα, ὅ ἐστι ξίφος ἢ πέλεκυς· οὕτω γὰρ καὶ τὸ αἰσθάνεσθαι, καὶ τὸ ὀρέγεσθαι τοῦ ἐμψυχωμένου σώματος, ἢ τῆς σωματοειδοῦς ψυχῆς· εἰ καὶ μᾶλλον ἐν τούτοις τὸ ψυχικὸν διαφαίνεται τοῦ σωματικοῦ· ὥσπερ ἐν ἐκείνοις τὸ σωματικὸν ἐπικρατεῖ κατὰ τὴν διάστασίν τε καὶ ὑπόστασιν· ἀλλὰ γὰρ καθόσον ἐν ἄλλῳ ἔχει τὸ εἶναι καὶ ἐνδεὴς ἐστι τοῦ χείρονος, οὐκ ἂν εἴη ἀρχή· καὶ μὲν καὶ ὑπὲρ ταῦτα τῆς οὐσίας ὁρῶμεν χωριστὸν εἶδος, ἐφ᾽ ἑαυτοῦ καὶ εἰς ἑαυτὸ ἐπιστρεφόμενον, οἷον τὸ τῆς λογικῆς ὑποστάσεως.

4. Εἰ γοῦν ἡ ἡμετέρα ψυχὴ ἐφιστάνει ταῖς οἰκείαις ἐνεργείαις, καὶ ἐπανορθοῦται ἑαυτὴν, δῆλον ὅτι πρὸς ἑαυτὴν ἐπιστρέφει· οὐκ ἂν δὲ τοῦτό γε, εἰ μὴ χωριστὴν εἶχε τὴν οὐσίαν, ὡς καὶ Ἀριστοτέλει δοκεῖ· οὐκ ἄρα αὕτη δεῖται τοῦ χείρονος· ἆρ᾽ οὖν ἀρχὴ αὕτη τελειωτάτη; οὐμενοῦν· διό τε μεταβάλλεται αὐτῆς ἡ ἐνέργεια· εἰ καὶ τὴν οὐσίαν ἔχει αἰώνιον· ἡ ψυχὴ ἄρα ἡ τὰς μεταβαλλομένας ἐνεργείας προβαλλομένη, οὐκ ἂν εἴη ἀρχή· δεῖ ἄρα καὶ πρὸ ταύτης εἶναι ἑτέραν τὴν πάντῃ ἀμετάβλητον, κατά τε οὐσίαν καὶ ζωὴν καὶ Γνῶσιν· καὶ κατὰ πάσας τὰς δυνάμεις καὶ ἐνεργείας· οἵαν τὴν ἀκίνητον κατὰ πάντα, καὶ αἰώνιον εἶναι φα-

μὲν, αὐτὸν τὸν πολυτίμητον νοῦν· τί γὰρ καὶ ἐπίδει τῇ πάντα συλλαβούσῃ οὐσίᾳ, ἐν ἑαυτῇ τὰ ἑαυτῆς πληρώματα, καὶ ἧς οὔτε πρόσθεσις, οὔτ᾽ ἀφαίρεσις μεταβάλλει τι τῶν ὑπαρχόντων; ἢ καὶ αὐτὰ ἕν ἐστι καὶ πολλά· καὶ οὐσία δὲ αὐτοῦ καὶ ζωὴ καὶ γνῶσις, οὐκ ἔστιν ἡ ἁπλῶς οὐσία, καὶ ἁπλῶς ζωὴ, καὶ ἁπλῶς γνῶσις· ἀλλά τις οὐσία, καὶ τις ζωὴ, καὶ τις γνῶσις· ὥστε ἐνδεὴς ἐστι καὶ αὐτὸς τῶν εἰρημένων πάντων· οὐκ ἄρα ὁ νοῦς ἀρχὴ ἡ πρώτη· μήποτε οὖν τὸ τῶν ὄντων ἁπλούστατον ἡ κυριωτάτη εἴη ἀρχὴ, ὅπερ καὶ Πλάτων ἓν ὂν, εἴωθε καλεῖν; μηδενὸς γὰρ ἐκεῖ διακεκριμένου πάνπαν, μηδὲ τινος ἐνούσης πλήθους, ἢ διπλόης, ἢ τάξεως, ἢ πρὸς ἑαυτὸ ἐπιστροφῆς· τίς ἂν οὖν ἔνδεια φανείη τῷ πάντη ἡνωμένῳ; διὸ καὶ ἐπὶ ταύτην τὴν ἀρχὴν ἀσφαλεστάτην οὖσαν Παρμενίδης ἀνέβην ὡς ἀνενδεεστάτην· ἀλλὰ καὶ ἐνταῦθα πάντως ἐκεῖνο ἐνδεῖ, ὅπερ Πλάτων διατείνεται, ὅτι τὸ ἡνωμένον, οὐκ ἔστιν αὐτὸ τὸ ἕν, ἀλλὰ τὸ πεπονθὸς ἐκεῖνο· καὶ δῆλον ὅτι μετ᾽ ἐκεῖνο τε τάξεται· οὐ μέν τοι ἀλλὰ καὶ κατὰ τὸν παρόντα τρόπον τῶν λόγων, τὸ ἡνωμένον ἐνδείκνυται ἐν ἑαυτῷ ἔχειν, τότε ἑνιζόμενον καὶ τὸ ἑνίζον· εἰ καὶ τελέως εἴη καταπεμπόμενον τὸ ἑνιζόμενον ὑπὸ τοῦ ἑνίζοντος· συμπροβαλλόμενον ἅμα ἑαυτῷ καὶ τὰ αὐτοῦ· οὔ τι γε φημι διακρινόμενα, ἀλλὰ τῷ ἑαυτοῦ ἑνὶ δεδεμένα· τοσοῦτον μόνον προβληθέντα, ὅσον ἐκεῖνο μηκέτι ἓν εἶναι, ἀλλ᾽ ἡνωμένον· ὂν ἤδη ἀντὶ ἑνός, ἐξ οὗ ζωή τε καὶ νοῦς προέρχονται· ὅμως τὸ ἐνδεὲς, οὐδὲ ταύτην παντελῶς ἀπολείψει τὴν φύσιν· ἀλλὰ μὲν ἐπὶ πᾶσι τούτοις τὸ ἓν πάντη ἂν εἴη ἀνενδεές· οὔτε γὰρ τοῦ μεθ᾽ ἑαυτὸ ἐνδεῖται πρὸς τὸ εἶναι· ὑπὲρ γὰρ τὸ εἶναι· καθ᾽ ἑαυτὸ γάρ ἐστι τῶν πάντων κεχωρισμένον· τό γε ὡς ἀληθῶς ἓν, οὔτε τοῦ ἐν αὐτῷ χείρονος ἢ κρείττονος· οὐδὲν γὰρ ἐν αὐτῷ ἐστι παρ᾽ ἑαυτό· ἓν δὲ ἐστιν, ὅτε οὐδὲ ἔχει διπλόην τινὰ πρὸς ἑαυτό.

CAP. VII.

1. Ἔστι δὲ καὶ δι᾽ ἑτέρας ἐφόδου ἀναδραμεῖν ἐπὶ τὴν μίαν τῶν παρόντων ἀρχὴν, οὕτως· αὐτίκα τὸ δυνάμει, πανταχοῦ τοῦ ἐνεργείᾳ δεύτερον· ἵνα γὰρ ἔλθῃ εἰς τὸ ἐνεργείᾳ, καὶ μὴ μείνῃ μάτην δυνάμει, τοῦ ἐνεργείᾳ προσδεῖται· οὐδὲ ποτε γὰρ ἀπὸ τοῦ χείρονος ἀναβλαστάνει τὸ κρεῖττον· ἔστω γὰρ ἡμῖν καὶ τοῦτο προδιωρισμένον κατὰ τὰς κοινὰς ἐννοίας ἀπαντῶντας ἀδιαστροφοῦν· οὐκοῦν ἡ ὕλη πρὸ αὐτῆς ἔχει τὸ ἔνυλον εἶδος· ὅτι δυνάμει ἐστι τὸ εἶδος ἡ ὕλη, εἴ τε ἡ πρώτη κατὰ τὸ πάντη ἀνείδεον εὑρισκομένη, εἴ τε ἡ δευτέρα κατὰ τὸ ἄποιον ἐσταμένη σῶμα· καὶ δῆλον ὅτι αἱ ποιότητες καθ᾽ ἃς αἱ διαφοραὶ συνίστανται τοῦ ἀποίου σώματος, ὑπερφέρουσιν αὐτοῦ ὡς ὕλης τινὸς ἤδη προϋπάρχουσαι· διττὸν γάρ ἐστι τὸ ποιόν· τὸ μὲν, οὐσιῶδες· οἷον τοῦ πυρὸς ἡ θερμότης καὶ κουφότης· ταῦτα γὰρ συνελθόντα ἐν τῇ ὕλῃ, πῦρ ἐγένοντο· τὸ δὲ, ἐπουσιῶδες, ὡς τὰ συμβεβηκότα, ἅπερ τῷ πεποιωμένῳ ἐπιγίνονται σώματι· εἰκότερον ἄρα πρὸ τοῦ ἀποίου σώματος, τὸ πεποιωμένον τιθέμεθα· καὶ τοῦτό ἐστιν ὁ φαινόμενος ὅδε κόσμος· ἀλλ᾽ ἐπεὶ τῶν τοιούτων σωμάτων τὰ μὲν, ἔνδοθεν ἔχει τὸ διοικοῦν ὡς τὰ φυσικά· τὰ δὲ, ἔξωθεν ὡς τὰ τεχνητὰ, δεῖ καὶ φύσιν καὶ προεννοεῖν, ὥς τι κρεῖττον οὖσαν τῶν ποιοτήτων, ἐν αἰτίας τάξει προτεταγμένον, ὡς τὴν τέχνην τῶν τεχνητῶν· ἀλλὰ καὶ τῶν ἔνδοθεν διοικουμένων, τὰ μὲν, εἶναι μόνον δοκεῖ· τὰ δὲ, καὶ τρέφεσθαι καὶ αὔξειν καὶ τὰ ὅμοια γεννᾷν· ἔστιν ἄρα τὶς αἰτία ἄλλη πρὸ τῆς εἰρημένης φύσεως, ἡ φυτικὴ αὕτη δύναμις καὶ ζωή· φανερὸν δὲ ὅτι πάντα ὅσα τῷ σώματι ἐπιγίνεται προϋποκειμένῳ, ἀσώματά ἐστι καθ᾽ ἑαυτὰ, εἰ καὶ σωματοειδῆ γίνεται, κατὰ μέθεξιν τοῦ ἐν ᾧ ἐστιν· ὡς ὑλικὰ λέγεσθαι καὶ ὑπάρχειν κατὰ τὴν ἀπὸ τῆς ὕλης πεπόνθησιν· καὶ αἱ ποιότη-

τες ἄρα, καὶ αἱ φύσεις ἔτι μᾶλλον, καὶ ἔτι μειζόνως ἡ φυτικὴ ζωὴ, τὸ ἀσώματον διασώζουσι καθ' ἑαυτάς.

2. Ἀλλ' ἐπεὶ καὶ ἄλλην ἡ αἴσθησις ὑποδείκνυσι τρανεστέραν ζωὴν, τῶν κατὰ ὁρμὴν ἤδη καὶ κατὰ τόπον κινουμένων, ταύτην πρὸ ἐκείνης θετέον, ὡς κυριωτέραν ἀρχὴν, καὶ ὡς ἀμείνονός τινος εἴδους χορηγὸν τοῦ αὐτοκινήτου ζώου, προτερεύοντος φύσει τοῦ κατὰ γῆν ἐῤῥιζωμένου φυτοῦ· καὶ μὴν τὸ ζῶον, οὐκ ἀκριβῶς αὐτοκίνητον· οὐ γὰρ ὅλον διόλου τοιοῦτον· ἀλλὰ μέρος μὲν αὐτοῦ κινεῖ, μέρος δὲ κινεῖται· φαινόμενον ἄρα τοῦτό ἐστιν αὐτοκίνητον· δεῖ ἄρα πρὸ αὐτοῦ εἶναι τὸ ἀληθινὸν, ὃ καθόλου ἑαυτὸ κινοῦν ἐστι καὶ κινούμενον· ἵνα τούτου εἴδωλον ᾖ τὸ φαινόμενον· καὶ δὴ τὴν κινοῦσαν τὸ σῶμα ψυχὴν, κυριωτέραν θετέον αὐτοκίνητον οὐσίαν· διττὴ μὲν οὖν καὶ αὐτη· ἡ μὲν, λογικὴ· ἡ δὲ, ἄλογος· ὅτι μὲν καὶ ἡ ἄλογος ψυχὴ κινεῖ τὰ σώματα ἀπὸ τόπου εἰς τόπον αὐτὴ πρότερον κινουμένη καθ' ἑαυτὴν, ἄλλοτε ἄλλην ὁρμὴν προβαλλομένη, δῆλον καὶ ἀπὸ τῆς αἰσθήσεως· ἀπορήσει δ' ἄν τις εἰ ἑαυτὴν κινεῖ ἀπ' ἄλλης εἰς ἄλλην ὁρμὴν, ἢ ὑφ' ἑτέρου κινεῖται· οἷον, ὡς φασὶ, τῆς ὅλης ἐν τῷ κόσμῳ λογικῆς ψυχῆς· ἀλλὰ τοῦτο μὲν ἄτοπον φαίνεται ἑκάστης ἀλόγου ψυχῆς ἐνεργείας, οὐκ αὐτῆς λέγειν ἐκείνης, ἀλλὰ τῆς θειοτέρας λογικῆς· καί τοι ἀπείρους οὔσας καὶ ἀορίστους, καὶ πολλῷ τῷ αἰσχρῷ καὶ ἀτελεῖ συμμεμιγμένας· ὅμοιον γὰρ τὰς ἀλόγους ἐνεργείας φᾶναι, τῆς λογικῆς εἶναι ψυχῆς· καὶ τὴν οὐσίαν αὐτῆς ἄλογον ὑποτίθεσθαι, τὴν τὰς ἀλόγους ἐνεργείας προβαλλομένην· ἄτοπον δὲ καὶ οὐσίαν ὑποτίθεσθαι, μὴ γεννητικὴν οἰκείων ἐνεργειῶν· εἴπερ γὰρ οὐσία τίς ἐστιν ἄλογος, ἔχοι ἂν ἰδίας αὐτῆς ἐνεργείας, οὐχ' ἑτέρωθεν ἐνδεδομένας, ἀλλ' ἀπ' αὐτῆς προϊούσας· πᾶσα γὰρ οὐσία, γεννητικὴ ἐστι τῶν οἰκείων ἐνεργειῶν· ἑαυτὴν ἄρα κινεῖ καὶ ἡ ἄλογος ψυχὴ πρὸς τὰς ἄλλοτε ἄλλας ὀρέξεις τε καὶ ὁρμάς.

3. Ἀλλ' ἐρεῖ τις ἴσως, εἰ ἑαυτὴν κινεῖ ἡ ἄλογος ψυχὴ, ἐπιστρέφει πρὸς ἑαυτήν· εἰ δὲ τοῦτο, χωριστὴ ἐστι καὶ λογικὴ,

εἰ ἑαυτὴν ὁρᾷ· μή ποτε οὖν αἱ ἐνέργειαι κινοῦνται ὑπὸ τῆς οὐσίας, καὶ ταύτῃ αὐτοκίνητος ἡ ἄλογος ψυχὴ ὡς οὐσία γεννητικὴ τῶν οἰκείων ἐνεργειῶν; ἀλλὰ τοῦτο κοινόν ἐστι πάσης οὐσίας καὶ τῆς ἑτεροκινήτου· τοῦτο μὲν τοίνυν, οὐκ ἂν ἔχοι χώραν ὅτῳ λεγόμενον· μή ποτε δὲ ἐπεὶ ἐν ὑποκειμένῳ ὑπόκειται εἶναι τὸ τοιοῦτον εἶδος, οὐ καθ᾽ αὑτὸ ληπτέον αὐτὸ ὡς ἐνεργοῦν; ἀλλὰ μετὰ τοῦ ὑποκειμένου ἐν ᾧ ἐστιν· ὡς γὰρ ἔστιν, οὕτω καὶ ἐνεργεῖ· καθάπερ γὰρ τὸ διακρῖνον τὴν ὄψιν οὐχ ἦν ἡ λευκότης, οὐδὲ τὸ σῶμα τὸ ἄποιον, ἀλλὰ τὸ συναμφότερον, οὕτω καὶ ἡ ἄλογος ἐνέργεια· οὔτε τῆς ἀσωμάτου ἐστὶν ἀλόγου ψυχῆς, οὔτε τοῦ αἰσθητοῦ σώματος, ἀλλὰ τοῦ ἐξ ἀμφοῖν, ὡς μιᾶς συνθέτου οὐσίας, οἷον τῆς ἐξ ὕλης καὶ εἴδους συγκειμένης· οὐ γὰρ ὄργανον τῆς ἀλόγου ψυχῆς τὸ σῶμα, ἀλλ᾽ ὑποκείμενον· ὡς ἐνούσης, ἀλλ᾽ οὐχ᾽ ὡς χρωμένης· εἰ μὲν δὴ ἐχρῆτο, πρὸ τοῦ ὀργάνου ἂν ἑαυτὴν ἐκίνησεν, ἵνα κινήσῃ καὶ τὸ ὄργανον· νῦν δὲ τῷ ὑποκειμένῳ συνυφέστηκεν, καὶ οὐδὲ μίαν ἔχει χωριστὴν ἐνέργειαν· καὶ ἐνεργεῖ μὲν κατὰ τὸ συναμφότερον· ὅμως μέντοι κατὰ τὸ εἶδος ἡ ἐνέργεια πρόεισι· καθάπερ ἡ τοῦ ξίφους κατὰ τὸ σχῆμα τομή· καὶ τοῦ λευκοῦ σώματος ἡ διακριτικὴ τῆς ὄψεως κατὰ τὴν λευκότητα· τί οὖν ἐν τῷ συνθέτῳ τὸ κινοῦν; καὶ τί τὸ κινούμενον; ἢ κινεῖ μὲν ἡ ψυχὴ, κινεῖται δὲ τὸ σῶμα; ἀλλ᾽ οὕτω πάλιν, ἰδίᾳ μὲν ἡ ψυχὴ κινήσει, ἰδίᾳ δὲ τὸ σῶμα κινήσεται· καὶ ἔσται πρὸ τοῦ κινουμένου ἡ κινοῦσα, χωριστὴν ἐνέργειαν ἔχουσα τὴν κινοῦσαν πρὸ τῆς κινουμένης· οὐκ ἄρα τὸ μὲν, κοινοῦν θετέον, τὸ δὲ, κινούμενον· ἀλλ᾽ ἓν τὸ ζῶον σῶμα γεγονὸς σῶμα αἰσθητικόν· ἡ σωματωθεῖσα αἴσθησις, ταύτην ἐνεργεῖ τὴν δοκοῦσαν αὐτοκίνητον ἐνέργειαν· εἰ γάρ ἐστι καὶ ἡ τοῦ συνθέτου ζώου τὶς οὐσία, πάντως δεῖ καὶ σύνθετον ἐνέργειαν ζώῳ τῷ ὅλῳ πρέπουσαν τιθέναι, ὅλην τινὰ καὶ αὐτὴν οὖσαν· ἐν ᾗ τι καὶ ἀσώματον ἐνορᾶται καὶ σωματοειδὲς ἅμα συγκεκραμμένον· ὡς ἐν τῇ διακριτικῇ τῆς ὄψεως ἔνεστι τὸ συναμφότερον· διὸ καὶ πάσχομεν ὑπὸ τοῦ λευκοῦ σώματος ἑκατέρως,

σωματικῶς διακρινομένου τοῦ αἰσθητηρίου, ἀσωμάτως δὲ τοῦ πάθους ἀντελαμβάνομενοι· ὥσπερ οὖν τὸ δρῶν σύνθετον οὕτω καὶ τὸ πάσχον ἡ ὄψις, σύνθετόν τι ἐςὶν, ἐκ δυνάμεως ὀπτικῆς ἀσωμάτου καὶ ὑποκειμένου σώματος.

4. Τοιοῦτον ἄρα θετέον αὐτοκινησίας εἶδος ἐνεῖναι τῷ ζώῳ, οἷον καθ' ἑαυτὸ μὲν μὴ ἐνεργεῖν· μὴ δὲ γὰρ ὑφίςασθαι· τῷ σώματι δὲ ἐγγενόμενον, καὶ ποιῶσαν αὐτὸ κατὰ δή τινα ἀξιολογωτέραν ποιότητα καὶ ἔλλαμψιν, ἀποτελεῖν τὸ ὅλον φαινόμενον αὐτοκίνητον· διὰ τί δὲ λέγομεν φαινόμενον; ὅτι οὐκ ἀμερὲς· καὶ τὸ αὐτὸ κινοῦν, καὶ κινούμενον· ὡς αἱ κεχωρισμέναι ἀλλήλων οὐσίαι, τρόπον δὲ ἄλλον συνιοῦσαι· καθάπερ ἡ λογικὴ ψυχὴ καὶ τὸ ζῶον· καὶ γὰρ ἐπὶ τούτων, τὸ μὲν, κινεῖ· τὸ δὲ, κινεῖται· διότι οὐκ ἔςι τὸ μὲν, ὑποκείμενον· τὸ δὲ, ἐν ὑποκειμένῳ· ὅταν δὲ οὕτως ἔχῃ τὸ σύνθετον εἶδος, οὔτε ἑκάτερον ἰδίᾳ ἐνεργήσει, οὐδὲ γὰρ ὑφέςηκεν, οὔτε ἐν τῇ συνθέσει, τὸ μὲν ἐςὶ κινοῦν, τὸ δὲ κινούμενον· πάλιν γὰρ διαςίξεται ταῖς ἐνεργείαις, ὥςε καὶ ταῖς ὑποςάσεσιν· ἀλλ' ἕτερος ὁ τρόπος οὗτος τῆς αὐτοκινησίας· ἐν ᾧ τὸ συναμφότερον κινεῖται κατὰ τὸ ἕτερον, οἷον τὸ εἶδος· ὅθεν καὶ δοκεῖ τοῦτο εἶναι τὸ κινοῦν· οὐχ' ὅτι ὑπὸ τούτου τὸ ἕτερον, ἀλλ' ὅτι κατὰ τοῦτο τὸ συναμφότερον· διττὴ δὲ καὶ ἡ κίνησις· ἡ μὲν, ἐγγινομένη τῷ κινουμένῳ πάθος αὐτοῦ γενομένη· ἡ δὲ, ἔξω οὖσα καὶ ἐκείνην ἐνδιδοῦσα· κινεῖται τοίνυν ὑπὸ ταύτης μὲν, κατ' ἐκείνην δέ· εἰ γὰρ καὶ ὑπὸ ταύτης ἐνδώσει τινὰ, καὶ αὕτη κίνησιν ἀφ' ἑαυτῆς, τῷ κινουμένῳ ὑφ' ἑαυτῆς, ἐκείνη ἄρα ἔςαι τὸ πάθος, καὶ ἡ καθ' ἣν κινεῖται τὸ κινούμενον· καὶ ἐπ' ἄπειρον ἥξομεν· ὁμοίως δὲ καὶ ἐπὶ ζωῆς ἀληθὴς ὁ λόγος ἐξεταζόμενος· ἡ μὲν γὰρ ζωοποιεῖ, καὶ ζωὴν ἐνδίδωσι τῷ ὑφ' ἑαυτῆς ζωουμένῳ· ἡ δέ ἐςι καθ' ἣν ζῇ τὸ ζωωθὲν ὑπ' ἐκείνης· εἰ γὰρ καὶ αὕτη ζωοποιεῖ, καὶ αὐτὴ δώσει ζωὴν ἑτέραν· καὶ τοῦτο ἐπ' ἄπειρον· οὕτω δὴ καὶ τὸ τῆς αὐτοκινησίας εἶδος· τὸ μὲν, ὑφ' οὗ τὸ αὐτοκίνητον εἶναι δοκοῦν, αὐτοκινητίζεται· τὸ δὲ, καθὸ τοιοῦτον εἶναι δοκεῖ, πά-

θος ὂν αὐτοκινησίας, καὶ τοῦ μετασχόντος ἀχώριςον· τοιάδε γάρ τις ζωὴ καὶ ἡ αὐτοκίνητος φύσις· ψυχὴ γάρ· καὶ ἡ ψυχὴ δὲ διττή· ἡ μὲν, γεννῶσα· ἡ δὲ, καθ' ἣν οὐσίωται τὸ ἔμψυχον· ὃ καὶ ἔνδοθεν αὐτὸ ἐξ ἑαυτοῦ δοκεῖ κινεῖσθαι, οὐκ ἐνόντος τοῦ ὑφ' οὗ κινεῖται, ἀλλὰ τοῦ καθὸ, ὃ καλοῦμεν ἐμψυχίαν.

5. Ἴσως δὲ καὶ τούτοις συγχωρήσας τὶς, οἰήσεται κοινὰ ταῦτα εἶναι, καὶ τοῖς φυτοῖς καὶ τοῖς ἀψύχοις σώμασιν· καὶ γὰρ καὶ ὁ λίθος ἐπὶ τὴν γῆν ἔνδοθεν κινεῖται καὶ τὰ φυτὰ ὁμοίως· καὶ ἔτι τὰ ἄλλα ζῶα, τὸν αὐτὸν ἔχει τρόπον· καὶ τὰ λογικὰ ζῶα ὁμοίως· ὥςε οὐδὲν, ὃ μὴ αὐτοκίνητον· πρὸς δὴ τοῦτο ἐροῦμεν· ὅτι ἔνδοθεν μὲν κινεῖται πᾶν φυσικὸν καὶ φυτικὸν εἶδος. καὶ ἔτι ζῶον ἕκαςον· ἀλλ' οὐ πᾶσαν κίνησιν· ὅταν δὲ τοπικὴν ποιεῖται τὴν κίνησιν, αὕτη γὰρ ἡ κυρίως αὐτοκινήτου· κατὰ δὴ ταύτην, τὰ ἄλλα ἑτεροκίνητα φαμὲν, ὅσα μὴ ταύτην ἔνδοθεν κινεῖται· ὡς γὰρ κατὰ τὴν φύσιν ἐνοῦσαν, κινεῖται τὸ μὲν πῦρ ἄνω· τὰ δὲ γῆς κάτω, καὶ ὡς κατὰ τὴν ψυχὴν τὴν φυτικὴν τὰ φυτὰ τρέφεται καὶ αὐξάνει, καὶ γεννᾷ ὅμοια καὶ ταύτην ἐνοῦσαν. οὕτω τὰ ζῶα· κατὰ τὴν ἐνοῦσαν τῷ φυσικῷ τε καὶ φυτικῷ αὐτῶν σώματι ζωὴν ὁρμητικὴν, καὶ ὀρεκτικὴν καὶ συνουσιωμένην, κατὰ ταύτην ποιεῖται τὴν ἄλογον ἀτεχνῶς αὐτοκινησίαν· εἰ δέ τις ὁρῶν τὰ ζῶα λογοειδεῖς ἀφιέντα ἐνεργείας ὑπολαμβάνει καὶ ταῦτα μετέχειν τοῦ πρώτου αὐτοκινήτου, καὶ ἔχειν ψυχὴν πρὸς ἑαυτὴν ἐπιςρέφουσαν ἀκουέτω παρ' ὑμῶν, ὅτι οὐ καθ' ὕπαρξιν· ἀλλὰ κατὰ μέθεξιν ἀμυδροτάτην· ὥσπερ καὶ τὴν λογικὴν ψυχὴν φαίη τις ἂν νοερὰν κατὰ μέθεξιν, ἅτε τὰς κοινὰς ἐννοίας ἀεὶ προβαλλομένην ἀδιαςρόφους· πάντως δὲ τὸ χωριςὸν, ἐν πλάτει θησόμεθα· καὶ ὅπου μὲν τοῦτο πλεονάζειν· ὅπου δὲ, ἐκεῖνο φήσομεν· εἶναι μὲν γὰρ ἄκρα τὸ πάντη χωριςὸν· οἷον τὸ λογικὸν εἶδος· καὶ τὸ πάντη ἀχώριςον· οἷον, ἡ ποιότης· ἐν μέσῳ δὲ ἡ φύσις μὲν, πρὸς τῷ ἀχωρίςῳ μικρὰν ἔμφασιν ἔχουσα τοῦ χωριςοῦ· ἡ δὲ ἄλογος ψυχὴ, πρὸς τῷ χω-

ριστῷ· δοκεῖ γάρ πως καὶ καθ' ἑαυτὴν ὑφεστάναι τοῦ ὑποκειμένου χωρίς· ὅθεν καὶ ἀμφισβητήσιμός ἐστι πότερον αὐτοκίνητος, ἢ ἑτεροκίνητός ἐστι· πολὺ γὰρ τὸ τῆς αὐτοκινησίας ἴχνος· ἀλλ' οὐχ' ὡς τὸ ἀληθινόν τε καὶ εἰς ἑαυτὸ ἐπιστρεφόμενον, καὶ διὰ τοῦτο πάντη τοῦ ὑποκειμένου κεχωρισμένον· ἡ δὲ φυτικὴ ψυχὴ, μέσως πῶς ἔχει· διὸ τοῖς μὲν, ψυχὴ δοκεῖ εἶναι· τοῖς δὲ, φύσις· πάλιν δὲ ἐπὶ τὰ προκείμενα μεταβατέον· τὸ δὴ τοιοῦτον, αὐτοκίνητον, ὃ τῷ ἑτεροκινήτῳ συμπέφυρται, πῶς ἂν εἴη πρῶτον; οὔτε γὰρ ἑαυτὸ ὑφίστησιν, οὔτε τελειοῖ ἑαυτὸ κατὰ τὸ ἀληθές· ἀλλὰ δεῖται πρὸς ἑκάτερον ἑτέρου τινός· καὶ ἔστι γε πρὸ αὐτοῦ τὸ ὄντως αὐτοκίνητον, τὸ ἀνθρώπειον.

6. Καὶ δῆλον, ὅτι πᾶν λογικὸν εἶδος, ἀπὸ τούτου ληψόμεθα νῦν· ὁλοσχερέστερον γὰρ τὰς ἰδιότητας πρόκειται λαβεῖν τῶν πραγμάτων· ἆρα οὖν ἀρχὴ τὸ κυρίως αὐτοκίνητον, καὶ οὐδενὸς ἐπιδεῖται κρείττονος εἴδους, ἢ τὸ κινοῦν ἀεὶ πρὸ τοῦ κινουμένου κατὰ φύσιν ἐστὶ, καὶ ὅλως ἅπαν εἶδος τὸ καθαρὸν τοῦ ἐναντίου πρὸ τοῦ συμμιγοῦς ἐκείνῳ, καθ' ἑαυτὸ ὑφέστηκε, καὶ τὸ καθαρὸν τοῦ συμμιγοῦς αἴτιον· τὸ γὰρ ἄλλως συνουσιωμένον, καὶ τὴν ἐνέργειαν ἔχει τὴν ἐκείνου συμπεφυρμένην· καὶ ἄλλως ἄτοπον μὲν τὸ κινούμενον εἶναι, οἷον τὸ σῶμα· τὸ δὲ μόνον κινοῦν, μὴ εἶναι πρὸ κινουμένου καὶ αὐτοκινήτου· καὶ γὰρ καὶ τὸ αὐτοκίνητον καθὸ κινεῖ, κρεῖττόν ἐστιν, ἢ καθὸ κινεῖται· δεῖ ἄρα πρῶτον εἶναι τὸ κινοῦν ἀκίνητον· ὡς τρίτον τὸ μὴ κινοῦν κινούμενον· ὧν ἐν μέσῳ τὸ αὐτοκίνητον· ὃ δεῖσθαι τοῦ κινοῦντος ἐροῦμεν, ἵνα αὐτὸ ποιήσῃ κινητικὸν, ἐχέτω ἀφ' ἑαυτοῦ· πᾶν γὰρ εἶδος, ἀφ' ἑαυτοῦ ἄρχεται τῆς οἰκείας ἰδιότητος καὶ ἐνεργείας· ὅλως δὲ οὐ μένει κατά γε τοσοῦτον ὅσον κινεῖται· εἰ δὲ κινεῖ, δεῖ μὲν καθόσον κινεῖ· οὐκοῦν τὸ μένειν, πόθεν ἕξει; ἀφ' ἑαυτοῦ γάρ· ἢ τὸ κινεῖσθαι μόνον, ἢ ἅμα τὸ μένειν καὶ τὸ κινεῖσθαι, κατὰ τὸ ὅλον· ἀλλὰ τὸ μένειν ἁπλῶς, πόθεν; ἢ ἀπὸ τοῦ μένοντος ἁπλῶς· τοῦτο δὲ ἦν τὸ ἀκίνητον αἴτιον· πρὸ ἄρα τοῦ αὐτοκινήτου, τὸ ἀκίνητον ὑποθετέον ἡμῖν.

ὅτι μὲν τοίνυν τρία τὰ ἐφεξῆς, ἀναγκαῖον ὑποτίθεσθαι, τὸ ἑτεροκίνητον, τὸ αὐτοκίνητον, καὶ τὸ ἀκίνητον, ἱκανῶς καὶ οἱ παλαιότεροι δεικνύουσι δι' ἐναργῶν ὑποδείξεων· εἰ γὰρ ὑφ' ἑτέρου κινεῖται τὸ κινούμενον σῶμα, ἢ σῶμα τὸ κινοῦν, καὶ αὐτὸ ὑφ' ἑτέρου· οὐ γὰρ ὑφ' ἑαυτοῦ· καὶ τοῦτο ἐπ' ἄπειρον, ἢ ὑπὸ ἀκινήτου· καὶ πῶς τοῦτο ποτὲ μὲν κινήσει, ποτὲ δὲ οὔ; τὸ γὰρ ἑτεροκίνητον, ἐν μεταβολῇ θεωρεῖται· τὸ δὲ ἀκίνητον, οὐκ ἂν ἐξάρχοι μεταβολῆς, ἵνα μὴ καὶ αὐτὸ μεταβάλλοι· ὑπόκειται δὲ ἀκίνητον· ἢ εἰ ταῦτα ἀδύνατα, τὸ αὐτοκίνητον ἄρξει μεταβολῆς τῆς τε ἑαυτοῦ, καὶ τῆς τοῦ ἑτεροκινήτου· ἀνάγκη ἄρα πρὸ τοῦ ἑτεροκινήτου, τὸ αὐτοκίνητον ὑποτίθεσθαι· καὶ μὲν τὸ κινοῦν εἰ κινεῖ, πάντως ἀκίνητον· εἰ γὰρ καὶ τοῦτο κινεῖτο, ἐπ' ἄπειρον ἥξομεν.

7. Εἰ δὲ τὸ αὐτοκίνητον λέγοι τὶς εἶναι τὸ πρῶτον κινοῦν, ἀκίνητον ἂν εἴη καὶ οὐκ αὐτοκίνητον· εἰ δὲ ταὐτὸν ἅμα καὶ κινοῦν καὶ κινούμενον, καὶ ᾗ μὲν κινοῦν ἀκίνητον· ᾗ δὲ ὑφ' ἑαυτοῦ κινούμενον, αὐτοκίνητον, οὐκ ἔσται καθαρῶς ἀκίνητον· ἀλλὰ πρῶτον μὲν τῶν κινουμένων, ὅτι οὐχ' ὑπὸ ἄλλου, ἀλλ' ὑφ' ἑαυτοῦ· ἔσχατον δὲ τῶν κινούντων, ὅτι οὐ μόνον ἐστι κινοῦν, ἀλλὰ καὶ κινούμενον· δεῖ δὲ τὸ ἀμιγὲς πρὸς τὸ χεῖρον πρὸ τοῦ μεμιγμένου τίθεσθαι ὡς πρῶτον· εἰ γὰρ δεῖ εἶναι πρὸ τοῦ κινουμένου τὸ κινοῦν, ὅπερ ἐξ ἀνάγκης ἀκίνητον, οὐ δύναται πρῶτον κινοῦν εἶναι, τὸ ἅμα κινοῦν καὶ κινούμενον· οὐδὲ γὰρ κυρίως τοῦτό ἐστι τὸ κινοῦν· τί γὰρ μᾶλλον κινοῦν ἢ κινούμενον τὸ αὐτό; καὶ τί μᾶλλον τῶν ἀκινήτων, ἢ τῶν κινουμένων εἶναι λέγοιτο; κἂν γὰρ ἑαυτὸ αὐτὸ μεταβάλλει, μεταβάλλεται ὅμως· οὐκ ἄρα ἀληθῶς ἀκίνητον· δεῖ ἄρα πρὸ τοῦ αὐτοκινήτου τὸ ἀκίνητον ὑποτίθεσθαι· ὃ πάλιν τριττόν ἐστι τὴν φύσιν, νοερὸν, ζωτικὸν, οὐσιῶδες· τὸ μὲν, ὡς ὑπεραιώνιον· τὸ δὲ, ὡς αἰὼν αὐτός· τὸ δὲ, ὡς αἰώνιον· ἅπερ εἰσιν οὐσία, ζωὴ, νοῦς· ἢ πάλιν τὸ μὲν, ὡς εἰς εἴδη περιγράφεσθαι, καὶ διακρίνεσθαι· τὸ δὲ, ὡς ἀπερίγραφον καὶ ἀδιάκριτον· τὸ δὲ, οὕτω μέσως ἔχειν, ὡς ἐγείρε-

σθαι μὲν πρός τε διάκρουσιν καὶ περιγραφήν· οὔπω δὲ ἐν τῷ διακεκρίσθαι, καὶ περιγράφθαι, τελέως ἑςάναι· δήλη δὲ τούτων καὶ ἡ τάξις, ἀδιάκριτον, διακρινόμενον, καὶ διακεκριμένον. ἔςαι δὲ πρὸ τούτου, καὶ ἀναπαρατεινόμενον πᾶσι, τὸ ἕν· οὐ γὰρ ταυτὸν ἓν καὶ ἡνωμένον· τοῦτο γὰρ ἦν τὸ ἀδιάκριτον· ἵνα δὲ σαφέςερον εἴπω, ἐπειδὴ νοῦς ἦν τὸ ὑποκείμενον ἀκίνητον αἴτιον, ἔχοι ἂν καὶ ζωὴν, καὶ οὐσίαν· οὐ γὰρ ἀνούσιος, καὶ ἄζωος ὁ νοῦς· ἡ δὲ ἐν αὐτῷ ζωὴ, νοερὰ πῶς ἐςι· καὶ οὐ μόνον ζωὴ, οὐδὲ ἁπλῶς, ἀλλά τις ζωή· δεῖ δὲ πρὸ τῆς ἐν ἄλλῳ οὔσης καὶ συγκεκραμένης, ἄλλῃ ἰδιότητι εἰδητικῇ εἶναι τὴν ὑπερείδεον ζωήν· καὶ μόνην ζωὴν καθ' ἑαυτὴν ὑφεςῶσαν, ἐν τῷ διακρίνεσθαι μόνῳ οὐσιωμένην, ἀλλ' οὐχὶ διακεκρίσθαι· ἐπεὶ δὲ καὶ ἡ ζωὴ οὐσίαν ἔχει· ζωτικὴ δὲ αὕτη ἡ οὐσία, ἀλλ' οὐχ' ἡ ἁπλῶς οὐσία καὶ διακρινομένη, ἀλλ' οὐχὶ ἁπλῶς ἑνωμένη, δεῖ πρὸ ταύτης εἶναι τὴν ἀληθῶς οὐσίαν, καὶ μόνην οὐσίαν, καὶ τελέως ἡνωμένην· δεῖ δὲ πάντως καὶ τὸ μόνον, ὡς ἓν πρὸ τῆς οὐσίας εἶναι, ἀφ' οὗ ἥνωται ἡ οὐσία· καὶ ταῦτα μὲν ἐν τούτοις· ἐπὶ δὲ τὴν τοῦ λόγου συνέχειαν ἐπανέλθωμεν· σκεψώμεθα τοίνυν εἰ τὸ ἀκίνητον ἀρχή ἐςιν ἡ κυριωτάτη· καὶ πῶς οἷόν τε εἶναι· τὸ γὰρ ἀκίνητον, τοσαῦτά ἐςιν ἀκινήτως, ὅσα τὸ αὐτοκίνητον αὐτοκινήτως· οὐδὲν δὲ αὐτοκίνητον, δύναται πρῶτον εἶναι διὰ τὰς εἰρημένας αἰτίας.

8. Ἵνα δὲ σαφῶς εἴπω ὃ λέγω; τὰ ἄλλα παραλειπὼν, ἐπὶ τριῶν ποιήσομαι τὸν λόγον· ὁρᾶται γὰρ ἐν τῇ αὐτοκινήτῳ ψυχῇ τρία τὰ κυριώτατα, οὐσιῶδες, ζωτικὸν, γνωςικόν· ἔςιν ἄρα καὶ ἐν τῷ ἀκινήτῳ πλήρωμα τῶν τριῶν τούτων εἰδῶν· ἡνωμένον μέν τοι τὸ ἄρα ἀκίνητον, ἓν ἅμα ἐςὶ καὶ πολλά· ἡνωμένον τὲ ἅμα καὶ διακεκριμένον· ὃ δὴ καὶ νοῦν ὠνομάκαμεν· δῆλον δὲ ὅτι τὸ ἡνωμένον ἐν αὐτῷ, τοῦ διακεκριμένου φύσει πρότερον καὶ τιμιώτερον· ἀεὶ γὰρ ἡ διάκρισις ἐπιδεὴς ἐςὶ τῆς ἑνώσεως· οὐ μέν τοι τὸ ἀνάπαλιν· ὁ δὲ νοῦς οὐχ ἔχει τὸ ἡνωμένον καθαρὸν τοῦ διακεκριμένου· συνουσίωται γὰρ τῷ διακεκριμένῳ κατὰ ταυτὸν,

ὅλον τὸ νοερὸν εἶδος· δεῖται ἄρα τοῦ ἁπλῶς ἡνωμένου, τὸ πῆ ἡνωμένον, καὶ τὸ σὺν ἄλλῳ τοῦ καθ' ἑαυτὸ, καὶ τὸ κατὰ μέθεξιν, τοῦ καθ' ὕπαρξιν, κατὰ ἄρα τὸ ἡνωμένον, ἀπὸ τοῦ ἁπλῶς ἡνωμένου παραχθήσεται· πρὸ τοῦ ἄρα εἰδητικοῦ, τὸ ἀπερίγραφον, καὶ ἀδιάκριτον εἰς τὰ εἴδη· καὶ ὅπερ λέγομεν, ἡνωμένον δεῖ εἶναι· ὅπερ δὴ ὂν οἱ σοφοὶ κεκλήκασιν, ἐν μιᾷ συναφέσει πάντα τὰ ὄντα ἔχον· οὐκοῦν ἐνταῦθα στάντες ἀναπνεύσωμεν, καὶ διαλογισώμεθα, εἰ ἔστιν ἡ ζητουμένη πάντων ἀρχὴ, τοῦτο τὸ ὂν· καὶ τί γὰρ ἂν εἴη τοῦ ὄντος ἀμέτοχον; ὅπερ ὅτε ἐστὶν, αὐτοῦ γε τοῦ ὄντος ἐστὶ καταδεέστερον· ἢ εἰ τὸ ἡνωμένον τοῦτό ἐστι, δεύτερον ἂν εἴη τοῦ ἑνός· διότι ἐκείνου μετασχὸν, ἡνωμένον γέγονεν· ὅλως δὲ, εἴ τι ἄλλο μὲν ἐννοοῦμεν τὸ ἓν, ἄλλο δὲ τὸ ὂν, εἰ τὸ ὂν πρὸ τοῦ ἑνός εἴη, οὐ μεθέξει τοῦ ἑνός· ἔσται ἄρα διακεκριμένον, καὶ οὐχ' ἡνωμένον· εἰ δὲ σὺν τῷ ὄντι εἴη τὸ ἓν, καὶ τὸ ὂν σὺν τῷ ἑνὶ, ἢ ὁμοταγῆ εἰσὶν, ἢ διεστήκασιν ἀπ' ἀλλήλων· καὶ ἔσονται δύο ἀρχαί· ὅπερ ἄτοπον· ἢ ἄν τι μεθέξει ἀλλήλων· καὶ ἔσται τὰ δύο στοιχεῖα, ἢ μέρη ἄλλου τοῦ ἐξ ἀμφοῖν· καὶ τί τὸ συναγαγὸν αὐτὰ πρὸς ἄλληλα; εἰ γὰρ τὸ ἓν πρὸς ἑαυτὸ ἥνωσε τὸ ὂν ἅτε ἓν, εἴποι γὰρ ἄν τις καὶ τοῦτο, πρὸ τοῦ ὄντος ἐνεργήσει τὸ ἓν, ἵνα προσκαλέσηται καὶ ἐπιστρέψῃ τὸ ὂν πρὸς ἐφ' ἑαυτό· εἰ δὲ τοῦτο, ἄρα τὸ ἓν αὐτοτελὲς, ὑφέστηκε πρὸ τοῦ ὄντος· ἔτι δὲ τὸ ἁπλούστερον ἀεὶ πρὸ τοῦ συνθετωτέρου· εἰ οὖν ὁμοίως ἁπλᾶ καὶ δύο αἱ ἀρχαὶ, ἢ ἐκ δυοῖν μία, καὶ ἔσται σύνθετος· πρὸ ταύτης ἄρα τὸ ἁπλοῦν καὶ πάντῃ ἀσύνθετον· ὅπερ ἢ ἓν, ἢ οὐχ' ἕν· καὶ εἰ οὐχ' ἓν, ἢ πολλὰ, ἢ οὐδέν· ἀλλὰ τὸ μὲν οὐδὲν, εἰ τὸ πάντῃ κενὸν σημαίνει, μάταιόν τι δηλοίη· εἰ δὲ τὸ ἄῤῥητον, ἐκεῖνό γε οὐδὲ ἁπλοῦν· εἰ δὲ πολλὰ, οὐχ' ἁπλοῦν· ἄπολυ γὰρ εἶναι βούλεται τὸ ἁπλοῦν, κατὰ τὸ στερητικὸν τῶν πολλῶν· καὶ ὅλως ἁπλουστέρων τοῦ ἑνὸς, οὐκ ἔστιν ἐπινοῆσαι ἀρχήν· ἄρα τὸ ἓν, πρὸ τοῦ ὄντος· ἀρχὴ ἄρα τῶν πάντων ἐκεῖνο.

9. Καὶ ὁ Πλάτων ἐπὶ ταύτην ἀναδραμὼν, οὐχ' ἐδεήθη ἄλλης

ἀρχῆς· ἐκείνη γὰρ ἡ ἄῤῥητος, οὐ λόγων ἐςὶν ἀρχὴ, οὐδὲ γνώσεων, οὐδὲ ζώων, οὐδὲ ὄντων, οὐδὲ νοῶν, ἀλλὰ πάντων ἁπλῶς ὑπὲρ πᾶσαν ἐπίνοιαν τεταγμένην· μαντεύεται ἄρα ἡμῶν ἡ ψυχὴ τῶν ὁπωσοῦν πάντων ἐπινοουμένων εἶναι ἀρχὴν ἐπέκεινα πάντων ἀσύντακτον πρὸς πάντα· οὐδὲ ἄρα ἀρχὴν, οὐδὲ αἴτιον ἐκείνην κλητέον· οὐδὲ ἐπέκεινα πάντων· οὐδαμῶς ἄρα πάντα αὐτὴν ὑμνητέον, οὐδὲ νοητέον, οὐδ᾽ ὑπονοητέον· ὅτι γὰρ ἐννοήσαιμεν, ἢ ἐπινοήσαιμεν, τῶν πάντων τί ἐςι· κἂν εἰς τὸ ἁπλούςατον ἀναβαίημεν, ἀναλύοντές τε καὶ ἀναλυόμενοι· ὃ πάντων ἐςὶ περιεκτικώτατον· τὸ αὐτὸ ἕν· τοῦ γὰρ ἑνὸς ἁπλούςερον οὐδὲν ἔχομεν ἐννοεῖν, τοῦ πάντη ἑνὸς καὶ μόνου ἑνὸς, οὐδὲ ἄρα γνωςὸν, οὐδὲ ὀνομαςὸν· ἀλλ᾽ εἰ τὸ ἓν πάντων αἴτιον, καὶ πάντων περιεκτικὸν, τίς ἡ ἐπέκεινα καὶ τούτου ἀνάβασις ἡμῶν; μήποτε γὰρ κενεμβατοῦμεν εἰς αὐτὸ τὸ μηδὲν ἀνατεινόμενοι; ὃ γὰρ μὴ ἕν ἐςι, τοῦτο οὐδέν ἐςι κατὰ τὸ δικαιότατον; πόθεν γὰρ δῆλον, ὅτι καὶ ἔςι τοιούτου ἑνὸς ἐπέκεινα; ἄλλου γὰρ οὐδενὸς χρήζει τὰ πολλὰ, ἢ τοῦ ἑνός· διὸ μόνον τὸ ἓν αἴτιον τῶν πολλῶν· τὸ γὰρ οὐδὲν, οὐδενός ἐςιν αἴτιον.

10. Πρὸς δὴ ταῦτα πάντα, τοῦτο ἡμεῖς λέγομεν· ὅτι ἄβατον καὶ ἀμήχανον ἡ τοιάδε φροντίς· ἀλλ᾽ ὅμως ἐκ τῶν ἡμῖν γνωριμωτέρων, ἀνερεθίον τὰς ἐν ἡμῖν ἀῤῥήτους ὠδῖνας εἰς τὴν ἄῤῥητον συναίσθησιν τῆς φανοτάτης ἀληθείας· ἐπεὶ γὰρ ἐν τοῖς τῇδε τὸ ἄσχετον πάντη τιμιώτερον τοῦ ἐν σχέσει, καὶ τοῦ συντεταγμένου τὸ ἀσύντακτον, ὡς τὸ ὂν τῶν εἰδῶν· καὶ τὸ ἓν τῶν πολλῶν· ὧν ἀρχὴ τὸ ἕν· οὕτω καὶ ἁπλῶς αἰτίῳ καὶ αἰτιατῶν· καὶ ἀρχῶν ἁπασῶν καὶ ἀρχομένων, τὸ πάντα τὰ τοιαῦτα ἐκβεβηκός· καὶ ἐν οὐδεμίᾳ συντάξει καὶ σχέσει ὑποτιθεμένων· ἐπεὶ καὶ τὸ ἓν τῶν πολλῶν φύσει προέςηκε· καὶ τὸ ἁπλούςατον, τῶν συνθετωτέρων ὁπωσοῦν· καὶ τὸ περιεκτικώτατον, τῶν εἴσω περιεχομένων· τὸ δὲ, ἐπέκεινα πάσης ἐςὶ καὶ τῆς τοιαύτης ἀντιθέσεως· καὶ οὐ τοῖς ἐν ὁμοταγέσι μόνον, ἀλλὰ καὶ τοῖς ὡς πρώτοις, καὶ μετὰ τὸ

πρῶτον· ἄληπτον τοίνυν ἐςὶ τὸ σεμνότατον πάντων πάσαις ἐννοίαις τε καὶ ὑπονοίαις· ἐπειδὴ καὶ ἐν τοῖς τῇδε τὸ ἀναφεῦγον ἀεὶ πρὸς τὸ ἄνω τὰς ἡμετέρας ἐννοίας, σεμνότερον τοῦ προχειροτέρου· εἰ δὲ τοῦτο οὐδέν ἐςιν, ἔςω διττὸν τὸ οὐδέν· τὸ μὲν, κρεῖττον τοῦ ἑνός· τὸ δὲ, ἔπειτα δὲ· εἰ δὲ κενεμβατοῦμεν ταῦτα λέγοντες, διττὸν καὶ τὸ κενεμβατεῖν· τὸ μὲν, ἐκπίπτον εἰς τὸ ἄῤῥητον· τὸ δὲ, εἰς τὸ μηδαμῆ μηδαμῶς ὑπάρχον· ἄῤῥητον μὲν γὰρ καὶ τοῦτο, ὡς φησὶ Πλάτων· ἀλλὰ κατὰ τὸ χεῖρον· ἐκεῖνο δὲ κατὰ τὸ κρεῖττον· εἰ δὲ χρείαν αὐτοῦ τινὰ ἐπιζητοῦμεν, αὕτη ἐςὶν ἡ πάντων ἀναγκαιοτάτη χρεία, τὸ ἐκεῖθεν ὥσπερ ἐξ ἀδύτου πάντα προϊέναι ἔκ τε ἀποῤῥήτου, καὶ τὸν ἀπόῤῥητον τρόπον· οὔτε γὰρ ὡς ἓν προάγει τὰ πολλὰ, οὔτε ὡς ὂν, τὰ ὄντα· οὔτε ὡς ἡνωμένον τὰ διακρινόμενα· ἀλλ' ὡς ἀπόῤῥητον, ἀποῤῥήτως τὰ πάντα· εἰ δὲ αὐτὰ ταῦτα λέγοντες περὶ αὐτοῦ ὅτι ἀπόῤῥητον, ἔτι ἀπερινόητον, καὶ τὰ ἄλλα περιτρεπόμεθα τῷ λόγῳ, εἰδέναι χρὴ ὅτι ταῦτα ὀνόματα τῶν ἡμετέρων ὠδίνων, ὅσα πολυπραγμονεῖν ἐκεῖνο τολμῶσιν ἐν προθύροις ἐςηκυιῶν τοῦ ἀδύτου· καὶ οὐδὲν μὲν τῶν ἐκείνου ἐξαγγελλουσῶν, τὰ δὲ οἰκεῖα πάθη περὶ αὐτὸ καὶ τὰς ἀπορίας καὶ ἀτευξίας ἑαυτῶν μηνυουσῶν· οὐδὲν σαφῶς, ἀλλὰ δι' ἐνδείξεως· καὶ ταῦτα τοῖς ἐπαΐειν καὶ τούτων δυναμένων· εἰ δὲ μέχρι τοῦ ἑνὸς ὁ Πλάτων ἀναβὰς ἐσιώπησε, καὶ τοῦτο Πλάτωνι πρεπῶδες περὶ τῶν πάντη ἀφθέγκτων, πάντη σιωπᾷν ἀρχαιοτρόπως.

11. Φέρε οὖν σκεψώμεθα, καὶ πῶς λέγεται ἄγνωςον εἶναι παντελῶς· εἰ γὰρ τοῦτο ἀληθὲς, πῶς ταῦτα πάντα περὶ αὐτοῦ διαταττόμενοι γράφομεν; οὐ γὰρ δὴ λογοποιοῦμεν πολλὰ ληροῦντες περὶ ὧν οὐκ ἴσμεν· εἰ δὲ ἔςιν ἀσύντακτον καὶ ἄσχετον πρὸς πάντα, καὶ οὐδὲν τῶν πάντων οὐδὲ αὐτὸ τὸ ἓν, αὐτὰ ταῦτα φύσις αὐτοῦ ἐστὶν, ἣν ὡς γινώσκοντες διακείμεθα, καὶ ἄλλους διατιθέναι σπουδάζομεν· ἔτι δὲ αὐτὸ τὸ ἄγνωστον αὐτοῦ, ἢ γινώσκομεν ὅτι ἄγνωστον, ἢ ἀγνοοῦμεν· ἀλλ'

εἰ μὲν τοῦτο, πῶς λέγομεν, ὅτι πάντῃ ἄγνωστον; εἰ δὲ γινώσκομεν, γνωστόν ἐστι· ἢ ἀγνώστου γινώσκεται ὅτι ἄγνωστον· ἀλλὰ πῶς ἡμεῖς ἃ γινώσκομεν, ὁπωσοῦν ἐκείνου ἀποφάσκομεν, ὃ ἂν νοοῦμεν παντάπασιν; ὅμοιον γὰρ ὡς εἴτις ἐκ γενετῆς τυφλὸς, ἀποφαίνοιτο θερμότητα μὴ ὑπάρχειν χρήματι· ἢ τάχα μὲν καὶ οὗτος ἐρεῖ δικαίως, ὅτι τὸ χρῶμα, οὐκ ἔστι θερμόν· τὸ μὲν γὰρ ἁπτὸν, καὶ οἶδε τοῦτο διὰ τῆς ἁφῆς· τὸ δὲ χρῶμα, ὅλως οὐκ οἶδε, πλὴν ὅτι οὐχ ἁπτόν· οἶδε γὰρ ὅτε οὐκ οἶδεν αὐτό· καὶ γάρ ἐστιν ἁπλῶς ἡ τοιαύτη γνῶσις, οὐκ ἐκείνου, ἀλλὰ τῆς οἰκείας ἀγνοίας· καὶ δὴ καὶ ἡμεῖς ἄγνωστον ἐκεῖνο λέγοντες, οὐκ αὐτοῦ τι ἀπαγγέλλομεν· ἀλλὰ τὸ περὶ αὐτὸ πάθος ἡμῶν ὁμολογοῦμεν· καὶ γὰρ οὐδὲ ἐν τῷ χρώματι ἡ τοῦ τυφλοῦ ἀναισθησία, οὐδὲ γὰρ ἡ τυφλότης, ἀλλ' ἐν αὐτῷ· καὶ τοίνυν ἐν ἡμῖν ἡ ἀγνωσία, ἐκείνου ὃ ἀγνοοῦμεν. καὶ γὰρ ἡ γνῶσις τοῦ γνωστοῦ ἐν τῷ γινώσκοντι· ἀλλ' οὐκ ἐν τῷ γινωσκομένῳ· ἐπὶ μὲν τῶν ἄλλων ἡ τοῦδε στέρησις, ἀλλ' ὅτι καταλείπει· καὶ γὰρ τὸ ἀσώματον εἰ καὶ ἀόρατον, ἀλλὰ νοητόν ἐστιν. ἐπὶ τούτου δὲ πᾶσαν ἔννοιαν καὶ ὑπόνοιαν καὶ γνῶσιν ἀναιροῦμεν· καὶ ταύτην εἶναι φαμὲν τὴν παντάπασιν ἡμῶν ἄγνοιαν· ἢ πᾶν ὄμμα μύομεν· ὃ δὲ λέγομεν, οὐχ' ὅτι αὐτοῦ λέγομεν τι, ἀλλὰ τὸ μηδὲ μίαν ἑαυτοῦ παρεχόμενον ἀντιλαβήν· οὐδὲ γὰρ μόνον ἄγνωστον αὐτὸ φαμὲν, ἵνα ἄλλο τί ὂν, ἐχηφύσιν τὸ ἄγνωστον· ἀλλ' οὐδὲ ὂν, οὐδὲ ἓν, οὐδὲ πάντα, οὐδὲ ἀρχὴν τῶν πάντων, οὐδὲ ἐπέκεινα πάντων, οὐδέ τι ἁπλῶς ἀξιοῦμεν αὐτοῦ κατηγορεῖν· οὐκοῦν οὐδὲ ταῦτα φύσις αὐτοῦ τὸ οὐδὲν, καὶ τὸ ἐπέκεινα πάντων, καὶ ἁπλοῦν καὶ ὑπεραίτιον· καὶ τὸ ἀσύντακτον πρὸς πάντα· ἀλλὰ μόνον ἀναιρέσεις τῶν μετ' αὐτό.

12. Τί οὖν, οὐ δοξάζομεν περὶ αὐτοῦ ταῦτα ἃ λέγομεν; εἰ δὲ ἐστι δόξα αὐτοῦ, καὶ δοξαστόν ἐστιν· ἢ ὅτι οὐκ ἔστι ταῦτα, δοξάζομεν· καὶ ἀληθής γε αὕτη ἡ δόξα· τὸ γὰρ μὴ εἶναι γνωστὸν, τοῦτο ἀληθές· ὡς τὸ ἀληθῶς ψεῦδος· ἀληθὲς γὰρ ὅτι

ψεῦδος· ἆρα οὖν ὡς ἡμῖν ἄγνωστον αὐτὸ τίθεμεν, εἴη ἂν καὶ τῷ πολυτιμήτῳ νῷ ἄγνωστον; ἀλλ᾽ εἰ γινώσκοιτο καὶ ἐκεῖνο μετὰ τῶν ἄλλων, ἔσται καὶ αὐτὸ τῶν πάντων· καινὸν γὰρ αὐτῷ καὶ τοῖς ἄλλοις ἔσται, τὸ γνωστοῖς εἶναι· καὶ συντάξεται κατὰ τοῦτό γε τοῖς ἄλλοις, ὅπερ ἀδύνατον· ἀλλ᾽ εἰ δεῖ φθέγγεσθαι τὰ ἄφθεγκτα, καὶ ἐννοεῖν τὰ ἀνενόητα, ἀξιοῦμεν ὅμως ὑποτίθεσθαι τὸ ἀσύμβατον πρὸς πάντα, καὶ ἀσύντακτον, καὶ οὕτως ἐξῃρημένον, ὥστε μὴ δὲ τὸ ἐξῃρημένον ἔχειν κατ᾽ ἀλήθειαν· ἐξῄρηται γάρ τινος τότε ἐξῃρημένον· σχέσις γὰρ καὶ τοῦτο· τὸ δὲ, καὶ ἄσχετόν ἐστιν· ὥστε καὶ τοῦτο αὐτοῦ ἀποφῆναι ἀνάγκη· ἀλλὰ καὶ ἡ ἀπόφασις λόγος τίς· καὶ τὸ ἀποφατὸν, πρᾶγμα· τὸ δὲ, οὐδέν ἐστιν, οὐδὲ ἄρα ἀποφατὸν, οὐδὲ ὅλως λεκτὸν, οὐδὲ γνωστὸν ὁπωσοῦν, ὥστε οὐδὲ ἀποφῆναι τὴν ἀπόφασιν δυνατόν· καὶ τί πέρας ἔσται τοῦ λόγου πλὴν σιγῆς ἀμηχάνου καὶ ὁμολογίας τοῦ μηδὲν γινώσκειν, ὧν μὴ δὲ θέμις εἰς γνῶσιν ἐλθεῖν; ἆρα τοίνυν οὐδὲ ἥκει τὶ ἀπ᾽ αὐτοῦ εἰς τάδε· ἐπὶ γὰρ τοῦτο ζητητέον καὶ πῶς οὐκ ἂν ἥκοι, εἴπερ ἀπ᾽ αὐτοῦ τὰ πάντα ἐστίν· ἀφ᾽ οὗ γὰρ ἕκαστον πρόεισι καὶ μετέχει αὐτοῦ, εἰ μηδὲν ἄλλο, τοῦτο ὅ ἐστιν ἔχον ἐκεῖθεν· καὶ ἀναπνέον τὴν οἰκείαν ἀρχὴν, καὶ εἰς ἐκείνην ἐπιστρεφόμενον κατὰ τὴν ἑαυτοῦ δύναμιν· τί γὰρ δὴ καὶ κωλύσει ἐκεῖνο διδόναι τί ἑαυτοῦ τοῖς ἀπ᾽ αὐτοῦ; πῶς δ᾽ ἂν καὶ ἡμεῖς ταῦτα περὶ αὐτοῦ ὑπονοοῖμεν; ὅπως δήποτε, εἰ μή τι ἦν ἐν ἡμῖν ἴχνος ἀμυδρὸν ἐκείνου; μή ποτε οὖν ἀπόῤῥητον ὂν, ἀποῤῥήτου μεταδίδωσι τῆς τοῖς πᾶσι μεθέξεως καθ᾽ ἣν ἔστι τὶ καὶ ἐν ἑκάστῳ ἀπόῤῥητον;

CAP. VIII.

1. Μία μόνη ἡ πρὸ πάντων ἀρχή· καὶ μετὰ τὴν μίαν, αἱ δύο πέρας, καὶ ἄπειρον· καὶ τρίτον τὸ ἡνωμένον· τὸ γὰρ ἡνωμένον τοιοῦτόν ἐστιν, οἷον πεπονθὸς τὸ ἕν· τὸ δὲ ἓν, ὁ μό-

νον ἓν, ὑπὲρ τὸ ἡνωμένον· οὐ μέν τοι ἀπέσπασται τὸ ἕτερον τοῦ ἑτέρου παντελῶς· ἀλλὰ μετέχει τοῦ ἑνὸς τὸ ἡνωμένον· ἔστιν ἄρα μεταξὺ τῶν δύο, σχέσις θεωρουμένη, οἷον σύνδεσις τῶν ἄκρων· ταῦτα ἐφεξῆς, τὸ ἡνωμένον, ἡ σχέσις, τὸ ἓν· καὶ ὑπὲρ τὸ ἓν, ἔσται τὸ ἄῤῥητον, ἤγουν ἡ ἄῤῥητος ἀρχή· ἡ δὲ λεγομένη σχέσις, ἔστιν ἡ δύναμις τοῦ ἑνός· πρώτη γὰρ ἡ δύναμις σχέσεων πασῶν· αὕτη δὲ λέγεται παρὰ μὲν τοῖς, ἄπειρον· παρὰ δὲ τοῖς, πλῆθος· καὶ παρ' ἐνίοις μὲν, ἀόριστος δυάς· παρ' ἑτέροις δὲ, οὐχ' ἓν, καὶ πάντα, καὶ πολλά· καὶ ἔστι ταῦτα ἐφεξῆς, τὸ ἄῤῥητον· τὸ αὐτὸ ἓν, τὸ οὐχ' ἓν, καὶ τὸ ἓν, καὶ τὸ ἡνωμένον, ἤτοι τὸ ὄν· διὰ γὰρ τοῦτο λέγεται τὸ ὂν, ἡνωμένον, ὅτι ἔκ τε τοῦ ἑνός, καὶ οὐχ' ἑνὸς σύγκειται· τὸ γὰρ ἡνωμένον, οὐκ ἔστι μόνον ἓν· ταυτὸν γὰρ ἂν ἦν τῷ ἐξ ἀρχῆς ἑν· ἀλλὰ καὶ οὐχ' ἕν· οὐδὲ ἄρα μόνον οὐχ' ἓν, οὐ γὰρ ἂν ἦν ἡνωμένον· ὥσπερ οὖν διότι καὶ οὐχ' ἓν ἔχει πρὸ αὐτοῦ ὃ καθαρῶς ἕν ἐστιν, οὕτω καὶ διότι ἓν, ἀλλ' οὐχὶ καθαρῶς, οὐχ' ἓν, ἔσται πρὸ αὐτοῦ τὸ καθαρῶς οὐχ' ἓν, τῇ ἑαυτοῦ ἰδιοτρόπῳ ὑποστάσει τοιοῦτον λεγόμενον· οὐ δήπου ὡς τὸ μηδὲν· τοῦτο γὰρ ἀνυπόστατον· ἀλλ' ὥς τις φύσις ἐκρήνασα τὸ οὐχ' ἓν ἐν τοῖς οὖσι· δι' ἣν καὶ τὸ πρῶτον ἓν, οὐχ' ἕν ἐστιν ὥσπερ ἓν, διὰ τὸ ἓν· καὶ ἡνωμένον δι' ἑαυτό.

2. Πάλιν δὲ λέγομεν· ὅτι τὸ ὂν, ἢ ἓν ἐστὶν, ἢ πολλά· ἢ τὸ συναμφότερον· ἓν μὲν οὖν οὐκ ἔστιν· οὐ γὰρ ἡ αὐτὴ ἔννοια ὄντος καὶ ἑνός· οὐδὲ μὴν πολλὰ διὰ τὴν αὐτὴν ἔννοιαν· εἰ δὲ τὸ συναμφότερον, οὐ δήπου καθ' ὕπαρξιν· οὔτε γὰρ ταυτὸν ἓν καὶ πολλά, οὔτε ἓν καθ' ὕπαρξιν, ὅπερ μετὰ πολλῶν ἐστιν· οὔτε πολλὰ, ὅγε συνουσίωται τῷ ἑνί· ὡς οὖν προϋπάρχει τὸ ἓν, οὕτω καὶ τὰ πολλά· ἡ πρώτη ἄρα τῶν ἀρχῶν συζυγία, τὸ ἓν καὶ τὰ πολλά ἐστιν· τὸ γὰρ ἡνωμένον ἔμφασιν ἔχει καὶ πολλῶν καὶ ἑνός· εἰ καὶ μήπω διώρισται ταῦτα ἐν αὐτῷ· ἐκείνη δὲ ἡ ἀρχὴ, πολλὰ μόνον ἐστί· διὸ καὶ ἄπειρον καθ' ἑαυτό· τὸ γὰρ ἄνευ τοῦ ἑνὸς πλῆθος ἐπινοούμενον; ἀπειράκις ἄπειρον· ἔστι μὲν οὖν καὶ τὸ ἄπει-

ρον ἕν, ἀλλὰ κατὰ μέθεξιν· ἡ δὲ ὕπαρξις αὐτοῦ, καὶ οἷον ἰδιότης, πολλὰ μόνον, καὶ ἄπειρον μόνον· πρὸ δὲ τῶν πολλῶν, αὐτὸ δήπου τὸ ἓν τὸ μόνον ἕν· διὸ καὶ ὕπαρξις ὀνομάζεται ἡ ἀρχὴ ἐκείνη, ὅτι μόνον καθ' ὕπαρξιν· ἡ δὲ δευτέρα μετέχουσα τῆς πρώτης, εἶτα καὶ ἴδιον προεβάλλετο τὴν ταύτης ὕπαρξιν τὴν πολλοποιόν· διὸ καὶ τὸ δυαδικὸν, ἐν αὐτῇ πρώτη πέφηνε καὶ τὸ προοδικὸν, ὅτι πρώτη προῆλθε· καὶ τὸ τοῦ χάους ἰδίωμα, ὅτι πρώτη ἐχώρησε τὴν πρὸ αὐτῆς καὶ τοῦ ἑνὸς ὁπωσοῦν πρώτη ἐξέβη· ἔστι τοίνυν ἐν τῷ τρίτῳ, αἱ δύο μεθέξεις, ἡ τοῦ ἑνὸς, καὶ τῶν πολλῶν μία, καὶ τριὰς ἤδη τὸ τρίτον· ὥστε πάντα μὲν ἑκάστη ἀρχὴ τῶν τριῶν ἐστὶ καὶ πρὸ πάντων· ἀλλ' ἡ μὲν πρώτη πάντα κατὰ τὸ ἕν· ὡς ἡ ἁπλότης μία τελής· ἡ δὲ δευτέρα πάντα καὶ αὐτὴ ὡς πολλά· ὃ ἔστι πάντα· οὐ γὰρ δὴ ἔνια· ταῦτα γάρ τινὰ πολλά· ἡ δὲ ἐστιν ἁπλῶς πολλά· καὶ πάντα μὲν, ἀλλ' οὔτε διωρισμένα, οὔτε ἡνωμένα· οὐ γὰρ τὰ μετέχοντα, ἀλλ' αὐτὴ ἡ πολλότης καὶ παντότης.

3. Ἁρμόσει δ' ἂν καὶ οὕτως αὐτὰς διορίζειν· ἡ μὲν ἐστιν ἓν πρὸ πάντων· ἡ δὲ, πάντα ἕν· ἡ δὲ τρίτη, ἓν πάντα καθ' ἕνωσιν· δῆλον δὲ, ὅτι οὔτε ὁμοταγεῖς εἰσὶν, οὔτε δύο εἰσίν· εἴπερ πᾶς ἀριθμὸς κάτω καὶ αὐτὴ ἡ μονάς· οὔτε διωρισμέναι εἰσὶν ἀπ' ἀλλήλων· οὐδὲ γὰρ ἐν τῇ τρίτῃ ἀρχῇ διορισμός· ἀλλὰ μόνον προηνωμένα τῶν διορισθησομένων ἀπ' αὐτῆς· οὔτε ἑτερότης διαλαμβάνει αὐτάς· εἴπερ οὐδὲ ταυτότης ἐκείνοις· ἀλλ' ὡς ἔχει ὕπαρξις, καὶ δύναμις τῆς ὑπάρξεως, καὶ νόησις τῆς δυνάμεως· πάντως δὲ φανερὸν ὅτι οὐδὲ ταῦτα ἀληθεύεται ἀληθῶς ἐπ' ἐκείνων· καταχρώμεθα δὲ ὅμως τοῖς ὀνόμασιν ἐπ' ἐκείνων, ὡς μὴ ἔχοντες ἀξίας ἐκείνων ἐπωνυμίας· οὐδὲ γὰρ νοήσεις ἔχομεν τοιαύτης· οὐδὲ γὰρ αὐτὰ τὰ νοήματα ληπτὰ ταῖς νοήσεσιν ἐστὶ ταῖς ἡμετέραις· οὐ τοίνυν δύο ῥητέον τὰς ἀρχάς· οὐδὲ γὰρ μίαν, ὡς ἀριθμούντων· ἀλλὰ κατὰ τὴν ἰδιότητα μᾶλλον ὑπονοούντων, ἣν φαμὲν εἶναι δυάδος τε καὶ μονάδος· δυὰς γὰρ, ὅτι δυαδική· καὶ μονὰς, ὅτι μοναδική· καὶ γὰρ οὕτω καὶ ἓν καὶ πολλὰ αὐτῷ ἀριθμῷ· οὐδὲ ὅλως τὸ πο-

σόν· οὐδὲ πεποσωμένη τινὶ φύσει· οὐδὲ τῇ ποσοῦ ἀρχῇ· οὐδὲ τῆς πεποιωμένης οὐσίας· ἀλλ' ἐπέκεινα τῶν τοιούτων ἁπάντων νοημάτων· ἕκαστον γὰρ τούτων, μερικόν τε ἐστὶ καὶ διωρισμένον.

4. Ἀκόλουθον ἐπὶ τούτοις ἂν εἴη ζητεῖν, εἰ πρόεισί τε ἀπ' ἐκείνου εἰς τὰ μετ' αὐτὸ, ἢ οὐδενὸς αὐτοῖς μεταδίδωσιν· εἰ γὰρ οὐδενὸς μεταδίδωσι τοῖς ἀπ' αὐτοῦ παραχθεῖσι, πῶς αὐτὰ παρήγαγεν; οὕτως ἔχοντα ἀνοικείως πρὸς αὐτὸ, ὥστε μηδενὸς ἀπολαύειν τῆς ἐκείνου φύσεως· πῶς δὲ αὐτῶν αἴτιον ἐστὶ κατὰ τὴν ἑαυτοῦ φύσιν, ἧς αὐτοῖς οὐ μεταδίδωσι; πῶς δὲ ἐπιστρέφεται ἐκεῖνα πρὸς αὐτὸ; καὶ πῶς αὐτοῦ λέγεται, οὗ μετέχειν οὐ δύναται; πῶς δὲ σώζεται τὰ προελθόντα, μὴ ἐνεῤῥιζομένα τῇ σφῶν αἰτίᾳ; εἰ δὲ πρόεισι, πάλιν αὖ ἀπορήσειε τις, ὃν τινα τρόπον προΐοι ἄν· τί γὰρ αὐτῷ τῆς διακρίσεως αἴτιον ἔσται; πᾶσα γὰρ πρόοδος, μετὰ διακρίσεως· πάσης δὲ διακρίσεως, τὸ πλῆθος αἴτιον· πολλοποιεῖν γὰρ ἀεὶ διακριτικόν· ἐκεῖνο δὲ, ἓν πρὸ τοῦ πλήθους· καὶ ἀδιάκριτος αὐτοῦ σύμπαν ἡ φύσις· οὐκ ἄρα ἑαυτό γε διακρίνοιεν ἂν εἰς τὴν τῶν πολλῶν πρόοδον· ἀλλὰ μὴν οὐδὲ τῶν πρὸ αὐτοῦ τῶν γε μὴ ὄντων· οὐδὲ μὲν τοι τῶν μετ' αὐτό· τί γὰρ ἂν καὶ δράσειεν τὸ δεύτερον καὶ αἰτιατὸν, εἰς τὸ πρότερον καὶ αἴτιον; οὐ τοίνυν πρόεισιν ἢ κατὰ ὕφεσιν, ἢ κατὰ μερισμόν· πρὸς δὲ τούτοις, εἰ πρόεισι καὶ ἐστιν ἐν ἑκάστῳ τῶν ὄντων καὶ γενομένων τὸ οἰκεῖον μέτρον, φανερὸν ὅτι ἐν ἑκάστῳ τὸ ἐπιβάλλον ἐνδίδωσι· τοῖς δὴ φθαρτοῖς καὶ θνητοῖς, εἰ μὲν οὐδὲν, πῶς καὶ τούτων αἰτία ὑμνεῖται; εἰ δὲ ἐνδίδωσιν, οὐ τὸ αὐτὸ ὃ καὶ τοῖς αἰωνίοις· φθαρτὸν ἄρα καὶ θνητὸν τὸ ἐνδιδόμενον τούτοις· καὶ τίς ἂν γένοιτο φθορὰ τοῦ ἑνός; ἔτι εἰ τὰ ἄλλα ἀπ' αὐτοῦ πρόεισιν, ἐχωρίσθη αὐτοῦ· καὶ ἐκεῖνο ἄρα τούτων ἐχωρίσθη· εἰ δὲ ἥνωται, οὐ προῆλθεν· ἄλλος γὰρ ὁ τρόπος ἐκεῖνος τῆς ἑνιαίας προόδου, ὃν ἡμεῖς οὔπω συννοοῦμεν, ἅτε μεμερισμένοι εἰς μονὴν καὶ πρόοδον καὶ ἐπιστροφήν· τὸ δὲ ἐστιν ὑπὲρ τὸν διορισμὸν τῶν τοιούτων· ἐκεῖνο γὰρ πρὸ ἀμφοῖν, ἀδιόριστον.

5. Μὴ δὲ αὖ ζητείτω τις· εἰ παράγοι, ἐνεργεῖ· καὶ εἰ ἐνεργεῖ, καὶ δύναται καὶ ὑπάρχει· τρία οὖν ταῦτα, ἀλλ' οὐχ' ἓν, ὕπαρξις, δύναμις, ἐνέργεια· ἀλλ' εἴρηται ὅτι ἐκεῖνο, πρὸ ἐνεργείας, καὶ δυνάμεως, καὶ ὑπάρξεως· ἐν αὐτῷ γὰρ, ὡς ἓν τὰ τρία· ἀλλ' οὐ τρία θεωρεῖται· μὴ δὲ λεγέτω τις ἀποῤῥεῖν τινὰ ἀπ' αὐτοῦ μέθεξιν, οὔτε ἰδίαν ἑκάστου γινομένην, οὔτε κοινὴν μίαν ἁπάντων, ἵνα μετέχῃ αὐτοῦ τὰ ἀπ' αὐτοῦ προελθόντα· καὶ ἐκεῖνο διδῷ τὰ ἑαυτοῦ τοῖς προελθοῦσιν· ἢ εἰ μὴ ταῦτα, μὴ δὲ ἐκεῖθεν ἔχειν τὸ εἶναι μὴ δέ τι κοινὸν εἶναι αὐτοῖς πρὸς ἐκεῖνο· τὸ γὰρ τοιοῦτον εἶδος τῶν ἀποριῶν, ἰσχύειν ῥητέον, ἐπὶ τῶν κατὰ διάκρισιν παραγόντων καὶ προϊόντων· αἱ γὰρ τοιαῦται πᾶσαι ἀντιθέσεις, ἐν διορισμῷ· τὸ δὲ ἐστιν, ὡς εἴρηται πολλάκις, ἀδιόριστον· ὥστε ἅμα ταῦτα πάντα ἐν ἐκείνῳ ῥητέον, καὶ αὖ οὐδὲν· τὸ δὲ ἀληθέστερον, οὐδὲ πάντα· ἀλλὰ πρὸ πάντων, ἓν ὁμοῦ πάντων τούτων ἁπλωτικόν· οὔτε ταῦτα ἀπ' ἐκείνου διεκρίθη· οὐδὲ ἐκεῖνο ἀπὸ τούτων· ἀλλ' οὐδὲ μὴν ἥνωται ἀλλήλοις, οὐδὲ τὰ αὐτά ἐστιν, οὐδὲ ἕτερα, οὐδὲ ὅμοια, οὐδὲ ἀνόμοια, οὐδὲ ἓν, οὐδὲ πολλά, οὐδὲ ὁμοταγῆ, οὐδὲ ἑτεροταγῆ· οὐδὲ γὰρ τὸ πρὸ πάντων ἁρμόζει ἐκείνῳ, οὐδὲ ἄρα τοῖς πᾶσι τὸ μετ' ἐκεῖνο, οὐδὲ πρῶτον, οὐδὲ δεύτερον, οὔτε αἴτιον, οὔτε αἰτιατόν· ἐν διορισμῷ γάρ τινι τὰ τοιαῦτα πρὸς ἄλληλα· τὸ δὲ ἐστιν ἀδιόριστον, οὐ τὸ ἀντικείμενον τῷ διωρισμένῳ, ἀλλὰ πάντῃ ἁπλοῦν, καὶ ἰδιοτρόπως οὕτω καλούμενον.

6. Ἀλλὰ ταῦτα μὲν ἐν τούτοις· ὃ δὲ νῦν λέγομεν τοῦτό ἐστιν· ὅτι ἡ μία ἀρχὴ τῶν πάντων τοσοῦτον ἀπέχει τοῦ διακρίνειν, ὥστε οὐδὲ ἑνίζει· οὐδὲ γὰρ ποιεῖ τί· ἓν γάρ τι καὶ τὸ ἑνίζειν, ὥσπερ καὶ τὸ διακρίνειν· καὶ οὔτε μετεχομένη ἐστὶν, οὔτε ἀμέθεκτος· ἀλλὰ τρόπον ἄλλον τὸν πρὸ ἀμφοῖν, ἔστι τὲ, καὶ τὰ ἄλλα σώζει καὶ τελειοῖ· καὶ παράγει ὁμοῦ πάντα κατὰ τὸ ἓν ἑαυτῆς παντοποιὸν ἐνέργημα· ὅπερ οὔτε παρεκτικὸν, οὔτε τελειωτικὸν κλητέον, οὔτε ἄλλο τῶν τοιούτων οὐδὲν· ἐν διορισμῷ γὰρ καὶ ταῦτα· τὸ δὲ ἓν, ἔστι ἐπ' ἀμφότερον, κατὰ μίαν δὲ φύσιν

πάντα οὖν αὐτοῦ ἀπῃώρηται· καὶ ταύτῃ αὐτοῦ ἀπολάυει ἐχόμενα ὑπ' αὐτοῦ· οὐδὲν οὖν ἀπ' αὐτοῦ τοιοῦτον, οἷον αὐτό· οὐδὲ γὰρ οἷόν τε ἦν αὐτὸ ἑαυτοῦ διαστῆναι κατὰ ὑπόβασιν, οὐδενὸς ὄντος τοῦ διαστήσοντος· οὐδὲ θέμις ἦν τὴν ἀδιάφορον φύσιν, ἐν διαφορᾷ τινὶ γενέσθαι πρὸς ἑαυτήν· οὐδὲ τὴν πάντων ἁπλότητα, εἰς διπλόην τινὰ προελθεῖν· ὅπου γε καὶ τὴν εἰς ἔσχατον ἀποῤῥυεῖσαν ὕλην περιέσχε τῇ ἑαυτοῦ ἀδιαφόρῳ περιοχῇ τῆς παντελοῦς ἁπλότητος· εἰ τοίνυν οὐδὲν ἀπ' αὐτοῦ, πῶς πάντων αἴτιον; ἢ οὕτω μὲν ὡς διωρισμένον αἴτιον, καὶ τὴν ὡς αἰτίου διωρισμένην ἔννοιαν, οὐκ ἔστιν αἴτιον, ἀλλ' ὡς προείρηται· ἥκει οὖν ἄρα τὶ ἐκεῖθεν; πάνυγε πάντα· ἀλλ' οὐχ' οἷον ἐκεῖνο· ἀλλ' οἷον τὰ μετὰ τὴν φύσιν ἐκείνην· ἀλλὰ μή ποτε ἡ μέθεξις οὐκ ἄλλη ἐστὶ τῆς ὑπάρξεως αὐτοῦ· οὐ γὰρ ἄλλο δίδωσιν· ἀφ' ἑαυτοῦ τοῖς μετέχουσιν· ἀλλ' ἑαυτὸ ὃ ἐστὶν· ἢ τοῦτο τῇ ὕλῃ προσήκει· ἀλλ' ἥ γε ὕλη οὐκ ἔχουσα τὶ μεθ' ἑαυτὴν ὅ τι δοίη, δίδωσιν ἑαυτὴν τῷ κόσμῳ· ἢ ἡ μὲν ὕλη κατὰ τὸ χεῖρον, ἐκεῖνο δὲ ἴσως κατὰ τὸ κρεῖττον, ἑαυτὸ τοῖς πᾶσι καὶ ἑκάστῳ ἐνδίδωσιν· οὐχ' ὡς ὕλην· οὐδὲ γὰρ ὡς εἶδος· ἀλλ' ὡς αἰτίας τῆς πρώτης τὴν πρώτην μέθεξιν· ταυτὸν δὲ φάναι καὶ ὕπαρξιν ἐν τοῖς μετέχουσιν οὖσαν· οὐδὲ διακρίνεσθαι ἀπ' αὐτῶν ἐθέλουσαν· εἰ καὶ ἐκεῖνα πρόεισιν ἀπ' αὐτῆς καθ' ὅσον τοῦ πλήθους μετέχῃ· ὥστε οὐδὲ ἀπ' αὐτῆς ἡ πρόοδος, ἀλλ' ἀπὸ τοῦ πλήθους ἀπογεννᾶται· ἀπ' ἐκείνης δὲ, πάντα ἕν· οἷον ἡ ῥίζα μόνη πρὸς τὸ στέλεχος καὶ τῆς τῶν κλάδων ἐκ φύσεως ὅλον ἤδη οὖσα τὸ δένδρον, ἢ οἷον κέντρον ἐν ᾧ πάντα τὰ πέρατα τῶν εὐθειῶν· τῶν πολλῶν ὁμοῦ κατὰ τὸ ἓν, τὰ πάντα πρὸ τῆς τῶν πολλῶν εὐθειῶν διαστάσεως· μετὰ δὲ τὸ κέντρον, ἡ διάστασις· καὶ οὐκ αἴτιον αὐτῆς τὸ κέντρον, ἀλλ' ἡ ῥύσις τοῦ συνεχοῦς· καὶ ἐκεῖ τοίνυν τὸ πολλοποιὸν αἴτιον ἄρχει τῶν προόδων· τῆς μὲν ἑνιαίας, τὸ ἑνιαῖον· τῆς δὲ οὐσιώδους, τὸ οὐσιῶδες.

7. Εἰ τοίνυν τὸ ἓν, αὐτὸ μόνον ἐστὶ, καὶ οὐδὲν ἄλλο τῶν πάντων, οὔτε κατὰ μέθεξιν, ὅτι μηδὲν πρὸ αὐτοῦ· οὔ-

τε καθ᾽ ὕπαρξιν ὅτι ἓν· οὔτε κατ᾽ αἰτίαν, ὅτι μὴ δὲ αἰτίαν ἔχει ἓν ἑαυτῷ τῶν ἀπ᾽ αὐτοῦ τινὸς, οὐδὲ γάρ τι ἐκεῖ παρὰ τὸ ἓν, πῶς αὐτὸ φήσομεν εἶναι καὶ γνωστόν; οὔτε γὰρ ταυτὸν γνωστὸν καὶ ἓν, οὔτε εἰ ἕτερον ἔτι ἓν· ἔτι τὸ γνωστὸν, ἐφετόν ἐστι τοῦ γνωστικοῦ· ἡ ἄρα γνῶσις, ἐπιστροφή ἐστι τοῦ γνωστικοῦ πρὸς τὸ γνωστόν· πᾶσα δὲ ἐπιστροφὴ, συναφή ἐστι· συνάπτει δὲ τὸ αἰτιατὸν τῷ αἰτίῳ, ἢ κατὰ γνῶσιν, ἢ κατὰ ζωὴν, ἢ κατὰ τὸ εἶναι· πρὸ τῆς μὲν ἄρα κατὰ γνῶσιν ἐπιστροφῆς, ἡ κατὰ ζωήν· πρὸ δὲ ταύτης, ἡ κατ᾽ οὐσίαν· καὶ πρὸ ταύτης, ἡ ἕνωσις· ἐπειδὴ καὶ τὸ ἓν, πρό τε νοῦ καὶ ζωῆς, καὶ οὐσίας· ἐπέκεινα ἄρα γνώσεως, ἡ ἕνωσις· τὸ ἄρα πρὸς τὸ ἓν ἐπιστρεφόμενον, οὔτε ὡς γνωστικὸν, οὔτε ὡς πρὸς γνωστὸν ἐπιστρέφεται· ἀλλ᾽ ὡς ἓν, πρὸ ἓν· δι᾽ ἑνώσεως ἀλλ᾽ οὐ διὰ γνώσεως· καὶ γὰρ ἔδει πρὸς τὸ πρῶτον, διὰ τῆς πρώτης ἐπιστρέφεσθαι ἐπιστροφῆς· οὐκ ἔστι δὲ πρώτη ἡ γνῶσις, ἀλλὰ τοὐλάχιστον, τρίτη· ἆρα οὖν ἀναβάντες ἐντετυχήκαμεν αὐτῷ ὡς γνωστῷ, ἢ βουληθέντες ὡς τοιούτῳ ἐντυχεῖν, ἀνελύθημεν εἰς τὸ ἄγνωστον ὑπερβάντες ἡμῶν τὸ γνωστικὸν εἰς τὸ ἓν εἶναι περιστάμεθα· αὕτη γὰρ ἦν ἡ συναφὴ τοῦ ἑνὸς, ὡς πρὸς ἓν, καθὼς εἴρηται.

8. Ἀλλὰ πῶς περὶ αὐτοῦ ταῦτα λέγομεν εἰ μὴ ἔστι γνωστόν; οὕτω μὲν ὡς ἀντερείδειν τὴν γνῶσιν, οὐ γνωστόν, οὐδ᾽ ὡς νόθως λογισμῷ, ᾧ καὶ τὴν ὕλην γινώσκομεν· καίτοι τὸ γνωστὸν οὐκ ἔχουσαν· εἶδος γάρ τι τὸ γνωστὸν, ἤ τι τῶν ὄντων· εἰ δέ ἐστι μὴ ὂν, καὶ ἀνείδεος· ὡς οὖν τὸ εὐθὺ τὸ διεστραμμένον φασὶν, οὕτω καὶ τὸ γνωστὸν τὸ ἄγνωστον καθυπονοοῦμεν· τρόπος δὲ ὅμως καὶ οὗτος γνώσεως· γνωστὸν ἄρα καὶ ἐκεῖνο κατὰ τοσοῦτον· ἐπειδὴ προσδεῖται μὲν ἡ γνῶσις διακρίσεως· πλησιάζουσα δὲ τῷ ἑνὶ, συμπύσσεται εἰς ἕνωσιν ἡ διάκρισις· ὥστε καὶ ἡ γνῶσις ἀναχεῖται εἰς ἀγνωσίαν· καὶ γὰρ τὸν ἥλιον τὴν μὲν πρώτην ἐπιχειροῦμεν ὁρᾷν· καὶ τελευτῶντες, οὔτε αὐτὸν οὔτε ἄλλα ὁρῶμεν, ἀντιφωτιζομένου ὄμματος φῶς γενόμενοι· ἆρα οὖν ἄγνωστον τῇ

φοικίᾳ φύσει τὸ ἓν, καὶ τὸ ἄγνωστον ἄλλο παρὰ τὸ ἕν· τὸ δὲ, καθ' αὐτὸ βούλεται εἶναι, σὺν ἄλλῳ δὲ οὐδενί· τὸ μὲν δὴ ἀντιδιῃρημένον τῷ γνωςῷ ἄγνωςον, τὸ ἐπέκεινα τοῦ ἑνὸς πάντη ἀπόῤῥητον· οὗ τῇ γειτνιάσει, καὶ τὸ ἓν ἐπιλυγάζεται· ἐγγυτάτω γὰρ ὂν τῆς ἀμηχάνου ἀρχῆς, εἰ θέμις οὕτως εἰπεῖν, ὥσπερ ἐν ἀδύτῳ μένει τῆς σιγῆς ἐκείνης· εἰ οὖν μήτε ὡς ἕν, μήτε ὡς πάντα γινώσκεται, τί ἂν εἴη; ἄπαγε ἄνθρωπε μὴ προσενέγκῃς τὸ τί· αὐτὸ γὰρ τοῦτό σοι ἐμποδίζει πρὸς τὴν ἐκείνου γνῶσιν, ὅτι οἴει τὶ ἀκούσεσθαι· τὸ. δὲ, εἰ ἀφέλῃς τὸ τὶ καὶ τὸ ποιὸν, φανεῖταί σοι ὅ ἐστι κατὰ τὸ δυνατόν· αὐτὸ γὰρ τοῦτό ἐστι, τὸ μὴ τὶ μὴ δὲ ποιὸν· ἀλλὰ ἄλλό τι, ὅπερ οὔτε εἰπεῖν, οὔτε νοῆσαι ῥᾴδιον· πᾶν γὰρ ὄνομα τί ἐςι, καὶ τινὸς δηλωτικόν· καὶ πᾶν νόημα, τί ἐςιν, καὶ ποιοῦ τινός· κἂν πάντα ὁμοῦ συναγάγῃς, ποιά ἐστι καὶ τινά· ποιῶν γὰρ καὶ τινῶν· ὥστε καὶ ὁ νοῦς, ᾗ νοῦς, τῶν ποιῶν τινῶν θεωρός ἐστιν.

CAP. IX.

1. Φέρε δὲ νῦν κατὰ ἄλλην ἐπιβολὴν ἀποδείξωμεν τὴν τρίτην ἀρχὴν, ὅπως ἂν ἔχοι λόγον, πρὸς τὴν οὐσίαν καὶ τὸ ὄν· οὐκοῦν τοῦτο λέγομεν εἶναι, ὃ δύναταί τε καὶ ἐνεργεῖ· ὁ γὰρ ἔστι μὲν, οὐκ ἐνεργεῖ δὲ, τοῦτο οὐδὲ εἶναι φαμέν· οὐκοῦν ἡ μὲν πρώτη ἀρχὴ, κατὰ ὕπαρξιν θεωρεῖται· ἡ δὲ δευτέρα, κατὰ τὴν δύναμιν· οὕτω γὰρ καὶ λέγεται· ἡ δὲ τρίτη κατὰ τὴν ἐνέργειαν ἔσται ἄρα καὶ ὑπάρχουσα καὶ δυναμένη καὶ ἐνεργοῦσα· τοῦτο δὲ, οὐσία καλεῖται καὶ ὄν· διὸ καὶ τριάς· διὸ μετὰ τὴν ὕπαρξιν ἡ οὐσία· ὅτι συνδυναμεῖ καὶ ἐνεργεῖ· πρὸ δὲ τούτων, ἡ ὕπαρξις αὐτὸ οὖσα τὸ πάντων ὑποςατικὸν αἴτιον· ὡς ἡ δύναμις τὸ πάντων δυναμωτικόν· ὡς ἡ τρίτη, τὸ πάντων ἐγερτικὸν, εἰς ἐνέργειαν· αὐτῷ δὲ τούτῳ πάσης οὐσίας γεννητικὸν τῆς ἅμα ὑπαρχούσης καὶ δυναμένης καὶ ἐνεργούσης· καὶ νῦν πᾶσα οὐσία, πρὸ δυνάμεως καὶ ἐνεργείας ἐστίν·

αὗται γὰρ ἀπ᾽ ἐκείνης· ὥστε ἔδει τὴν ἁπλῶς οὐσίαν, μήτε δύναμιν ἔχει μήτε ἐνέργειαν· ἢ ταύτας μὲν οὐκ ἔχει τὰς μεθ᾽ ἑαυτήν, ἃς ἐκτενῶς αὐτῆς εἶναι τιθέμεθα· οὔπω γάρ τις ἐκεῖ διάκρισις· ἀλλ᾽ ἣν ἄν εἴποι τις ἓν εἶναι τῇ πρὸ δυνάμεως καὶ ἐνεργείας οὐσίᾳ, δύναμιν καὶ ἐνέργειαν συνουσιωμένην, καθ᾽ ἣν γεννᾷ καὶ προβάλλεται τὴν μεθ᾽ ἑαυτὴν δύναμιν καὶ ἐνέργειαν· ταύτην ἄν τις καὶ ἔτι συμφυεστέραν ἀπολείποι σὺν τῇ πρώτῃ οὐσίᾳ, δύναμιν καὶ ἐνέργειαν· διὸ πρὸ ἐνεργείας, δύναμις μόνον καὶ ὕπαρξις· πρὸ δὲ τῆς δυνάμεως, ὕπαρξις μόνον· καὶ οὐδ᾽ ὁπωσοῦν ἐκεῖ οὔτε δύναμις, οὔτε ἐνέργεια, ἀλλὰ τὸ πάντων ἁπλούστατον, ἡ ὕπαρξις.

2. Ἐκ τριῶν ἄρα συνουσίωται ἰδιωμάτων ἡ οὐσία· τοῦ ὑπαρκτικοῦ, ὃ καὶ ἔστι, καὶ εἶναι καὶ ὑφίστασθαι λέγομεν· τοῦ δυναμωτικοῦ, ὅπερ τὸ γόνιμόν ἐστι τῆς ὑπάρξεως· καὶ τοῦ ἐνεργητικοῦ, ὅπερ ἤδη πρὸς τὰ ἐκτὸς ἀποτείνεται καὶ τὴν ἑαυτοῦ χρείαν ἐπιδεικνύμενον· τοιαύτη γὰρ ἡ δύναμις· ἐπὶ εἴσω μένουσα, οἷα προελθοῦσα ἤδη πρὸς τὰ ἐκτὸς ἡ ἐνέργεια· τοιαύτη δὲ ἡ οὐσία ἑστῶσα πάμπαν, οἷα παρασκευαζομένη πρὸς πρόοδον ἡ δύναμις· καὶ τοῦτό ἐστιν ἡ οὐσία, ὕπαρξις δυναμικὴ τε καὶ ἐνεργητικὴ, ὅ ἐστιν ἐνεργείας οὐσία· ἤτοι σὺν ἐνεργείᾳ· ὥσπερ καὶ τὸ δυνάμει, σὺν δυνάμει τινί· ἀλλ᾽ ὅτι ἡνωμένα ἐκεῖ τὰ τρία ἀκρωτάτῃ ἑνώσει· ἐκ τούτων τοίνυν τῇ ἐπινοίᾳ χωριζομένων, εἰς τὸ ἁπλούστερον ἀναγόμεθα, ἤ τοι εἰς τὰς πρώτας ἀρχάς· ἀπὸ μὲν τοῦ ὑπάρχειν μόνου, εἰς τὸ ἕν· ἀπὸ δὲ τῆς δυνάμεως, εἰς τὴν δευτέραν, ἤ τοι τὴν ἀόριστον δυάδα· ἀπὸ δὲ τῆς ἐνεργείας, ἐπὶ τὴν τρίτην· τὸ ἡνωμένον, ἤ τοι τὸ ὄν· οὕτω μὲν οὖν ἄλλο παρὰ τὴν οὐσίαν ἡ ὕπαρξις, ὡς ἰδιότης μία γυμνουμένη τῶν ἄλλων εἰς ἔνδειξιν τῆς πρώτης ἀρχῆς· ὡς δὲ καθ᾽ ὑπόστασιν φάναι, καὶ ταυτὸν ἂν εἴη ὕπαρξις τῇ οὐσίᾳ, ἥ γε μετὰ δυνάμεως καὶ ἐνεργείας ὑφέστηκεν ὡς ἀληθῶς: τὰ γὰρ πρὸ τούτων ὄντα, καὶ πρὸ πάσης ἐστὶν ὑπάρξεως, καὶ ἓν μόνον· ὥστε διὰ πάντων φα-

νερὸν, ὅτι τὸ ὂν, τρίτη ἀρχή· ἡ δὲ ὕπαρξις, καὶ ἡ δύναμις, καὶ ἡ ἐνέργεια, ἀπὸ τοῦ ὄντος ὑπέϛησαν, καὶ ἐν τῷ ὄντι πρώ-τῳ· πλὴν ὅτι ἐν τούτῳ μὲν, κατὰ τὴν ὕπαρξιν, καὶ δύναμις καὶ ἐνέργεια· ἐν δὲ τῇ δευτέρᾳ τάξει τῶν νοητῶν, κατὰ τὴν δύναμιν, καὶ ἡ ὕπαρξις, καὶ ἡ ἐνέργεια· ἐν δὲ τῇ τρίτῃ, κατὰ τὴν ἐνέργειαν, καὶ ἡ ὕπαρξις καὶ ἡ δύναμις· διό τι καὶ πρώ-τη ἐνέργεια ἐϛὶν, ἡ τοῦ νοητοῦ νοῦ· καὶ τίς γὰρ ἂν εἴη πρώ-τη πασῶν ἐνεργειῶν, πλὴν τῆς ἐπιϛρεφομένης εἰς τὸ πρῶτον ἀπὸ τοῦ τρίτου; ἡ γὰρ τοῦ δευτέρου, οὔπω ἐνέργεια· οὔπω γὰρ ἀπόϛασις ἀπὸ τοῦ πρώτου, ἀλλ᾽ οἷον παρασκευὴ ἀποστάσεως· ὥσπερ δὴ καὶ τοῦ πρώτου τὸ εἶναι μόνον, οὐ δεόμενον δυ-νάμεως ἢ ἐνεργείας· οὕτω κατὰ τὸ συμφανέστερον εἶδος τῶν νοημάτων· ὡς δὲ ἀποῤῥητότερον εἰπεῖν καὶ κατὰ ἔνδειξιν, ἡ μὲν τοῦ ὄντος, ὅ ἐϛιν ἡ τῆς τρίτης ἀρχῆς ὑπόϛασις, ἔχει τὸ τρί-τον ἤτοι τὴν ἐνέργειαν· ἐπειδὴ ἐν ταύτῃ πρώτῃ τὸ ἐνεργητικόν· τοῦτο οὖν εἰδοποιεῖ τὸ τρίτον· τὸ δὲ δεύτερον, δύναμις· ὅτι πρώτη ἐκτένεια αὕτη· καὶ οὔπω εἰς ἐνέργειαν προϊοῦσα· ἡ δὲ τοῦ πρώτου ἤτοι τοῦ ἑνὸς ἀρχὴ, πρώτη ὕπαρξις ἐπινοεῖται κα-τὰ ἔνδειξιν· πάντων γὰρ ἐϛιν τὸ ἓν ὑποϛατικόν· αὐτοῦ δὲ οὐ-δέν· οὐ γὰρ ἂν ἔτι ἓν εἴη· ἀλλ᾽ αὐτό τε καὶ οὐ μετέχει τοῦ ὑποϛήσαντος δηλονότι.

3. Τὸ μὲν οὖν ἓν, ὅπως παράγει ζητεῖν, ἀγνοούντων ἐστὶ τὴν ἁπλότητα τοῦ ἑνός· οὔπω γὰρ ἐν ἐκείνῳ ὕπαρξις καὶ ἐνέργεια καὶ δύναμις· ἀλλὰ μόνον κατὰ τὸ ἕν· ἡ δὲ δευτέρα ἀρχὴ, πρώτη ὑποφαίνει τὸ γόνιμον καὶ ἀπειροποιὸν, εἰς πλῆθος, καὶ τὴν ἔξω τοῦ ἑνὸς ἀπιοῦσαν, καὶ οὐδὲν ἄπο-ρον ἀπὸ ταύτης τὰ πολλὰ προϊέναι, πολλά γε οὔσης, καὶ τὰ πρὸ πάντων πολλὰ ἁπλῶς· τα αὐτὰ καὶ ὑπὲρ τοῦ ἡνωμέ-νου λέγομεν· τοῦτο γὰρ πάντα ὂν ἐϛὶ κατὰ τὸ ἡνωμένον· εἰκό-τως τοίνυν γεννητικόν ἐστι τῶν πάντων, ὡς ἀρχὴ τῶν πάντων ἡ ἡνωμένη· ἀλλὰ πῶς ἀπὸ τοῦ ἑνὸς τὰ πολλὰ διεκρίθη, φαίη ἄν τις; ἢ ὅτι ἡ ἀρχὴ πάντα οὖσα, καὶ πρόοδος ἦν καὶ μο-

νὴ καὶ ὕφεσις· καὶ διάκρισις· ἔςι γάρ τι τῶν πάντων καὶ τούτων ἕκαςον· ὡς οὖν οὐσίαν καὶ ζωὴν καὶ νοῦν παράγει, φέρε εἰπεῖν, οὕτω καὶ μετὰ τούτων συναπογεννᾷ τὴν διάκρισιν καὶ τὴν ὕφεσιν καὶ τὴν πρόοδον καὶ πάντα ὅσα τῆς ἑτερότητος ἔχεται· καὶ γαρ καὶ ἡ ἑτερότης, μετὰ τῶν ἑτέρων διακρίνεται· ὥστε καὶ ἡ διάκρισις, μετὰ τῶν διακρινομένων· καὶ ἡ πρόοδος, μετὰ τῶν προϊόντων· καὶ ἡ ὕφεσις, μετὰ τῶν ὑφειμένων· οὐκ ἄρα κατὰ συμβεβηκὸς πρόεισιν εἰς διάκρισιν· ἀλλ' ἡ γεννῶσα αἰτία, καὶ διακρίνει, καὶ τὴν διάκρισιν συμπαράγει· μή ποτε οὖν ἄμεινον λέγειν, ὡς τὸ ἓν, οὐκ ἔτι μόνον ἓν, ὡς τὸ ὄνομα παραδείκνυσιν; ἀλλὰ πάντα κατὰ μίαν ἁπλότητα τὴν πρὸ πάντων· διὸ πάντων ἐςὶν αἴτιον, κατὰ τὴν πάμφορον αὐτοῦ ταύτην πάντων ἁπλότητα· εἰ καθόσον οὖν, ἓν οὕτως ἀντικείμενον τοῖς πολλοῖς· ἀλλὰ καθόσον ἀρχὴ τῶν πάντων, καὶ πάντα ὡς ἀρχὴ τῶν ἁπάντων, οὕτω παράγει τὰ μεθ' ἑαυτήν· τά τε πάντα ὡς μόνη· καὶ τὰ πολλὰ ὡς ἕν· καὶ τὰ ὄντα ὡς ὑπερούσιος· οὖσα δέ· τί γὰρ διαφέρει τὸν δημιουργικὸν νοῦν πάντα ἐν ἑαυτῷ προειληφότα παραδειγματικῶς, παράγειν ἀφ' ἑαυτοῦ πάντα εἰκονικῶς, ἢ τὴν μίαν τῶν ὅλων ἀρχὴν πάντα οὖσαν ἁπλῶς ὅσα ἀπ' αὐτῆς πρὸ τῶν ἀπ' αὐτῆς, ἀδιακρίτως; καὶ κατὰ μίαν ἀπλήθυντον φύσιν πάντα παράγειν τὰ πολλὰ ἀφ' ἑαυτῆς;

4. Τὸ δὲ ἄπορον ἦν, πῶς ἐφ' ἑνὸς τὰ πολλά· νῦν δὲ ἀπὸ τῆς πάντων ἀρχῆς τὰ πάντα πέφηνεν· ὅτι καὶ ἀρχὴ, πάντα ἦν πρὸ πάντων· εἰ δὲ τὰ προελθόντα, καὶ ἓν ἐκ πάντων καὶ πάντα, οὐ κατὰ πλῆθος τὸ πάντων· εὖ μέν τοι εἰδέναι χρὴ, ὡς τὴν ἀρχὴν οὖσαν διττήν· τὴν μὲν, κατὰ τὸ ἓν ἁπλῶς· τὴν δὲ, κατὰ τὰ πάντα, ὅπερ αὐτὴν εἶναι φαμὲν, πολλὰ τοῦ ἑνός· οἷον δύναμιν ἐκείνου ἄπειρον· καθ' ἣν ἡ μεθ' ἧς, πάντα ἐκεῖνο· καὶ πάντων γεννητικόν· καὶ ἐπειδὴ συμπεφύκασιν αἱ πρῶται ἀρχαὶ, οὕτως ὡς ἐν τῇ πρώτῃ τὴν δευτέραν εἶναι, καὶ ἀπ' αὐτῆς ἐν αὐτῇ προελθεῖν, διὰ τοῦτο καὶ

τῶν ἐκεῖθεν προελθόντων ἕκαστόν τε καὶ ἰδίᾳ καὶ ὁμοῦ πάντα, ἕν τε καὶ πολλὰ ἔςιν ὁμοῦ· καὶ τὰ πολλὰ ἀπὸ τοῦ ἑνός· οὕτως οὖν καὶ ἐν τῇ ὕλῃ, μετὰ τὸ ἓν τὰ πολλὰ αὐτῆς ἐστι· καὶ τὸ ἔσχατον πάντων, οὐ τὰ πολλά, τὸ ἕν ἐστιν· ὥστε τὸ ἓν πανταχοῦ πρῶτον καὶ ἔσχατόν ἐστιν· ἔτι δὲ τὸ μὲν ἕν, ἁπλῶς οὐκ ἦν ἀριθμητικόν, ἀλλ' ἐδήλου τὴν μίαν ἁπλότητα τῶν πάντων· καὶ ἡ κατὰ τὸ ἓν δυὰς ἀόριςος λεγομένη, οὐκ ἦν ἐπὶ δυοῖν μονάδοιν δυάς· ἀλλ' ἡ πάντα γεννητικὸν τοῦ ἑνὸς αἰτία, δι' αὐτῆς ἐδηλοῦτο· καὶ ἦν κατὰ ἄμφω πατὴρ, πάντα γεννᾷν δυνάμενος καὶ δὴ καὶ τὸ ἡνωμένον, ἀπὸ δυνάμεως [ἐνέργεια προελθοῦσα· ἀπὸ μονάδος ἄρα τοιαύτης, καὶ δυάδος τοιαύτης·, ἐπέςη τριάς· κατὰ φύσιν ἔχουσα τὸ ἡνωμένον, τριάς γε οὖσα πρὸς τὸ ἓν ἐπεστραμμένη· καὶ διὰ τοῦτο νοῦς πατρικός· ἀλλὰ ταῦτα λέγοντες, τρία ποιοῦμεν τὸ ἕν; οὐκ· ἀλλ' ὁ πατὴρ ἐστὶ δυνάμενός τε καὶ ἐνεργῶν· αὕτη ὅλη τριάς· μονὰς ἄρα ἡ τριάς· καὶ μονὰς οὐκ ἀριθμοῦ ἀρχὴ· ἀλλ' αἰτία μονάδος τὲ, καὶ ἀριθμοῦ παντός· οὐδὲ ἐν περιγραφῇ τινὶ, οἷον εἶδος μεμονωμένον· ἀλλὰ μονοειδὴς τῶν πάντων· καὶ πολλῶν ἁπλότης· ταυτὸν οὖν ἄρα τὰ τρία· καὶ ἡ τριάς, μονάς· τὸ γὰρ ἕν, οὐκ ἰδιότης μία· ἀλλὰ τοιοῦτον, οἷον πολλά· καὶ τὰ πολλὰ οὕτως, οἷον πάντα· καὶ τὰ πάντα, οὐ πάντα οὕτως, ἀλλ' ὡς ἕν· καὶ τὰ πάντα πολλὰ ἔςιν ὡρισμένα· τὰ γὰρ πολλὰ προσλαβόντα ὅρον, πάντα ἐγένετο· τὰ πολλὰ γὰρ ἢ πολλὰ, ἄπειρά ἐςιν· ὥσπερ καὶ τὸ ἓν πέρας· ἐξ οὗ πέρατος καὶ ἀπειρίας, τὸ ἡνωμένον.

5. Οὐκοῦν ἓν μὲν ὁ πατὴρ· πολλὰ δὲ ἡ τοῦ ἑνὸς ἀορίςου δύναμις· πάντα δὲ ὁ νοῦς τοῦ πατρός· καὶ ὁρᾷς ὅτι τὰ πολλὰ φύσει μεταξὺ τοῦ ἑνὸς καὶ τῶν πάντων· καὶ τὸ μὲν ἕν, ἁπλότης μόνον· τὰ δὲ πολλὰ, ἀοριςία καὶ ἀπειρία· τὰ δὲ πάντα, ὁμοῦ πάντων ἕνωσις, κατὰ τὸ ἡνωμένον· ἄρα συνέςηκεν ὁ νοῦς· καὶ ὥσπερ ἐν τῷ νοερῷ κατὰ εἶδος ἅπαντα περιγέγραπται, οὕτως ἐν τῷ ἡνωμένῳ καθ' ἓν πάντα συνήρηται ἀπερι-

γράφως· μονὰς οὖν ἄρα ἡ φύσις αὕτη· ἁπλῆ ἅμα οὖσα, καὶ πολλὰ, καὶ πάντα· πάντων γὰρ καὶ ἀπείρων ἡ ἁπλότης περιεκτική· τὰ γὰρ πάντα καὶ πολλὰ, ὥρισται τῷ ἑνί· ἐπειδὴ καὶ τοῦ ἑνὸς ἦν· ἄρα οὖν μονὰς μὲν τῷ ὑποκειμένῳ· τρία δὲ ἔχουσα ἰδιώματα· ἡμεῖς δὲ διορίζομεν, οὐ δυνάμενοι συνελεῖν ἓν πρᾶγμα τῶν τριῶν συναιρετικόν· ἀφετέον τοίνυν τὰ διωρισμένα ἰδιώματα, καὶ ἀνακτέον ἐπὶ τὴν μίαν φύσιν, τὴν ἁπλῆν· καὶ τὸ κοινὸν τῶν τριῶν νοείσθω, κατὰ τὸ ἓν τῆς τριάδος, ὡς δὲ τριχῇ διεξοδεῦσαι τὴν μίαν φύσιν, εἰ χρὴ οὕτω φάναι, τὸ μὲν ἁπλότης αὐτῆς, τὸ δὲ πολλότης, τὸ δὲ παντότης· ἓν γὰρ πολλὰ πάντα, καὶ πάντα πολλὰ καὶ ἕν· καὶ πῶς μία φύσις τὸ ἕν, καὶ τὰ πολλὰ καὶ τὰ πάντα; ὅτι τὰ πολλὰ, τὸ ἀπειροδύναμον ἐστὶ τοῦ ἑνός· τὰ δὲ πάντα ἐνέργεια παντοῦχος τοῦ ἑνός· δύναμις γάρ ἐστιν ἐκτένεια ὑπάρξεως ἑκάστου εἴδους, εἴσω μένουσα· ἐνέργεια δὲ, ἐκτένεια δυνάμεως εἰς τὰ ἐκτός· τρεῖς γὰρ λέγομεν τὰς ἀρχὰς, ἕν, πολλὰ, πάντα, πατέρα, δύναμιν, καὶ νοῦν· πέρας ἄπειρον μικτὸν, μονάδα, δυάδα, ἀόριστον, καὶ τριάδα, ἐξ ἀμφοῖν, συνεστῶσαν τούτοιν· ὥστε τὸ ἕν, κατὰ τὸ ἕν, ἔχει τὸ τριπλοῦν ἐμφαινόμενον· καὶ δὴ καὶ ἡ δύναμις ἅτε δυὰς οὖσα, τῷ μὲν ἑνὶ συμφερομένη, ἐννοειδὴς γίνεται· τῷ δὲ ἑνωμένῳ, τριπλῆ συμφαντάζεται· δυὰς ἄρα ἐστὶν ἐν μέσῳ τοῦ ἑνὸς καὶ τῆς τριάδος· τὸ γὰρ ἡνωμένον, ὡς τρίτον κατὰ φύσιν ἐστὶ τριάς· οὐκ ἄρα θαυμαστὸν ἐννοῆσαι τὸ ἕν, οὕτω γε τρία διοριζόμενον, οὐχ ὅτι ἀριθμεῖται, οὐδὲ διορίζεται, ἀλλ' ὅτι προείληφεν ἐν ἑαυτῷ τὴν τοῦ ἡνωμένου τριπλόην· καὶ ὡς ἀρχὴ τῆς δευτέρας καὶ τρίτης ἡγουμένη· ἔστω γὰρ τὸ ἁπλῶς ἕν, ἀνάριθμον καὶ ἀμονάδιστον καὶ ἀτρίαστον· οὐδὲ γὰρ μοναδικόν ἐστιν, ὅ γε μὴ δὲ ἓν κατὰ ἀλήθειαν· κατὰ δὲ ἔνδειξιν λέγεται μόνην.

6. Τοιοῦτον δὲ καὶ τὰ πολλὰ καὶ τὰ πάντα, τὸν αὐτὸν λεγόμενον τρόπον ἄνευ παντὸς διορισμοῦ καὶ προσθήκης· ἡμεῖς γὰρ ἀνθρωπίνως διαλεγόμενοι, περὶ τῶν ὑπερτάτων καὶ ὑπερθειοτάτων ἀρχῶν, οὐκ ἰσχύομεν ἄλλως, οὔτε ἐννοεῖν, οὔτε ὀνομάζειν, ἢ οὐ-

τως ὡς ἀναγκαζόμεθα χρῆσθαι τοῖς λόγοις, ὑπὲρ τῶν εἰς τὰ ἐπέκεινα ἀνεχόντων, τοῦ παντὸς καὶ ζωῆς καὶ οὐσίας πραγμάτων· τοίνυν καὶ παραλλάττομεν τῆς ἀληθείας ἐκείνης, καὶ παραφερόμεθα πρὸς τὰ κάτω καὶ μεριστὰ συγκατασπώμενοι τῇ ἀνάγκῃ τῆς μικροπρεποῦς ἡμῶν οὐδενείας· ἀλλ' εἰ καὶ οὕτως ἔχει ὡς ἔχει κατὰ ἀλήθειαν ἡ φύσις, ὅμως ἀνάγομεν εἰς αὐτὴν σαφηνείας ἕνεκα, καὶ συμμετρίας τῆς πρὸς ἀνθρώπους τὰ σεμνότατα τῶν ἀπ' αὐτῆς, καὶ μετ' αὐτὴν προελθόντων· οἷον, τὸ ἕν, τὰ πολλὰ, τὰ πάντα, τὰ πέρας, τὸ ἄπειρον, τὸ μικτὸν, τὸν πατέρα, τὴν δύναμιν, τὸν νοῦν, ὅσα τέ ἄλλα τοιουτοτρόπα· καὶ δὴ καὶ τοῦ διωρισμένου τὸ παντελὲς, καὶ παντελῶς ὑφεστῶτος, ὃ δὴ τριὰς ἔχει, καὶ ἡ τῆς τριάδος πρόοδος· ταῦτα δὲ πάντα, κατὰ μὲν ὑπόστασιν, μετὰ τὸ ἡνωμένον ὑφέστηκε, κατὰ δὲ αἰτίαν ἢ ἔμφασιν ἢ ἀναλογίαν, ἐν τῷ ἡνωμένῳ· κατὰ δὲ αὐτὴν ἀπ' αὐτοῦ ἀναγομένην εἰς τὰ πολλὰ προαιτίαν, ἢ προέμφασιν, ἢ προαναλογίαν· ὡς εἴτις ἐν τῇ μονάδι ἑνάδος τινὰ ἀδιάκριτον τῶν ἀριθμῶν προυπόστασιν, καὶ ἐν τῇ ἀνειδέῳ ὕλῃ τὴν τῶν εἰδῶν· τρίτῳ δὲ βήματι εἰς τὸ ἄνω ἀπὸ τοῦ χάους ἀνιὼν τῶν πολλῶν ἐν τῷ αἰθέρι τῆς πάντων ἁπλότητος, ὑπονοήσει ταῦτα προειλῆφθαι, καθόσον αὐτὴ σύνεστι καὶ αὐτῆς ἐστιν, ἥτε χαώδης ἀπειρία, καὶ ἡ τοῦ ἡνωμένου ἀδιάκριτος σύμπηξις τῶν πάντων.

7. Ἀλλὰ καὶ αὗται αἱ τρεῖς, οὐ διαστήσονται ἀπ' ἀλλήλων κατὰ διάκρισιν· ἀλλ' ὑπὲρ πᾶσαν μονάδα πρὸς ἑαυτὴν ἡνωμένην, ἐκεῖναι πρὸς ἀλλήλων ἑνωθήσονται, τοῦ ἑνὸς ἁπλῶς τὴν ἑαυτοῦ πρώτην ἑνωποιὸν δύναμιν, εἰς τὰς μεθ' ἑαυτοῦ συνεχεῖς αὐτῷ ἀρχὰς ἀπερειδομένου, καὶ ἀναρπάζοντος αὐτὰς εἰς τὴν ἑαυτοῦ ἄφραστον ἕνωσιν· ἧς τοσαύτη ἐστὶν ἡ ὑπερβολὴ πρὸς τὴν μονάδος ἕνωσιν· ὥστε καὶ τὸ τρίτον ἀπὸ τοῦ ἑνὸς, ὅπερ καλοῦμεν ἡνωμένον, καὶ τοῦτο ὅμως τῇ ἑαυτοῦ φύσει, καὶ πρὸς τῆς ἀμηχάνου τοῦ ἑνὸς ἁπλότητος, ὑπὲρ μονάδος ἕστηκεν ἀναλογίαν· ἡ μὲν γὰρ εἶδος ἐστίν· εἰ δὲ μὴ εἶδος, ἀλλά τι διωρισμένον· εἰ δὲ μὴ, ἀλλά γε διωρισμένης συστάσεως ἀρχή· τὸ δὲ ἡνωμένον, καὶ ὑπὲρ εἶδος, καὶ ὑπὲρ πάντα διορισ-

μὸν, καὶ ὑπὲρ πᾶσαν οὐσίαν· καὶ οὐκ ἀριθμοῦ ἀρχή· ἀλλ' οὐδὲ ἔχει πλῆθος ἐν ἑαυτῇ, πολλῶν ἀριθμὸν συνεσπειραμένον· ἀλλὰ πάντη ἀναρίθμόν τε καὶ ἀδιάκριτον, αὐτὸ τοῦτο μόνον ὃ λέγεται ἡνωμένον· οὐκ ἄρα ὡς ἀληθῶς τριὰς δοκοῦσα μένει διωρισμένα ἀπ' ἀλλήλων τὰ τρία· τὸ ἕν, τὰ πολλά, τὸ ἡνωμένον· ἀλλὰ τὸ μὲν ἡνωμένον ἀναχεῖται εἰς τὰ πολλά· κατὰ γοῦν τὴν ἐπικράτειαν τῆς δυνάμεως· ἡ δὲ δύναμις, ἅμα ἐκείνῳ διαχυθέντι εἰς δύναμιν, εἰς τὸ ἓν ἀναπλοῦνται, ἀφεῖσα τὴν ἑαυτῆς σχέσιν, καὶ εἰς τὴν τοῦ ἑνὸς ἀναδραμοῦσα ἁπλότητα· πάντα οὖν αὕτη κατήλειψεν οὐκ ἐῶσα φανῆναι τὸν τῆς τριάδος διορισμόν· ἀλλὰ πάντα τὸ ἓν ἀποφήνασα καθάπερ ἡ δύναμις· καὶ τὸν νοῦν ἀποδείκνυσιν ἄπειρον χάος, ἐν τῷ τῆς δυνάμεως ἱστάμενον ἀορίστῳ· πῶς οὖν τῷ ὄντι τριάς; ἑκάστης γὰρ τριάδος αἱ μονάδες, χείρονες εἰσὶν αὐτῆς ὅλης, καὶ οὐδὲ μία μέν τοι ἀφανίζει τὴν οἰκείαν τριάδα· τοὐναντίον δὲ καὶ συνίστησι· νῦν δὲ τὸ ἕν, πάντων ἐστὶ κράτιστον, καὶ οὐδὲν ἐστι πρὸ αὐτοῦ· ἔτι δὲ καὶ ἀφανίζει τὴν τριάδα τὸ ἕν· καταπίνεται γὰρ ἐν αὐτῷ ἅπας διορισμός· διόπερ ἐν μὲν τῷ ἑνί, μόνη ἑνὰς ἐστὶ καὶ λεγομένη τριάς· ἐν δὲ τοῖς πολλοῖς δυὰς ἐστὶ καὶ ἡ τριάς· δύναμις γάρ· ἐν δὲ τῷ ἡνωμένῳ, σαφής τις ἂν εἴη τῆς τριάδος ἔμφασις, διὰ τὸ πρῶτον πεπονθέναι τό τε ἓν καὶ τὰ πολλά· πρῶτος δὲ καὶ ἡ τριὰς ἀριθμός, ἕν τε καὶ δύο· τοῦτο δὲ ἐστι καὶ ἡνωμένον, ἤ τοι μοναδικόν τε καὶ δυαδικόν.

8. Τῶν μὲν δὴ τοιούτων, ἅλις ἡμῖν· ἐπ' ἐκεῖνα δὲ τρέψωμεν τὴν διάνοιαν τὰ ζητήματα, ὅσα τὴν φύσιν αὐτὴν πολυπραγμονεῖ τῆς τριάδος, τῆς πατρικῆς, τῆς δυναμικῆς, τῆς νοερᾶς· ὡς γὰρ κατὰ τὴν ὕπαρξιν ἡ πατρική, οὕτω δὴ κατὰ τὴν δύναμιν ἡ μέση θεωρεῖται ἀρχὴ πασῶν δυνάμεων· ἡ δέ γε τρίτη ἡ νοερὰ λεγομένη, κατὰ τὴν ἐνέργειαν, ὡς ἀπὸ δυνάμεως προϊοῦσα, καὶ οὖσα ἐνέργεια τῆς ὑπάρξεως· ὃν γὰρ ἔχει λόγον ἡ οὐσία πρὸς δύναμιν, καὶ δύναμις πρὸς ἐνέργειαν, τοῦτον ἔχειν εἴποι τὶς ἂν τὴν πατρικὴν ἰδιότητα πρὸς τὴν δυναμικήν· καὶ τὴν δυναμικὴν πρὸς τὴν νοεράν· καὶ ἃς ἀρχὰς ἠβουλήθησαν ἐνδείξασθαι δι' ἄλλων ἄλλοι·

οἷον οἱ πυθαγόρειοι διὰ μονάδος καὶ δυάδος καὶ τριάδος· ὁ δὲ Πλάτων διὰ τοῦ πέρατος καὶ τοῦ ἀπείρου καὶ τοῦ μικτοῦ· πρὸς δὲ καὶ ἡμεῖς διὰ τοῦ ἑνὸς καὶ τῶν πολλῶν καὶ τοῦ ἡνωμένου, τοῦτο οἱ χρησμοὶ διὰ τῆς ὑπάρξεως καὶ δυνάμεως καὶ ἐνεργείας· εἰ δὲ ὁ μὲν πατὴρ ὕπαρξις, ἡ δὲ δύναμις τὸ μέσον, πῶς οὐχὶ καὶ τὸ τρίτον, ἐνέργειά τε ἂν εἴη καὶ λέγοιτο; καὶ δὴ τοῦτο ταύτῃ θεωρεῖ καὶ ὁ μέγας Ἰάμβλιχος· τάχα δὲ καὶ ὁ νοῦς ἀπὸ τοῦ νοεῖν, ὅ ἐστιν ἐνέργεια ὀνομάζοιτο ἄν, ὅτι ποτε ἂν δηλοίη τὸ νοεῖν, εἴτε τὸ γινώσκειν, εἴτε τὸ ἐπιστρέφεσθαι πρὸς τὸν πατέρα· καὶ τάχα ἄν, ὁ μὲν πατὴρ ὑπάρχει μόνον· ἡ δὲ δύναμις, πρὸς τὸ ὑπάρχειν καὶ τὸ δυνατόν· ὁ δὲ νοῦς πρὸς τούτοις, καὶ τὴν ἐνέργειαν προβάλληται ἄν· καὶ ἡ τοιαύτη ἔνδειξις, πολλὴν ἂν σώζῃ τὴν ἕνωσιν τῶν πρώτων ἀρχῶν· εἴγε τρεῖς οὖσαι, ὅμως ἥνωνται πρὸς ἀλλήλας οὕτως, ὡς πρὸς ὕπαρξιν δύναμις καὶ ἐνέργεια· δῆλον δὲ ὅτι καὶ μειζόνως ἥνωνται, ἢ πρὸς ἑαυτὴν ἡ μία φύσις, ὑπάρχουσά τε καὶ δυναμένη, καὶ ἐνεργοῦσα. καὶ οὖσα γε μία τρίμορφος.

9. Εἰ τοίνυν ταυτὸν, οὐσία καὶ ὕπαρξις, ἡ δὲ ἁπλῶς οὐσία τὸ τρίτον, πῶς ἂν ἔχοι λόγον, ἐπὶ τὸν πατέρα ταύτην μετάγειν; οὐχὶ δὲ καὶ τὸ πατρικὸν ἰδίωμα, τοῦ εἶναι ἄλλο αἴτιον εἶναι βούλεται, ἀλλ' οὐκ αὐτὸ εἶναι καθὸ πατρικόν; οὐκοῦν ὁ πρώτως πατὴρ, καὶ ἁπλῶς πατὴρ, οὐκ ἄλλό τε ὤν· εἶτα πατὴρ, ἀλλὰ μόνον πατήρ· οὐκ ἂν μὲν αὐτὸς εἴη· ποῦ δὲ εἰδέναι τοῖς ἄλλοις αἴτιος ἐστι· καὶ πρώτῳ γε τῷ ἁπλῶς ὄντι, καὶ ὄντι πρὸ πάντων· ὥστε καὶ ταύτῃ πρὸ πάσης ὑπάρξεως καὶ οὐσίας ὁ πατήρ· ὁμοίως δὲ καὶ ἡ δύναμις ἡ πατρικὴ, ἅτε οἰστικὴ τῆς οὐσίας οὖσα, πρὸ αὐτῆς ἂν εἴη τεταγμένη· οὐκοῦν τὸ τρίτον ἦν, ἡ πατρικὴ ἐνέργεια· ὥστε καὶ ἡ ἐνέργεια πρὸ τῆς οὐσίας, ἅτε οἰστικὴ τῆς οὐσίας καὶ πατρικὴ οὖσα ἐνέργεια· οὐκ ἄρα τὸ ἡνωμένον ἡ ἁπλῶς οὐσία· εἴπερ ἐστι πατρικὴ ἐνέργεια γεννῶσα τὰ ὄντα· ἢ ῥητέον τὴν τρίτην ἀρχὴν, ἀναλογεῖν τῆς ἐνεργείας τῆς πρώτης· ὅτι συλλαβοῦσα τὸ ἐνεργεῖν, τὸ

δύνασθαι, τὸ πατρικὸν ἰδίωμα, οὐσία γέγονεν ἁπλῶς· ὥστε καθ' ἑαυτὴν μὲν, οὐσία ἐστὶ· πρὸς δὲ τὸν πατέρα, ἐνέργεια λέγεται τοῦ πατρός.

10. Δοκεῖ δέ μοι μάλιστα τοῦτον διορίζεσθαι ταῦτα τὸν τρόπον· ἡ ὕπαρξις ὡς δηλοῖ τὸ ὄνομα, τὴν πρώτην ἀρχὴν δηλοῖ τῆς ὑποστάσεως ἑκάστης, οἷόν τινα θεμέλιον τῆς πάσης ἐποικοδομήσεως· διόπερ καὶ τὴν πρόθεσιν τῆς ἀρχῆς προέταξεν ὁ ὀνομάσας· ὅτι ἠβούλετο δηλοῦν προϋποτιθεμένην ἀρχὴν τοῖς ὅπως δήποτε εἶναι λεγομένοις· αὕτη δέ ἐστιν, ἡ πρὸ πάντων ἁπλότης, ἐν ᾗ πᾶσα προσγίνεται σύνθεσις· αὕτη δέ ἐστι, τὸ πάντων ἐπέκεινα προϋποκείμενον ἕν· ὅπερ αἴτιον μὲν πάσης οὐσίας· οὔπω δὲ οὐσία· πᾶσα γὰρ οὐσία, σύνθετος· ἐκεῖνο δέ ἐστι μόνον ἕν· δεῖ δὲ εἰ μέλλοι σύνθεσίς τις εἶναι, προϋποκεῖσθαι καὶ προϋπάρχειν τὸ ἓν καὶ ἁπλοῦν, ὡς ἄνευ γε τούτου, οὐδὲν ἄλλο παρέλθοι εἰς ὑπόστασιν· ὕπαρξις ἄρα πάσης οὐσίας τὸ ἕν· ὥστε καὶ πατρικὴ πάντως ἡ ὕπαρξις· εἰς ταυτὸν ἅμα ἥκει ἡμῖν, ἕν τι καὶ ὕπαρξις, καὶ πατήρ· ἐπὶ ταύτῃ δὲ τῇ πρώτῃ ὑποθέσει, καὶ ὑπάρξει, προσγίνεταί τις δευτέρα ὑπόθεσις, ἡ τῆς ὑπάρξεως καὶ τοῦ ἑνὸς ἐκείνου δύναμις, ἐκτένεια οὖσα ἐκείνου· ἐπὶ δὲ ταύτῃ, ἡ τρίτη προσγίνεται ἀρχὴ, τὸ τελειότατον συλλαβοῦσα καὶ παντέλειον εἶδος· καὶ εἰς οὐσίαν ὑπάρξεται ἑνωθεῖσα· διὸ καὶ ἐπέστραπται πρὸς τὸν πατέρα ὁ νοῦς οὖσα αὐτοῦ· καὶ ὡς τῷ ἑνὶ, καὶ ἡνωμένον, καὶ τῇ ὑπάρξει ἡ οὐσία· ἡ δὲ δύναμις ἐκβέβηκε μὲν ἐκ τῆς τοῦ ἑνὸς ἁπλότητος, οὐδὲ εἰς ἕνωσιν περιεγράφη· ἀλλὰ μόνη χύσις καὶ ἀπειρία τοῦ ἑνός· ἡ μὲν οὖν ὕπαρξις, ᾗ διαφέρει τῆς οὐσίας, ἐπὶ τοσοῦτον εἰρήσθω.

11. Εἰ τοίνυν τὸ ἓν ἁπλῶς ὕπαρξις, καὶ τὸ ἡνωμένον ἁπλῶς οὐσία, καὶ ἡ δύναμις ὁμοίως ἁπλῶς δύναμις· καὶ ἤδη καὶ τὸ ἡνωμένον, ὃ μίγμά ἐστι τοῦ ἑνὸς καὶ τῶν πολλῶν, ἁπλῶς λέγεται ὄν· οὐκοῦν ἐν δίκῃ τὸ μὲν ἓν, ὁ πατὴρ τῆς τριάδος, ὅτι πρὸ τοῦ ὄντος, καὶ παραγωγὴ τοῦ ὄντος ὁ πατήρ· ἡ δὲ δύναμις τοῦ πατρὸς, τὰ πολ-

λὰ καὶ τὸ ἄπειρον, ὅτι ἐκτένεια ταῦτα τοῦ ἑνὸς, ἐπὶ τὴν τοῦ ὄντος γέννησιν· ὁ δὲ πατρικὸς νοῦς, τὸ ἡνωμένον τε καὶ τὸ ὂν κατὰ τὴν πρὸς τὸ ἓν τὸ πατρικὸν ἐπιστροφὴν θεωρούμενον οὐδήπου τὴν γνωστικήν· οὔπω γὰρ ἐκεῖ διακέκριται γνῶσις· οὐδὲ τὴν ζωτικήν· οὐδὲ γὰρ ζωή πως ἐν ἐκείνοις διεκρίθη· οὐδὲ ἄρα οὐσιώδης· καὶ γὰρ ἡ οὐσία πρὸς ταῦτα ἀντιδιῄρηται, μετὰ τὸ ἡνωμένον· ἀλλ' ἡ πρὸς τὸ πάντων ἁπλούστατον, καὶ ἁπλουστάτη πασῶν, ἡ τοῦ ἡνωμένου πρὸς τὸ ἓν, τοῦ πρώτου πρὸς τὸ πρῶτον· καὶ οὕτως ἔχουσα διακρίσεως, μᾶλλον δὲ ἀδιακρίτου ὑπερβολῆς, ὡς ἕνωσις εἶναι μᾶλλον, ἢ ἐπιστροφή· ἀλλ' ὅμως ἡ ἀναλογία, καὶ ἐπιστροφὴν αὐτὴν εἶναι φήσει· καὶ νοῦν ὀνομάσει τὸν κατ' αὐτὴν ὑφιστάμενον· διότι νοῦ ἴδιον, ἡ ἐπιστροφή· ἓν γὰρ τὸ ὑπερούσιον, καὶ αὖ τριχῇ διωρισμένον· αὐτὸ μὲν ἐν ἑαυτῷ μένον κατὰ τὸ ἕν· αὐτὸ δ' αὖ ἀφ' ἑαυτοῦ προϊόν πως κατὰ τὴν τριάδα· καὶ ἡ τριὰς αὐτοῦ ἐστίν· οὐ διάκρισις τῶν αὐτοῦ οὐσιῶν, ἀλλ' ἔνδειξις μόνη τοῦ ἐν αὐτῷ πλήθους· μήποτε δὲ συλλαβεῖν χρὴ καὶ ἐπὶ ταύτης, τὸ μὲν ἁπλοῦν, ἀπὸ τοῦ ἑνός· τὸ δὲ πάμπληρες, ἀπὸ τῶν πολλῶν· ὥστε κατ' ἀμφότερα, δικαίως ἂν καλοῖμεν τὴν ἡνωμένην ἀρχὴν, οὐσίαν καὶ ὄν· ἔστι γὰρ δήπου πρὸ παντὸς ἀεὶ πλήθους, τὸ συναίρεμα τοῦ πλήθους· τῶν μὲν εἰδῶν, εἰδητικόν· τῶν δὲ μερῶν, τὸ ὅλον· τῶν δὲ στοιχείων, τὸ στοιχειωτόν· τῶν δὲ γενῶν, γενικόν· τῶν δὲ ἁπλῶς πολλῶν, τὸ ἕνωμα· τῶν δὲ πολλῶν ὄντων, τὸ ἓν, ὄν· ἔστι μὲν γὰρ καὶ τῶν ὄντων, κορυφή τις μία καὶ ἀκρότης· ἀλλ' ὄντων μὲν ἁπλῶς, ὡς τὸ ἁπλῶς ὄν· ὡς δὲ πολλῶν καὶ διακεκριμένων, ἕν τε καὶ ἡνωμένον· οὐκ ἄρα ταυτόν ἐστιν ἡνωμένον, καὶ ὄν· ἢ τὸ μὲν ὡς γένος, οὐ ταυτόν.

12. Τὸ δὲ ὡς ἐκ τῶν γενῶν καλούμενον, ταυτόν· ἢ καὶ τὸ ἐκ τῶν γενῶν, ἀπὸ τοῦ γένους καλεῖται ὄν· ὡς ἱστάμενον, ἀπὸ στάσεως· καὶ κινούμενον, ἀπὸ κινήσεως· καὶ ταυτὸν καὶ ἕτερον, ἀπὸ ταυτότητος, καὶ ἑτερότητος· οὐκοῦν καὶ ἓν καὶ πολλὰ, ἀπὸ τῶν γενῶν· τὸ δὲ ἡνωμένον ἦν, τὸ

ἐξ ἑνός καὶ πολλῶν· ὥστε ταυτὸν μὲν, καὶ ἓν τὸ ὅλον, μικτὸν θεωρεῖται δὲ καὶ ὀνομάζεται καθ' ἕκαστον τῶν στοιχείων· τί οὖν, καὶ τὸ ἡνωμένον στοιχεῖον; οὔ φημι· οὐδὲ γὰρ τὸ κινούμενον, οὐδὲ τὸ ἑστώς· ἢ οὕτω γε διπλασιάσωμεν· δεῖ γὰρ τὸ ὅλον ὀνομάζειν κατὰ τὴν ἀφ' ἑκάστου πεπόνθησιν· τὸ δὲ ποιεῖν σοιχεῖα τὰς πεπονθήσεις, οὐδὲν ἄλλο ἐστὶν, ἢ τὰς μεθέξεις ὑπάρξεις· καὶ ἐπ' ἄπειρον ἥξομεν· ἑκάστη γὰρ ὕπαρξις, ἔχοι τινὰ καὶ μέθεξιν ἐν ἑτέρῳ τῷ μετέχοντι· ἀλλὰ τὸ μὲν μικτὸν, οὕτω θεωρεῖται, καθ' ἕκαστον τῶν ἐν αὐτῷ μεμιγμένον· ἔστι δὲ πανταχοῦ πρὸ τῶν διαιρουμένων τὸ ἀδιαίρετον· καὶ τὸ πάντων συναίρεμα, πρὸ τοῦ πάντων διαιρέματος· οὕτω καὶ τῶν πάντων μίαν κορυφὴν ἐτιθέμεθα τὸ ἡνωμένον, παμπληρῆ φύσιν, καὶ μίαν παντοφυῆ· τῶν δὲ τοιούτων, οὐκ ἔστιν ὄνομα κατὰ ἀλήθειαν· οὐδὲ νόημά τι τῶν διῃρημένων· ταῦτα μὲν γὰρ ἐν διακρίσει τινὶ, καὶ πάντως εἰδητικῇ· τὸ δὲ ἓν, πάντη ἀδιάκριτον· πότε ἂν οὖν ἐξαρκέσειεν ἡ ἀπεστενωμένη τῶν ὀνομάτων ἰδιοτροπία, καὶ τῶν κατὰ τὰ αὐτὰ νοημάτων, εἰς δήλωσιν ἢ περίληψιν τῆς πάντα καὶ πρὸ πάντων οὔσης μιᾶς ἡνωμένης ἁπλότητος; ὅπου γε οὐδὲ τῶν διῃρημένων εἰδῶν, ἀλλ' οὐδὲ τῶν ἐσχάτων πάντων ἢ ὄνομα ἔχομεν κοινὸν, ἢ νοημα ὁλόκληρον προβαλλόμεθα. σχολῇ τ' ἂν τοῦτο δυνηθείημεν, ἐπὶ τῆς ἀκροτάτης ἄρα καὶ παντούχου κορυφῆς· τί δεῖ πολλὰ λέγειν; ὅτι οὐδὲ τῶν μερικῶν συναιρεμάτων, οὐδ' ὅτι οὖν ὀνομάζειν ἔχομεν· πλὴν ἴσως ὅτι συναίρεμα καὶ μικτὸν, ἢ ὅσα τοιαῦτα· οἷον καὶ τὸ ἑνωμένον σῶμα, ἐκ τῶν τεσσάρων στοιχείων, οὐκ ἔχει ἴδιον ὄνομα, οἷον ἡμέτερον· τὸ μὲν γὰρ σῶμα, καὶ τῶν ἁπλῶν ἑκάστων πάρεστι· τὸ δὲ πύριον ἢ ἀερῶδες καὶ τῶν ὁμοίων, ἀπό τινος τῶν ἐν αὐτῷ καλεῖται ὅλον· αὐτὸ δὲ οὐκ ἔχει τὸ κοινὸν ὄνομα, κοινόν γε ὄν· ἀλλ' ἴσως ἀνθρώπειον, καὶ τὸ γενικὸν, οἷον ζωϊκὸν· καὶ ἀνθρωπότης, μία τίς ἐστι τῶν πολλῶν ἐν τῷ μικτῷ ἰδιοτήτων· ἐπιγίνεται δὲ αὕτη τῷ μίγματι ὥσπερ εἶδος ὕλῃ· ὥστε καθ' ἑαυτὴν ἡ ὕλη ἀνώνυμος· τὰ μὲν γὰρ στοιχεῖα, ἄλλοθεν ἥκει εἰς

ἄλλο, καὶ ἐν ὕλης τέτακται λόγῳ· τὸ δὲ ἡνωμένον, χαρακτηρίζει καὶ συνάγει καὶ ἀλλοιοῖ πρὸς ἑαυτὸ τὰ στοιχεῖα· καὶ μᾶλλον ὁλόκληρον εἶναι βούλεται, ἢ ὅ τι οὖν τῶν ϛοιχείων· ἕκαϛον γὰρ ἐκείνου ἐϛὶ, καὶ κατὰ ταύτην ἔϛηκε τὴν ἀρχήν.

13. Μετὰ δὲ ταῦτα, ἐκεῖνο προβαλλώμεθα εἰς ἐπίσκεψιν· πότερον δύο εἰσὶν αἱ ἀρχαὶ πρὸ τῆς νοητῆς τριάδος τῆς πρώτης, ἥτε πάντη ἄῤῥητος, καὶ ἡ ἀσύντακτος πρὸς τὴν τριάδα, καθάπερ ἠξίωσεν Ἰάμβλιχος, ἢ ὡς οἱ πλεῖϛοι τῶν μετ᾽ αὐτὸν ἐδοκίμασαν, μετὰ τὴν ἄῤῥητον αἰτίαν καὶ μίαν εἶναι τὴν πρώτην τριάδα τῶν νοητῶν, ἢ καὶ ταύτης ὑποβησόμεθα τῆς ὑποθέσεως· καὶ δὲ τὸν Πορφύριον ἐροῦμεν τὴν μίαν τῶν πάντων ἀρχὴν εἶναι τὸν πατέρα τῆς πρώτης τριάδος τῆς νοητῆς· οὐκ οὖν ἡ ἀσύντακτος αἰτία καὶ πάντων μία κοινὴ καὶ πάντη ἄῤῥητος, πῶς ἂν συναριθμοῖτο τοῖς νοητοῖς, καὶ μιᾶς λέγοιτο τριάδος πατήρ; αὕτη μὲν γὰρ ὡς εἴρηται κορυφὴ τῶν ὄντων ἐϛίν· ἐκείνη δὲ τὰ πάντα ἐκβέβηκε· καὶ ταύτης μὲν ἰδίως ἐξῆπται ὁ πατρικὸς νοῦς· ἐκείνης δὲ, οὐδὲν ἴδιον· καὶ αὕτη μὲν τῷ ἑαυτῆς νῷ ὅπως δήποτε νοητή· ἐκείνη δὲ πάμπαν ἄῤῥητος· ἀλλ᾽ ἴσως ἄμεινον κατὰ τὸν Ἰάμβλιχον λέγειν· εἴτε γὰρ μονὰς καὶ ἡ ἀόριϛος δυὰς, καὶ ἐπὶ ταύταις τριὰς, ὡς οἱ πυθαγόριοι λέγουσιν, αὕτη ἐϛὶν ἡ νοητὴ τριάς· πρὸ τούτων ἂν εἴη τὸ ἓν· ὡς καὶ τοῦτο φασὶν ἐκεῖνοι· εἴτε δὲ πέρας καὶ ἄπειρον καὶ μικτὸν ὡς ὁ Πλάτων, καὶ πρὸ τούτων ὑπόκειται τῷ Πλάτωνι τὸ ἕν· εἴτε ὕπαρξις καὶ δύναμις καὶ ἐνέργεια, καὶ πρὸ τούτων ὁμοίως ὑπόκειται τὸ ἕν· παντὶ γὰρ ἐν κόσμῳ λάμπει τριὰς, ἧς μονὰς ἄρχει φησὶ τὸ λόγιον· εἰ δὲ ἐν κόσμῳ, πολλῷ μᾶλλον ἐν τῷ ὑπερκοσμίῳ βυθῷ· ἥκιστα γὰρ ἂν ἐκείνῳ προσήκει ἀπὸ πλήθους ἄρχεσθαι· εἰ τοίνυν πρὸ τοῦ τριαδικοῦ τὸ μονοειδὲς, ὡς καὶ παντὶ ἀριθμῷ ὑπάρχει ἡ μονὰς, πρὸ παντὸς ἄλλου ἀριθμοῦ, καὶ πρὸ αὐτῆς ἔϛαι τὸ ἕν· τὸ γὰρ ἓν, πρὸ μονάδος, ὡς καὶ παντὶ ἀριθμῷ ὑπάρχει· ἕκαϛος γὰρ εἷς ἀριθμὸς, οὐ μέν τοι καὶ μονάς ἐϛιν· ἡ ἄρα μονὰς ἔσται πρώτη τοῦ νοητοῦ ἀριθμοῦ· ἐκεῖ-

νο δὲ λέγεται μόνον ἓν· καὶ ἔσται μετ᾽ αὐτὸ πάλιν ἡ μονὰς, ἄρχουσα τοῦ νοητοῦ ἀριθμοῦ· τὸ γὰρ ἓν διαφέρει τῆς μονάδος πρῶτον μὲν, ὅτι ἡ μονὰς, ἀριθμοῦ καὶ πρὸς ἀριθμόν· τὸ δὲ ἓν, πρὸς τὰ πολλὰ ἀντίκειται· δεύτερον δὲ, ὅτι τὸ μὲν ἓν, ἁπλοῦν τι δηλοῖ καὶ ἀπλήθυντον· ἡ δὲ μονὰς, τὸ μεμονωμένον καὶ καθ᾽ ἑαυτὸ θεωρούμενον· τρίτον δὲ, ὅτι ἡ μὲν μονὰς, ἀντιδιῄρηται πρὸς τὸν ἀριθμόν· τὸ δὲ ἓν, καὶ ἐπὶ μονάδος λέγεται καὶ ἐπὶ ἀριθμοῦ· καὶ γὰρ ἕκαστον τῶν ἀριθμῶν, εἷς ἐστί· μονὰς δὲ οὐκ ἔστιν ὁ ἀριθμός· τέταρτον, ὅτι τὰ πολλὰ, καὶ ἑκάστῳ ἀριθμῷ προσήκει, καὶ ἔτι αὐτῇ τῇ μονάδι· πολλὰ γὰρ καὶ ἡ μονάς· οὐ μόνον ὅτι καὶ πᾶς ἀριθμὸς ἐξ αὐτῆς, ἀλλ᾽ ὅτι οὐ τὸ ἓν μόνον ἐστὶν, ἀλλὰ καὶ ὂν, καὶ ἀρχὴ ἀριθμοῦ, καὶ διωρισμένη, καὶ ὅσα ἄλλα στοιχεῖα συνίστησι τὴν μονάδα· καὶ γὰρ τὸ σημεῖον, πολλά· καὶ τὸ νῦν, πολλά· μέρη δὲ πρός τι· τὸ μὲν, πρὸς χρόνον· τὸ δὲ, πρὸς μέγεθος· ἡ δὲ μονὰς, πρὸς ἀριθμὸν τὸν ἀπ᾽ αὐτῆς διαστάντα· ἐπεὶ καὶ ἐν αὐτῇ ὁ ἀριθμός· πέμπτον δὲ, ὅτι ἡ μὲν μονὰς, εἰ καὶ ἓν, ἀλλ᾽ ἀριθμητικὸν πάντως ἕν· ἔστι μέν τοι καὶ τὸ σημεῖον ἓν, καὶ τὸ νῦν· καὶ κατὰ πολλῶν ἄλλων τὸ ἕν· τὶ ἄρα ἓν ἡ μονάς· ἕκτον δὲ, ὅτι σὺν ἑτερότητι πάντως τοῦτο τὸ ἓν τῆς μονάδος· ἄνευ γὰρ ἑτερότητος, οὐκ ἂν γένοιτο ἀριθμός· ἰδιότητι μὲν, αἱ αὐταὶ πᾶσαι· ἀλλ᾽ αἱ μὲν, γεννῶσιν· αἱ δὲ, γεννῶνται· καὶ αἱ μὲν, ὁλικωτέρων ἀριθμῶν εἰσὶ μόρια· αἱ δὲ, μερικωτέρων· καὶ αἱ μὲν, ἥνωνται μᾶλλον· αἱ δὲ, μᾶλλον διακέκρινται· καὶ μέν τινες μονάδες, τοῦδε ἀριθμοῦ· αἱ δὲ, τοῦδε· ἡ ἄρα τῆς τριάδος μονὰς, τριαδική ἐστι κατὰ φύσιν· καὶ οὐκ ἂν γένοιντο μέρος τετράδος, ἢ ἄλλου ἀριθμοῦ· μερικὴ ἄρα ἑκάστη μονὰς, ἡ δὲ πρώτη ἁπλῶς· ἅτε οὔπω γενομένη τινὸς ἀριθμοῦ, ἀλλὰ παντὸς ἀριθμοῦ οὖσα ἀρχή· διὸ καὶ τὸν ἁπλῶς ἀριθμὸν, ἐν ἑαυτῇ συνῄρηκε μονοειδῶς.

ΤΕΛΟΣ.

DE
GEORGII PHRANTZAE
CHRONICO MINORE
EDITORIS MONITUM.

Georgii Phrantzae prolixum Chronicon latine a se conversum Iacobus Pontanus libera quadam ratione olim ediderat; deinde graece Carolus Alterus fideliter ante hos annos vulgaverat. Sed tamen praeter illud prolixum, ut dixi, Chronicon, aliud brevius ineditum eiusdem Phrantzae Leo Allatius commemoraverat in diatriba de Georgiis, et contra Creyghtonum, quod Allatii indicium Fabricius, Cavaeus, aliique bibliographi recte adnotaverant. Ego vero bibliothecae vaticanae olim praesidens, animadverti in codicibus graecis otthobonianis sub n. 260. p. 113–207. hoc ipsum Allatio cognitum Phrantzae scriptum; quod quum vix coepissem exscribere, bibliothecae otium cum graviore officio commutavi. Quia tamen vulgandi aliquando opusculi studium non dimiseram, benivolam nactus operam Cl. viri Augustini Theineri, apographum integrum ex otthoboniano codice manu eius confectum habui; quod typis mox traditurus, nihil opportunius me facturum putavi, quam si alterius Cl. viri Iohannis Franzii, Romae versantis, auxilium criticum ad editionem curandam invocarem; non tam quia Phrantzam patrono homonymo Franzio commendabam, quam quia barbariorem Chronici sermonem, qualem tum Graecia corrupta iam usurpabat, peritissimo dialecti eius magistro exhibebam, qui grammatico bis tractatu eandem docuit et enucleavit. Sed cur ego plura? ipsum iam Cl. Franzium praefantem audiamus.

IOHANNES FRANZIUS LECTORI.

Epitome Chronici, scilicet Chronicum hoc minus, etsi dialecto rudiore confectum, nihil habet, quod possit, stili gratia, ad legendum invitare, tamen, quum ex codice sit descriptum paullo meliore, quam quo Car. Alterus usus est in Chronico maiore edendo, certe propter lectiones varias, visum dignum est, quod typis exprimeretur. Quippe Chronicum minus, qui comparare volet cum Chronico illo maiore, facili operâ alterum altero explicari quodammodo et restitui posse in plurimis locis intelliget. Nos hîc paucis defungamur. Et Chronicum minus quidem maiore receptius videri, nemo erit qui ambigat. Tanta enim inest in eo verborum constructionisque perversitas, ut, quamquam Phrantzen concedamus stilo malo usum esse, tamen cum eo, qui epitomen compilavit, multo peius actum esse appareat. Ille voces vel nomina recentiora certe studet evitare, hic infimo quoque maxime gaudet, opinor, quod orationem faciliorem ita fieri magisque dilucidam existimaverit. Quae quum ita sint, tametsi quispiam de diversis auctoribus cogitaverit, tamen causa nulla est, cur Phrantzen huius epitomes auctorem esse negemus, qui scilicet, ut in minore Chronico, minore curâ usus sit, idque, nescio quo consilio, dialecto negligentiore composuerit. Nam illud certe verisimile non est, primo Chronicum hoc minus esse confectum, ex quo maius illud Phrantzes concinnaverit.

Iam vero ad differentias ut accedamus, chronologicae quidem rationes raro immutantur. Sic in nostro pag. 42. Ἰαννουαρίου est, in Chronico maiore Ἰουνίου; pag. 65 λά legitur, quod illic est εἰκοστῇ ὀγδόῃ. Maior in verbis est differentia, ut pag 10 quod est in nostro εἰς τὴν Ἰταλίαν, illic omittitur; quod hîc pag. 14 legitur προστάξεως, illic est πράξεως, et alia plura generis eiusdem. Sed ut Chronicum maius multis variisque vitiis scatet, ita nostrum hoc saepissime medelam suppeditat. Sic, ut pauca tantum proferamus, pag. 15 οὐ μὲν legitur, quod illic est σὺ μὲν sensu cassum; hîc pag.

20 ἄπρακτον, illic εὔπρακτον; hic pag. 24 lin. 1 οὐ, illic deest; pag. 26 ἀσυνήθει, illic συνήθει; pag. 66 διὰ τὸ ἐπίστασθαί σε καὶ καλῶς ἀριθμεῖν καὶ καλῶς φυλάσσειν, quae verba ad sensum necessaria illic omittuntur; pag. 71 Χάρητα, illic χάριν; et ibid. ὡς δῆθεν βουληθέντος τοῦ παιδὸς τοῦτο ποιῆσαι κατ' αὐτοῦ, illic ὃς δῆθεν ἐβούλετο τὴν ἀθέμιτον σοδομίαν πρᾶξαι κατὰ τοῦ παιδός; denique pag. 67. ἀνατροφῆς αὐτῆς, illic ἀνατρεφούσης αὐτήν, quae verba prorsus nihili sunt.

Nihiloverominus etiam ex Chronico maiore, quamquam rarius, coacti sumus verba aliqua depromere, quae auctor epitomes omisit, ut pag. 21 προβαδιζόντων πρὸ τοῦ διωγμοῦ διὰ τό –; pag. 23 ἀπέλθῃ; pag. 25 κλητῶν καί; et paullo post pag. 26 ἵνα λυτρώσῃ με τῶν δεσμῶν; pag. 36 ἐν τῇ οἰκίᾳ; pag. 44 διὰ τό, quae quidem verba uncis inclusimus.

Postremo ex illo nomen Ἰατρὸς in nostro obvium pag. 31, 32 in Ἴαγρος corrigendum arbitrati sumus; ut facile possit intelligi, quemadmodum alterum Chronicum ex altero explicatur, ita nunc demum qui velit, eum iure suo posse ad emendandum Phrantzae Chronicum accedere.

ΓΕΩΡΓΙΟΥ ΣΦΡΑΝΤΖΗ

ΧΡΟΝΙΚΟΝ ΜΙΚΡΟΝ.

Ο ἰατρὸς Γεώργιος Σφραντζῆς ὁ καὶ πρωτοβεστιάριος, Γρηγόριος τάχα μοναχὸς, ταῦτα ἐγράψαμεν ὑπὲρ τῶν κατ' αὐτὸν καὶ τινων μερικῶν γενομένων ἐν τῷ τῆς ἀθλίας ζωῆς αὐτοῦ χρόνῳ.

ἀπὸ Χριστοῦ γεννήσεως

ᾳυα.

Καλὸν ἦν μοι εἰ οὐκ ἐγεννήθην, ἢ παιδίον ἀποθανεῖν· ἐπειδὴ τοῦτο οὐκ ἐγένετο, ἰστέον ὅτι ἐν ἔτει ͵ϛϡϑ ἐγεννήθην Αὐγούστῳ λ', ἡμέρᾳ γ'· ἀνεγεννήθην δὲ ὑπὸ τῆς ὁσιωτάτης καὶ ἁγίας Θωμαΐδος, περὶ ἧς ἐν τῷ προσήκοντι τόπῳ μέλλομεν διηγήσεσθαι τἀληθές.

ᾳυβ.

Καὶ τῇ κη τοῦ Ἰουλίου μηνὸς τοῦ δεκάτου ἔτους ἐσκοτώθη ὁ Ἀμηρᾶς Παϊαζήτης παρὰ τοῦ Τεμήρη, ὃς δὴ Παϊαζήτης ἦν πέμπτος αὐθέντης τῆς γενεᾶς αὐτοῦ. Ἐρτογρούλης γὰρ ἦν ὁ πρῶτος· καὶ ὁ δεύτερος Ὀτμάνης, ἐξ οὗ καὶ Ἀτουμαλίδαι· ὁ τρίτος Ὀρχάνης· ὁ τέταρτος Μοράτης· ὁ πέμπτος Παϊαζήτης· ὁ ἕκτος Μεχεμέτης· ὁ ἕβδομος Μοράτης· ὁ ὄγδοος Μεχεμέτης, ὃς δὴ καὶ ἡμᾶς ᾐχμαλώτευσε καὶ ἐξέωσε τῆς Κωνσταντινουπόλεως.

ͅαυδ.

Εἰς τὰς ἀρχὰς οὖν τοῦ ιβ ἔτους ἐπανῆλθεν ἀπὸ τῆς δύσεως εἰς τὴν Κωνσταντινούπολιν ὁ ἅγιος βασιλεὺς κὺρ Μανουὴλ ὁ παλαιολόγος.

αυε.

Καὶ τῷ ιγ ἔτει, μηνὶ Φευρουαρίῳ ή ἐγεννήθη αὐτῷ καὶ ὁ δεύτερος Κωνσταντῖνος, ὃς ἐγεγόνει καὶ βασιλεύς· ἀφ' οὗ δὴ ιβ ἔτους μέχρι καὶ τοῦ κα πολλῶν γενομένων ἀναγκαίων καὶ μνήμης ἀξίων, λέγω δὴ τῆς εἰς τὴν δύσιν ἀφίξεως τῶν ε' υἱῶν Ἀμηρᾶ τοῦ Παϊαζήτη, ἤγουν τοῦ Μουλσουμάνου, τοῦ Μωσῆ, τοῦ Ἰεσσαὶ, τοῦ Μεχεμέτη, καὶ τοῦ Ἰωσούφη, ὃς ἐγεγόνει καὶ χριστιανὸς καὶ Δημήτριος ἐπωνομάσθη· τοῦ θανάτου τοῦ βασιλέως κυροῦ Ἰωάννου εἰς τὴν Θεσσαλονίκην, καὶ τῆς ἐλεύσεως ἐκεῖ τοῦ ἁγίου βασιλέως κὺρ Μανουὴλ, καὶ θείου αὐτοῦ, καὶ τῆς τοῦ αὐτοῦ δεσπότου κὺρ Ἀνδρονίκου εἰς τὴν Θεσσαλονίκην καταστάσεως· καὶ τοῦ θανάτου τοῦ δεσπότου κὺρ Θεοδώρου τοῦ πορφυρογεννήτου εἰς τὸν Μυζηθρᾶν· καὶ τοῦ ἁγίου βασιλέως καὶ ἀδελφοῦ αὐτοῦ κὺρ Μανουὴλ εἰς τὸν Μορέαν ἐλεύσεως· καὶ θανάτου τοῦ Ἀμηρᾶ Μουλσουμάνου παρὰ τοῦ ἀδελφοῦ αὐτοῦ Μωσῆ· καὶ τῆς τριετοῦς μάχης αὐτοῦ δὴ τοῦ Μωσῆ μετὰ τοῦ βασιλέως τοῦ ἁγίου κὺρ Μανουήλ· καὶ τῆς περὶ τὰ μέρη τῆς Λαρίσσου ἐκτυφλώσεως Ὀρχάνη τοῦ υἱοῦ τοῦ Μουλσουμάνου· καὶ τῆς ἐλεύσεως ἀπὸ τῆς ἀνατολῆς εἰς τὴν δύσιν τοῦ ἀδελφοῦ αὐτοῦ Μεχεμέτη τοῦ καὶ κὺρ Ἰτζή· καὶ τῆς ἥττης καὶ ἐπιστροφῆς αὐτοῦ εἰς τὴν ἀνατολὴν, καὶ πάλιν ἐλεύσεως αὐτοῦ διὰ τῆς πόλεως εἰς τὴν δύσιν, καὶ τῆς νίκης αὐτοῦ· καὶ τοῦ θανάτου Μωσῆ· ἔτι δὲ καὶ τοῦ δευτέρου υἱοῦ τοῦ ἁγίου τοῦ βασιλέως κὺρ Μα-

νουὴλ Κωνσταντίνου τὸν θάνατον ἐν τῇ Μονεμβασίᾳ, ἀλλὰ δὴ καὶ δύο θυγατέρων αὐτοῦ· καὶ τῆς γεννήσεως εἰς τὴν πόλιν τοῦ αὐθεντοπούλου κὺρ Μιχαὴλ, καὶ τοῦ θανάτου αὐτοῦ ὑπὸ λοιμώδους νοσήματος· καὶ τοῦ θανάτου ἐμοίως τοῦ Τζαλαπῆ κὺρ Δημητρίου· καὶ τῆς γεννήσεως τοῦ αὐθεντοπούλου κὺρ Δημητρίου, καὶ τοῦ αὐθεντοπούλου κὺρ Θωμᾶ, καὶ ἄλλων τινῶν μερικῶν ἀναγκαίων. Ταῦτα δὴ πάντα διὰ τὸ τῆς ἡλικίας μου ἀτελὲς πάντη, οὐ καλῶς εἰδότος μου καὶ ἀκριβῶς, ἐν ᾧ δὴ χρόνῳ καὶ μηνὶ ἐγένοντο καὶ πῶς, σιωπῇ παραλείπω.

υιγ.

Τὸν δὲ Ἰούλιον μῆνα τοῦ κα ἔτους ἐξελθὼν ἀπὸ τῆς πόλεως ἀπῆλθεν εἰς τὴν νῆσον Θάσον ὁ ἅγιος βασιλεὺς κὺρ Μανουήλ.

υιδ.

Καὶ ἀπῆρεν αὐτὴν τὸν Σεπτέβριον τοῦ κβ ἔτους. Εἶτ' ἀπ' ἐκεῖ ἀπῆλθεν εἰς τὴν Θεσσαλονίκην καὶ εἰς τὸν Μορέαν, καὶ ἔκτισε τὸ Ἑξαμίλιον.

υιε.

Τῷ κγ ἔτει Μαρτίῳ γὰρ ἔσωσεν ἐν τῷ λιμένι τῶν Κεγχρεῶν ὀνομαζομένῳ. Καὶ τῇ η' τοῦ Ἀπριλλίου μηνὸς ἤρξατο ἀνακαθαίρειν καὶ ἀνοικοδομεῖν αὐτὸ δὴ τὸ Ἑξαμίλιον, ὅπερ ἔνι τὸ μῆκος οὐργυιὲς ͵γω· ἀνέστησε δὲ πύργους ἐπ' αὐτῷ ρνγ. Εὑρέθησαν καὶ γράμματα ἐν μαρμάρῳ λέγοντα οὕτως "φῶς ἐκ φωτὸς, θεὸς ἀληθινὸς ἐκ θεοῦ ἀληθινοῦ, φυλάξῃ τὸν αὐτοκράτορα Ἰουστινιανὸν, καὶ τὸν πιστὸν αὐτοῦ δοῦλον Βικτωρῖνον, καὶ πάντας τοὺς ἐν τῇ Ἑλλάδι οἰκοῦντας ἐκ θεοῦ ζῶντας."

υιϛ.

Καὶ τῷ κδ ἔτει μηνὶ Μαρτίῳ ἐπανέστρεψαν εἰς τὴν

πόλιν· ἐν ᾧ μηνὶ μετὰ τὴν ἄφιξιν αὐτοῦ δὴ τοῦ ἁγίου βασιλέως καὶ ὁ πατριάρχης κὺρ Εὐθύμιος ἀπέθανε· καὶ τῇ κα Μαΐου τοῦ αὐτοῦ ἔτους ἐγεγόνει πατριάρχης ὁ Ἐφέσου κὺρ Ἰωσήφ.

υιζ.

Καὶ τῷ κε ἀπῆλθεν εἰς τὸν Μορέαν ὁ βασιλεὺς κὺρ Ἰωάννης ἐν ὥρᾳ τοῦ φθινοπώρου, ἐν ᾧ δὴ καιρῷ εἰς τὴν Θεσσαλονίκην διερχόμενος τὸν πλαστὸν υἱὸν τοῦ Παϊαζήτου ἐκείνου τὸν Μουσταφᾶν ἀπῆρε διωκόμενον παρὰ τοῦ τάχα ἀδελφοῦ αὐτοῦ Μεχεμέτη, καὶ εἰς τὴν Λῆμνον ἀπέστειλε, μετέπειτα δὲ εἰς τὸν Μυζηθρᾶν. Ἐν δὲ τῷ χειμῶνι τοῦ αὐτοῦ δὴ ἔτους, θανατικοῦ γενομένου ἐν τῇ Μαύρῃ θαλάσσῃ, καὶ φαμιλικῶς εὑρισκομένων εἰς κάστρον ἓν τῶν ἐκεῖσε, κεφαλατεύοντες ὁ γαμβρός μου Γρηγόριος ὁ παλαιολόγος ὁ Μαμωνᾶς, ἀνὴρ ἄριστος, υἱὸς μεγάλου δουκὸς τοῦ Μαμωνᾶ, καὶ αὐθέντη ποτὲ τῆς Μονεμβασίας καὶ τῶν περὶ αὐτήν· ἔτι δὲ καὶ ἡ ἀδελφή μου καὶ γυνὴ αὐτοῦ καὶ παιδίον ἐν αὐτῶν θῆλυ ἀπέθανεν, πρῶτον τὸ παιδίον, καὶ εἰς ζ ἡμέρας τοῦ παιδὸς ὁ πατὴρ αὐτοῦ, καὶ εἰς ζ ἡμέρας τοῦ πατρὸς ἡ μήτηρ αὐτοῦ· ἔτι δὲ καὶ ἐξ τῶν ὑποχειρίων αὐτῶν ἀνδρῶν τε καὶ γυναικῶν· ἐναπολειφθέντων δὲ δύο καὶ μόνων τῶν αὐτῶν, ἐλθόντες ἐν τῇ πόλει εἶπον ἐν μιᾷ φωνῇ ταῦτα τοὺς ἀθλίους μου γενέτας, οἳ καὶ ἀλλετρόπως ἀπέθανον ἀκούσαντες τοῦτο, εἰ καὶ οὐκ ἀπέθανον, ὡς τελέως ἀπὸ τούτου μετέπειτα καὶ ἀσθενεῖς, ὅπερ ἦν καὶ αἴτιον τοῦ μὴ ἐλθεῖν τὸν γεννήσαντά με εἰς τὸν Μορέαν μετὰ τοῦ αὐθεντοπούλου κὺρ Θωμᾶ εἰς τάξιν κατὰ αὐτοῦ, καὶ ἐμοῦ μετ' αὐτοῦ εἰς ὑπηρεσίαν ἐπὶ τραπεζίου καὶ κελλιώτου αὐτοῦ, ὡς ὡρίσθημεν παρὰ τοῦ ἁγίου βασιλέως τοῦ πατρὸς τοῦ ῥηθέντος αὐθεντοπούλου, καὶ ἡτοιμα-

ζόμεθα· καὶ ἀπὸ τοῦ ὅτι ὁ μὲν ἐμοῦ πρῶτος ἀδελφὸς ἦν εἰς τὸν Μορέαν μετὰ τοῦ βασιλέως· ὁ δὲ μετ' ἐμὲ ἕτερος, ὡς ἐπῆλθεν ὁ θάνατος τῶν ἀδελφῶν αὐτοῦ, ἀφεὶς καὶ πατέρα καὶ μητέρα καὶ ἀδελφοὺς, εἰς τὴν τοῦ Χαρσιανίτου λεγομένην μονὴν, ἐν ᾗ ἦν καὶ ὁ κατ' ἀλήθειαν διδάσκαλος κὺρ Ἰωσὴφ, γέγονε καλόγερος. Τοῦ δ' αὐτοῦ θανάτου γενομένου περὶ τὸ ἔαρ καὶ τὸ θέρος εἰς τὴν πόλιν ἐν μηνὶ Αὐγούστῳ ἀπέθανε καὶ ἡ δέσποινα. κυρὰ Ἄννα ἡ ἀπὸ τῆς Ῥωσσίας λοιμώδει νόσῳ, καὶ ἐτάφη ἐν τῇ τοῦ Λιβὸς μονῇ.

υιη.

Καὶ εἰς τὰς ἀρχὰς τοῦ κϛ ἔτους ἐςάλη καὶ εἰς τὸν Μορέαν παρὰ τοῦ ἁγίου βασιλέως καὶ πατρὸς αὐτοῦ καὶ ὁ αὐθεντόπουλος κὺρ Θωμᾶς· ἐν ᾧ δὴ χρόνῳ ἐπανέστρεψε καὶ εἰς τὴν πόλιν καὶ ὁ βασιλεὺς κὺρ Ἰωάννης· καὶ ἐμὲ ὁ βασιλεὺς ὁ ἅγιος καὶ πατὴρ αὐτοῦ εἰς τὸ κελλίον αὐτοῦ προσηγάγετο Μαρτίῳ ιζ, ὑπάρχοντός μου χρόνων ιϛ, ἐκείνου δὲ τοῦ ἁγίου ξθ.

υιθ.

Καὶ τῷ κζ ἔτει ἐν μηνὶ Νοεμβρίῳ ἦλθεν εἰς τὴν πόλιν καὶ ἡ δέσποινα κυρὰ Σοφία, ἡ τοῦ Μόντες Φερράντες Μαρκεσίου θυγάτηρ. Καὶ τῇ ιθ τοῦ Ἰαννουαρίου τοῦ αὐτοῦ ἔτους εὐλογήθη αὐτὴν, καὶ ἐστέφθη καὶ βασιλεὺς ὁ κὺρ Ἰωάννης ἐν τῇ ἁγίᾳ Σοφίᾳ· ἐν ᾗ δὴ στέψει ἐγεγόνει ὄντως ἑορτῶν ἑορτὴ καὶ πανήγυρις πανηγύρεων.

υκ.

Καὶ τῷ κη ἔτει ἦλθεν ὁ Ἀμηρᾶς ὁ καὶ κὺρ Ἰτζὴς καὶ Μεχεμέτης ἵνα ἀπὸ τῆς πόλεως περάσῃ εἰς τὴν ἀνατολήν· καὶ προμαθόντες ὡς ἐν μυστηρίῳ ἀπὸ τῶν ἐκείνου,

ἔτι ὑπάγει ἵνα τὰ τῆς ἀνατολῆς διορθώσῃ, καὶ, ὡς ἂν ἐπιστρέψῃ, ἔχει σκοπὸν καὶ μελέτην ἐλθεῖν κατὰ τῆς πόλεως, πάντες οἱ τοῦ βασιλέως τοῦ ἁγίου ἐμπιστευθέντες τὸ μυστήριον ἄρχοντες καὶ τῶν ἱερομονάχων παρώτρυνον καὶ ἐβούλευον τῷ βασιλεῖ ἵνα πιάσῃ αὐτόν· ἐκεῖνος δὲ οὐ κατεπείσθη ποτὲ, λέγων, οὐκ ἀθετῶ τὸν ὅρκον ὃν πρὸς ἐκεῖνον ἐποιησάμην, ἂν ἐβεβαιούμην καὶ ὅτι, καὶ ἂν ἔλθῃ, μέλλει αἰχμαλωτεύσειν ἡμᾶς· εἰ δὲ πάλιν ἐκεῖνος ἀθετήσῃ τοὺς ὅρκους του, ἀπέμεινεν εἰς τὸν θεὸν τὸν πολλὰ πλεῖον δυνάμενον ἐκείνου· διὰ ταύτην δὲ τὴν αἰτίαν, οὐδέ τινα τῶν υἱῶν αὐτοῦ ἔστειλεν εἰς ἐνάντησιν αὐτοῦ δὴ τοῦ ἀσεβοῦς, ἀλλὰ μόνους τὸν ἄριστον ἄνδρα Δημήτριον τὸν Λεονταριν, Ἰσαάκιον τὸν Ἀσάνην, καὶ Μανουὴλ πρωτοστράτορα τὸν Κανταχουζηνὸν, μετὰ πολλῶν ἀρχοντοπούλων καὶ στρατιωτῶν καὶ δώρων· οἳ καὶ συνήντησαν αὐτῷ περὶ τὰ Κουτουλοῦ, καὶ ἦλθον μετ᾽ ἐκείνου ἕως τὸ Διπλοκιόνιον, ὅλην δηλονότι τὴν ὁδὸν ὁμιλῶν μετὰ τοῦ Λεοντάρι· ἐκεῖσε δὲ εἰς τὸ Διπλοκιόνιον εὑρεθέντες καὶ ὁ βασιλεὺς ὁ ἅγιος καὶ οἱ υἱοὶ αὐτοῦ μετὰ ἑνὸς κατέργου ἵνα περάσῃ ἐκεῖνον, καὶ ἐμβὰς εἰς αὐτὸ, εἰς τὴν θάλασσαν μέσον ἐχαιρετήθησαν πρὸς ἀλλήλους ἀπὸ τὰ κάτεργα, καὶ ὁμιλοῦντες ἀπῆλθον μέχρι εἰς τὸν πέρα τόπον τῆς ἀνατολῆς, ὅπερ νῦν Σκουτάριον ὀνομάζεται, πρότερον δὲ Χρυσόπολις· καὶ ἐκεῖνος μὲν ἐξελθὼν ἀπὸ τοῦ κατέργου ἀνέβη εἰς τένδας ἃς αὐτῷ προητοίμασαν· οἱ δὲ βασιλεῖς μετὰ τῶν κατέργων τρώγοντες καὶ πίνοντες καὶ ἀποστολὰς τροφίμους πρὸς ἀλλήλους ἀποστέλλοντες, περὶ τὸν ἑσπερινὸν ἐκεῖνος μὲν καβαλικεύσας ἀπῆλθεν τὴν ὁδὸν τὴν περὶ τὴν Νικομήδειαν φέρουσαν· οἱ δὲ βασιλεῖς ἐπανέστρεψαν οἴκαδε. Τὸ δὲ ἔαρ

τοῦ αὐτοῦ ἔτους ἐπαναστρέψαντος εἰς τὴν δύσιν διὰ τῆς ὁδοῦ τῆς Καλλιπόλεως ἀπῆλθεν εἰς τὴν Ἀδριανόπολιν· ὁ δὲ ἅγιος βασιλεὺς ἑτοιμάσας τὸν Λεοντάριν Δημήτριον ἔστειλε πρὸς ἐκεῖνον, ἵνα καὶ περὶ τῶν προμελετωμένων μάθῃ καὶ προμηνύσῃ καὶ ἐκεῖνον ἐλέγξῃ διὰ τῆς καλῆς ἀγάπης καὶ τιμῆς ἧς πρὸς ἐκεῖνον ἐπεδείξαντο, καὶ διὰ τοῦ πεpάματος καὶ διὰ τοῦ τοιούτου ἀποκρισιαρικίου, τοῦ προσώπου λέγω καὶ τῶν δώρων ὧν προσεκόμιζεν. Ἴδεν οὖν αὐτὸν ὁ Ἀμηρᾶς μετὰ τιμῆς καὶ ἀγάπης ὅτι πλείστης, καὶ τέλος εἶπε πρὸς αὐτόν· ἔχω ἡμέρας ὅτι οὐχ ὑγιῶς ἔχω· ἅμα θέλω γενῆν καλά, καὶ θέλομεν φάγειν καὶ πιεῖν ὁμοῦ καὶ ὁμιλήσειν· ἐκεῖνος δὲ μετὰ τρεῖς ἡμέρας ἀπέθανε. Καὶ τὸν μὲν Λεοντάριν τὸ τυχὸν οὐκ ἐποίησαν, ἀλλ' ἦν εἰς τὴν κατούναν αὐτοῦ, καὶ τάχα θαυμάζων πῶς οὐδὲν προσκαλεῖται αὐτὸν ὁ αὐθέντης, ἵνα καὶ τὰς δουλείας αὐτοῦ ἀκούσῃ· τούτου μαθόντος τὸν θάνατον αὐτοῦ κατ' αὐτὴν δὴ σχεδὸν τὴν ὥραν, ἐπειδὴ [δὲ] τὰς στράτας ἔκλεισε κρυφίως τὰς φερούσας εἰς τὴν πόλιν, καὶ πολλοὺς γραμματοκομιστὰς ἀποστείλας ὁ Λεοντάρις, οὐδὲν τοὺς ἀφῆκαν νὰ διέλθουν, καὶ ἡμέραι παρῆλθον, ἰδοὺ ἀπὸ τούτου τὸ κατὰ τῆς πόλεως ἀπεκαλύφθη μυστήριον, καὶ θροῦς μέγας ἐγένετο καὶ βουλὴ καὶ μελέτη, καὶ πολλοὺς ἐλέγχους ὁ ἅγιος ἔλαβε βασιλεὺς παρὰ τῶν βουλευόντων ἵνα πιάσῃ αὐτὸν, εἰς τὴν μονὴν τῆς Περιβλέπτου δι' αἰτίαν θανατικοῦ εὑρισκομένου· μόλις οὖν ποτὲ δι' ἄλλης ὁδοῦ τῆς εἰς τὴν Μεσημβρίαν ἀπαγούσης στείλας ὁ Λεοντάρις ἄνθρωπον, καὶ ἀπ' ἐκεῖ διὰ θαλάσσης ἐλθόντος, ἔφερε γραφὴν ὅτι ὁ Ἀμηρᾶς ἀπέθανε· καὶ ἐγένετο τοῦτο δὴ τὸ, ἑσπέρας αὐλισθήσεται κλαυθμὸς καὶ εἰς τὸ πρωῒ ἀγαλλίασις· καὶ ἰδοὺ

ἔπεσον εἰς ἑτέραν φροντίδα καὶ βουλὴν καὶ μελέτην, πότερον νὰ ἔχουσι (πρὸς) τὸν υἱὸν αὐτοῦ τὸν Μουράτην ἀγάπην καὶ νὰ παραχωρήσωσιν εἶναι αὐτὸν αὐθέντην, ὡς καὶ τὰ ὁρκωμοτικὰ αὐτῶν διελάμβανον, ἢ νὰ φέρωσι τὸν Μουσαφᾶν ἀπὸ τοῦ Μυζηθρᾶ, καὶ ποιήσωσιν αὐτὸν αὐθέντην εἰς τὴν δύσιν, καὶ ὁ Μουράτης ἔνι εἰς τὴν ἀνατολὴν αὐθέντης· τοῦ μὲν ἁγίου βασιλέως καὶ πατρὸς τὸν πρῶτον βουλευομένου καὶ κρίνοντος δικαίως ἐκ πολλῶν αἰτιῶν· τοῦ δὲ υἱοῦ αὐτοῦ καὶ τοῦ Καντακουζηνοῦ Δημητρίου ὅτι νὰ ποιήσουν τὸν δεύτερον, καὶ ὅτι δίδη τους καὶ τὴν Καλλίπολιν, μόλις δέ ποτε οἱονεὶ ὡς κατὰ παραχώρησιν δέδωκεν ἐξουσίαν ὁ ἅγιος βασιλεὺς τῷ υἱῷ αὐτοῦ, "ὡς θέλεις, ἐπειπών· ποίησον, ἐγὼ γάρ εἰμι, υἱέ μου, καὶ γέρων καὶ ἀσθενὴς καὶ ἐγγὺς τοῦ θανάτου, τὴν δὲ βασιλείαν καὶ τὰ αὐτῆς δέδωκα πρός σε, καὶ ποίησον ὡς θέλεις.,,

ͺϛκα.

Καὶ ἐν μηνὶ Σεπτεβρίῳ τοῦ ͞κθ ἔτους μετὰ κατέργων ἀπελθόντες εἰς τὴν Καλλίπολιν τοῦ βασιλέως κὺρ Ἰωάννου Ἀμηρᾶν τὸν Μουσταφᾶν φέρων ἀπὸ τοῦ Μορέως αὐθέντην ἐξέβαλεν εἰς δύσιν, καὶ ἡ Καλλίπολις αὐτὸν προσεκύνησε· καὶ μετά τινας ἡμέρας ζητηθεῖσα παρὰ τοῦ βασιλέως, τάχα κατὰ τὰς ὑποσχέσεις ἀπεκρίνατο, πάντες οἱ Τοῦρκοι λέγουσιν ὅτι ἡ πίστις ἡμῶν ἡ Καλλίπολις ἔνι, καὶ οὐδὲν ἐμπορεῖ νὰ τὴν δώσωμεν, πολλὰ τοῦ Μουράτη ἀπὸ τὴν ἀνατολὴν δι' ἀποκρισιαρίων δεομένου καὶ τάσσοντος. Περὶ δὲ τὰς ἀρχὰς τοῦ χειμῶνος τοῦ αὐτοῦ ἔτους περάσαντος τοῦ Παϊαζήτου ἀπὸ τὸ ἐπάνω στενὸν εἰς τὴν δύσιν, ἀνδρὸς χρησίμου Μπελαρμπεῖ καὶ βιζίρου ὄντος τοῦ πατρὸς τοῦ Μουράτη, καὶ τὴν Ἄγκυραν ἔχοντος κεφα-

λατίκιον, εἰς τὸ, ἂν δυνηθῇ, νὰ κρατήσῃ εἰς τὴν ἐξουσίαν τοῦ Μουράτη τὴν δύσιν δηλονότι· καὶ τοῦ Μουσταφᾶ πάλιν ἀπελθόντος ἀπὸ τὴν Καλλίπολιν, ἐπίασεν αὐτὸν δὴ τὸν Παϊαζήτην καὶ τὸν ἐσκότωσε, καὶ τὴν εἰς τὴν δύσιν πᾶσαν ἀρχὴν τῶν ἀσεβῶν ἐκυρίευσεν· καὶ πάλιν ἐπιστρέψας ὁ Μουςαφᾶς εἰς τὴν Καλλίπολιν τῷ αὐτῷ ἔτει ἐπέρασεν εἰς τὴν ἀνατολὴν κατὰ τοῦ ἀνεψιοῦ αὐτοῦ Μουράτη εἰς τὴν Προῦσαν εὑρισκομένου, καὶ ἡττηθεὶς ἐπανέςρεψεν εἰς τὴν δύσιν. Καὶ τὸ θέρος τοῦ αὐτοῦ ἔτους ἐπέρασεν, καὶ αὐτὸς δὴ ὁ Μουράτης μετὰ γενουϊτικῶν καραβίων, καὶ διώξας τὸν θεῖον αὐτοῦ ἔφθασε καὶ ἐσκότωσε περὶ τὰς ἀρχὰς τοῦ λʹ. ἔτους.

υκβ.

Καὶ τῇ ηʹ τοῦ Ἰουνίου τοῦ αὐτοῦ ἔτους ἔςειλε καὶ ἀπέκλεισε τὴν πόλιν διὰ τοῦ Μιχάλμπεϊ· καὶ τῇ ιε τοῦ αὐτοῦ ἦλθε καὶ ὁ Μουράτης καὶ αὐθέντης αὐτοῦ, καὶ ἐπολιόρκουν τὴν πόλιν, φέρων μετ' αὐτοῦ καὶ δεσμίους καὶ τοὺς ἀποκρισιαρίους, οὓς προαπέςειλαν εἰς ἐκεῖνον διὰ κατάςασιν ἀγάπης, Δημήτριον τὸν Κανταχουζηνὸν καὶ Ματθαῖον τὸν Λάσκαριν καὶ τὸν γραμματικὸν Ἄγγελον τὸν Φιλομμάτην· καὶ τῇ κβ τοῦ Αὐγούςου μηνὸς ἐπολέμησεν αὐτὴν δὴ τὴν πόλιν καθολικὸν πόλεμον.

υκγ.

Καὶ τῇ ςʹ τοῦ Σεπτεβρίου μηνὸς τοῦ λα ἔτους ἀπῆλθεν ἄπρακτος ἀπὸ τῆς πόλεως βοηθείᾳ θεοῦ· καὶ τῇ λʹ τοῦ αὐτοῦ μηνὸς ἦλθεν ὁ Μουςαφόπουλος καὶ ἀδελφὸς αὐτοῦ δὴ τοῦ Μουράτη καὶ ἐπέρασεν εἰς τὴν πόλιν καὶ ἔπεσεν ἔξω εἰς τὸν αὐθεντικὸν περίβολον· καὶ ἐπὶ τὴν αὔριον τῇ αʹ Ὀκτωβρίου ἦλθεν εἰς προσκύνησιν τῶν βασιλέων·

καὶ τῇ αὐτῇ ἡμέρᾳ μετὰ τὸ ἄριστον ἐγένετο τὸ τῆς ἡμιπληξίας νόσημα τῷ ἁγίῳ βασιλεῖ κὺρ Μανουὴλ, ὃν ἰδόντες οἱ ἀπὸ τῆς ἀνατολῆς μετὰ τοῦ Μουςαφοπούλου Τοῦρκοι καὶ θαυμάσαντες καὶ ἀπ' αὐτῆς μόνης τῆς θεωρίας αὐτοῦ μετὰ θαύματος ἔλεγον ὅτι τὸν τῆς πίςεως αὐτῶν ἀρχηγὸν Μαχούμετ ὁμοιάζει· ὡς καὶ ὁ ποτὲ Παϊαζήτης καὶ ἐχθρὸς αὐτοῦ εἴρηκεν, ὅτι τὸν βασιλέα καὶ ὁποῦ οὐδὲν γνωρίζει αὐτὸν καὶ ἀπὸ μόνης τῆς αὐτοῦ θεωρίας θέλει εἰπεῖν ὅτι "αὐτὸς τυχένει νὰ ἔνι βασιλεύς"· ὁ δὲ Μουςαφόπουλος πλημμελήσας καὶ πλείους ἡμέρας εἰς τὴν πόλιν ἀπὸ τὸ συμβὰν εἰς τὸν βασιλέα τὸν ἅγιον τέλος ἀπῆλθεν μέχρι καὶ τῆς Σηλυμβρίας καὶ μικρὸν διατρίψας ἐπανέςρεψεν εἰς τὴν πόλιν καὶ περάσας ἀπῆλθεν εἰς τὴν Προῦσαν· τὸ δὲ ἔαρ πάλιν τοῦ αὐτοῦ ἔτους ἐπέρασε καὶ ὁ ἀδελφὸς αὐτοῦ κατ' αὐτοῦ εἰς τὴν ἀνατολὴν καὶ ἐσκότωσεν αὐτὸν προδοσίᾳ τῶν ἰδίων αὐτοῦ· καὶ τὸν Μάϊον τοῦ αὐτοῦ ἔτους ἐχάλασε καὶ ὁ Τουραχάνης τὸ Ἑξαμίλιον εἰς τὸν Μορέαν καὶ πολλοὺς τῶν Ἀλβανιτῶν ἐσκότωσεν· καὶ τὸ θέρος τοῦ αὐτοῦ ἔτους ἔφυγεν ὁ αὐθεντόπουλος κὺρ Δημήτριος μετὰ Ἱλαρίωνος Ντώρια καὶ Γιούργη Ἰσαοὺλ καὶ γαμβροῦ αὐτοῦ τοῦ Ντώρια καὶ ἀπῆλθον εἰς τὸν Γαλατᾶν ἵνα ὑπάγωσιν εἰς τοὺς Τούρκους, εἰ καὶ οὐκ ἀπῆλθον, ἀλλ' εἰς τὴν Οὐγγαρίαν.

υκδ.

Καὶ τῇ ιε τοῦ Νοεμβρίου τοῦ λβ ἔτους διέβη ὁ βασιλεὺς κὺρ Ἰωάννης εἰς τὴν Ἰταλίαν καὶ Οὐγγαρίαν ποιήσας δεσπότην τὸν ἀδελφὸν αὐτοῦ τὸν αὐθεντόπουλον κὺρ Κωνσταντῖνον, καὶ καταλείψας αὐτὸν εἰς τὴν πόλιν ἀντ' αὐτοῦ· τῇ δὲ κβ τοῦ Φευρουαρίου μηνὸς τοῦ αὐτοῦ

έτους εποιήσαμεν όρκωμοτικά αγάπην μετά του Αμηρά του Μουράτη, αποκρισιαρίων απελθόντων Λουκά του Νοταρά του γεγονότος ύστερον και μεγάλου δουκός, του Μελαχρηνού Μανουήλ και εμού δι' αιτίας ταύτας· ότι ο μεν Μελαχρηνός προαπήλθεν εις τον Αμηράν, και εγνώρισεν ότι θέλει γενέσθαι την αγάπην· ο δε Νοταράς ίνα τελέση αυτός καλώς κατά το δυνατόν ως χρήσιμος και καλός· εγώ δε ως από την αγίαν δέσποιναν συγγενίδα αυτού δη του Αμηρά από την μητέραν του, και ότι, αν δεήση, να γράψω και δι' υφιλτών είς τε τον άγιον βασιλέα και εις τον υιόν αυτού τον βασιλέα εις την Ουγγαρίαν ευρισκόμενον.

ιχε.

Και εις το τέλος του Οκτωβρίου μηνός του λγ έτους επανήλθεν και εις την πόλιν από του μέρους του εις τον Δανούβιον ποταμόν Κελλίου ονομαζομένου ο βασιλεύς κυρ Ιωάννης, απελθόντων κατέργων από της πόλεως εκείσε. Προέπεμψε γαρ από την Ουγγαρίαν άνθρωπον αλλόγλωσσον και αλλογενή, του ελθείν διά της στερεάς μετά πιττακίου υφιλτού, ούπερ ελθόντος εζήτει να ίδη τον βασιλέα ότι έχει τι των αναγκαίων· τούτο πως ήθελε γενήν άνθρωπος τοιούτος να ίδη βασιλέα ασθενή· κατάκοιτος γαρ ήν· και μόνος προς μόνον· πολλών ουν λόγων δαπανηθέντων τέλος εστάλησαν προς τον άνθρωπον δύο των Κελλιωτών και συντρόφων μου και είπον τω ανθρώπω· ή τω παρόντι είπε το θέλον (δείξαντες εμέ) ή άπελθε ένθα θέλεις· τότε παραλαβών με ιδίως δέδωκέ μοι χαρτίν τι υφιλτόν και εδήλωσέ μοι και όθεν και οπότε εξήλθεν· ως δε διώρθωσα το υφιλτόν και απήλθον αναγνώναι τούτο, ανέφερον ότι

ζητῶ εὐεργεσίαν· ἐπεὶ χαρίεντα μέλλει ἀναφέρειν ἐκεῖσε τῆς ἁγίας δεσποίνης καθεζομένης καὶ τῆς νύμφης αὐτῆς τοῦ δεσπότου λιπόντος εἰς τὸ κυνήγιον· καὶ ἀναγνοὺς τὸν χάρτην ὅτι καὶ ὑγιαίνει καὶ ἀπέρχεται καλῶς καὶ εἰς τὰ περὶ τὴν μεγάλην Βλαχίαν, καὶ νὰ ἀπέλθωσιν εἰς τὸ Κελλὶν ὀνομαζόμενον λιμιῶνα κάτεργα ἵνα ἐπάρωσι καὶ φέρωσιν αὐτὸν, ἐχάρησαν μεγάλως καὶ μετὰ μικρὸν ὁρίζει ὁ ἅγιος βασιλεὺς πρὸς τὸν ῥουχάριν αὐτοῦ, δὸς πρὸς τὸν Φραντζῆ τὸ καβάδι, τὸν μολιβὸν χαμουχᾶν, τὸν μετὰ βαρεσκαλίας ἐνδεδυμένον, καὶ ἀμέλει καὶ τὸ σεντούκιν ὅπερ μοι ἐζήτησεν· ἦν γὰρ εἰς τὰς χεῖράς μου σεντούκιν κάλλιςον καὶ μέγα, ἔχον πολλὰ καὶ καλὰ εἴδη· ἅπερ διεδόθησαν τὰ μὲν τοῖς υἱοῖς αὐτοῦ, τὰ δὲ ὑπὲρ τῆς ἁγίας ψυχῆς αὐτοῦ· καὶ τέλος ἐζήτησα ἐγὼ τὸ σεντούκιν καὶ ὥρισέ μοι ὅτι αὐτὸ ἦτον τοῦ αὐθεντός μου τοῦ βασιλέως τοῦ πατρός μου, καὶ εἶχα ἐν αὐτῷ μετὰ τῆς ψυχῆς ἐκείνου πολλὰ καὶ καλὰ καὶ πολλῷ πλείω τῶν ὧν εἶδες· καὶ θέλω πάλιν νὰ τὸ δώσω καὶ ἐγὼ πρὸς τὸν βασιλέα τὸν υἱόν μου ἵνα ἐν αὐτῷ ἔχῃ καὶ ἐκεῖνος μετὰ τῆς εὐχῆς μου τὰ ἑαυτοῦ· τότε δὲ πάλιν ὥρισεν ἵνα τὸ ἔχω· καὶ εἶλον αὐτὸ μετὰ τῆς ἁγίας εὐχῆς ἐκείνου γεμάτον ἀπὸ πάντων τῶν χρησίμων καὶ τιμίων τοῦ βίου τούτου τοῦ ματαίου· ἡ δὲ ἁγία δέσποινα ὁρίζει καὶ φέρουσί με χαμουχᾶν καλὸν πράσινον· ἡ δὲ νέα δέσποινα μηνύει με ὅτι τὸ δεῖνα μου ῥοῦχον, ὅταν μέλλῃς λαβεῖν γυναῖκα, θέλει ἦσθεν ἐκείνης. Τῇ δὲ κα τοῦ Ἰουλίου μηνὸς τοῦ αὐτοῦ ἔτους τέθνηκεν ὁ ἐν μακαρίᾳ τῇ λήξει γενόμενος ἀοίδιμος καὶ εὐσεβὴς βασιλεὺς κὺρ Μανουὴλ, ὁ διὰ τοῦ θείου καὶ ἀγγελικοῦ σχήματος μετονομασθεὶς πρὸ ἡμερῶν β′ Ματθαῖος μοναχὸς, καὶ

ἐτάφη τῇ αὐτῇ ἡμέρᾳ ἐν τῇ σεβασμίᾳ βασιλικῇ καὶ περικαλλεῖ μονῇ τοῦ παντοκράτορος μετὰ πένθους καὶ συνδρομῆς οἵας οὐ γέγονε πώποτε εἴς τινα τῶν ἄλλων· ἦσαν δὲ πᾶσαι αἱ τῆς ζωῆς αὐτοῦ ἡμέραι ἔτη ͞οζ καὶ ἡμέραι ͞κε.

Καὶ τῷ (͞λδ) ἔτει μηνὶ Αὐγούστῳ διέβη φυγοῦσα εἰς τὴν αὐτῆς πατρίδα ἡ δέσποινα Κυρία Σοφία.

Καὶ τῷ (͞λε) ἔτει τοῦ Αὐγούστου ͞κθ ἔφερον μετὰ κατέργων ἀπὸ τὴν Τραπεζοῦνταν, κυρίαν Μαρίαν τὴν Κομνηνὴν, θυγατέραν κὺρ Ἀλεξίου βασιλέως Τραπεζοῦντος τοῦ Κομνηνοῦ.

Καὶ τῷ (͞λϛ) ἔτει μηνὶ Σεπτεβρίῳ εὐλογήθη αὐτὴν ὁ βασιλεὺς κὺρ Ἰωάννης· καὶ τῷ αὐτῷ ἔτει μηνὶ Νοεμβρίῳ ἐξῆλθεν αὐτὸς δὴ ὁ βασιλεὺς ἀπὸ τῆς πόλεως καὶ ἀπῆλθεν εἰς τὸν Μορέαν τῇ ͞κϛ Δεκεμβρίου μετὰ καὶ τοῦ ἀδελφοῦ αὐτοῦ τοῦ δεσπότου κὺρ Κωνσταντίνου διὰ τὸ βούλεσθαι γενέσθαι τὸν ἀδελφὸν αὐτῶν τὸν δεσπότην κὺρ Θεόδωρον καλόγερον, καὶ ὁ κὺρ Κωνσταντῖνος ἐναπομείνῃ αὐθέντης τοῦ Μορέου, εἰ καὶ μετεμελήθη καὶ οὐκ ἐγένετο· μεθ' ὧν [γὰρ] ἐγὼ ἀρχῇ εἰς τὸν Μορέαν ἦλθον, εἰς τὴν τοῦ βασιλέως μου δουλοσύνην ὑπάρχων, εἰς δὲ τὴν τοῦ δεσπότου κὺρ Κωνσταντίνου ἀποβλέπων ἐξ αἰτίας τοιαύτης· τοῦ γὰρ ἀοιδίμου καὶ μακαρίτου πατρὸς αὐτῶν ἐγγίζοντος πρὸς τὸ ἀποθανεῖν ὥρισέ μοι καὶ ἔγραψα ἰδίως, οὐχὶ διαθήκην αὐτοῦ· οὐ γὰρ διατίθενται οἱ βασιλεῖς, ἀλλὰ προστάττουσιν· ὅτι νὰ ἔχῃ εἷς ἕκαστος τὸ καὶ τὸ, ὁ δὲ τόδε ἀπὸ τῶν ἰδίων αὐτοῦ ἀξιολόγων εἰδῶν· καὶ τὸ λοιπὸν τοῦ βίου αὐτοῦ ἵνα μερισθῇ εἰς τέσσαρα μερδικὰ, εἰς παραστάσιμα καὶ λειτουργίας ὑπὲρ αὐτοῦ κατεπέκεινα τῶν συνήθων, ὧν πολυτελῶς καὶ καλῶς ἐτελέσθησαν παρὰ

τῶν αὐτοῦ καὶ τῶν εἰσοδημάτων τῆς βασιλείας, εἰς πτωχοὺς, εἰς τοὺς ἰατροὺς καὶ εἰς τοὺς αὐτοῦ κελλιώτας· ἐπίτροποι δὲ νὰ ὦσιν ὁ πνευματικὸς αὐτοῦ ὁ εἰς τῶν Ξανθοπούλων Μακάριος ὁ ἐξ Ἰουδαίων, ὁ διδάσκαλος Ἰωσὴφ ὁ εἰς τοῦ Χαρσιανίτου, καὶ ἐγώ· καὶ ἀναγνωσθείσης ταύτης δὴ τῆς προστάξεως παρ' ἐμοῦ ἔμπροσθεν αὐτοῦ καὶ τῆς ἁγίας δεσποίνης καὶ τοῦ βασιλέως καὶ υἱοῦ αὐτῶν καὶ μόνον τέλος ὥρισε πρὸς τὸν υἱὸν αὐτοῦ· υἱέ μου, ἤκουσας τὸ σᾶς προστάττω διὰ τοὺς ἰδίους μου ὁποῦ λατρεύουσιν· ἔγραφον γάρ· οἱ δὲ κελλιῶταί μου, οἵτινες ἐδούλευσάν μοι καλῶς καὶ εὐνοϊκῶς διάκεινται καὶ δουλικῶς ὡς ἔνι εἰκὸς εἰς ἐμὲ, ἂς ἔχωσι παρὰ πάντων ὑμῶν τῶν υἱῶν μου ἀγάπην τε καὶ ἀνεκδοχὴν καὶ προμήθειαν κατὰ τὸ ἀναλογοῦν ἑνὶ ἑκάστῳ αὐτῶν. Ἰδίως δὲ πάλιν λέγω σοι διὰ τοῦτον δὴ τὸν Φραντζῆν ὅτι ἐδούλευσέ μοι καλῶς καὶ ἐθεράπευσέ μοι εἰς τὰ τῆς ψυχῆς μου καὶ τοῦ σώματος, καὶ νῦν εἰς τὰ τῆς ἀσθενείας μου πλέον τῶν ἄλλων μοι θεραπεύει, καὶ θαῤῥῶ ὅτι καὶ τὰ ὑπὲρ τῆς ψυχῆς μου μετὰ θάνατον καλῶς τὰ θέλει ἐξοικονομήσειν· ἡ νεότης οὖν αὐτοῦ καὶ τὸ γῆρας τὸ ἐμὸν οὐδὲν ἀφῆκαν ἵνα γένηται πρὸς αὐτὸν ἀντάξιον τῆς ἀγάπης καὶ δουλοσύνης αὐτοῦ· ἀφίημι δὲ αὐτὸν εἰς σὲ καὶ νὰ ἔχῃς τὴν εὐχήν μου, τὸ ἐτύχεν ἵνα γένηται παρ' ἐμοῦ πρὸς αὐτὸν καὶ οὐδὲν ἐγένετο δι' ἃς αἰτίας εἶπον, ἂς γένηται παρὰ σοῦ· ἐπειδὴ μετὰ τοῦ δεσπότου κυροῦ Κωνσταντίνου εἶχον ἀγάπην καὶ πληροφορίαν ἣν ὁ Θεὸς ἀπεδέχετον, ὅτι ὁ τοῦ πατρός μου ἀδελφὸς ἦν αὐτοῦ τατᾶς, καὶ οἱ υἱοὶ αὐτοῦ συνανάτροφοι καὶ φίλοι καὶ δοῦλοι αὐτοῦ καὶ ἐγὼ μετ' αὐτῶν· εἶτα ἔφερεν ὁ καιρὸς καὶ οἰκείωσιν ἐμοῦ εἰς τὸν μακαρίτην καὶ ἀοίδι-

μου πατέραν αὐτοῦ· καὶ τὰ ἔχρηζεν ἀπ' ἐκεῖνον πολλὰ καὶ ἀναγκαῖα, εὕρισκεν αὐτὰ δι' ἐμοῦ· ἠγάπα καὶ τὸν ἐμὲ εἶχε καὶ ἰδίως εἰς τὴν δουλοσύνην του. Καὶ συνηθείας καὶ τάξεως οὔσης εἰς τὰ τῶν βασιλέων ὁσπήτια ὅτι τοῦ πατρὸς οἱ κελλιῶται νὰ χωρῶσι καὶ εἰς τὰ κελλία τῶν υἱῶν αὐτοῦ, οὐχὶ δὲ τῶν υἱῶν εἰς τὸ τοῦ πατρός· τοῦτο δὲ ἕως ἂν ἐν τοῖς ζῶσιν ὁ πατὴρ εὑρίσκηται, οὐχὶ δὲ καὶ μετὰ θάνατον· ὡς ἀπέθανεν ὁ μακαρίτης καὶ ἀοίδιμος πατὴρ αὐτοῦ μετὰ τὸ ἐκείνου πρῶτον μνημόσυνον ἐπιστρέψαντες πάντες ἡμεῖς οἱ ἐκείνου κελλιῶται εἰς τὸ παλάτιν· ἔθος γάρ ἐνι καὶ τοῦτο ὅτι οἱ κελλιῶται αὐτοῦ δὴ τοῦ βασιλέως νὰ καταμένωσι περὶ τὸν τάφον αὐτοῦ μέχρι καὶ τοῦ πρώτου μνημοσύνου· ἀπῆλθον καὶ εἰς τὸ ὁσπήτιον ὅπερ κατέμενεν ὁ ῥηθεὶς δεσπότης κὺρ Κωνσταντῖνος· καὶ ἐκάθισα ἔξω ὡς οἱ πολλοί· μαθὼν δὲ τοῦτο ἔστειλε τὸν θεῖόν μου καὶ ὥρισέ μοι, ὅτι οὐ μὲν ἐτήρησας τὴν τάξιν καὶ οὐδὲν ἦλθες εἰς τὸ κελλίον μου ἐξ ὀρθοῦ, ὡς ἐποίεις ζῶντος τοῦ αὐθεντός μου βασιλέως τοῦ πατρός μου· ἀμὴ πάλιν ἡμεῖς διὰ τὸ χρέος τῆς εἰς ἐκεῖνον ἀγάπης σου καὶ δουλοσύνης καὶ τῆς εἰς ἡμᾶς, εὐεργετοῦμεν σοι, καὶ οὕτως ὡς ἂν ᾖ εἰς τὴν δουλοσύνην τοῦ βασιλέως τοῦ ἀδελφοῦ μου νὰ ἔρχεται ἐξ ὀρθοῦ εἰς τὸ κελλίν μου ὡς καὶ πρότερον· ἀπὸ τούτων οὖν τῶν αἰτιῶν ὡς ὡρίσθη παρὰ τοῦ βασιλέως καὶ ἀδελφοῦ αὐτοῦ ὅτι νὰ ἀκολουθήσῃ αὐτῷ ἀπερχομένῳ εἰς τὸν Μορέαν δι' ἣν αἰτίαν προεδηλώσαμεν, ὥρισέ μοι ἰδίως τὸ δὴ μέλλει γενέσθαι· καὶ ἀγαπῶ νὰ ἠμπορῇ νὰ σε εἶχον μετ' ἐμοῦ· καὶ ἀνέφερον αὐτῷ καὶ ἐγὼ τοῦτο πολλῷ πλέον, σωζομένου μόνον ὅτι νὰ ἔνι μετὰ ἀποδοχῆς καὶ ὁρισμοῦ τοῦ αὐθεντὸς τοῦ βασιλέως τοῦ ἀδελ-

φοῦ σου· ἐζήτησεν οὖν τοῦτο τὸν ἀδελφὸν αὐτοῦ δι' ἑαυτοῦ μετὰ λόγων παρακλητικῶν καὶ αἰτίων ἀναγκαίων ὁποῦ τὸν ἠνάγκαζον ἵνα ἔχη τὸ ἐμόν χρείαν· ἐκεῖνος δὲ ἀπελογήσατο, ὡς ζητοῦντα ἀδύνατόν τι οὐ δι' ἄλλο τι ἀλλ' ἢ διὰ τὸν ὁρισμὸν τοῦ πατρὸς αὐτῶν, καὶ τὴν πρὸς ἐκεῖνον ἐμὴν διὰ στόματος παράδοσιν· ὁ δὲ πάλιν ἐζήτησε τοῦτο διὰ τῆς ἁγίας δεσποίνης καὶ μητρὸς αὐτῶν, καὶ ἔτι μετὰ τῶν μεσαζόντων αὐτοῦ· καὶ μόλις ποτὲ ὥρισε τοῦτο, ὅτι ἂς ἔλθη μεθ' ἡμῶν ὁ Φραντζῆς· καὶ εἰ μὲν ἀπομείνη ὁ ἀδελφός μου ἐκεῖ, νὰ τὸν ἀφήσω νὰ ἔχη αὐτόν· ἐπεὶ καὶ ἡ κυρά μου ἡ δέσποινα ὥρισέ μοι περὶ τούτου καὶ συγχωρεῖ το· εἰ δὲ ἐπαναστρέψη ἐδῶ ὁ ἀδελφός μου μετ' ἐμοῦ, οὐδὲν τυχένει εἰ μὴ νὰ ἔνι εἰς ἐμὲ καθὼς ὥρισεν ὁ αὐθέντης μου ὁ βασιλεὺς ὁ πατήρ μου νὰ ἔχωμεν δίκαιον νὰ ποιήσωμεν εἰς αὐτόν. Ἐρχόμενοι δὲ εἰς τὸν Μορέαν τοῦ μὲν ὑπῆρχον τελείως ὑποχείριος ὡς προεῖπον, πρὸς δὲ τὸν ἀγάπη καὶ ἐλπίδι προσαπέβλεπον· ἀποσωθέντες οὖν εἰς τὸν Μορέαν καὶ κατὰ τοῦ τόπου παντὸς οὗ ἐντὸς τοῦ Μορέως ἐκράτει δεσπότης ὁ Κάρουλλος, ἀπελθόντες πάντες οἱ αὐθέντες καὶ ἀδελφοὶ, τέλος ἐπεὶ οὔτε οὗτοι ἦσαν τεθαῤῥηκότης ὅτι θέλουν δουλώσειν εἰς ἑαυτοὺς ὅλον τὸν τόπον ὃν ἦρχεν ὁ Κάρουλλος, οὔτε πάλιν ἐκεῖνος ὅτι νὰ δυνηθῇ νὰ φυλάξη τὸν ἐπίλοιπον τόπον ὁποῦ ἀπέμεινεν αὐτῷ· ἀπῆραν γὰρ οἱ αὐθέντες ἡμῶν τινὰ τῶν αὐτοῦ· ἐφάνη καλὸν ἵνα ὁ δεσπότης κὺρ Κωνσταντῖνος ἐπάρη τὴν ἀνεψιὰν αὐτοῦ δὴ τοῦ Καρούλλου δεσπότου εἰς νόμιμον γυναῖκα καὶ τὰ κάστρα, ὅσα δὴ καὶ εἶχεν εἰς τὸν Μορέαν, λάβη εἰς προῖκαν αὐτῆς· οὗ δὴ γενομένου τελείου τῇ πρώτῃ Μαΐου τοῦ αὐτοῦ ἔτους, στα-

λεὶς ἐγὼ παρέλαβον τὴν Γλαρέντζαν, καὶ ἄλλοι τὰ ἄλλα· καὶ ἐπαναστρέψαντες εἰς τὸν Μυζηθρᾶν, ἐνεργεῖτο τὸ τῆς καλογερικῆς τοῦ δεσπότου κυρίου Θεοδώρου· διὰ δὲ τὸ νὰ ἐπάρουν, ἂν ἐμπορέσουν, τὴν Πάτραν, ἀναγκαῖον καὶ χρήσιμον τόπον, καὶ διὰ τὸ νὰ μηδὲν εὑρίσκονται εἰς τὸν Μυζηθρᾶν οἱ ἀδελφοὶ τοῦ ἀδελφοῦ αὐτῶν βουλομένου γενέσθαι καλογέρου, ἐξελθόντες τῇ πρώτῃ Ἰουλίου τοῦ αὐτοῦ ἔτους, ἦλθον κατὰ τῆς Πάτρας οἱ τρεῖς τῶν ἀδελφῶν· καὶ περὶ τοὺς μύλους αὐτῆς σκηνώσαντες ἐκεῖσε καὶ τὴν ἀνεψιὰν τοῦ δεσπότου Καρόλλου ἔφερον κυρίαν Θεοδώραν καὶ ἐκεῖσε αὐτὸς καὶ ὁ δεσπότης κὺρ Κωνσταντῖνος τὴν εὐλογήθη· εἰς δὲ τὴν Πάτραν οὐδὲν ἐκατορθώθη τι πρὸς ἅλωσιν· ἀλλ' ἦν μᾶλλον καὶ αἴτιον ὅτι καὶ ὅπερ ὁ ἀδελφὸς αὐτῶν κὺρ Θεόδωρος ὁ δεσπότης εἰς τὸν Μυζηθρᾶν ἔστησεν ἵνα ποιήσῃ, ἀθετήσῃ, ὅπερ αἴτιον πολλῶν κακῶν· ὡς οὖν εἰς τὰ τῆς Πάτρας τὶ συμπέρασμα χρηστὸν οὐδὲν ἐκατορθοῦτο, ἀλλ' ἢ μόνον τρία καστελόπουλα ὁποῦ ἀπῆραν ποιήσαντες εἰρήνην μετὰ τῶν ἐν τῷ κάστρῳ· καὶ ὅτι νὰ δίδουν· καὶ κατ' ἔτος πρὸς τὸν δεσπότην κὺρ Κωνσταντῖνον φλωρία φ', ἐγερθέντες ἀπῆλθον, ὁ μὲν βασιλεὺς δι' ἄλλης ὁδοῦ εἰς τὸν Μυζηθρᾶν, ὁ δὲ δεσπότης κὺρ Κωνσταντῖνος δι' ἄλλης εἰς τὸ Χλουμούτζιν μετὰ καὶ τῆς γυναικὸς αὐτοῦ καὶ βασιλίσσης· μετὰ δέ τινα καιρὸν ὀλίγον, ἐπεὶ ὁ βασιλεὺς ἤθελεν ἵνα ἀπέλθῃ ὄπισθεν εἰς τὸ ὁσπήτιον αὐτοῦ, μηνυθεὶς καὶ ὁ ἀδελφὸς αὐτοῦ ἀπῆλθεν εἰς τὸν Μυζηθρᾶν ἀπὸ τὸ Χλουμούτζιν· κἀκεῖσε διαβιβάσαντες ἀμφότεροι οἱ δύο ἀδελφοὶ ἡμέρας ὀλίγας, τῷ Ὀκτωβρίῳ μηνὶ τοῦ (λ') ἔτους ἐκαβαλλίκευσαν ὁμοῦ καὶ ἀπῆλθον μέχρι καὶ τῆς Κορίνθου· καὶ ὁ μὲν βασιλεὺς ἐμβὰς εἰς τὰ κάτεργα ἀπέ-

πλευσεν εἰς τὴν Κωνσταντινούπολιν· ὁ δὲ δεσπότης κὺρ Θεόδωρος ἀπῆλθεν ὄπισθεν τὴν αὐτὴν ὁδὸν τὴν φέρουσαν εἰς τὸν Μυζηθρᾶν· καὶ ὁ κὺρ Θωμᾶς ὁ αὐθεντόπουλος μετ' αὐτοῦ μέχρι τινὸς ἀπῆλθεν εἰς τὰ Καλάβρυτα, ἡμεῖς δὲ μετὰ τοῦ αὐθεντὸς ἡμῶν κυρίου Κωνσταντίνου τοῦ δεσπότου διὰ τῆς ἄλλης ὁδοῦ ἤλθομεν εἰς τὴν Βοστίτζαν· καὶ γὰρ εἰ καὶ καλόγερος οὐκ ἐγένετο ὁ δεσπότης κὺρ Θεόδωρος, ἵνα ἀπομείνῃ ἅπας ὁ τόπος αὐτοῦ εἰς τὸν κὺρ Κωνσταντῖνον τὸν ἀδελφὸν αὐτοῦ, ἀλλ' οὖν καὶ οὕτως δέδωκε πρὸς αὐτὸν τὴν Βοστίτζαν, καὶ εἰς τὸ ἄλλο μέρος ὅσα δὴ ἦρχέν ὁ Φραγκόπουλος πρωτοςράτωρ, Ἀνδροῦσαν λέγω καὶ Καλομμάταν, καί Πίδημα καὶ Μάνην καὶ Νησὶν καὶ Σπητάλιν καὶ Γραμπένην, καὶ Ἀετὸν καὶ Λωΐ, καὶ Νεόκαστρον καὶ ἕτερα πολλά· ἃ καὶ σταλεὶς ἐγὼ παρέλαβον ταῦτα παρὰ τοῦ ῥηθέντος πρωτοςράτορος· καὶ τῷ αὐτῷ ἔτει ἐν μηνὶ Μαρτίῳ δ' τέθνηκεν ὁ δεσπότης κὺρ Ἀνδρόνικος, ὁ διὰ τοῦ θείου σχήματος μετονομασθεὶς Ἀκάκιος· καὶ ἐτάφη ἐν τῇ τοῦ παντοκράτορος μονῇ, ἐν ᾗ καὶ κατέμενε· βουλῆς δὲ ἀποκρύφου μόνον εἰς ἐμὲ οὔσης παρὰ τοῦ αὐθεντός μου καὶ δεσπότου, ὅτι νὰ ἀπέλθωμεν κατὰ τῆς Πάτρας, καὶ εἰ μὲν ἐπάρωμεν αὐτὴν, ἰδοὺ νὰ εὑρισκώμεθα εἰς τὸν Μορέαν, καὶ ὁ τόπος αὐτοῦ ὁ τῆς μαύρης δηλονότι θαλάσσης δοθῇ πρὸς τὸν ἀδελφὸν αὐτοῦ τὸν βασιλέα· εἰ δὲ οὐδὲν ἐπάρωμεν τὴν Πάτραν, νὰ ὑπάγωμεν ὄπισθεν εἰς τὴν πόλιν, καὶ νὰ ἔχῃ ἐνταῦθα εἰς τὸν Μορέαν τὰ τῆς προικὸς αὐτοῦ κάστρα, καὶ ἐκεῖσε τὸν τόπον του, τὴν μαύρην δηλονότι θάλασσαν· τὰ δὲ δοθέντα παρὰ τοῦ δεσπότου κάστρα πάλιν νὰ δοθῶσιν, ἔνθα ὁ βασιλεὺς διακρίνει, παρηκολούθησε καὶ τοῦτο, ὅπερ ἦτον

ἀπὸ μέρους βεβαίωσις τῆς ἀποκρύφου μελέτης. Ἀπὸ τῆς Βοστίτζης διερχόμενοι διὰ τῆς ὁδοῦ τῆς Πάτρας, ἵνα εἰς τὴν Γλαρέντζαν καὶ τὸ Χλομούτζιν ἀπέλθωμεν, ἔνθα καὶ ἡ βασίλισσα, ἐστάλη Ἀνδρόνικος Λάσκαρις ὁ Παδιάτης εἰς τοὺς ἐν τῇ Πάτρᾳ ἄρχοντας διά τινας δουλείας· κἀκεῖσε προςμείναντος συνέτυχον αὐτῷ ἰδίως καὶ ἱερεῖς καὶ λαϊκοὶ περὶ τοῦ, ἂν θέλει ὁ αὐθέντης αὐτοῦ, ἔχουσι τρόπον ὅτι νὰ ποιήσουν νὰ ἐπάρῃ τὴν Πάτραν. Ἐλθόντος δὲ τοῦ Λάσκαρι καὶ εἰπόντος μετὰ τῶν ἄλλων καὶ τὰ τῶν Πατρηνῶν ἀπόκρυφα, ἀπεπέμφθη ὡς ἀδύνατα καὶ περισσὰ καὶ ἀκούσαντος καὶ λέγοντος· σταλεὶς οὖν εἰς κεφαλὴν εἰς τὴν Ἀνδροῦσαν ὁ αὐτὸς Λάσκαρις, ἔτι δὲ καὶ οἱ ἄλλα ἄρχοντες εἰς τὰ ἐκεῖσε κάστρα Κεφαλάδες,—ἀλλὰ δὴ καὶ ὁ πρῶτος τῶν ἀρχόντων τοῦ ὀσπητίου αὐτοῦ ὁ Λάσκαρις Ἀλέξιος εἶχε λάβην εἰς κεφαλατικὸν τὴν Βοστίτζαν καὶ ἐναπέμεινεν ἐκεῖσε — διερχόμενοι, ὡς δεδήλωκα, τοῦ δεσπότου καὶ αὐθεντός μου μετ' ἐμοῦ καὶ μόνου ἐνεργοῦντος τὸ περὶ τῆς Πάτρας, εὑρισκόμεθα εἰς τὴν Γλαρέντζαν· ἐγράψαμεν πολλάκις, πάλιν ἔκρινον τὰ παρ' ἡμῶν ἀδύνατα, ὡς καὶ ὁ καιρὸς ἔδειξε. Τέλος ἐστήσαμεν ἵνα ἀπέλθωμεν καὶ νυκτὸς οὔσης εὑρεθῶμεν εἰς τόπον πλησίον τοῦ τέλους τῶν ἀμπελίων αὐτῶν δὴ τῶν Πατρηνῶν εἰς τρεῖς ἐκκλησίας ὀνομαζόμενον, ἐπεὶ καὶ ἦσαν παλαιόθεν, ἐκεῖσε δὲ εὑρεθῶσι καὶ οἱ ἄνθρωποι καὶ δηλώσωσιν εἰς πλάτος τὰ διὰ γραφῆς, καὶ, εἰ μὲν δυνατά εἰσι, νὰ ἐνεργηθῶσιν, εἰ δ' οὖν, νὰ ἀπέλθωμεν, φανερῶς νὰ ἀποκλείσωμεν τὸ κάστρον καὶ ὡς φέρει τὸ φέρον· καὶ ἰδοὺ ἐγράψαμεν ὁρισμοὺς εἰς πάντας τοὺς ἐν τῇ περιοχῇ τῆς Ἀνδρούσης, ὅτι τῇ ιε' τοῦ Μαρτίου μηνὸς τοῦ αὐ-

τοῦ ἔτους ἵνα ἔλθωσι μετ' ἁρμάτων καὶ τῶν πλειόνων ἀνθρώπων τῆς ἀρχῆς ἑνὸς ἑκάστου αὐτῶν, ἵνα μετὰ τοῦ πρέποντος διέλθῃ τὸν τόπον τοῦ πριγκίπου καὶ ἀπέλθῃ εἰς τὰ περὶ τὴν Ἀνδροῦσαν ὁ νέος αὐθέντης τοῦ τόπου ἐκείνου· ὁμοίως ἐμηνύθη καὶ Λάσκαρις Ἀλέξιος ἀπὸ τὴν Βοστίτζαν· ἐλθόντος δὲ ὡς ἐκαβαλικεύσαμεν καὶ οὐδὲν ἐπιάσαμεν τὴν περὶ τὸν Ἀλφιὸν ὁδὸν, ἀλλὰ τὴν ἀριστερὰν, ἐθαύμαζον καὶ πρὸς ἀλλήλους ἔλεγον ἐρωτῶντες, ποῦ ἀπερχόμεθα; Ἐλθόντες δὲ περὶ τὸν συμφωνηθέντα τόπον περὶ ὥραν ἀλεκτοροφωνίας καὶ εὑρόντες καὶ τοὺς ἀνθρώπους, καὶ ἰδόντες αὐτοὺς καὶ ἀπράκτους καὶ ἄπρακτα λέγοντας ἀπεπέμψαμεν· ἐξημερωθέντες δ' ἐκεῖσε βουλευόμενοι τί ἄρα νὰ πραχθῇ, τὸ φωσάτον να πηλαλήσῃ νὰ αἰχμαλωτήσῃ τοὺς εὑρισκομένους ἔξωθεν ἀνθρώπους καὶ πᾶσαν τὴν τῶν Ἑβραίων οἴκησιν, ὡς ἐφάνη ἄπρακτον διὰ πολλὰ αἴτια, ἰδοὺ καὶ ἀπὸ τὸ κάστρον ἰδόντες ἡμᾶς καὶ ἀπορήσαντες τί ἄρα καὶ ἔνι,-οὐδὲ γὰρ προενόησαν τὸ τυχὸν-ἀπέστειλαν ἕνα τῶν ἀρχόντων, καὶ ἕνα κανονικὸν Μάρκον ὀνομαζόμενον μετὰ καὶ δραγουμάνου καὶ ἀνθρώπων, ἵνα μάθωσι τίς ἔνι καὶ διὰ τί; ὡς δὲ εἶδον τίς ἔνι καὶ ἤκουσαν ὅτι ἤλθομεν ἢ νὰ μᾶς δώσητε τὸ κάστρον, ἢ νὰ τὸ ἐπάρωμεν μεθ' οἵου τρόπου ἐμπορέσωμεν, ἐπιστρέψαντες καὶ μετὰ σπουδῆς καὶ κρούσαντες λάρμα συνήχθησαν βίᾳ πάντες οἱ ἐκτὸς ἐντός· ἡμεῖς δ' ἐπὶ τὴν αὔριον, ἢ τῶν βαΐων καὶ ἡ ἑορτὴ τυχοῦσα, τεμόντες πάντες βαΐα μυρσίνης, τοῦ τόπου πλῆθος ἔχοντος, καὶ φέροντες ἀνὰ χεῖρας, ἐλθόντες ἐπέσαμεν περὶ τὰς πόρτας τοῦ κάστρου· ὡς δ' ἐκείμεθα τῇ κς' τοῦ αὐτοῦ μηνὸς Μαρτίου μετὰ τὴν τοῦ μεγάλου σαββάτου ἀκολουθίαν, ὡς ἐφάγομεν, ἐκαθήμεθα εἰς

τὴν τοῦ αὐθεντὸς ἡμῶν τένδαν, ὁμιλοῦντες περισσά· ἄφνω δὲ ἐξεκρότησαν ἀπὸ τῆς πόρτας τῆς ἑβραϊκῆς ἢ τοῦ ζευγαλατίου, – καὶ οὕτως γὰρ ὠνομάζετο –, καβαλλάριοι ὀλίγοι, καὶ διωχθέντες ὡς ἐφάνησαν, ἀπῆλθον καὶ ἐσέβησαν εἰς τὴν τοῦ αἰγιαλοῦ πόρταν, ἐκεῖσε κατασκευαστικῶς πάντες οἱ τοῦ κάστρου ὑπάρχοντες μετὰ τζαγγρῶν καὶ τοξαρίων καὶ σκλόπων· τοῦ δὲ δεσπότου κάμοῦ (προβαδιζόντων πρὸ τοῦ διωγμοῦ διὰ τὸ) εὑρεθῆναι κατὰ τύχην τὰ ἄλογα ἡμῶν ἕτοιμα πλησίον τοῦ γεφυρίου τῆς ὁδοῦ τῆς ἀπερχομένης εἰς τὸν ἅγιον Ἀνδρέαν, τὶς τῶν Πατρηνῶν ἐτόξευσεν οὕτως τὸ τοῦ δεσπότου ἄλογον, ὅτι εὐθὺς ἔπεσε· καὶ δραμόντες ἵνα ἢ σκοτώσωσιν ἢ πιάσωσιν αὐτὸν, εὑρέθην ἐγὼ ὑπέρμαχος, καὶ ἐκεῖνος μὲν Θεοῦ βοηθείᾳ ἀποπλακεὶς ἀπὸ τὸ ἄλογον ἔφυγε πεζὸς, ἐγὼ δὲ καὶ δέδωκα, καὶ ἕνα καὶ ἐπίασα υἱὸν Σταματέλλη, ἀλλὰ καὶ δεδώκασί με καὶ ἐμὲ, καὶ τὸ ἄλογόν μου τοσαῦτα ὅτι ὅτι ἀδυνατῆσαν ἔπεσε καὶ ἐπλάκωσέ με, ἄλογον ἄριστον, ὅπερ ὁ Ἀμηρᾶς δέδωκε τῷ Ἀσάνῃ Ἰσαακίῳ, ὅταν ἐσυνήντησεν ἐκείνῳ· ὁ δ' Ἀσάνης τῷ γαμβρῷ αὐτοῦ τῷ Φιλανθρωπινῷ Γεωργίῳ, κἀκεῖνος τῷ ἀνεψιῷ αὐτοῦ τῷ Κομνηνῷ, τῷ τοῦ πρωτοστράτορος Κανταχουζηνοῦ γαμβρῷ, καὶ φεύγοντος μετ' αὐτοῦ ἵνα εἰς τὸν Γαλατᾶν ἀπέλθῃ, φθάσας ὁ ἀδελφός μου ἐπίασεν αὐτὸν, καὶ εὐεργετήθη ὁ ἀδελφός μου τὸ ἄλογον αὐτοῦ παρὰ τοῦ βασιλέως· ἐγὼ δὲ πάλιν ἀπῆρα τοῦτο παρ' ἐκείνου, ἐρχόμενος εἰς τὸν Μορέαν· πιάσαντές με σὺν μετὰ πολλῶν λαβωμάτων, ἀπαγαγόντες με, ἔβαλόν με εἰς τὸν Κουλᾶν εἰς ὀσπήτιον σκοτεινὸν, ἔχον μύρμηκας καὶ σιταροφήρας καὶ ποντικοὺς, διὰ τὸ εἶναι ἐν αὐτῷ πρὸ τοῦ σιτάριον, ἔβα-

λέν με καὶ σιδηρᾶ μονοκάνονα καὶ εἰς τὸν ἀριστερὸν πόδα ἄλυσιν στερεὰν εἰς τζόκον μέγαν καρφωμένην· καὶ ἐκοιτόμην ἐν τῇ τοιαύτῃ φυλακῇ πικρῶς διαβιβάζων ἀπό τε τῶν λαβωμάτων καὶ τῶν σιδηρῶν καὶ τοῦ ξηροῦ κατασμοῦ καὶ τῶν ἄλλων ὁποῦ εἶχεν, ὡς ἐδηλώσαμεν, τὸ ὁσπήτιον κακῶν.

Ἐνταῦθα δ' ἔστι προσῆκον διηγήσασθαι καὶ περὶ τῆς ὁσιωτάτης Θωμαΐδος· αὕτη γένους χρησίμου ὑπάρχουσα ἐν τῇ ἀνατολῇ, ἀπορφανισθεῖσα, φέροντες εἰς τὴν Κωνσταντινούπολιν οἱ συγγενεῖς αὐτῆς, δεδώκασι τῇ ἀδελφῇ τῶν τριῶν ἀρχιερέων καὶ ἀδελφῶν, τῶν καὶ βασιλέων, καὶ μητρὶ τοῦ σοφωτάτου Καβασίλα Νικολάου· ἡ δὲ ταύτην ἔχουσα καὶ παιδεύουσα μετὰ καιρόν τινα ἀπῆλθεν εἰς τὴν Θεσσαλονίκην, Νικολάου τοῦ Καβασίλα καὶ ἀδελφοῦ αὐτῆς ἀρχιερέως ἐκεῖσε ὄντος, καὶ εἰς τὴν μονὴν τῆς ἁγίας Θεοδώρας ᾤκησαν μετὰ Παλαιολογίνας γυναικὸς ἐναρέτου καὶ λογίου, περὶ ἧς πολλοὺς καὶ πολλάκις ἤκουσα παρὰ τοῦ ἀοιδίμου βασιλέως κυροῦ Μανουὴλ ἐπαίνους, καὶ πολλοὺς κανόνας εἴς τε τὸν ἅγιον Δημήτριον καὶ τὴν ἁγίαν Θεοδώραν καὶ ἄλλους ἁγίους ἀνέγνωσα ἐκείνης ποιήματα, ἔχουσαι σὺν αὐταῖς καὶ τὴν ὁσίαν Θωμαΐδαν, καὶ παιδεύουσαι εἴς τε ἀρετὴν καὶ λόγον· ὡς δὲ ἦλθε τὸ τέλος αὐτῶν κατέλιπον αὐτὴν πάντα τὰ αὐτῶν, ἀλλὰ δὴ καὶ τὴν τοῦ Κυπριανοῦ γυνήν, ἥτις ἀγανακτήσασα τὸ σκληρὸν τοῦ ἀνδρὸς αὐτῆς ἀπελθοῦσα εἰς τὰς ῥηθείσας μοναχὰς καλογραία γέγονεν· ἐπεὶ δὲ περὶ τὸ τέλος αὐτῶν ἐγένετο, πάλιν εἰς τὴν κληρονόμον ἐκείνων καὶ τοῦ βίου, ὅπως δή ποτε καὶ τῆς ἀρετῆς, ὑπετάγη· καὶ καλῶς διήνυσε τὸν τῆς ὑποταγῆς δρόμον μέχρι θανάτου. Κυπριανοῦ δὲ γυνὴν λέ-

γω τοῦ ἐλθόντος εἰς τὴν Κωνσταντινούπολιν καὶ τὴν μονὴν κτίσαντος τὴν εἰς ὄνομα τῶν ἁγίων Θεοδώρων, ἐπονομαζομένην δὲ τοῦ Κυπριανοῦ. τῶν δὲ ἀσεβῶν τὴν Θεσσαλονίκην παραλαβόντων, ἐξελθοῦσα ἡ ὁσία Θωμαῒς μετὰ καὶ τῆς ὑποτακτικῆς αὐτῆς τῆς Κυπριανῆς ἦλθεν εἰς τὴν Λῆμνον, ἵνα ἀπ' ἐκεῖσε πάλιν (ἀπέλθῃ) εἰς τὴν Κωνσταντινούπολιν· ἐν ᾗ Λήμνῳ ὁ πάππος μου εὑρισκόμενος μετὰ τῆς γυναικὸς αὐτοῦ καὶ τῶν παίδων, ἰδοῦσα αὐτὴν καὶ τὴν αὐτῆς ἀρετὴν καὶ τὸν λόγον ἡ πρώτη τῶν τριῶν θυγατέρων αὐτοῦ, τῆς κυρίως πρώτης θυγατρὸς αὐτοῦ εἰς τὴν Θεσσαλονίκην ἀπομεινάσης μετὰ καὶ τοῦ ἀνδρὸς αὐτῆς καὶ τῶν παίδων, καταλείψασα γονεῖς καὶ ἀδελφὰς καὶ ἀδελφοὺς, καὶ τὸν ὃν ἐμνηστεύσατο εἰς ἄνδρα, ἀπελθοῦσα γέγονε καλογραία καὶ ἐν ὑποταγῇ αὐτῆς δὴ τῆς ὁσίας· ἐκεῖθεν δὲ ἐξελθοῦσαι καὶ ἐλθοῦσαι αἱ τρεῖς καὶ μόνον ἐν Κωνσταντινουπόλει κατήντησαν ἀρχὴν ἐν τῇ μονῇ τῇ ἐπονομαζομένῃ τῆς Κλεραίνας· διαδοθεῖσα δὲ ἡ ἀρετὴ αὐτῆς δὴ τῆς ὁσίας καὶ ἡ εἰς τὴν θείαν γραφὴν ἐμπειρία εἴς τε τὸν βασιλέα καὶ τὸν πατριάρχην καὶ πάντας τοὺς τῆς πόλεως, ὁ μὲν βασιλεὺς ἐγύρευσεν ἵνα καὶ λάβῃ μοναστήριον, οἷον ἂν ἔνι τὸ μεγαλώτερον καὶ πολυεισοδώτερον, ὁ δὲ πατριάρχης τὸ δοῦναι αὐτὸν ἔνταλμα πνευματικῆς ἐξουσίας εἰς τὰς βουλομένας τῆς πόλεως γυναῖκας· οἱ δὲ τῆς πόλεως ὅτι καὶ νὰ προσέρχονται καὶ νὰ βλέπουν καὶ νὰ θεραπεύουν εἰς τὰ πρὸς χρείαν αὐτῶν-οὐδὲ γὰρ ἦν ἐν ἐκείναις οὔτε ἀργύριον, οὐκ ἄλλο τι, εἰ μὴ τὸ ἐργόχειρον καὶ ἡ τοῦ θεοῦ διὰ τῶν ἀρχόντων προμήθεια· λαβοῦσαι δὲ μικρόν τι κάθισμα συνέδραμον εἰς ὑποταγὴν τοσαῦται, ὅσαι οὐκ ἂν ἐχώρησαν εἴς τε τὴν τοῦ Λιβὸς μο-

νὴν καὶ τῆς κυρᾶς Μάρθας, ἡ δὲ οὐ πλείους ἢ δύο καὶ δέκα προσελάβετο· καὶ ἦσαν τοιαῦται εἴς τε ἀκτημοσύνην καὶ ὑπακοὴν καὶ σωφροσύνην, καὶ πᾶν ὅτι εἰς Θεὸν εὐαπόδεκτον, ὅτι κατέλειπον οἱ τῆς πόλεως λέγειν, ἡ ἁγία, ἀλλ' αἱ ἅγιαι, καὶ αὐτὸ δὴ τὸ ὄνομα εἶχον εἰς αὐτὰς ἁγίας· καὶ τὸ μὲν τῶν καλογραιῶν, τὸ κοινὸν τῆς τροφῆς καὶ φορεμάτων καὶ τὸ μὴ ἔχειν τι ἴδιον, καὶ τὸ μὴ ποιῆσαι τὸ μικρότερον ἢ πρὸς κοινὴν ἢ πρὸς ἰδίαν χρείαν, εἰ μὴ μετὰ συγχωρήσεως, καὶ τὸ ἀνυπόδητον καὶ ὀλιγότροφον καὶ τὸ χαμαὶ κεῖσθαι καὶ ἐν εὐτελεῖ, καὶ τἄλλα ὅσα τῆς ἀρετῆς εἰσὶν ἐκμαρτύρια, τῶν περισσῶν ἐστὶ διηγεῖσθαι· ὁμοίως δὲ πάλιν καὶ τῆς αὐτῶν ὁσίας καὶ πνευματικῆς μητρὸς, τῆς εἰς ἐκείνην συνδρομῆς καὶ θεωρίας βασίλεως καὶ δεσποινῶν καὶ ἀρχόντων καὶ ἀρχοντισσῶν, αἱ μὲν δι' ἐξομολόγησιν, αἱ δὲ δι' εὐχὴν καὶ θεωρίαν, τίς ἂν ἀκριβῶς καὶ ταῦτα καὶ τὴν ἐκείνης ἀρετὴν δυνηθείη ἀκριβῶς διηγήσασθαι; ἓν δὲ καὶ μόνον διηγησάμενοι δείξομεν πάντα ἀληθῆ· τῷ ῥηθέντι μεγάλῳ σαββάτῳ ᾧπερ μοι συμβέβηκεν ἅπερ διηγησάμην, καθημένης μετὰ τὴν τελετὴν τῆς λειτουργίας ἐν τῇ ἐκκλησίᾳ, καὶ σὺν αὐτῇ πᾶσαι αἱ καλογραῖαι αὐτῆς καὶ προσμένουσαι ἵνα μικρόν τι καὶ ἀπογεύσωνται δια τὴν τοῦ ἀντιδώρου μετάληψιν, εἶτα εἰς τὰς πράξεις τῶν ἀποστόλων τεθῆναι (τὴν) ἀνάγνωσιν, λέγει ἡ ὁσία, καλογραῖαι, ἐγείρεσθε· αἱ δὲ, τί ἐστί σοι χρεία; κυρία ἡμῶν ἁγία! ἡ δὲ, τῷ κυρίῳ Γεωργίῳ προσῆλθε πειρασμὸς, καὶ ἵνα δεηθῶμεν τῆς Θεοτόκου ὑπὲρ ἐκείνου· τὸ δὲ ἀκούσασαι πᾶσαι, ἐξαιρέτως δὲ αἱ τῆς μητρός μου ἀδελφαὶ-καὶ γὰρ ἑτέρα ἀδελφὴ καὶ ὑστέρα γέγονε κἀκείνη καλογραῖα καὶ ὑποτακτικὴ αὐτῆς καλή-, προ-

σέδραμον μετὰ δακρύων, τί ἐστι τοῦτο; κυρία ἡμῶν ἁγία! ἡ δὲ πρὸς αὐτάς, μὴ θροεῖσθε! ὁ Θεὸς ὁ συγχωρήσας τὸν πειρασμὸν θέλει χορηγήσειν καὶ τὴν βοήθειαν καὶ διάλυσιν αὐτοῦ δὴ τοῦ πειρασμοῦ· καὶ σταθεῖσαι ἔψαλλον τὴν εἰς τὴν Θεοτόκον παράκλησιν μετὰ δακρύων· τούτου τί κρεῖττον ἐκμαρτύριον τῆς εἰς Θεὸν ἐκείνης ἀρετῆς καὶ οἰκειώσεως; ζήσασα οὖν οὕτω καλῶς καὶ πολλὰ ἐκμαρτύρια τῆς ἀρετῆς αὐτῆς ἐνδείξας ὁ Θεός, τέλος καὶ ὁ θάνατος αὐτῆς τίμιος ἐναντίον κυρίου καὶ τῶν ἀνθρώπων προέβη· ἡμέρας γάρ τινας ἀσθενήσασα μικρόν, καὶ πάσας κοινῶς νουθετήσασα, καὶ καταλείψασα εἰς τὴν ὑποταγὴν τῆς μητρός μου τῆς ἀδελφῆς, ἣ καὶ πρώτη εἰς ἀρετὴν καὶ ὑποταγὴν αὐτῆς ἦν, καὶ πάντα τὰ τοῦ κελλίου αὐτῶν ἐκείνης διοικούσης, εἶτα ὡς ἔνθους γενομένη ἐκάθητο, τοὺς μὲν ὀφθαλμοὺς ἔχουσα κεκλεισμένους, τὸ δὲ στόμα ἀεὶ κινοῦσα πρὸς ὕμνους καὶ εὐχαριστίας πρὸς Θεόν, μηκέτι προσλαμβάνουσα τροφίμου ἢ ποτίμου, μήτε ὁμιλοῦσα τὸ τυχὸν ἄνευ τοῦ καθ' ἡμέραν, ἐρχομένου τοῦ ἱερέως εἰς τὸ μεταλαβεῖν αὐτὴν τῶν θείων μυστηρίων, τότε καὶ τὰς χεῖρας καὶ τοὺς ὀφθαλμοὺς εἰς τὸν οὐρανὸν αἴρουσα καὶ συγχώρησιν αἰτοῦσα μετελάμβανεν· ἀλλὰ καὶ τοῦ βασιλέως κυρίου Ἰωάννου καὶ τῶν δεσποινῶν καὶ ἄλλοτε πολλάκις εἰς ἐκείνην ἀπελθόντων, ἀλλ' αὐτῇ καὶ τότε διὰ τελευταίαν εὐχὴν καὶ ἀρχόντων καὶ ἀρχοντισσῶν, καὶ ἐγκρίτων ἱερομονάχων καὶ μοναχῶν, ἀνένευε καὶ συγχώρησιν καὶ εὐχὴν ἐχορήγει καὶ οὕτως διαρκέσασα ἡμέρας ζ' πρὸς κύριον ἐξεδήμησεν· καὶ ἐτάφη φιλοτίμως συνδραμόντων σχεδὸν πάντων (τῶν) ἱερέων ἱερομονάχων (κλητῶν καὶ) ἀκλή-

των καὶ ἀρχόντων καὶ ἀρχοντισσῶν· καὶ ταῦτα μὲν οὕτως καὶ ἀληθῶς.

Ἐμοῦ δὲ κειμένου ἐν φυλακῇ ἡμέρας μ΄, ὡς ἦλθεν ἡ μνήμη τοῦ ἐλευθερωτοῦ τῶν αἰχμαλώτων, τοῦ μεγαλομάρτυρος δηλονότι Γεωργίου, ἐδεήθην αὐτοῦ, ὡς κἀγὼ Γεώργιος, καὶ παιδιόθεν δοῦλος αὐτοῦ, (ἵνα λυτρώσῃ με τῶν δεσμῶν)· καὶ ἀφυπνισθεὶς ἔδοξέ μοι ὅτι εὑρέθην εἰς τὸν περικαλλῆ ναὸν τὸν εἰς τὸ ὄνομα αὐτοῦ τῶν Μαγγάνων ἐπονομαζόμενον, εἰς τὴν φιάλην ἱστάμενος καὶ φορῶν καὶ τὰ σιδηρᾶ· διερχομένου δὲ τοῦ βασιλέως τάχα ἵνα εἰς τὴν ἀκολουθίαν τῆς ἐκκλησίας ἀπέλθῃ, ἐδεήθην αὐτοῦ, ἵνα με ἐλευθερώσουν ἀπὸ τὰ σιδηρᾶ· καὶ ὁ μὲν βασιλεὺς διέβη ἐντὸς τῆς ἐκκλησίας, ἄρχων δέ τις νέος ἐπιστρέψας πρὸς ἐμὲ λέγει μοι· ὥρισεν ὁ αὐθέντης ἡμῶν ὁ βασιλεὺς, ἵνα σε ἐκβάλουν ἀπὸ τὰ σιδηρᾶ· ἐζήτησέν το γὰρ καὶ ἡ κυρία ἡμῶν δέσποινα. Καὶ περὶ τὴν αὐγὴν αὐτὴν τῆς νυκτὸς ἐν ὥρᾳ ἀσυνήθει, ἰδοὺ οἱ τοῦ κουλᾶ ἄρχοντες, καὶ ἕτεροι μετὰ σιδηρικῶν, καὶ ἐκβάλλουσί με ἅπαντα τὰ σιδηρᾶ· καὶ ἐξαιτιῶνται καὶ λέγουσιν, οὐχ ὅτι ἐχθρωδῶς ἔχουσι, καλῶς οὐδέν με τρέφουσιν, ἀλλ᾽ ὅτι οὐκ ἔχουσι· καὶ μετὰ δύο ἡμέρας ἐλθόντες πάλιν ζητοῦσί με, καὶ δέομαι τοῦ αὐθεντός μου διὰ γραφῆς, ὅτι νὰ ἐνδώσῃ νὰ ἐξέλθουν ἄρχοντες νὰ συντύχουν πρὸς συμβίβασιν, ὅπερ καὶ γέγονε· καὶ συμβιβασθέντες δεδώκασιν αὐτῷ τὸ Σαραβάλε, οὕτως ὅτι νὰ σηκωθῇ εἰς τὸ ὀσπήτιον αὐτοῦ τὴν Γλαρέντζαν· καὶ μέχρις ὅλου Μαΐου εἰ μὲν ἔλθῃ ὁ μητροπολίτης καὶ αὐθέντης αὐτῶν, ποιήσῃ ἐκεῖνος ὡς θέλει, εἰ δ᾽ οὖν, νὰ δώσωσιν αὐτῷ τὸ κάστρον· καὶ γεγονότων ὅρκων καὶ παραλαβόντος καὶ τὸ Σαραβάλε τῇ ε΄

Μαΐου ἐκαβαλίκευσεν καὶ ἀπῆλθε μέχρι τῆς Σκλαβίτζας καὶ τοῦ Ῥιόλου τὰ ὅρια· δι' ἐμὲ δὲ ἐπαφῆκεν Ἰωάννην τὸν Ῥωσατᾶν ἵνα με ἐπάρῃ· σωζομένου γὰρ τοῦ ἐλευρωθῆναί με ἕξουσι τὸ βέβαιον τὰ πραχθέντα· καὶ ἐλευθερωθεὶς ἡμιθνὴς δὴ μόλις ἀπέσωσα, ἔνθα καὶ ὁ αὐθέντης μου, ὃς ἰδών με μετὰ χαρᾶς ὅτι πολλῆς καὶ λύπης, τὸ μὲν ὅτι ἤμην οὕτως ἡμιθνὴς, τὸ δὲ ὅτι ἠλευθερώθην, καὶ ὁρίσας πολλοὺς λόγους πρὸς ἔπαινον καὶ παραμυθίαν μου, ὡς ἀπῆλθον εἰς τὴν κατούναν μου, ἔφερόν με εὐεργεσίαν αὐτοῦ, ταμπάριον διπλοῦν χαμουχᾶν πράσινον ἀπὸ τὴν Λούκαν ἀξιόλογον, μετὰ καὶ πρασίνης τζόχας καὶ καλῆς ἐνδεδυμένον, σκούφιαν Θεσσαλονικαίαν μετὰ χρυσοκοκκίνου χασδίου ἐνδεδυμένην, καβάδιον χρεμεζῆν χαμουχᾶν μετὰ βαρέου καταράχου ἐνδεδυμένον, κουρτζουβράκιν χαμουχᾶν χρυσὸν πράσινον, καὶ φωτὰν πράσινον καὶ σπαθὶν ἐγκεκοσμημένον. Ἐπὶ τὴν αὔριον οὖν ἀπελθόντες εἰς τὴν Γλαρέντζαν ἰδοὺ καὶ ἄρχων τοῦ Ἀμηρᾶ μετά τινας ὀλίγας ἡμέρας λέγων, ὅτι ἡ Πάτρα δίδει με χαράτζι καὶ διαβαίνει ἰδική μου· σηκώθητι οὖν ἀπ' αὐτῆς καὶ μηδὲν πολιόρκει αὐτήν· εἰ δ' οὖν, θέλομεν πέμψειν φωσάτον κατὰ σοῦ· ὁ δ' αὐθέντης μου πάλιν εἶπεν πρὸς αὐτὸν, ἡμεῖς ἠκούσαμεν ὅτι θέλει νὰ δώσουν αὐτὴν τοὺς Καταλάνους· οὐδὲν οὖν ἐφάνη πρέπον ἐχθροὺς καὶ τοῦ ἀδελφοῦ μου τοῦ μεγάλου Ἀμηρᾶ καὶ ἡμῶν νὰ τοὺς ἀφήσωμεν νὰ ἐπάρωσι τοιοῦτον κάστρον εἰς τὴν μέσην τοῦ τόπου μας· διὰ τοῦτο ἀπήλθομεν ἐκεῖ· καὶ ἐξετάσαντες τὸ πρᾶγμα ἐστήσαμεν νὰ μηδὲν γένηται· καὶ ἰδοὺ ὡς βλέπεις, ἐσηκώθημεν καὶ ἤλθομεν εἰς τὸ ὁσπήτιον ἡμῶν· εἰς ὀλίγας οὖν ἡμέρας ἔχω σκοπὸν νὰ στέλλω τοῦτον δὴ

τὸν ἄρχονταν εἰς τὸν ἀδελφόν μου τὸν μέγαν Ἀμηρᾶν (δεικνὺς ἐμὲ), καὶ θέλει δηλώσειν καὶ τοὺς πλείονας ἡμῶν λόγους· ὁ δὲ Τοῦρκος ἀκούσας τούτους τοὺς λόγους, ἔτι δὲ καὶ φιλοφρονηθεὶς καλῶς ἀπῆλθε χαίρων· ἐκείνου δὲ ἀπελθόντος, ὥρισεν ἐμὲ, ἰδοὺ προετοίμαζε τὰ πρὸς χρείαν τῆς ὁδοῦ, μὴ εἰδότος μου πρότερον τὸ τυχόν· ἐγὼ δ' ἀνέφερον αὐτῷ, ὅτι μόνον νὰ δώσῃ ὁ Θεὸς νὰ μηδὲν ἔλθῃ ὁ μητροπολίτης, καὶ νὰ δώσουν ἡμᾶς τὸ κάστρον, καὶ ἐγὼ νὰ ἀναῤῥωσθῶ τί ποτε πλέον· ἀμὴ πάντα θέλω τὰ ἔξειν ἕτοιμα εἰς ἐκπλήρωσιν τῆς ἀποδοχῆς σου. Τῆς δὲ προθεσμίας ἐλθούσης καὶ τοῦ μητροπολίτου οὐκ ἐλθόντος, τῇ α' τοῦ Ἰουνίου μηνὸς τοῦ αὐτοῦ ἔτους, καβαλικεύσαντες ἀπερχόμεθα εἰς τὴν Πάτραν. ἐν ταύταις οὖν ταῖς ἡμέραις καὶ ὁ αὐθεντόπουλος κὺρ Θωμᾶς τὸ τοῦ πριγκίπου Τζεντουρίου κάστρον τὴν Χαλαντρίτζαν τοῦ καὶ μετέπειτα γεγονότος πενθεροῦ αὐτοῦ ἐπολιόρκει· ὡς δὲ διήρχετο ὁ αὐθέντης μου καὶ οἱ ἀδελφοὶ αὐτοῦ τὴν ὁδὸν τὴν φέρουσαν εἰς τὴν Πάτραν, κατελθὼν καὶ οὗτος δὴ ὁ ἀδελφὸς αὐτοῦ, ἔμειναν ὁμοῦ εἰς τὴν Καμενίτζαν· ὡς δὲ ἔμαθε τοῦτο καὶ ὁ εἰς τὴν Χαλαντρίτζαν τοῦ πριγκίπου εὑρισκόμενος ἄρχων, ὁ Ἰωαννούτζις Παλότας, αἰτήσας ἀφιέρωσιν, ἵνα ἔλθῃ καὶ προσκυνήσῃ ἀμφοτέρους τοὺς αὐθέντας, ἦλθε, καὶ ἐξελθόντες εὐθὺς ἐκβαλὼν τὰς τοῦ κάστρου κλεῖς δέδωκε ταύτας τῷ αὐθέντῃ μου τῷ δεσπότῃ, εἰπών· τοῦτο ἔνι κάστρον ἰδίως τοῦ αὐθέντη μου καὶ συγγράμβρου τῆς βασιλείας σου· καὶ γὰρ ὁ τοῦ πριγκίπου υἱὸς προαπῆρεν εἰς νόμιμον γυναῖκα τὴν ἀδελφὴν τῆς βασιλίσσης κυρᾶς Θεοδώρας· καὶ ὥρισέ μοι, ἵνα παραδώσω τοῦτο αὐτῷ· ὁ δὲ ἀπεκρίθη αὐτῷ· οὕτως ἔχει, ὅτι συγ-

γενοῦς μου ἐστὶν ὁ τόπος, ἀλλ' οὐ γνησιωτέρου τοῦ ἀδελφοῦ μου· λοιπὸν προγενέστερον ἂν εἶχε ποιήσειν τοῦτο, καὶ ὁ ἀδελφός μου ὡς εἰς ἐμὸν οὐδὲν ἤθελεν ἐπιχειρήσειν τι καὶ ἐγὼ εἰρηνικῶς ἤθελα ἔχειν αὐτὸ καὶ ὁ αὐθέντης σου ἀλλοτρόπως· ἀμὴ νῦν (εἰ) αὐτὸ επάρω, ἀναγκαῖον νὰ διαφερώμεθα μετὰ τοῦ ἀδελφοῦ μου, καὶ οὐδὲν τυχένει διὰ πολύ τι, πολλῷ μᾶλλον διὰ τοσοῦτον· ἀλλ' ἄπελθε ἐν αὐτῷ καὶ ὡς δύνασαι ποίει· ὡς δὲ ταῦτα ἤκουσεν, ἐζήτησεν, ἵνα καλῶς ἐκβῇ εἰς τὸ κάστρον αὐτοῦ· ὡρίσθην δ' ἐγὼ καὶ ἀπῆρα αὐτὸν μετὰ στρατιωτῶν καὶ ἀπηρχόμην· καὶ περὶ τὸ κάστρον εὑρεθεὶς Ῥαοὺλ ὁ Θωμᾶς ἐνόμισεν εὔκολον εἶναι ἵνα ἐπάρῃ αὐτὸν ἀπ' ἐμοῦ καὶ εἰς κίνδυνον ἦλθε τοῦ γενέσθαι μέσον τῶν ἀδελφῶν μέγα τι μάχιμον καὶ λυπηρόν· ὅμως σὺν θεοῦ εὐδοκήσαντος, ἐκεῖνον μὲν καλῶς ἀπεκατέστησα εἰς τὸ κάστρον αὐτοῦ, καὶ ἐγὼ δὲ καλῶς ἐπιστρέψας εὗρον τὸν αὐθέντην μου ἐν τῷ τοῦ ἁγίου Ἀνδρέου τοῦ πρωτοκλήτου ναῷ καὶ τάφῳ ἀποσωθέντα τῇ δ' τοῦ Ἰαννουαρίου ἀργά· τῇ δὲ ε' πρωῒ τοῦ αὐτοῦ, ἡμέρᾳ τῆς ἑβδομάδος α', ἐξελθόντες οἱ τοῦ κάστρου ἔγκριτοι καὶ πᾶς ὁ λαὸς καὶ ἐλθόντες μέχρι καὶ τοῦ ῥηθέντος ναοῦ τοῦ ἁγίου, τῷ δεσπότῃ καὶ αὐθέντῃ μου προσεκύνησαν καὶ τὰς κλεῖς τοῦ κάστρου δεδώκασι καὶ καβαλικεύσαντες μετὰ πλείστης ὅτι χαρᾶς καὶ τοῦ ἑνὸς μέρους καὶ τοῦ ἄλλου ἐσέβημεν εἰς τὸ κάστρον καὶ μέχρι τῶν εἰς τὸν ναὸν τοῦ ἁγίου Νικολάου ὁσπητίων ἀπήλθομεν, τῆς μὲν ὁδοῦ πάσης κατεστρωμένης πάντων ἀνθέων καὶ εὐκοσμίας καὶ ἀπὸ τὰ ἐκ δεξιῶν καὶ ἀριστερῶν ὁσπήτια πάντων ῥεομένων διὰ ῥοδοσταμμάτων καὶ ῥόδων καὶ τριακονταφύλλων· ἀπὸ δ' ἄνωθεν τοῦ Κουλᾶ διὰ σκευῶν καὶ τζαγγρῶν καλῶς δεξιουμένων ἡμᾶς, εἰ καὶ οὐ-

δέν τι ἔβλαψαν· οἱ γὰρ τοῦ μητροπολίτου κρατήσαντες τὸν Κουλᾶν, ἔτι δὲ καὶ τὰ αὐθεντικὰ πλησίον αὐτοῦ ὁσπήτια καὶ σιταρχήσαντες καὶ ἀφιερώσαντες κατέσχον, ἐλπίζοντες ὅτι ἐλθόντος τοῦ μητροπολίτου, διὰ τούτου ἕξειν πάλιν ἅπερ καὶ πρότερον εἶχον· ὑμῶν δὲ ἐπὶ τὴν αὔριον συναχθέντων ἐν τῷ τοῦ ἁγίου Νικολάου ναῷ καὶ παντὸς τοῦ τῆς χώρας λαοῦ δεδώκασιν ὅρκον ὅτι νὰ ὦσι πιστοὶ δοῦλοι τοῦ αὐθεντὸς ἡμῶν τοῦ δεσπότου· καὶ ἐμὲ εἰς κεφαλὴν αὐτῶν ἐζήτησαν· ἤκουσαν δὲ, ὅτι καὶ δύο καὶ πλέον τούτων τὸν χρεωστοῦμεν, καὶ διὰ τὴν ὑμῶν αἴτησιν θέλω ἤθελεν αὐτὸς εἰς κεφαλὴν ὑμῶν. καὶ τῇ η' τοῦ Ἰουνίου μηνὸς περάσαντός μου εἰς τὸν Ναύπακτον, ἵνα εἰς τὸν βασιλέα πρῶτον ἀπέλθω, ἵνα κἀκεῖνος τὰ εἰς τὴν Πάτραν παρακολουθήσαντα μάθῃ· εἶτ' ἀπ' ἐκεῖσε μετὰ καὶ ἄρχοντος αὐτοῦ εἰς τὸν Ἀμηρᾶν· καὶ γὰρ κατὰ τὴν δ' τοῦ αὐτοῦ μηνὸς, ἐν ᾗ φθάσαντες ἐμείναμεν ἐν τῷ τοῦ ἁγίου Ἀνδρέου ναῷ, ἰδοὺ καὶ ἀπὸ τὸν Ναύπακτον ἐπέρασαν δύο Τοῦρκοι, ὁ μὲν τοῦ Ἀμηρᾶ, ὁ δὲ τοῦ Τουραχάνη, λέγοντες ὁρισμὸν ὅτι τὴν Πάτραν ἵνα μὴ ἐπάρωμεν αὐτήν· οἳ δὴ πάλιν ὑπέστρεψαν μετ' ἐμοῦ ἀπολογίαν λαβόντες, ὅτι, ἐπεὶ ὁ παρὼν ἄρχων ἐμοῦ ὑπάγει εἰς τὸν ἀδελφόν μου τὸν μέγαν Ἀμηρᾶν, ὡς ἂν ὁρίσῃ, θέλομεν ποιήσειν. ὡς οὖν περάσαντες ἐν τῷ Ναυπάκτῳ ἐμείναμεν, πρωῒ σκοτίας οὔσης, ἰδοὺ ἐκεῖσε καὶ ὁ παλαιῶν Πατρῶν μητροπολίτης, Παντοῦλφος Μαλατέστας, μετὰ κατέργου καταλανικοῦ ἦλθεν· διερχόμενος γὰρ ὡς ἔμαθε περὶ τὰ νησύδρια τὰ μέσον τῆς ὁδοῦ, ὅτι ἐδόθη τὸ κάστρον πρὸς τὸν δεσπότην, ἐπίασε τὴν λιβέραν τοῦ μέρους τοῦ Ναυπάκτου, ἵνα πρῶτον τοῦτο καλῶς μάθῃ ὡς ἐγένετο· ἐδέησεν σὺν ἐπι-

μεῖναι κἀμοὶ ἐκεῖσε καὶ τὴν αὔριον, ἵνα πρῶτον μηνύσω τοῦτο τῷ αὐθέντῃ μου, ὅπερ καὶ γέγονε· καὶ παρ' ἐμοῦ τοῦτο πρῶτον ἔμαθεν· καὶ δεύτερον ἵνα καὶ, τίς ὁ ἐπίσκοπος αὐτοῦ δὴ τοῦ μητροπολίτου, τὸ δυνατὸν μάθω· μέσον δὲ γενομένου καὶ τοῦ Μπερνάρδου Μαρτζέλλου ἐκείνου Καπετάνου Ναυπάκτου, εἴδομεν καὶ ἀλλήλους· ὃν ἰδὼν ἐθαύμασα ὅτι διέφερε πάντων ἀνθρώπων εἰς τὸ δυσειδὴς εἶναι· ἐξετάζων οὖν ἐκεῖνος τί βούλομαι ποιῆσαι εἰς τὸν Ἀμηρᾶν, κἀγὼ ἐκεῖνον, τί κατὰ τῆς Πάτρας, ἀπῆρα ἐγὼ παρ' ἐκείνου, τὸ δὴ λεγόμενον, κουκουζέλα, ἐκεινος δὲ παρ' ἐμοῦ βρύα· ὅμως δεδωκὼς ὁ μητροπολίτης τοῖς σκλάβοις χαρτία πρός τε τὸν Ἀμηρᾶν καὶ τὸν Τουραχάνην πολὺν λογισμὸν ἐνέβαλεν εἰς ἐμὲ, μή ποτε ὑπισχνεῖται δοῦναι καστέλλια τινὰ τῆς Πάτρας, εἴπερ αὐτὸν βοηθήσῃ, ἵνα ἐπάρῃ αὐτὴν, ἢ πολλά τινα χρήματα· καὶ οὐκ ἔπαυσεν ὁ ἐμὸς λογισμὸς ἕως οὗ πολλὰ κοπιάσας καὶ μεθύσας, — πολλάκις καὶ ἀκουσίως ἐμέθυσα —, κἀκείνους τοσοῦτον ὅτι ἀπῆρά τους τὰ χαρτία, καὶ ἀνέγνωσα καὶ μετέγραψα, κἀκεῖνα πάλιν ἐβούλωσα καὶ ἀφῆκα· ὡς δὲ ἔφθασα εἰς τὴν πόλιν, ἐδόθη μοι συναποκρισιάρης, Μάρκος Παλαιολόγος, ὁ Ἴαγρος, ὁ ὕστερον πρωτοστράτωρ, τότε δὲ πρωτοβεστιαρίτης, πλέον ἀνατεθεὶς εἶναι κατὰ τῆς δουλείας μου, ἢ ὑπὲρ αὐτῆς· οὐκ οἶδα δὲ ἄλλο τὶ αἴτιον, ἀλλ' ἢ τὸ φθόνος οὐκ οἶδε προτιμᾶν τὸ συμφέρον· ἀπελθόντες δ' ὁμοῦ εἰς τὸν Ἀμηρᾶν, ἀπήραμεν ἀπολογίαν, ἵνα δώσωμεν αὐτὴν οἷς εἶχον· ἀπελογησάμην οὖν τῷ τότε πρώτῳ βιζίρῃ καὶ ἄρχοντι, τῷ Μπραῒμ Πασίᾳ, ὅτι τοῦτο ἐγὼ τὸν αὐθέντην μου οὐδὲν τολμῶ ἵνα εἴπω, ἀλλ' ἐπεὶ ἐκεῖνος ὁπωσδήποτε ἄρχονταν αὐτοῦ ἀπέστειλε πρὸς τὸν

μέγαν αὐθέντην, ἰδοὺ ἂς ὁρίσῃ καὶ ὁ αὐθέντης σκλάβον τοῦ καὶ ἂς ἔλθῃ μετ' ἐμοῦ, καὶ ἂς εἴπῃ τοὺς ὁρισμοὺς τοῦ μεγάλου αὐθεντός· καὶ ἔστερξε τοῦτο καὶ εἶπε· φρόνιμα καὶ καλὰ λέγετε· τοῦ Ἰάγρου ἰδίως σκώπτοντος τοῦτο εἰς ἐμὲ ὡς ἄπρακτον καὶ μόνον ἐπιζήμιον· ἐγὼ Θεοῦ εὐδοκοῦντος, ἔπραξα τοῦτο καὶ ἀπῆρα Ἀρχοντόσκλαβον, καὶ ἦν τοῦτο πρῶτον αἴτιον τοῦ λαβεῖν τὴν διόρθωσιν τὸ περὶ τῆς Πάτρας.

υλ.

Καὶ τῷ λη' ἔτει ἐν μηνὶ Σεπτεβρίῳ, εἰς τοὺς κρατικοὺς, ἔπραξαν τὸ συνοικέσιον τοῦ αὐθεντοπούλου Θωμᾶ, οἱ αὐτάδελφοι αὐτοῦ οἱ δεσπόται, μετὰ τῆς θυγατρὸς τοῦ πρίγκιπος Ἀσάνη Ζαχαρία τοῦ Κεντηρίωνος· ᾧ δὴ μηνὶ κἀγὼ πάλιν ἐπανέστρεψα εἰς τὰ Τρίκαλα πρὸς τὸν Τουραχάνην καὶ τὴν περὶ τῆς Πάτρας δουλείαν τελείως διώρθωσα· καὶ τῷ αὐτῷ ἔτει ἐν μηνὶ Νοεμβρίῳ, ἡ βασίλισσα κυρὰ Θεοδώρα εἰς τὸ Στάμιρον εὑρισκομένη ἀπέθανε, καταλείψασα λύπην πολλὴν καὶ εἰς τὸν ἄνδρα αὐτῆς καὶ εἰς ἡμᾶς τοὺς οἰκείους αὐτοῦ διὰ τὸ εἶναι αὐτὴν καλλίστην· ἐτάφη δὲ μέχρι τινὸς εἰς μίαν τῶν ἐκκλησιῶν τῆς Γλαρέντζας· καὶ μετὰ ταῦτα ἀπῆγαν αὐτὴν εἰς τὴν ἐν τῷ Μυζηθρᾷ τοῦ Ζωοδότου μονήν. καὶ τῷ Ἰαννουαρίῳ μηνὶ τοῦ αὐτοῦ ἔτους εὐλογήθη καὶ ὁ αὐθεντόπουλος κὺρ Θωμᾶς εἰς τὸν Μυζηθρᾶν κυρὰν Αἰκατερῆναν τὴν θυγατέρα τοῦ ῥηθέντος πρίγκιπος· τῇ δὲ κς' Μαρτίου τοῦ αὐτοῦ ἔτους ἡμέρᾳ καὶ ὥρᾳ ὁποῦ μὲ ἐπίασαν οἱ Πατρηνοὶ ἀπερχομένου μου εἰς τὸ δεσποτάτον ὡς ἀποκρισιαρίου ζητήσει αὐτῶν ἕνεκα εἰρήνης μέσον τοῦ ἀνεψιοῦ δεσπότου τοῦ Καρόλλου καὶ γυναικαδέλφου τοῦ αὐθεντός μου, καὶ τῶν

φυσικῶν υἱῶν αὐτοῦ δὴ τοῦ Καρόλλου, Ἑρκοῦλα καὶ Μεμνώνου· ἐποίησαν γὰρ ἐνόρκους συμφωνίας, ὅτι, εἴ τι ἄρα καὶ διακρίνει ὁ ζητήσει ἡμῶν σταλεὶς ἄρχων τοῦ δεσπότου κὺρ Κωνσταντίνου εἰς τὰ μέσον ἡμῶν διαφερόμενα, στέρξομεν καὶ ἀμφότερα τὰ μέρη κατὰ τὰ πλησίον νησύδρια τῆς ἁγίας Μαύρας· ἀπῆρασί με οἱ Καταλάνοι μετὰ πολλῶν καὶ ἀνθρώπων καὶ σκευῶν πολυτίμων ὄντα με, καὶ κρατήσαντες μέχρι τινὸς καὶ ἀπαγαγόντες μέχρι καὶ τῆς Κεφαλωνίας ὡς δῆθεν περάσοντες εἰς τὰ περὶ τὴν Νέαν πόλιν, τέλος ἐγυρίσαμεν εἰς τὴν Γλαρέντζαν· καὶ ἐπούλησαν καὶ ἐμὲ καὶ τοὺς σὺν ἐμοί· ἐν ᾧ δὴ Μαρτίῳ μηνὶ, καὶ Ἀμηρᾶς ὁ Μουράτμπεϊς τὴν Θεσσαλονίκην ἀπῆρεν ἀπὸ τοὺς Βενετικοὺς πολέμῳ· ὁ δὲ δεσπότης καὶ αὐθέντης μου κὺρ Κωνσταντῖνος, τὸν Μάϊον τοῦ αὐτοῦ ἔτους, τὸν κουλᾶν τῆς Πάτρας ἀπῆρεν ἀπὸ λιμοῦ καὶ τῆς ἄλλης κακοπαθείας τῶν εὑρισκομένων ἐντὸς αὐτοῦ· καὶ τῇ ιζ΄ Ἰουλίου τοῦ αὐτοῦ ἔτους, ἀπῆραν οἱ Καταλάνοι τὴν Γλαρέντζαν, ἣν καὶ κρατήσαντες μέχρι τινὸς πάλιν ἐπούλησαν αὐτήν· καὶ τῷ Αὐγούστῳ μηνὶ τοῦ αὐτοῦ ἔτους ἐπαναστρέψαντες οἱ ἀπὸ τοῦ βασιλέως κὺρ Ἰωάννου πρὸς τὸν πάπαν Μαρτῖνον πρέσβεις, ὅ τε Μάρκος ὁ Ἴαγρος καὶ μέγας στρατοπεδάρχης, καὶ ὁ μέγας πρωτοσύγγελος καὶ ἡγούμενος τῆς σεβασμίας βασιλικῆς μονῆς τοῦ παντοκράτορος ἱερομόναχος καὶ πνευματικὸς, Μακάριος ὁ Μακρὸς ὀνομαζόμενος, ἀνὴρ ἄριστος κατά τε λόγον καὶ ἀρετὴν καὶ σύνεσιν, ἐποίησαν ὁρισμῷ τοῦ βασιλέως δεσπότην τὸν αὐθεντόπουλον κὺρ Θωμᾶν.

υλα.

Καὶ τῷ λθ΄ ἔτει μηνὶ Σεπτεβρίῳ εὐεργετήθην ἐγὼ τὸ

κεφαλατίκιον τῆς Πάτρας· καὶ τῷ αὐτῷ ἔτει ἐν μηνὶ Ὀκτωβρίῳ, ἀπῆρεν ὁ Μπελαρμπεῖς τῶν Τούρκων ὁ Συνάνις τὰ Ἰωάννινα καὶ τὴν αὐτῶν περιοχὴν, καὶ τῇ κς΄ Μαρτίου τοῦ αὐτοῦ ἔτους ἐν ἡμέρᾳ καὶ ὥρᾳ τῇ αὐτῇ, ἐν ᾗ καὶ τὰ προγεγονότα μοι συνέβησαν, ἐδεξάμην καὶ τὸ ἀπευκταῖον ἐμοὶ μήνυμα δι' ὁρισμοῦ τοῦ αὐθεντός μου ἀπὸ τὴν Βοστίτζαν, ὅτι τῇ τοῦ παρελθόντος Ἰαννουαρίου ζ΄ τέθνηκε λοιμώδει νόσῳ ὁ ἄριστος κἀμοῦ φίλος, ὁ Μακάριος καὶ ὢν καὶ καλούμενος ὁ Μακρὸς, ὁ παρ' ὀφθαλμῷ μὲν πατριαρχικῷ ὑπερηφάνῳ καὶ ἀπλήστῳ τῇ ἀγροικῇ καρδίᾳ αἱρετικὸς, παρὰ δὲ ὀφθαλμῷ παντοκρατορικῷ ἀκοιμήτῳ καὶ ἀληθείᾳ δικαζούσῃ ὀρθόδοξος, ὃς καὶ εἰς τὴν Κωνσταντινούπολιν ἐπανῆλθεν ἀπὸ τοῦ ἁγίου ὄρους, και τὴν μονὴν τοῦ παντοκράτορος ἔλαβε παρακινήσει καὶ συνεργείᾳ ἰδικῇ μου, ὡς οἱ πάντες ἠπίσταντο, καὶ συνάρσει μὲν πρῶτον τοῦ παντοκράτορος Θεοῦ, ἔπειτα δὲ σπουδῇ καὶ ἐπιμελείᾳ ἐμοῦ τε κἀκείνου, πᾶν εἴ τι καλὸν καὶ πρὸς σύστασιν καὶ εὐκοσμίαν εἰς τὴν αὐτὴν μονὴν προεχώρησε· καὶ τῷ τέλει τοῦ ἔαρος αὐτοῦ δὴ τοῦ ἔτους ἦλθεν ὁ Τουραχάνης, καὶ κατεχάλασε καὶ ἔτι τὸ Ἑξαμίλιον καὶ θανατικὸν ὅτι πολὺ εἰς τὴν Πάτραν ἐγένετο.

υλβ.

Καὶ τῇ λα΄ Ἰαννουαρίου τοῦ μ΄ ἔτους ὁρισθεὶς ἀπῆλθον ἀποκρισιάριος εἴς τε τὸν βασιλέα (καὶ) ἀφ' οὗ καὶ τὸ τοῦ πρωτοβεστιαρίου τότε ὀφφίκιον εὐεργετηθῶ, εἰς τὸν Ἀμηρᾶν· ἐν ᾧ ἔτει κατὰ τὸν Μάρτιον μῆνα καὶ ἡ ἐναλλαγὴ τῶν τόπων ἀμφοτέρων τῶν ἀδελφῶν καὶ δεσποτῶν κὺρ Κωνσταντίνου καὶ κυροῦ Θωμᾶ ἐγένετο καὶ ὁ μὲν ἀπῆρε τὰ

Καλάβρυτα καὶ πάντα τὰ ἐκεῖσε τοῦ κὺρ Θωμᾶ· ὁ δὲ πάλιν τὴν Γλαρέντζαν καὶ τὰ περὶ τὴν Ἀνδροῦσαν πάντα.

υλγ.

Καὶ τῷ μα ἔτει τέθνηκεν ἡ τοῦ Μαλατέστα μὲν θυγάτηρ, γυνὴ δὲ τοῦ δεσπότου κυρίου Θεοδώρου τοῦ πορφυρογεννήτου, κυρὰ Κλεώπη· καὶ ἐτάφη ἐν τῇ τοῦ Ζωοδότου μονῇ.

υλδ.

Καὶ τῷ μβ ἔτει Ἰαννουαρίου ζ' πάλιν ἀπῆλθεν ἀποκρισιάριος εἴς τε τὸν Ἀντώνιον καὶ αὐθέντην τῶν Ἀθηνῶν, καὶ εἰς τὸν Ἀμηρᾶν, καὶ εἰς τὸν βασιλέα· ἐν ᾧ δὴ Ἰαννουαρίῳ, τῇ κθ' αὐτοῦ, νυκτὸς ὥρᾳ γ', ἐπυρπόλησε τὸν ἐν Βλαχέρναις εἰς ὄνομα τῆς Θεομήτορος περικαλλῆ καὶ θεῖον ναὸν εἰς τὴν Κωνσταντινούπολιν· ὅπερ ἀκηκόαμεν ἐκεῖσε ἀπερχόμενοι εἰς τὸν ποταμὸν τὸν Μέστον ὀνομαζόμενον τῇ α' Φευρουαρίου, ὥρᾳ μετὰ τὸν ἑσπερινὸν τῆς δεσποτικῆς ἑορτῆς τῆς ὑπαπαντῆς· καὶ ἐλογισάμεθα αὐτὸ ψεῦδος, ἐπεὶ ὁ εἰρηκὼς οὐκ ἐγνώσθη, καὶ διελθόντες εἰς τὸ ἔμπροσθεν μονὰς ε' καὶ οὐδὲν περὶ τούτου ἀκούσαντες, τῇ εἰς τὸν Ῥεδεστὸν ς' μονῇ ἡμῶν ἐμάθομεν τοῦτο ἀκριβῶς, ὅπως καὶ ὁπότε ἐγένετο· ὅπερ παράδοξον.

υλε.

Καὶ εἰς τὰς ἀρχὰς τοῦ θέρους τοῦ μγ ἔτους ἀπέθανε καὶ ὁ τῶν Ἀθηνῶν καὶ Θηβῶν αὐθέντης κύριος Ἀντώνιος Ντελανζιόλης, καὶ ζητήσει τῆς ἐκείνου γυναικὸς ἐστάλην ἐγὼ μετὰ ἐνόρκου ἀργυροβούλλου καὶ πολλῶν στρατιωτῶν, ἵνα παραλάβω τὴν Ἀθήναν, καὶ ἄλλον εἰς τὸν Μορέαν αὐτῇ δώσω τόπον ὁπόσον καὶ ὁποῖον φαίνηταί μοι· προλαβόντος δὲ τοῦ Τουραχάνη καὶ τὴν Θήβαν ἀποκλείσαντος, ἣν καὶ

σπῆρε μετά τινας ἡμέρας, ἄπρακτος ἐγύρισα ἀπὸ τὸ Ἑξαμίλιον τούτου παραγγελίαν ἔχοντός μου. Εἰς δὲ τὰ Στυλάρια εὑρισκομένου τοῦ δεσπότου καὶ αὐθεντός μου, καὶ τὰ τῆς πραγματείας κάτεργα Βενετικὰ ἐκδεχομένου, ἵνα ἐμβὰς εἰς τὴν πόλιν ἀπέλθῃ, ἰδοὺ κἀγὼ ἄπρακτος ἔφθασα. Καὶ ἐμβὰς κἀγὼ ἀπηρχόμεθα, καὶ εἰς τὴν Εὔριπον φθάσαντες, ἐφάνη καλὸν, καὶ ἐστάλην εἰς τὸν Τουραχάνην εἰς τὴν Θήβαν εὑρισκόμενον, καὶ τὴν δουλείαν τὴν περὶ τῆς Ἀθήνας ἐδηλοποίησα αὐτῷ· καὶ ἐπληροφόρησέ μοι μεθ' ὅρκου, ὅτι διὰ τὴν πρὸς τὸν δεσπότην καὶ σὲ ἐγνωριμίαν καὶ ἀγάπην, καλῶς καὶ προθύμως ἤθελα παραχωρήσῃ ἵνα πραχθῇ τοῦτο, ἂν εἶχα ἐξεύρειν τι πρὸ τοῦ ἐξελθεῖν με ἀπὸ τὸ σπήτιόν μου καὶ ἐλθεῖν ἐνταῦθα· ἐπεὶ ὁρισμῷ τοῦ μεγάλου αὐθεντὸς οὐδὲν ἐποίησα τοῦτο· καὶ εὑρισκομένου μου (ἐν τῇ οἰκίᾳ) εἶχον πολλὰ σκεπάσματα, νῦν δὲ πλέον σκέπασμά τι οὐκ ἔχω· φιλοφρονηθεὶς δὲ φιλοτίμως παρ' ἐκείνου καὶ τοὺς υἱοὺς αὐτοῦ φέροντος εἰς προσκύνησίν μου καὶ παραδόντος αὐτοὺς πρὸς ἐμέ καὶ τὸν αὐθέντην μου, ἐξ ὧν ἦν καὶ ὁ νῦν πολὺς καὶ μέγας Ἀμάρης, ἐπανέστρεψα κἀκεῖθεν ἄπρακτος· καὶ ἐπεὶ προλαβόντες οἱ ἐν τῷ Εὐρίπῳ ἐσήκωσαν τὸ γεφύριν, καὶ ἀκουσίως ἐμείναμεν εἰς τὰς ἔξω τοῦ γεφύρου πέτρας, διεβιβάσαμεν οὖν τοιαύτην νύκταν ἀπό τε κρύους, καθ' ἣν τοῦ Αὐγούστου, ἀπό τε πείνας ἀπό τε ξηρότητος τῶν πετρῶν, ἀπό τε φόβου καὶ κλεπτῶν τῶν ἀπὸ τοῦ φωσάτου τοῦ Τουραχάνη, διὰ τὰ ξένα ἄλογα, ἃ ἀπό τοὺς ἐν τῷ κάστρῳ ἐδανεισάμεθα, ὅτι παροιμία ἐγένετο ἐπὶ κακῷ τοῖς μετ' ἐμοῦ τότε οὖσιν εἰς τὸν μετέπειτα χρόνον. ἀναβάντες οὖν εἰς τὰ κάτεργα ἐπὶ τὴν αὔριον, τῇ κγ' τοῦ Σεπτεβρίου μη-

νὸς τοῦ μδ' ἔτους εἰς τὴν Κωνσταντινούπολιν ἐφθάσαμεν.

υλς.

Καὶ τῇ κέ Μαρτίου τοῦ αὐτοῦ ἔτους ἦλθεν εἰς τὴν πόλιν καὶ ἡ τοῦ Παρασπονδύλου μεγάλου δουκὸς θυγατέρα Ζωὴ, μετὰ κατέργου βασιλικοῦ, ὁποῦ ἐστάλη μετὰ Παλαιολόγου τοῦ Μανουὴλ, ἵνα φέρωσιν αὐτήν· ἣν δὴ καὶ μετά τινας ἡμέρας εὐλογήθη αὐτὴν ὁ δεσπότης κὺρ Δημήτριος· μεθ' οὗ δὴ κατέργου ἦλθεν εἰς τὴν πόλιν καὶ ὁ δεσπότης κὺρ Θεόδωρος, ἵνα ἐκεῖνος εἰς τὴν πόλιν εὑρίσκηται καὶ διάδοχος ὡς δεύτερος ἀδελφὸς τῆς βασιλείας· ὃ καὶ ὁ βασιλεὺς ἔστεργε μὲν καὶ ἀκουσίως, ἐπεὶ τὸν κὺρ Κωνσταντῖνον τὸν αὐθέντην μου πολλάκις με ἐπληροφόρησε καὶ ἐνόρκως ὡς ἐν μυστηρίῳ ἠγάπα καὶ ἤθελεν, ὡς καὶ ὁ λόγος προϊὼν δηλώσει. ἐπεὶ δὲ οὕτως παρηκολούθησεν, ἐσπούδαζεν ἵνα εἰς τὸν Μορέαν καὶ τοὺς τρεῖς ἄλλους ἀδελφοὺς ἐγκατοικίσῃ· ὁ γοῦν αὐθέντης μου πάλιν ὁ δεσπότης κὺρ Κωνσταντῖνος μετὰ τοῦ ἀδελφοῦ αὐτοῦ κυροῦ Θωμᾶ τοῦ δεσπότου, – ἦν γὰρ εἰς τὴν πόλιν μεθ' ἡμῶν ὁ πρῶτος ἄρχων τοῦ ὁσπητίου ἐκείνου Ῥαοὺλ Μιχαὴλ ὁ Ἰσῆς –, ἐσπούδαζον, ἵνα οἱ δύο μὲν σὺν τῷ βασιλεῖ εὑρίσκωνται εἰς τὴν πόλιν, οὗτοι δὲ οἱ δύο αὐθένται εἰς τὸν Μορέαν· διὰ ταύτην δὴ τὴν αἰτίαν καὶ τὸν Ἰούνιον τοῦ αὐτοῦ ἔτους διέβη ἀπὸ τῆς πόλεως εἰς τὸν Μορέαν ὁ δεσπότης κὺρ Κωνσταντῖνος ὡς φυγὰς μετὰ Λαλιώτου καὶ ἐγὼ ἐστάλην παρ' αὐτοῦ εἰς τὸν Ἀμηρᾶν διὰ ταύτην δὴ τὴν δουλείαν, ἵνα αὐτὸν ὑπὲρ ἑαυτῶν ἔχωσι· καὶ ἀπῆλθον καὶ καλῶς ᾠκονόμησα τὰ ἀνατεθειμένα, καὶ διὰ τῆς στερεᾶς εἰς τὸν Μορέαν ἔφθασα· εὗρον δὲ τοὺς

ἀδελφοὺς καὶ αὐθέντας ἔχοντας ὄχλησιν μάχης μεγάλης· καὶ γὰρ ὄπισθεν τοῦ κυρίου Κωνσταντίνου καὶ αὐθεντός μου σταλεὶς μετὰ κατέργου καὶ ὁ κὺρ Θεόδωρος ἐμάχετο τοῖς δυσὶν ἀδελφοῖς αὐτοῦ, ὡς καὶ φωσάτων συναχθέντων ἐπ' ἀμφοτέροις τοῖς μέρεσι, καὶ πολέμου μερικοῦ μέσον αὐτῶν γεγονότος.

υλζ.

Τῷ μέ ἔτει καὶ ἀποκρισιαρίων ἀποσταλέντων παρὰ τοῦ βασιλέως – ἦσαν δὲ ὁ καλὸς κἀγαθὸς Διονύσιος ἱερομόναχος, ὁ χρηματίσας καὶ μητροπολίτης Σαρδέων, καὶ Δυσύπατος Γεώργιος, τὴν μάχην ἀπὸ μέρους κατεπράϋναν· τέλος δὲ πάλιν ἄλλων ἐλθόντων ἀποκρισιαρίων τοῦ βασιλέως, Γρηγορίου ἱερομονάχου καὶ πνευματικοῦ τοῦ χρηματίσαντος ὕστερον καὶ πατριάρχου Κωνσταντινουπόλεως, καὶ αὐτοῦ δὴ πάλιν Γεωργίου τοῦ Δυσυπάτου συνεβίβασαν, ἵνα ὁ μὲν αὐθέντης μου δεσπότης κὺρ Κωνσταντῖνος ἀπέλθῃ καὶ ἔνι εἰς τὴν πόλιν, ὁ δὲ κὺρ Θεόδωρος καὶ κὺρ Θωμᾶς οἱ δεσπόται εἰς τὸν Μορέαν.

υλη.

Καὶ τῇ έ Σεπτεβρίου τοῦ μς´ ἔτους διέβημεν ἀπὸ τῆς Πάτρας διὰ τῆς στερεᾶς εἰς τὸν Εὔριπον, μετὰ τοῦ αὐθεντός μου λέγω, καὶ ἐσέβημεν εἰς κάτεργον Βενετικὸν ἀπὸ τὸ καστέλλον τῆς Εὐρίπου, τὴν Κάρυστον· ἐν ᾧ δὴ κατέργῳ ἦν καὶ ὁ ποτὲ μὲν ἐν τῇ Πάτρᾳ Κανονικὸς Μάρκος, ὅταν ἀπήλθομεν κατ' αὐτῆς, γεγονὼς δὲ λεγάτος παρὰ τοῦ πάπα Εὐγενείου τοῦ συγγενοῦς αὐτοῦ, καὶ παρ' ἐκείνου καὶ ἀποκρισιάριος εἰς τὸν βασιλέα. Καὶ τῇ κθ´ τοῦ αὐτοῦ μηνὸς Σεπτεβρίου ἀπεσώθημεν εἰς τὴν πόλιν· καὶ τῇ κζ´ Νοεμβρίου τοῦ αὐτοῦ ἔτους διέβη ὁ βασιλεὺς

κὺρ Ἰωάννης μετὰ τοῦ πατριάρχου καὶ τοῦ δεσπότου κὺρ Δημητρίου, καὶ πολλῶν ἀρχόντων τῆς συγκλήτου καὶ τῆς ἐκκλησίας καὶ πάντων σχεδὸν τῶν μητροπολιτῶν καὶ ἐπισκόπων διὰ τὴν μελετηθεῖσαν, ὡς μὴ ὤφελε, σύνοδον· καὶ οὐ λέγω τοῦτο διὰ τὰ τῆς ἐκκλησίας δόγματα· ταῦτα γὰρ παρ' ἄλλοις ἐδόθησαν κρίνεσθαι· ἐμοὶ δ' ἀρκεῖ ἡ πατρικὴ μου διαδοχὴ τῆς πίστεως, καὶ ὅτι οὐδέποτε παρά τινος τῶν τοῦ μέρους ἐκείνου ἤκουσα ὅτι τὸ ἡμῶν κακὸν, ἀλλὰ καλὸν καὶ ἀρχαῖον, καὶ τὸ ἐκείνων οὐ κακὸν, ἀλλὰ καλόν· καὶ νὰ εἴπω, ὡς ἐν παραδείγματι, ὅτι τὴν μέσην ὁδὸν τῆς πόλεως, τὴν πλατεῖαν καὶ εὐρύχωρον, διερχόμεθα πολλοὺς χρόνους μετά τινων, δι' ἧς ἐκαταντῶμεν εἰς τὴν ἁγίαν Σοφίαν, εἶτα μετά τινας καιροὺς εὑρέθη παρά τινων καὶ ἄλλη ὁδὸς καταντῶσα, ὡς λέγουσι, καὶ αὐτὴ ἐκεῖ, καὶ νὰ μὲ παροτρύνωσιν, ὅτι ἐλθὲ καὶ διὰ τῆς ὁδοῦ ταύτης, ἧς εὕρομεν· καὶ γὰρ, εἰ καὶ ἔστιν αὕτη, ὁποῦ ἀπέρχῃ, καλὴ καὶ ἀρχαία, καὶ ἡμῖν ἀρχῆθεν σὺν ὑμῖν γνωστὴ καὶ διερχομένη, ἀλλὰ καὶ αὕτη, ἣν εὕρομεν νῦν, καλή ἐστιν· ἐγὼ δὲ νὰ ἀκούω παρὰ μὲν τῶν, ὅτι καλή ἐστι, παρὰ δὲ τῶν, ὅτι οὐ καλὴ, διὰ τί νὰ μηδὲν εἴπω, μετ' εἰρήνης καὶ ἀγάπης ἀπέρχεσθε καλῶς εἰς τὴν ἁγίαν Σοφίαν, ὁπόθεν βούλεσθε· ἐγὼ δὲ πάλιν θέλω διέρχεσθαι διὰ τῆς ὁδοῦ, ἣν καὶ μεθ' ὑμῶν πολύν τινα χρόνον διηρχόμην, καὶ καλὴν αὐτὴν καὶ παρ' ὑμῶν καὶ τῶν προγόνων μου μαρτυρουμένην· οὐ διὰ ταύτην οὖν τὴν αἰτίαν εἶπον ὡς μὴ ὤφελεν· ἤθελα γὰρ νὰ εἶχε γενῆν καλῶς ἑνώσει τῶν ἐκκλησιῶν καὶ νὰ μὲ ἔλιπεν ὁ εἷς τῶν ὀφθαλμῶν μου, ἀλλὰ διὰ τί; ὅτι ἦν καὶ αὕτη ἡ σύνοδος δουλεία αἰτία μία καὶ πρώτη

καὶ μεγάλη εἰς τὸ νὰ γένηται ἡ κατὰ τῆς πόλεως τῶν ἀσεβῶν ἔφοδος καὶ ἀπὸ ταύτην πάλιν ἡ πολιορκία καὶ ἡ αἰχμαλωσία καὶ τοιαύτη καὶ τοσαύτη συμφορὰ ἡμῶν· καὶ ἀκούσατε λόγους ἀληθεῖς τὴν αὐτοαλήθειαν προβαλομένου μου μαρτυρίαν. Εἶπεν ὁ ἀοίδιμος βασιλεὺς πρὸς τὸν υἱὸν αὐτοῦ τὸν βασιλέα κὺρ Ἰωάννην μόνος πρὸς μόνον, ἱσταμένου καὶ ἐμοῦ μόνου ἔμπροσθεν αὐτῶν, ἐμπεσόντος λόγου περὶ τῆς συνόδου· υἱέ μου, βεβαίως καὶ ἀληθῶς ἐπιστάμεθα ἐκ μέσης τῆς καρδίας δὴ τῶν ἀσεβῶν, ὅτι πολλὰ τοὺς φοβεῖ, μὴ συμφωνήσωμεν καὶ ἑνωθῶμεν μὲ τοὺς Φράγκους· ἡγοῦντο γὰρ ὅτι, ἂν τοῦτο γένηται, θέλει γενῆν μέγα τι κακὸν εἰς αὐτοὺς παρὰ τῶν τῆς δύσεως Χριστιανῶν· δι' ἡμᾶς λοιπὸν τὸ περὶ τῆς συνόδου μελέτα μὲν αὐτὸ καὶ ἀνακάτονε, καὶ μάλισθ' ὅταν ἔχῃς χρείαν τινὰ φοβῆσαι τοὺς ἀσεβεῖς· τὸ δὲ νὰ ποιήσῃς αὐτὴν, μηδὲν ἐπιχειρισθῇς αὐτὸ, διότι οὐδὲν βλέπω τοὺς ἡμετέρους, ὅτι εἰσὶν ἁρμόδιοι πρὸς τὸ εὑρεῖν τινα τρόπον ἑνώσεως καὶ εἰρήνης καὶ ὁμονοίας, ἀλλ' ὅτι νὰ τοὺς ἐπιστρέψουν εἰς τὸ νὰ ἐσμὲν ὡς ἀρχῆθεν· τούτου δὲ ἀδυνάτου ὄντος σχεδὸν, φοβοῦμαι μὴ καὶ χεῖρον σχίσμα γένηται· καὶ ἰδοὺ ἀπεσκεπάσθημεν εἰς τοὺς ἀσεβεῖς. τοῦ δὲ βασιλέως, ὡς ἔδοξε, μὴ δεξαμένου τὸν λόγον του πατρὸς αὐτοῦ, μηδὲν εἰπὼν ἀναστὰς ἀπῆλθε· καὶ μικρὸν σύννους γεγονὼς ὁ μακαρίτης καὶ ἀοίδιμος πατὴρ αὐτοῦ ἐμβλέψας πρός με ὁρίζει· ὁ βασιλεὺς, ὁ υἱός μου, ἔνι μὲν ἁρμοδίως βασιλεῖ, οὐ τοῦ παρόντος δὲ καιροῦ. Βλέπει γὰρ καὶ φρονεῖ μεγάλα, καὶ τοιαῦτα οἷα οἱ καιροὶ ἔχρηζον (ἐπὶ) τῆς εὐημερίας τῶν προγόνων ἡμῶν· ἀμὴ σήμερον, ὡσὰν παρακολουθοῦσιν εἰς ἡμᾶς τὰ πράγματα, οὐ βασιλέα θέλει ἡ ἡμῶν ἀρ-

χὴ, ἀλλ' οἰκονόμον· καὶ φοβοῦμαι, μήποτε ἐκ τῶν ἐνθυμημάτων καὶ ἐπιχειρημάτων αὐτοῦ γένηται χαλασμὸς τοῦ ὁσπητίου τούτου· προεῖδον γὰρ καὶ τὰς ἐνθυμήσεις αὐτοῦ, καὶ τὰ ἐδόξαζε κατορθῶσαι μὲ τὸν Μουσταφᾶν καὶ εἶδον καὶ τὰ τέλη τῶν κατορθωμάτων, εἰς τί κίνδυνον μᾶς ἔφερον, ἔτερον βεβαιοῦν τὴν ποτὲ βουλὴν τοῦ ἀειδίμου πατρὸς αὐτοῦ. ὡς ἐστάθη, ἵνα ἀπέλθῃ εἰς τὴν σύνοδον, ἐστάλη εἰς τὸν Ἀμηρᾶν ἀποκρισιάρης Ἀνδρόνικος ὁ Ἴαγρος, δηλῶσαι τοῦτο πρὸς ἐκεῖνον ὡς τάχα φίλον καὶ ἀδελφόν· κἀκεῖνος ἀπελογήσατο, ὅτι οὐδέν μοι φαίνεται καλὸν νὰ ὑπάγῃ νὰ κοπιάσῃ τοσοῦτον καὶ νὰ ἐξοδιάσῃ· καὶ τί νὰ κερδίσῃ; ἰδοὺ ἐγὼ, καὶ ἐὰν ἔχῃ χρείαν καὶ ἄσπρων δι' ἔξοδον καὶ εἰσόδημα καὶ ἄλλο τι πρὸς θεραπείαν αὐτοῦ, ἕτοιμός εἰμι νὰ τὸν θεραπεύσω· καὶ ἐγένετο πολὺς λόγος καὶ βουλὴ, πότερον νὰ γένηται τὸ τοῦ Ἀμηρᾶ, ἢ νὰ ἀπέλθωσιν εἰς τὴν σύνοδον· καὶ ἐγένετο, ὅπερ ἤθελεν ὁ βασιλεὺς, ἢ μᾶλλον ἡ κακὴ τύχη ἐξελθόντος οὖν τοῦ βασιλέως ἀπὸ τῆς πόλεως καὶ ἀπερχομένου ἐβουλεύσατο ὁ Ἀμηρᾶς ὅτι νὰ ποιήσῃ μάχην εἰς τὴν πόλιν καὶ νὰ πέμψῃ φωσάτον κατ' αὐτῆς· οὐ τοσοῦτον, ὅτι νὰ ἐπάρῃ αὐτὴν, ὅσον ἵνα ποιήσῃ τὸν βασιλέα νὰ ἐπιστρέψῃ· καὶ τοῦτο ἐβεβαιώθη καὶ ἐστάθη παρὰ πάντων τῶν αὐτοῦ ἄνευ μόνου τοῦ Χαλὶ πασία, ὅστις ἀντέστη λέγων· ὅτι μᾶλλον μὲν οὖν αἴτιον θέλει ἦσθεν, ἐὰν ποιήσῃς μάχην τὴν πόλιν, ἵνα ὁ βασιλεὺς εἴπῃ τοὺς Φράγκους ἀπὸ ἀνάγκης, ὅτι, ἅπερ λέγετε, στέργω τα· καὶ ἰδοὺ ἐγένετο ὅπερ ἐφοβούμεθα· ἀμὴ ἄφες τὸ καὶ ἰδὲ τὸ τί θέλει πράξειν· καὶ εἰ μὲν ὁμονοήσουν, οὐ ἀγάπην ἔχεις μετ' ἐκείνων καὶ ὅρκους εἰς τὸ ἔμπροσθεν πάλιν, ὡς ἂν βλέπῃς, θέλεις πράττειν·

εἰ δὲ μᾶλλον οὐδὲν ὁμονοήσουν, τότε μᾶλλον ἐξέβη ὁ λογισμὸς, καὶ μὲ πλέον θάῤῥος ποίησον τὸ θέλεις· καὶ αὕτη ἡ βουλὴ τὸν μὲν Ἀμηρᾶν τοῦ σκοποῦ ἐκώλυσεν· πρὸς δὲ τοῦ Χαλὶ πασία τὴν βουλὴν δόντος τοῦ καιροῦ μαθεῖν ἡμᾶς ἄλλα τῶν ἄλλων, ὁ αὐθέντης μου δεσπότης καὶ οἱ ἄρχοντες ἐξώρθωσαν τὸν Παλαιολόγον Θωμᾶν καὶ (πρὸς) τὸν βασιλέα ἀπέστειλαν· καὶ λογισμὸς καὶ τρικυμία τᾶς ἐν τῇ πόλει περιέπεσεν ὅτι πλείστη, ἕως οὗ πάλιν ἐμάθομεν τὴν ἰσχύσασαν βουλὴν τοῦ Χαλὶ πασία· καὶ ἰδοὺ ἐκμαρτυρία τοῦ ὡς μὴ ὤφελε γενέσθαι τὴν σύνοδον· ἀφίημι γὰρ τὰ ἄλλα ἃ παρηκολούθησαν ἀπὸ τούτου· τοῦ δὲ αὐτοῦ μς′ ἔτους τῇ κς′ τοῦ Ἰαννουαρίου μηνὸς εὐλογήθην ἐγὼ Ἑλένην, τὴν θυγατέραν τοῦ ἐπὶ Κανικλείου Ἀλεξίου Παλαιολόγου τοῦ Τζαμπλάκωνος.

ῡλθ.

Καὶ Μαΐου α′ τοῦ μζ′ ἔτους ἐγεννήθη μοι υἱὸς Ἰωάννης, ὃν καὶ βασιλεὺς ὁ αὐθέντης μου κὺρ Κωνσταντῖνος ἀνεγέννησε διὰ τοῦ θείου βαπτίσματος, ὁ καὶ πρὸ τοῦ ἡμᾶς στεφανώσας.

ῡμ.

Καὶ Δεκεμβρίου ιζ′ τοῦ μη′ ἔτους ἀπέθανεν ἡ δέσποινα κυρὰ Μαρία, ἡ ἀπὸ τῆς Τραπεζοῦντος· καὶ τῇ α′ Ἰαννουαρίου μηνὸς τοῦ αὐτοῦ ἔτους ἀπέθανεν ἡ δέσποινα κυρὰ Εὐγενεία ἡ τοῦ Γατελιούτζη θυγάτηρ, αἳ καὶ ἐτάφησαν ἐν τῇ τοῦ παντοκράτορος μονῇ, καὶ σφοδροῦ, εἴπερ ποτὲ, χειμῶνος τότε γενομένου· καὶ τῇ ιζ′ τοῦ αὐτοῦ Ἰαννουαρίου μηνὸς ἀπέθανεν ἡ βασίλισσα κυρὰ (Ζωὴ) καὶ ἐτάφη ἐν τῇ τῆς κυρᾶς Μάρθας μονῇ· καὶ τὸν Φευρουάριον τοῦ αὐτοῦ ἔτους ἐπανέστρεψαν εἰς τὴν πόλιν

ἀπὸ τῆς συνόδου ὅ τε βασιλεὺς καὶ ὁ δεσπότης καὶ οἱ ἀπελθόντες ἄλλοι, τοῦ πατριάρχου καὶ μόνον καὶ τοῦ καλοῦ Σαρδέων (μητροπολίτου) κἀμοὶ πλεῖστα φίλων ἐκεῖσεν τελευτησάντων, τούτου μὲν εἰς τὴν Φεῤῥαρίαν, τοῦ δὲ πατριάρχου ἐν Φλωρεντίᾳ ὕστερον. Καὶ τῇ κζ΄ Μαρτίου τοῦ αὐτοῦ ἔτους τῇ λαμπρᾷ κυριακῇ ἐγεννήθη μοι ὁ δεύτερος υἱὸς Ἀλέξιος, ὃς καὶ ἐπέζησεν ἡμέρας καὶ μόνον λ΄· καὶ τὸ ἔαρ τοῦ αὐτοῦ χρόνου ἐγεγόνει καὶ πατριάρχης ὁ πρότερον Κυζίκου κῦρ Μητροφάνης.

υμα.

Καὶ τῇ ς΄ Δεκεμβρίου τοῦ μθ΄ ἔτους ὁρισθεὶς ἀπῆλθον εἰς τὴν νῆσον Λέσβον, καὶ κατέστησα τὸ συμπενθέριον, καὶ ἐποίησα καὶ μνηστείαν γάμου μετὰ κυρᾶς Αἰκατερήνης τῆς θυγατρὸς αὐθεντὸς τῆς Μιτυλήνης καὶ τῶν ἐξῆς κῦρ Νοταρᾶ Παλαιολόγου τοῦ Γατελιούτζη. Και τῇ ις΄ Ἀπριλλίου τοῦ αὐτοῦ ἔτους τῇ λαμπρᾷ πάλιν κυριακῇ ἐγεννήθη μοι θυγάτηρ ἡ Θάμαρ· καὶ τῇ αὐτῇ ἡμέρᾳ λαβὼν τὴν αὐτοῦ θυγατέραν Ἀσανίναν τὴν Θεοδώραν Παῦλος ὁ Ἀσάνης, ἔφυγεν ἀπὸ τῆς πόλεως, καὶ ἦλθεν εἰς τὴν Μεσημβρίαν· καὶ δέδωκεν αὐτὴν εἰς νόμιμον γυναῖκα τῷ δεσπότῃ κῦρ Δημητρίῳ· καὶ τῇ κζ΄ τοῦ Ἰουλίου μηνὸς τοῦ αὐτοῦ ἔτους ἀπῆλθεν εἰς τὴν Μιτυλήνην μετὰ κατέργων βασιλικῶν, καὶ εὐλογήθη ὁ αὐθέντης μου δηλονότι τὴν ῥηθεῖσαν κυρὰν Αἰκατερήνην, τὴν Γατελιουτζέναν, Καπετανίου ὄντος εἰς τὰ κάτεργα τοῦ μετὰ ταῦτα γεγονότος μεγάλου δουκὸς Λουκᾶ τοῦ Νοταρᾶ.

υμβ.

Καὶ τὸν Σεπτέμβριον μῆνα τοῦ ν΄ ἔτους καταλείψας ἐκεῖσε εἰς τὸν αὐτῆς πατέρα τὴν βασίλισσαν καὶ γυνὴν αὐ-

τοῦ, ὁ αὐθέντης μου δηλονότι, ἤλθομεν εἰς τὸν Μορέαν μετὰ τῶν αὐτῶν κατέργων καὶ τῆς Μιτυλήνης ἑτέρου ἑνός· καὶ τῇ κ' Ὀκτωβρίου τοῦ αὐτοῦ ἔτους, ὁρισθεὶς διέβην ἐγὼ εἰς τὸν Ἀμηραν καὶ τὸν βασιλέα ἀποκρισιάριος, ἔχοντός μου καὶ ἀπόκρυφον μυστήριον, ὅτι, ἐὰν ἐνδώση τοῦτο καὶ ὁ βασιλεὺς, νὰ ἀπέλθω εἰς τὸν δεσπότην κὺρ Δημήτριον ἄνω εἰς τὴν Μεσημβρίαν καὶ δώσω πρὸς ἐκεῖνον ἅπαντα τὸν τόπον, ὃν ὁ αὐθέντης μου εἰς τὸν Μορέαν εἶχεν· αὐτὸς δὲ πάλιν ἐλθὼν εἰς τὴν πόλιν ἔχῃ τὴν Σηλυμβρίαν καὶ τὸν πρώην τόπον αὐτοῦ τὴν Μεσημβρίαν καὶ τὰ ἄλλα ἕως τῶν Δέρκων, (διὰ τὸ) καὶ εἰς ἐλπίδαν εἶναι τῆς βασιλείας, ὡς ἠγάπα ὁ βασιλεὺς, ἐκεῖσε εὑρισκόμενον· ὃ δὴ καλῶς ἀποδεξάμενος ὁ βασιλεὺς, τὸν Ἰαννουάριον μῆνα εἰς τὴν Μεσημβρίαν πρὸς τὸν δεσπότην κὺρ Δημήτριον ἀπῆλθον· ἐκεῖνος δὲ ἐνεργῶν τὰ κατὰ τῆς πόλεως μᾶλλον τὰ κατ' ἐκείνου ἀπέπεμψέ με ἄπρακτον· ἐν ᾧ μηνὶ καὶ ἐν ἀποπληξίᾳ δεινῇ περιπεσὼν Παῦλος ὁ Ἀσάνης ἐναπέψυξεν· ἐμοῦ δ' ἐπιστρέψαντος εἰς τὴν πόλιν, καὶ προσμένοντος ὁρισμῷ τοῦ βασιλέως πρὸς τὸ ἐπιστρέψαι εἰς τὸν αὐθέντην μου, τῇ κγ' τοῦ Ἀπριλλίου μηνὸς τοῦ αὐτοῦ ἔτους, ἐπηλάλησε μετὰ Τούρκων καὶ ἀπέκλεισε καὶ ἔφθειρε τὰ τῆς πόλεως ὁ δεσπότης κὺρ Δημήτριος, ἐν ᾧ δὴ μηνὶ καὶ ἡμέρᾳ ἐγεννήθη αὐτῷ καὶ ἡ θυγάτηρ αὐτοῦ· καὶ τὸν Ἰούλιον μῆνα τοῦ αὐτοῦ ἔτους, ἐρχομένου τοῦ αὐθεντός μου καὶ δεσπότου κὺρ Κωνσταντίνου εἰς βοήθειαν τῆς πόλεως, καὶ διὰ τῆς Μιτυλήνης διελθόντος καὶ λαβόντος καὶ τὴν αὐτοῦ γυναῖκα τὴν βασίλισσαν, εἰς τὴν Λῆμνον ἦλθε· καὶ εὑρεθέντος ἐκεῖσε ἐπολεμήθη εἰς τὸν Κότζινον ἡμέρας πολλὰς ὑπὸ τοῦ στόλου παντὸς τῶν Τούρ-

κων· ἀπελθόντες δ' ἀπράκτου τοῦ στόλου βοηθείᾳ Θεοῦ ἡ βασίλισσα ἀπὸ τῆς περιστάσεως ἀσθενήσασα καὶ ἐκτρωθεῖσα, τὸν Αὔγουστον τοῦ αὐτοῦ ἔτους εἰς τὸ Παλαιόκαστρον τοῦ αὐτοῦ νησίου τῆς Λήμνου ἀπέθανε καὶ ἐτάφη.

υμγ.

Καὶ τῇ ιδ' τοῦ Σεπτεβρίου μηνὸς τοῦ να' ἔτους ἐγεννήθη μοι ὁ ἕτερος υἱὸς Ἀλέξιος· καὶ τὸν Νοέμβριον τοῦ αὐτοῦ ἔτους ἦλθεν εἰς τὴν πόλιν ὁ δεσπότης καὶ αὐθέντης μου κὺρ Κωνσταντῖνος· καὶ τῇ α' Μαρτίου ἔλαβεν ἀπὸ τὸν βασιλέα τὴν Σηλυμβρίαν, καὶ ἀπέστειλεν ἐμὲ ἐκεῖσεν εἰς κεφαλὴν, ἵνα καὶ ἀπὸ τὸν Ἀμηρᾶν καὶ τὸν δεσπότην κὺρ Δημήτριον καὶ αὐτὸν δὴ τὸν δεδωκότα βασιλέα προστάξας φυλάττω. Καὶ τὸν Ἰούλιον τοῦ αὐτοῦ ἔτους ἦλθεν εἰς τὴν πόλιν Φραγκόπουλος ὁ πρωτοστράτωρ· καὶ ὁρισθεὶς κἀγὼ ἀπὸ τὴν Σηλυμβρίαν εἰς τὴν πόλιν ἦλθον· καὶ συμφωνίαι γεγόνασιν, ὅτι ὁ μὲν δεσπότης καὶ αὐθέντης μου εἰς τὸν Μορέαν ἀπέλθῃ καὶ τὸν τόπον πάντα τοῦ δεσπότου κὺρ Θεοδώρου λάβῃ, ἐκεῖνος δὲ εἰς τὴν πόλιν ἔλθῃ, καὶ τὴν Σηλυμβρίαν λάβῃ, ἃ δὴ καὶ ἐγένετο.

υμδ.

Καὶ τῇ ι' Ὀκτωβρίου τοῦ νβ' ἔτους μετὰ καραβίου ἐξελθόντος ἀπὸ τῆς πόλεως τοῦ αὐθεντός μου καὶ δεσπότου, καὶ ἀπελθόντος εἰς τὸν Μορέαν, καὶ πάλιν μετὰ αὐτοῦ δὴ τοῦ καραβίου ὁ δεσπότης κὺρ Θεόδωρος τὸν Δεκέμβριον μῆνα τοῦ αὐτοῦ ἔτους εἰς τὴν πόλιν ἀπέσωσε. Καὶ τὸν Μάρτιον παρέδωκα ἐγὼ πρὸς αὐτὸν τὴν Σηλυμβρίαν, καὶ ἐμβάντος μου εἰς καράβιον τοῦ ἀπὸ τὴν Κρήτην Ὑαλινᾶ Ἀντωνίου εἰς τὴν τοῦ Εὐρίπου Κάρυστον ἐπαφῆκέ με· καὶ τῇ γ' τοῦ Ἰουνίου διὰ τῆς στερεᾶς ὁδοῦ εἰς

τὸν Μυζηθρᾶν ἔφθασα, πολλὰ τοῦ δεσπότου κυροῦ Θεοδώρου ζητοῦντός με καὶ παροτρύνοντος, ἵνα καὶ τὴν Σηλυμβρίαν ἔχω καὶ τῶν πρώτων αὐτοῦ ὑποχειρίων εὑρίσκωμαι· διερχόμενος δὲ εὗρον καὶ τὸ Ἑξαμίλιον κτισθὲν παρὰ τοῦ αὐθεντός μου καὶ δεσπότου τῷ παρελθόντι καιρῷ τοῦ ἔαρος· φθάσαντός μου οὖν εἰς τὸν Μυζηθρᾶν, μετά τινας ἡμέρας ὀλίγας, τοῦ καρδηναλίου καὶ βιζεκαγκελλαρίου καὶ λεγάτου καθολικοῦ τοῦ Πάπα ἀπερχομένου μετὰ πολλῶν κατέργων εἰς τὴν πόλιν διὰ τὴν κατὰ τῶν ἀσεβῶν τοῦ ῥηγὸς τῆς Οὐγγαρίας ἐξέλευσιν, ἐστάλην καὶ ἐγὼ πάλιν ἀποκρισιάριος πρός τε τὸν βασιλέα καὶ πρὸς τὸν Ἀμηρᾶν καὶ αὐτὸν δὴ τὸν ῥῆγαν, ἀλλὰ δὴ καὶ πρὸς τὸν λεγάτον καὶ πρὸς τὸν καπετάνιον Ἀλωΐσιον Λορδᾶν δι' ἀναγκαίας δουλείας πρὸς οὗ προβῶσι τὰ πράγματα· καὶ διερχομένου μου τὴν Κόρινθον τῇ λ' τοῦ Αὐγούστου, ἵνα εἰς τὸν Εὔριπον τὰ κάτεργα τῆς ἀρμάτας φθάσω, εὗρον θαπτόμενον τὸν καλὸν κἀγαθὸν Κορίνθου Μάρκον, ὃς καὶ ἐν τῇ αὐλῇ ἡμῶν ἐγεννήθη καὶ μεθ' ἡμῶν ἀνετράφη καὶ ὑπὸ τοῦ κακοῦ τῆς μητρυιᾶς αὐτοῦ πολλὰ πιεζόμενος μεγάλας θεραπείας παρὰ τῶν γεννητόρων μου εὕρισκεν· ἐκεῖ ἀναγκασθεὶς ἀπὸ τοῦ πολλοῦ κακοῦ ἔφυγεν ἀπὸ τὸν πατέρα αὐτοῦ καὶ εἰς τὴν τῶν Ξανθοπούλων μονὴν ἀπῆλθε· καὶ τοιοῦτος χρήσιμος ἀπεκατεστάθη.

υμε.

Φθάσας οὖν ἐγὼ εἰς τὸν Εὔριπον, τὰ δὲ κάτεργα οὐ φθάσας, δι' ἄλλου πλευσίμου εἰς τὴν Λῆμνον ἀπεσώθην, εἰς τὰς ἀρχὰς τοῦ Νοεμβρίου τοῦ νγ' ἔτους· τῷ δὲ αὐτῷ μηνὶ ια' ὁ ῥὴξ τῆς Οὐγγαρίας ἐσκοτώθη παρὰ τοῦ Ἀμηρᾶ εἰς τὴν Βάρναν· καὶ τῇ ιζ' τοῦ Ἰουλίου μηνὸς τοῦ

αὐτοῦ ἔτους ἐγεγόνει παγκόσμιος καύσων καὶ ἄξιος μνήμης, ἐν ᾧ δὴ θέρει καὶ ὁ πνευματικὸς κὺρ Γρηγόριος πατριάρχης ἐγεγόνει· καὶ τῇ ιε´ τοῦ Αὐγούστου μηνὸς τοῦ αὐτοῦ ἔτους ἐγεννήθη μοι υἱὸς Ἀνδρόνικος, ὃς ἔζησεν ἡμέρας καὶ μόνον ὀκτώ.

ῡμς.

Καὶ τῷ νδ´ ἔτει, Δεκεμβρίῳ μηνὶ πρὸς τέλει, ἐλθόντος μου εἰς τὸν Μορέαν μετὰ τῆς πραγματείας Βενετικῶν κατέργων,

ῡμζ.

Σεπτεβρίου α´ τοῦ νε´ ἔτους εὐεργετήθην τὸ κεφαλατίκιον τοῦ Μυζηθρᾶ, μετὰ καὶ πάντων τῶν περὶ αὐτὸ, ἤγουν Κουλᾶ, Ἑβραϊκῆς Τρύπης, Τζεραμίου, Παγκότων καὶ Σκλαβοχωρίου, καὶ μετὰ πάντων τῶν εἰσοδημάτων αὐτῶν, ὡς οὐκ εἶχεν ἄλλος τις οὕτως πώποτε τὸ τοῦ Μυζηθρᾶ κεφαλατίκιον· ὥρισέ μοι δὲ καὶ τοῦτο, ὅτι ἐγὼ δέδωκά σοι τὸν Μυζηθρᾶν εἰς κεφαλατίκιον καὶ διὰ τὴν σὴν καλὴν δουλοσύνην καὶ τὴν ἐμὴν πρὸς σὲ ἀναδοχὴν καὶ ἀγάπην, καὶ ὅτι θέλω νὰ ἔνι καὶ τοῦτο ἓν, ὡς ἡ Κόρινθος καὶ ἡ Πάτρα· ὧν τὴν μὲν ἔχει ὁ Καντακουζηνὸς Ἰωάννης, τὴν δὲ Ἀλέξιος ὁ Λάσκαρις· καὶ γίνωσκε ὅτι ἕτερον μεσάζοντα οὐδὲν θέλω ποιήσειν πάρεξ αὐτὸν δὴ τὸν Εὐδαιμονοϊωάννην ὃν ἔχω· ἀλλ᾽ οὐδὲ ἐνταῦθα θέλω εὑρίσκεσθεν ἀεί· ἀμὴ θέλω διέρχεσθεν τὸν τόπον μου διὰ πολλὰ ὠφέλιμα· καὶ ὅταν εὑρίσκωμαι εἰς τὴν Κόρινθον, θέλω πράττειν τὰς ἐμὰς δουλείας καὶ τὰς τοῦ τόπου ἐκείνου μετὰ τοῦ Καντακουζηνοῦ καὶ τοῦ Εὐδαιμονοϊωάννου· ὅταν δὲ εἰς τὴν Πάτραν ἀπέλθω πάλιν μὲ τὸν Λάσκαριν καὶ τὸν Εὐδαιμονοϊωάννην καταλιμπάνων τὸν Καντακουζηνὸν εἰς τὴν

ἀρχὴν αὐτοῦ, ὅταν δέ εἰμι ἐνταῦθα μετὰ σοῦ καὶ τοῦ Εὐδαιμονοϊωάννου καὶ ἄλλων, ὅτι, ὅταν σὺν Θεῷ ἔχω καὶ γυναῖκαν, διὰ σοῦ θέλω ἕξειν αὐτὴν, ἐνταῦθα τὸν πλείονα χρόνον θέλω διαβιβάσειν, καὶ θέλεις ἤσθεν καὶ σὺ ὁ πλέον γνώριμος αὐτῆς εἰς τὰ τῆς θεραπείας αὐτῆς· νῦν δ' ἐγὼ μὲν ἀπέρχομαι πρὸς οἰκοδομὴν καλλίονα τοῦ Ἑξαμιλίου, σὺ δὲ ἐνταῦθα εὑρισκόμενος ἄρχε καλῶς τὴν ἀρχήν μου, καὶ παῦσον τὰς ἀδικίας καὶ τὰς πολλὰς ἀρχὰς τῶν ἐνταῦθα εὑρισκομένων, καὶ ποίησον πάντας τοὺς ἐνταῦθα ἵνα σὲ μόνον ἔχωσιν ἀρχὴν, ὡς ἐμὲ μόνον αὐθέντην· προσκυνήσαντός μου οὖν αὐτῷ καὶ εὐχαριστήσαντος, ἀπῆλθεν εἰς τὸ Ἑξαμίλιον τῇ η' τοῦ αὐτοῦ Σεπτεβρίου μηνός· τὸν δὲ Ὀκτώβριον τοῦ αὐτοῦ ἔτους ἐξῆλθεν ἀπὸ τῆς Γλαρέντζας ἡ θυγάτηρ κυροῦ Θωμᾶ τοῦ δεσπότου κυρὰ Ἑλένη, ἵνα ἀπέλθῃ εἰς τὴν Σερβίαν καὶ Λάζαρον τὸν υἱὸν κυροῦ Γεωργίου ἄνδρα λάβῃ, ὅπερ καὶ ἐγένετο· καὶ διὰ τοῦτο καὶ δεσπότην καὶ αὐτὸν δὴ τὸν Λάζαρον ὁ βασιλεὺς κὺρ Ἰωάννης διὰ τοῦ Φιλανθρωπίνου Γεωργίου τετίμηκε. τῇ δὲ κζ' τοῦ Νοεμβρίου μηνὸς τοῦ αὐτοῦ ἔτους, ἦλθεν ὁ Ἀμηρᾶς κατὰ τοῦ Ἑξαμιλίου, καὶ τῇ ι' τοῦ Δεκεμβρίου ἀπῆρεν αὐτὸ καὶ τὸ ἐχάλασε· καὶ ἀπελθόντος αὐτοῦ καὶ ἕως τὴν Πάτραν, τὴν χώραν καὶ μονὴν ἀπῆρε καὶ κατέκαυσε καὶ ἠφάνισε. Καὶ τὸν Αὔγουστον τοῦ αὐτοῦ ἔτους ἐστάλην πάλιν ἐγὼ εἰς τὴν πόλιν, καὶ δι' ἄλλας μὲν δουλείας καὶ διὰ τὴν Τραπεζοῦνταν καὶ τὴν Γοτθίαν συνοικεσίου διὰ τοῦ αὐθεντός μου δουλείαν· ἐπεὶ προσυνέτυχον ἀπ' ἐκεῖθεν· εἰς ἃ μέρη καὶ ἱερομόναχον τὸν ὕστερον χρηματίσαντα καὶ μητροπολίτην Ἀθηνῶν καὶ ἀνθρώπους μου ἔστειλα καὶ ἔγραψα.

υμη.

Καὶ προσμένοντός μου ἐκεῖ τὸν Ἰούνιον τοῦ νϛ′ ἔτους, ἀπέθανεν ὑπὸ λοιμώδους νοσήματος εἰς τὴν Σηλυμβρίαν ὁ δεσπότης κὺρ Θεόδωρος, καὶ φέροντες αὐτὸν εἰς τὴν πόλιν ἔθαψαν ἐν τῇ τοῦ παντοκράτορος μονῇ· καὶ τῇ ιε′ τοῦ Αὐγούστου μηνὸς τοῦ αὐτοῦ ἔτους ἀπέθανεν ἐμοὶ ὁ υἱὸς Ἀλέξιος, ζήσας χρόνους ε′ καὶ μῆνας ια′· οὗ ὁ θάνατος καὶ σφόδρα μου καθήψατο, οὐκ εἰδότος μου τοῦ ἀθλίου τὰ μέλλοντά μοι συμβήσεσθαι λυπηρότερα.

υμθ.

Καὶ τῇ λα′ τοῦ Ὀκτωβρίου μηνὸς τοῦ νζ′ ἔτους ἀπέθανε καὶ ὁ βασιλεὺς κὺρ Ἰωάννης χρόνων ὑπάρχων νϛ′ καὶ μηνῶν ι′ καὶ ἡμερῶν ιε′· καὶ ἐτάφη τῇ α′ Νοεμβρίου εἰς τὴν μονὴν τοῦ παντοκράτορος, αὐτοκρατορήσας χρόνους κγ′, καὶ μῆνας γ′, καὶ ἡμέρας ι′· καὶ τῇ ιγ′ τοῦ αὐτοῦ Νοεμβρίου μηνὸς ἦλθεν εἰς τὴν πόλιν μετὰ καραβίου ὁ δεσπότης κὺρ Θωμᾶς, οὐκ εἰδὼς τὸν θάνατον τοῦ βασιλέως, ἀλλὰ περὶ τὴν Καλλίπολιν διερχόμενος ἀκούσας αὐτόν· ἐκείνου δὲ ἐλθόντος ἔπαυσαν πολλῷ πλέον, ἅπερ ὁ δεσπότης κὺρ Δημήτριος ἢ μᾶλλον οἱ αὐτοῦ σφετεριζόμενοι ἐνεργοῦσαν, ἵνα βασιλεύσῃ, τὸν οὐχὶ καὶ δεσπότην καὶ πορφυρογέννητον παρὰ τῶν Κωνσταντινοπολιτῶν ἄξιον ὄντα κρίνεσθαι, ζῶντος τοῦ πρώτου καὶ τοιούτου ἀδελφοῦ καὶ τοῦ ἐπὶ πᾶσιν ἀγαθοῖς πρωτεύοντος· ἄνευ τοῦ δυστυχὴς εἶναι, ὅμως τὸ πρέπον καὶ δίκαιον ἰσχῦσαν ὁρισμῷ τῆς ἁγίας δεσποίνης καὶ τῶν υἱῶν αὐτῆς τῶν δεσποτῶν καὶ ἀρχόντων βουλῇ καὶ γνώμῃ, τῇ ϛ′ τοῦ Δεκεμβρίου, ἀπῆλθον ἐγὼ ἀποκρισιάριος εἰς τὸν Ἀμηρᾶν, ὅτι καὶ αὐτὴ ἡ μήτηρ καὶ οἱ ἀδελφοὶ καὶ τὸ πρωτεῖον τοῦ χρόνου καὶ ἡ ἀρετὴ καὶ

ἡ ἀγάπη τῶν ἐν τῇ πόλει σχεδὸν πάντων τὸν κύριον Κωνσταντῖνον εἰς βασιλέα κρίνουσι, καὶ νὰ ἐπίσταται τοῦτο κἀκεῖνος δὴ ὁ Ἀμηρᾶς, ὅπερ καὶ ἔστερξε καὶ ἀπεδέξατο, καὶ μετὰ τιμῆς καὶ δώρων κἀμὲ ἀπέπεμψε· τὰς αὐτὰς δὲ ἡμέρας καὶ ἄρχοντες ἀπὸ τῆς πόλεως εἰς τὸν Μορέαν ἐστάλησαν Ἀλέξιος Φιλανθρώπινος ὁ Λάσκαρις, ὃς ἐστάλη εἰς τὴν πόλιν παρὰ τοῦ αὐθεντὸς ἡμῶν μετὰ τοῦ δεσπότου κυροῦ Θωμᾶ ὑπὲρ τῶν δουλειῶν αὐτοῦ δὴ τοῦ δεσπότου εἰς τὸν βασιλέα καὶ αὐτὸς ἐπιμεληθῆναι, καὶ Μανουὴλ Παλαιολόγος ὁ Ἴαγρος, καὶ βασιλέα πεποιήκασιν εἰς τὸν Μυζηθρᾶν τῇ ϛʹ Ἰαννουαρίου τὸν δεσπότην κὺρ Κωνσταντῖνον. Καὶ τῇ ιβʹ τοῦ Μαρτίου μηνὸς τοῦ αὐτοῦ ἔτους ἦλθε καὶ εἰς τὴν πόλιν μετὰ καραβίου καταλανικοῦ καὶ παρὰ πάντων ἀσπασίως ἐδέχθη· καὶ τῷ αὐτῷ ἔτει, ἐν μηνὶ Αὐγούστῳ ἐξῆλθεν ὁ δεσπότης ὁ πορφυρογέννητος τιμηθεὶς κὺρ Θωμᾶς καὶ ἀπῆλθεν εἰς τὸν Μορέαν.

υν.

Καὶ τῇ αʹ Σεπτεβρίου τοῦ νηʹ ἔτους ἐξῆλθε καὶ ὁ δεσπότης καὶ πορφυρογέννητος κὺρ Δημήτριος, καὶ ἀπῆλθε κἀκεῖνος εἰς τὸν Μορέαν, εἰς τὴν πόλιν συμβιβασθέντων ἔμπροσθεν τῆς κυρίας καὶ ἁγίας μητρὸς αὐτῶν καὶ τοῦ βασιλέως καὶ ἀδελφοῦ καὶ ἡμῶν τῶν ἐγκρίτων ἀρχόντων καὶ ὅρκους πεποιηκότων, οὓς καὶ κακῶς ἔστερξαν καὶ κακῶς ἀπέλαβον, ὡς εἶδον ὕστερον κἀγὼ, εἰ καὶ, πῶς πρὸς ἀλλήλους διετέθησαν, οὔτε τῶν ἀναγκαίων διηγεῖσθαι, οὔτε ἐν τῇ πόλει εὑρισκόμην, ἵνα καλῶς αὐτὰ ἐπίσταμαι· τῇ γὰρ ιδʹ τοῦ Ὀκτωβρίου μηνὸς τοῦ αὐτοῦ ἔτους ἐστάλην ἐγὼ εἴς τε τὸν τῆς Ἰβηρίας Μέπεν, ἤγουν βασιλέα κὺρ Γεώργιον, καὶ τὸν βασιλέα Τραπεζοῦντος κὺρ

Ἰωάννην τὸν Κομνηνὸν μετὰ χαρίτων ἀξιολόγων καὶ παρασκευῆς ὅτι πολλῆς και καλῆς ἀρχοντοπούλων καὶ στρατιωτῶν καὶ ἱερομονάχων καὶ ψαλτῶν καὶ ἰατρῶν καὶ τεχνιτῶν κροτούντων καὶ ὀργανον· οἱ καὶ ἤκουον ὄνομα μὲν αὐτὸ, τί δέ ἐστιν, οὐκ εἶδον, καὶ ἐπεθυμοῦσαν ἰδεῖν καὶ ἀκοῦσαι οἱ Ἴβηρες· καὶ διὰ τοῦτο καὶ συνέτρεχον ἐκ τῶν περάτων αὐτῆς δὴ τῆς Ἰβηρίας, ἵνα ἀκούσωσιν αὐτοῦ· ἀπῆλθον δὲ διὰ συμπενθερίαν, ὅπου ἄρα με φανῇ ἐκ τῶν δύο γενῶν· ἐδέησεν οὖν, ἵνα διὰ τὸ ἀναίτιόν μου πλέον δηλώσω τῷ αὐθέντῃ μου τῷ βασιλεῖ τὰ καλὰ ἀμφοτέρων τῶν μερῶν καὶ τὰ ἐναντία, καὶ πάλιν ὡς ἂν ὁρίσῃ, καὶ ἔστειλα γραφὰς μετὰ ἀνθρώπων, καὶ πάλιν ἄλλους ὁ αὐθέντης μου ἀπολογησάμενος· καὶ ἐρχόμενοι περὶ τὴν Ἀμισὸν ἐναυάγησαν. Καὶ ἕως οὗ νὰ μάθῃ τοῦτο ὁ αὐθέντης μου ὁ βασιλεὺς νὰ στείλῃ ἄλλους, διεβίβασα εἰς τὰ μέρη ἐκεῖνα χρόνους β′ παρὰ ἡμέρας λ′. εὑρισκομένου μου οὖν ἐκεῖσε τῇ κγ′ τοῦ Μαρτίου μηνὸς τοῦ αὐτοῦ ἔτους τέθνηκεν ἡ ἐν μακαρίᾳ τῇ λήξει γενομένη ἀοίδιμος καὶ ἁγία δέσποινα, ἡ διὰ τοῦ θείου καὶ ἀγγελικοῦ σχήματος μετονομασθεῖσα Ὑπομονὴ μοναχὴ, καὶ ἐτάφη εἰς τὴν μονὴν τοῦ παντοκράτορος, πλησίον τοῦ μακαρίτου καὶ ἀοιδίμου βασιλέως καὶ ἀνδρὸς αὐτῆς.

υνα.

Καὶ τὸν Φευρουάριον τοῦ νθ′ ἔτους ἀπέθανεν ὁ Ἀμηρᾶς ὁ Μουράτης· καὶ τοῦτο οὐκ ἀκούσαντός μου εἰς τὴν Ἰβηρίαν, ὡς ἦλθον εἰς τὴν Τραπεζοῦντα, λέγει μοι ὁ βασιλεύς· ἄρχον ἀποκρισιάρι, νὰ σὲ εἴπω μὲν καλὰ μαντάτα, μόνον νὰ μᾶς δώσῃς τὰ συγχαρίκια· καὶ ἀναστὰς προσεκύνησα αὐτὸν εἰπών· νὰ ποιήσῃ ὁ θεὸς πολυχρόνιον τὴν

βασιλείαν σου, όπου πᾶσι τρόποις εὐεργετεῖς ἡμῖν, καὶ θέλεις εὐεργετήσειν καὶ νῦν τὰ καλὰ μαντάτα· ἀμὴ ἡμεῖς τί ἄξιον ἔχομεν νὰ ἀποδώσωμεν τῇ βασιλείᾳ σου; καὶ λέγει μοι τὸν θάνατον τοῦ Ἀμηρᾶ, καὶ ὅτι ἐγένετο καὶ ὁ υἱὸς αὐτοῦ αὐθέντης, καὶ δέδωκε πολλὰ τὸν βασιλέα καὶ ἔστερξεν, ἵνα ἔχῃ καὶ τὴν ἀγάπην, ἣν μετὰ τοῦ πατρός του εἶχε τὸ ὀσπήτιον ἐκεῖνο· καὶ ἀκούσας τοῦτο ἐγενόμην ἄφωνος καὶ οὕτως ὀδυνηθεὶς, ὥσπερ νὰ μὲ ἔλεγεν θάνατον τῶν ἐμῶν φιλτάτων· καὶ μέχρι τινὸς κατηφιάσας λέγω· δέσποτά μου, τοῦτο οὐ χαρίεν μαντάτον, ἀλλὰ καὶ ὀδυνηρὸν λίαν· καὶ λέγει· πῶς καλέ; καὶ εἶπον· διότι ἐκεῖνος ἦν γέρων καὶ τὸ κατὰ τῆς πόλεως ἀπεπειράσθη αὐτῷ, καὶ πλέον οὐδὲν ἤθελεν, μόνον τὴν ἀγάπην καὶ εἰρήνην· ἀμὴ οὗτος, ὁποῦ ἐγένετο νῦν αὐθέντης, ἔνι νέος καὶ παιδιόθεν ἐχθρὸς τῶν Χριστιανῶν, νὰ ὑβρίζῃ καὶ νὰ ἐπαπειλῆται, ὅτι θέλει ποιήσειν τὰ καὶ τὰ κατὰ τῶν Χριστιανῶν· καὶ ἡ πόλις, εἴπερ ἄλλοτε, ἔνι ἀπὸ τὴν ἀσθένειαν τοῦ αὐθεντός μου τοῦ βασιλέως τοῦ γαμβροῦ ἠπορημένη, καὶ χρέος εἰς τὰ εἰσοδήματα ἐκείνης πολὺ, καὶ ἀπορία εἰς πάντα· καὶ ὁ αὐθέντης μου ὁ βασιλεὺς νέος αὐθέντης καὶ θέλει καιρὸν εἰρηνικὸν νὰ ἐξοικονομήσῃ τὰ ἐκείνης, καὶ ἂν παραχωρήσῃ ὁ θεὸς, νὰ νικηθῇ ἀπὸ τῆς νεότητος αὐτοῦ καὶ κακίας καὶ νὰ ὁρμήσῃ κατὰ τῆς πόλεως, οὐκ οἶδα, τί νὰ γένηται. Ναὶ, ἂν εἶχεν εὐδοκήσειν ὁ θεὸς, νὰ ἀπέθνησκεν οὗτος ὁ υἱὸς αὐτοῦ, ἰδοὺ εὐφρόσυνος κατὰ ἀλήθειαν ἀγγελία! ἐπεὶ ἄλλον οὐκ εἶχε, καὶ ἀπὸ τῆς λύπης ἤθελε γενῆν καὶ ἀσθενέστερος καὶ ὀλιγοχρονιώτερος, καὶ μέσον τούτου ἤθελεν ἀναῤῥωσθῆναι καὶ τὸ ὀσπήτιον ἐκεῖνο· καὶ ἀποθανόντος ἐκείνου ἤθελεν ὑπά-

γειν εἰς προτίμησιν μεγάλην· καὶ λέγει μοι· σὺ ἦσαι καὶ τῶν φρονίμων καὶ τῶν πρώτων ἀρχόντων τοῦ ὁσπητίου ἐκείνου, καὶ θέλεις γινώσκειν καὶ εἰς τὰ τοιαῦτα καλλίω· ὅμως ὁ θεὸς δυνατὸς ἔνι, νὰ τὸ ποιήσῃ διὰ καλόν· καὶ εἶπον· οὕτως ἔνι ὡς ὁρίζεις· καὶ ἀπέμεινεν εἰς ἐκεῖνον· ἐγὼ δὲ ὡς ἤκουσα τοῦτο, καὶ ὅτι ἡ γυνὴ τοῦ Ἀμηρᾶ, ἡ θυγάτηρ δεσπότου Σερβίας, ἐντίμως καὶ καλῶς ἐπανέστρεψεν εἰς τοὺς γονεῖς αὐτῆς· ἐπεὶ ἐγὼ ἔμελλον μεῖναι εἰς τὴν Τραπεζοῦντα διὰ αἴτια πολλά· πλεύσιμον δὲ (εὑρὼν) ἀπερχόμενον εἰς τὴν πόλιν, ἔστελλον καὶ ἄλογα καὶ παιδία δύο, ἅτινα ὁ βασιλεὺς Ἰβηρίας ἀπελθὼν περὶ τὸ Σαμαχὶν ἐχρύσευσε καὶ ἔστειλέ μοι χάριν, καὶ ἄλλα τινὰ, ἃ καὶ ἐχαρίσθημεν καὶ ἐκτησάμεθα ἀλλοτρόπως· καθίσας ἔγραψα πρὸς τὸν αὐθέντην μου τὸν βασιλέα, ὅσα καὶ εἰς τὴν Ἰβηρίαν ἔπραξα, καὶ ὅσα εἰς τὴν Τραπεζοῦνταν ὑποπτεύω ὅτι μέλλω πράξειν, καὶ τὴν αἰτίαν τῆς ἐκεῖσε προσμονῆς· ἔγραψα δὲ καὶ ἑτέραν ἀναφορὰν, περὶ ὧν μέλλω δηλώσειν· καὶ δοὺς τὰς γραφὰς ἑνὶ τῶν σὺν ἐμοὶ ὀρχοντοπούλων ἔστειλα αὐτὸν παραγγείλας, ὅτι τὴν μὲν μίαν δὸς τῷ αὐθέντῃ ἡμῶν βασιλεῖ, ὡσὰν προσκυνήσῃς αὐτῷ, καὶ διὰ στόματός πάντα καθ' ἡμᾶς ἀνάφερε· ἔπειτα τὴν αὔριον δὸς τὴν ἑτέραν· ἔγραψα δὲ οὕτως· ἐγὼ ἔμαθον τὸν θάνατον τοῦ Ἀμηρᾶ φθάσας ἐνταῦθα εἰς τὴν Τραπεζοῦντα παρὰ τοῦ βασιλέως· ἔμαθον οὖν καὶ τῆς ἐξαδέλφης αὐτοῦ τῆς Ἀμηρίσσης ἐπαναστροφὴν εἰς τὴν πατρίδα καὶ τοὺς γονεῖς αὐτῆς· λοιπὸν συλλογισάμενος, φαίνεταί μοι κάλλιον καὶ ὠφέλιμον εἰς πολλὰ τὸ ἐκεῖσε αὐτὸ νὰ εὕρῃς νὰ τὸ πράξῃς παρὰ ἀπὸ τὰ ἐνταῦθα· τέσσαρα γὰρ καὶ μόνον εὑρίσκω τὰ προσιστάμενα· τὸ ἔλαττον τοῦ γένους, τὸ τῆς ἐκκλη-

σίας διὰ τὴν συγγένειαν, τὸ ὅτι εἶχεν ἄνδρα (Τοῦρκον) καὶ τέταρτον ὅτι ἔνι χρόνου πλείονος καὶ ἕνι λογισμὸς, μήποτε ἐλθόντος καιροῦ τοῦ τεκεῖν παιδίον κινδυνεύσῃ, ὡς οἱ φυσικοὶ γράφουσιν, ὅ τι ὡς ἐπὶ τὸ πλεῖστον ἐπισυμβαίνει. Λοιπὸν περὶ τοῦ πρώτου λέγω, ὅτι οὐδὲν ἔνι παράδοξον· ἐπεὶ οὐδὲν ἔνι ἐλάττονος γένους τῆς κυρίας μου καὶ ἀοιδίμου μητρός σου· περὶ τοῦ δευτέρου καὶ ἂν ὅλως ἐλπίζωμεν ὅτι, τὸ τῆς Τραπεζοῦντος ἂν γένηται, θέλει συγχωρήσειν αὐτὸ ἡ ἐκκλησία, δοθέντων χρημάτων εἴς τε τὰς ἐκκλησίας καὶ εἰς τοὺς πτωχοὺς, πολλῷ μᾶλλον θέλει συγχωρήσειν τὸ τοῦ δεσπότου Σερβίας, ὁποῦ τὸν ἐντρέπονται καὶ χρεωστοῦσι τοσαύτας χάριτας καὶ ἡ ἐκκλησία καὶ ἱερομόναχοι καὶ μοναχοὶ καὶ μοναχαὶ καὶ πτωχοί· περὶ δὲ τοῦ τρίτου καὶ οὐδὲν ἔνι παράδοξον· ἐπεὶ καὶ ἡ δέσποινα κυρὰ Εὐδοκία ἄνδρα προεῖχε Τοῦρκον, καὶ μικροῦ καὶ ὀλίγου τόπου αὐθέντην, καὶ παιδία μετ' ἐκείνου ἐποίησεν· ἀπῆρεν δὲ αὐτὴν εἰς γυναῖκαν ὁ πάππος σου· αὕτη δε ἦν τοιούτου μεγάλου αὐθεντὸς γυνὴ, καὶ οὐδὲ κἂν μετ' ἐκείνου, ὡς ἠκούομεν, ἔμεινε· περὶ δὲ τοῦ τετάρτου, καὶ τοῦτο ἂς ἔνι εἰς θεὸν, καὶ ὡς ἂν τοῦτο εὐδοκήσῃ· ἐπεὶ δὲ καὶ εἰς τὰ ἄλλα πάντα θέλει ἦλθεν συμφορώτερον, καὶ οἱ γονεῖς περιχαρῶς θέλουν δέξεσθαι τοῦτο, στεῖλέ τινα ἢ τῶν τοῦ ὀσπητίου σου ἢ τῶν μοναχῶν, καὶ ἴδε τὸ περὶ τούτου, καὶ μηδὲν γένηται ἀναβολὴ, ἀλλὰ πρᾶξε αὐτό. Ἀποσωθέντων οὖν τῶν γραμματοκομιστῶν ἐν τῇ πόλει τῇ κη' Μαΐου, τοῦ δὲ βασιλέως ὄντος εἰς χοιροκυνήγιον, ὡς ἐλαλήθη, ὅτι ἦλθον οἱ εἰς τὴν Ἰβηρίαν, σχολάσας ἦλθεν εἴσωθεν, χαίρων διὰ τὴν τῆς Σερβίας δουλείαν, ὡς παρακατιὼν ὁ λόγος δηλώσει· ἔτυχε δὲ ὅτι τὴν αὐτὴν δὴ τῆς

κή ἑσπέραν φαίνεταί μοι καθ' ὕπνους, ὅτι ἔφθασα εἰς τὴν πόλιν καὶ πεσόντος μου ἀσπάσασθαι τοὺς βασιλέως πόδας, οὐκ ἀφῆκέ μοι, ἀλλ' ἐπιλαβὼν ἐφίλησέ μοι εἰς τοὺς ὀφθαλμούς· καὶ ἔξυπνος γενόμενος λέγω τοὺς περὶ ἐμὲ ὑπνοῦντας, τὸ καὶ τὸ νῦν ἔδοξέ μοι καθ' ὕπνους, καὶ ἐνθυμεῖσθε τὴν ἡμέραν· ὁ γοῦν αὐθέντης μου καὶ βασιλεὺς ἰδὼν ὅτι οὐκ ἦλθον ἐγὼ, ἀλλ' ἀπὸ τῶν σὺν ἐμοὶ, (ὡς) καὶ τὴν πρώτην γραφὴν ἀνέγνωσε, περίλυπος ἐγένετο καὶ ἐδυσφόρει, καὶ τὴν ἐμὴν κατηγόρει βραδυτῆταν· ὡς δ' ἐπὶ τὴν αὔριον τὴν ἄλλην γραφὴν ἀνέγνω, ἰδοὺ ἀπέμεινεν ἀρκετὸς, ὡς εἰ ἠρχόμην κἀγώ. Καὶ εὐθὺς οἰκονομήσας Μανουὴλ τὸν Παλαιολόγου τὸν ἀνεψιὸν Καντακουζηνῆς τῆς πρωτοστρατορίσσης ἔστειλεν εἰς τὴν Σερβίαν καὶ ἐδοκιμάσθη τὸ περὶ τούτου, καὶ ἤκουσαν οἱ γονεῖς αὐτῆς ἡδέως τὸν λόγον, καὶ ἑτοίμως εἶχον καὶ πρὸς τὸ ἔργον, ἀλλ' εὑρέθη ὅτι ἡ Ἀμήρισσα ἐδεήθη τοῦ θεοῦ καὶ ἔταξεν, ἵνα, εἰ διά τινος τρόπου ἐλευθερώσῃ αὐτὴν ἀπὸ τὸ ὁσπήτιον τοῦ τάχα ἀνδρὸς αὐτῆς, ἄνδρα ἕτερον εἰς ὅλην αὐτῆς τὴν ζωὴν νὰ μηδὲν ἐπάρῃ, ἀλλὰ νὰ μένῃ ἐλευθέρα καὶ κατὰ τὸ δυνατὸν θεραπεύουσα τὸν τὴν ἐλευθερίαν αὐτῇ δεδωκότα. ἐναπέμεινεν οὖν διὰ ταύτην τὴν αἰτίαν τὸ περὶ τούτου ἀργόν. Τὸν δ' αὐτοῦ τοῦ ἔτους Αὔγουστον διέβη ἀπὸ τῆς πόλεως ὡς φυγὰς καὶ ὁ πατριάρχης κὺρ Γρηγόριος.

ϛνβ.

Καὶ ἐγὼ τῇ ιδ' τοῦ Σεπτεβρίου μηνὸς τοῦ ξ' ἔτους εἰς τὴν πόλιν ἀπέσωσα μετὰ τοῦ καραβίου τοῦ καλοῦ Ἀντωνίου Ῥίτζου, τοῦ καὶ ὕστερον μαρτυρήσαντος ὑπὲρ τῆς εἰς Χριστὸν πίστεως αὐτοῦ, τελέσας ἢ μᾶλλον πλέον βε-

βαιώσας τὸ τῆς Ἰβηρίας συνοικέσιον, εἰδὼς τὰ τῆς Τραπεζοῦντος ἐλάττονα πολλῷ πλέον ἐκείνων· — εἶπέ μοι γὰρ ὁ βασιλεὺς τῆς Ἰβηρίας ὅτι ἐφ' ἡμῖν τοῦτο οὐκ ἔστι σύνηθες, ὅτι νὰ δίδωσιν αἱ γυναῖκες χρήματα τοὺς μέλλοντας λαβεῖν ἄνδρας, ἀλλ' οἱ ἄνδρες τὰς γυναῖκας, ὡς καὶ σὺ μαθεῖν ἤθελες ἐνταῦθα· διὰ τοῦτο ποιοῦμέν το μετ' αἰδοῦς καὶ (οὐκ) ἀσυμβουλεύσεως ἀπὸ τοὺς εὔνους καὶ δίδω τὴν θυγατέραν μου ἄνευ τῶν φορεμάτων καὶ σκευῶν τῶν εἰς ὑπηρεσίαν αὐτῆς φλωρία χιλιάδες λς' καὶ νὰ ἔχῃ καὶ κατ' ἔτος χιλιάδες γ' διὰ τὸ νὰ δίδῃ εἰς τὰς ἐκκλησίας καὶ πτωχούς, καὶ ὅπου ἂν φανεῖται αὐτῇ· σὲ δὲ ἀκούω ὅτι ἔχεις παιδία δύο, καὶ τὸ ἀρσενικὸν ἐβάπτισέν το ὁ βασιλεὺς καὶ ἔνι ἐκείνου, τὸ δὲ θηλυκὸν νὰ ἔνι ἀπὸ τὴν σήμερον τῆς θυγατρός μου καὶ νὰ ὀφείλῃ νὰ τὸ ὑπανδρεύσῃ, ὁποῦ ἂν σὺ κρίνῃς ἄξιον καὶ εὕρῃς μετὰ βίου ἰδικωτέρου· ὅταν δὲ ἔλθῃς σὺν θεῷ νὰ τὴν ἐπάρῃς, νὰ ἔχῃς παρ' ἐμοῦ γομάρια τέσσαρα μεταξίου· ἔνι δὲ ψιλὸν (καὶ), ὡς ἠκούσαμεν, ἔχει τὸ γομάριον φλωρίων φ'· ὡς οὖν πάντα τὰ τοῦ ἀποκρισιαρίου ἀπὸ μέρους ἀνέφερα, ἦλθον καὶ εἰς τὸ τῆς Σερβίας, καὶ ἠρώτησα μαθεῖν· καὶ ὥρισέ μοι οὕτως· ἐγὼ ὀφείλω σοι πολλὰ διὰ τὴν εἰς ἐμέ σου ἀγάπην παιδιόθεν καὶ πίστιν καὶ δουλοσύνην, ἀλλὰ τοῦτο δὴ τὸ σὸν σήμερον τὸ περὶ τῆς Σερβίας ἦν βεβαίωσις καὶ ἐκσφράγισμα τῆς εἰς ἐμέ σου ἀγάπης καὶ δουλοσύνης, ὁποῦ λέγω καὶ εἰς ἐμὲ τοῦ νὰ χρεωστῶ νὰ ἀνταμείβωμαι· νὰ κοπιάσῃς γὰρ τοσαῦτα καὶ νὰ πασχίσῃς καὶ νὰ λίπῃς ἀπὸ τὸ ὁσπήτιόν σου τοσοῦτον δὴ καιρόν, καὶ νὰ εὕρῃς ὅσα εὗρες καὶ τοσαύτας καὶ τοιαύτας ἐπαγγελίας εὐεργεσιῶν καὶ τιμῶν, ἐὰν μόνον τὸ ἐκείνων τελέσῃς· σὺ δὲ νὰ

προκρίνης τὸ ἐνόησας διὰ συμφέρον πλέον ἐμὸν, καὶ νὰ μὲ γράφης καὶ νὰ μὲ βουλεύεσαι ἅπερ μοι ἔγραψας, τοῦτο ἦν μέγα τι ἐκμαρτύριον τῆς ἀληθοῦς σου ἀγάπης εἰς ἐμὲ καὶ δουλοσύνης καὶ πίστεως· καὶ πληροφορήθητι ἀληθῶς, ὅτι θέλεις ἕξειν καὶ παρ' ἐμοῦ ἀξίαν τὴν ἀντάμειψιν, εἴπερ ἐν τοῖς ζῶσιν εὑρίσκομαι· τὸ περὶ τούτου οὖν παρηκολούθησεν οὕτως, ὡς ἀπέθανεν ὁ Ἀμηρᾶς· καὶ τὸ τῆς θυγατρὸς δεσπότου Σερβίας οὕτως παρηκολούθησεν· ἐλθοῦσα ἡ πρωτοστρατόρισσα συνέτυχέ μοι περὶ τούτου, καὶ πολλὰς δόσεις καὶ ἐπαγγελίας εἰς τὸ μέλλον ὠφελίμους ἔταξεν, ἅπερ καὶ ἐγὼ ἀπὸ πολλῶν αἰτιῶν ἐνόμισα αὐτὰ, καὶ πολλὰ καὶ καλὰ, ἀληθῆ καὶ συμφέροντα· ὅμως δὲ ἤθελεν εἰς τοῦτο καὶ ἄλλων βουλὴν καὶ σκέψιν, πῶς ἂν τυχένῃ νὰ γένηται, ἵνα καὶ γένηται· τίνα οὖν νὰ ἐβουλευόμην; ἡ κυρά μου ἡ δέσποινα καὶ ἀπέθανεν· ὁ Καντακουζηνὸς, ὅπου, ὡς ἀπὸ πολλῶν τῶν ἄλλων, ἀπροσπαθῶς ἐβουλεύετο, καὶ ὁμοίως ἀπέθανεν· ὁ Νοταρᾶς καὶ πάντα τὰ ἄλλα φανερῶς καὶ ἀφανῶς λέγει ὅτι οὐδὲν ὠφελοῦσιν, εἰ μὴ μόνον τὸ ἐκείνου, καὶ πάντα λίθον κινεῖ, ὡς ὁ λόγος, ὡς καὶ σὺ κάλλιον τῶν ἄλλων ἐπίστασαι, ὁ μέγας δομέστικος καὶ διάκειται ἐχθρωδῶς εἰς τὰ τῆς Σερβίας· καὶ ἰδοὺ μετὰ Καντακουζηνοῦ Ἰωάννου ὁμονοήσαντες ἀεὶ παροτρύνουσί με εἰς τὸ τῆς Τραπεζοῦντος· ποῦ νὰ ἐκούμβιζον; εἰς καλογέρους; καὶ εἰσὶ τῶν τοιούτων ἀπράγμονες· εἰς ἄρχοντας; καὶ τίνα νὰ εὕρισκον ἀπροσπαθῆ καὶ νὰ μηδὲν πρόσκειται εἴς τι, ἢ νὰ μηδὲν τὸ ἐξείπῃ πρὸς τοὺς ἄλλους; λοιπὸν ἐδεινοπάθουν εἰς τὴν σὴν βραδυτῆταν· ἐλθούσης δὲ τῆς γραφῆς σου, ἰδοὺ καὶ σὲ καὶ τὴν γνώμην σου ἔγνωκα· καὶ τὰ εἴχομεν καὶ ἡμεῖς προσιστά-

μενα, φρονίμως καὶ καλῶς ἔλυσας, καὶ εὐθὺς τὸν Παλαιολόγον ἔστειλα δι' ἄλλα μὲν τὸ φαινόμενον, ὡς ἀπὸ τῆς θείας του δὲ τῆς πρωτοστρατορίσσης εἴπῃ τοῦτο, καὶ ἰδοὺ ἠκούσαμεν τὰ αἴτιον τοῦ κωλύματος καὶ ἐπαύσαμεν· λοιπὸν σὺν θεῷ ἂς τελέσωμεν τὸ τοῦ βασιλέως τῆς Ἰβηρίας· καὶ γεγονότος χρυσοβούλλου καὶ ὑπογραφέντος, ὅτι ἐκείνου μὲν ἡ θυγάτηρ νὰ ἔνι γυνὴ αὐτοῦ καὶ δεσπότις τῆς Κωνσταντινουπόλεως, οὗτος δὲ νὰ ἔνι ἀνὴρ ἐκείνης εἰς τὰς συμφωνίας, ἃς μετ' ἐμοῦ ἔστειλεν ὁ βασιλεὺς Ἰβηρίας· καὶ κληθεὶς ὁ αὐτὸς σταλεὶς μεθ' ἡμῶν ἐκείνου ἄρχων ἀπὸ τοὺς δευτέρους, ἔμπροσθεν αὐτοῦ ἐποίησεν ὁ βασιλεὺς καὶ αὐθέντης μου οἰκειοχείρως σταυροὺς τρεῖς μετὰ κινναβάρεως εἰς τὸ ἄνωθεν μέτωπον τοῦ χρυσοβούλλου εἰς βεβαίωσιν, ὡς ἡ ἐκείνων συνήθεια· καὶ λαβὼν τὸ χρυσόβουλλον ἀπὸ τὰς χεῖρας αὐτοῦ, καὶ ἀκούσας· ἰδοὺ οὗτος (δείξας ἐμὲ), ὃς σὺν θεῷ τὸ ἐρχόμενον ἔαρ ἔρχεται μετὰ κατέργων, ἵνα ἐπάρῃ αὐτὴν, προσκυνήσας ἀπῆλθεν. ἐπεὶ δὲ ἀπὸ τῆς ἀρχῆς τοῦ αὐτοῦ ἔτους ἐψιθυρίζετο, ὅτι βούλεται ὁ Ἀμηρᾶς καὶ εἰς τὸ στενὸν περὶ τὸν Ἀσώματον κτίσαι κάστρον, ἐβουλεύσατο ὁ βασιλεὺς, ἵνα εἰς τὸν Μορέαν ἀποστείλας φέρῃ ἕνα τῶν ἀδελφῶν αὐτοῦ, ὃς ἂν καταδέξηται τοῦτο, καὶ τὰ συμπεφωνημένα στέρξῃ, ἵνα χρείας τυχούσης πρὸς τὰ ἴδωσιν εἰς τὸν Ἀμηρᾶν, εἷς ἐκ τῶν δύο ἀπέλθῃ εἰς τοὺς τῆς δύσεως αὐθέντας· καὶ τούτου σταθέντος, ὁρίζει πρός με μίαν τῶν ἡμερῶν· πρωτοβεστιαρίτα, εἰς τὸ ἐβουλευσάμεθα, σὺ λέγεις νὰ ἀπέλθῃς εἰς τὸν Μορέαν, καὶ ὡς ἂν κατορθώσῃς τὸ ἐκεῖσε· ἐκεῖνος μὲν νὰ ἔρχηται ἐνταῦθα, οἷος ἂν ᾖ τῶν ἀδελφῶν μου ὁποῦ θελήσῃ τοῦτο, σὺ δὲ νὰ ἀπέλθῃς εἰς τὴν

Κύπρον, εἰς τὴν ἀνεψιάν μου τὴν ῥηγίναν· καὶ ἡμεῖς ἐδῶ θέλομεν ἑτοιμάσειν τὰ εἰσὶν χρείας, ὡσὰν ἔλθῃς ἀπὸ τὴν Κύπρον, νὰ ὑπάγῃς εἰς τὴν Ἰβηρίαν, ἵνα ἐπάρῃς τὴν μελλοκυράν σου· ἀνέφερον δ' αὐτῷ· ἡ ἀγάπη καὶ τὸ χρέος τῆς δουλοσύνης μου ἀπαιτεῖ, ὅτι νὰ εἴπω εἰς τὸν ὁρισμόν σου· ἀμὴ πάλιν φοβοῦμαι διὰ τὴν δούλην καὶ συντέκνισσάν σου, μή ποτε ἀγανακτήσῃ, καὶ ἢ ἀπέλθῃ καὶ γένηται καλογραία ἢ ἀφήσῃ με καὶ ἐπάρῃ ἄλλον· χθὲς γὰρ ἦλθον, ποιήσας εἰς τὴν Ἰβηρίαν χρόνον καὶ μῆνας ια'· και πάλιν νὰ ἀπέλθω νῦν, δίκαιον θέλει ἔχειν νὰ ποιήσῃ οἷον ἐκ τῶν δύο ποιήσῃ. Καὶ γελάσας ὁρίζει· ἀλλὰ εἰπὲ αὐτῇ, ὅτι ταῦτα καὶ μόνον τὰ ταξείδια νὰ σὲ συγχωρήσῃ νὰ ποιήσῃς, καὶ νὰ τὴν ποιήσω ἔνορκον πρόσταγμα, ὅτι πλέον νὰ μηδὲν σε ἐνοχλήσω διὰ τοιοῦτόν τι· καὶ μᾶλλον καὶ σὺ ἐπίστασαι, τί ἐνθυμούμεθα καὶ ἀμφότεροι συντυχένομεν καὶ βουλευόμεθα ποιῆσαι· καὶ τοῦτο βεβαιοῦ καὶ χωρὶς ἐνόρκου προστάγματος, ὅτι τὰ διὰ σοῦ ἀποκρισιαρίκια νὰ παύσουν. ἦν δ' ὅπερ συνετυχένομεν καὶ ἐβουλευόμεθα, ὅτι νὰ μηνύσῃ τὸν μέγαν δοῦκαν τὸν Νοταρᾶν, ὅτι τὸ μεσαστίκιον οὐδὲν ἠμπορεῖ νὰ ἔχῃ· καὶ οὐδὲν τυχένει νὰ [τῆς] τὸ ἐπάρωμεν διὰ τὴν τιμήν του· ἀμὴ νὰ τὸ ἀφήσῃ ἐκεῖνος, νὰ ἔχῃ δὲ καὶ τὸ πρωτεῖον τῆς στάσεως καὶ τῆς βουλῆς, καὶ πρόσοδόν τινα δι' ἄλλου τρόπου· ἐπεὶ ἔχω χρείαν νὰ ποιήσω ἄρχοντας δύο, ὡς ὁ βασιλεὺς ὁ ἀδελφός μου, οὐχὶ μεσάζοντας, ἵνα ἀπὸ τὴν ἀρχὴν τῆς ἡμέρας ὦσι μετ' ἐμοῦ μέχρι πολλῆς ὥρας τῆς νυκτὸς καὶ τὰς δουλείας μου πράττω, ὅπερ καὶ ἐγένετο· και ἐμηνύθη ὁ μέγας δοὺξ διὰ τοῦ συντέκνου αὐτοῦ κἀμοῦ ἱερομονάχου καὶ

πνευματικοῦ Νεοφύτου τοῦ εἰς τὸν Χαρσιανίτην· ὃ δὴ καὶ ἔστερξεν, ἑκουσίως ἢ ἀκουσίως, οὐκ οἶδα· καὶ μᾶλλον ἔδειξεν ὅτι κἀκεῖνος ἐβούλετο τοῦτο ποιῆσαι, καὶ ἔτι μόνου νὰ ποιήσῃ τοὺς υἱοὺς αὐτοῦ εἰς τιμήν· καὶ ἐστάθην, εἰ καὶ οὐδὲν ἐτελέσθη, ἐπελθοῦσαι αἱ συμφοραὶ εἰς πάντας ὁμοῦ· καὶ ὥρισεν, ὅτι ἐγὼ μὲν θέλω ἦσθεν ὁ εἷς, καὶ ὅτι στοχάζεται πρὸς τὸν Γουδέλην Νικόλαον, καὶ ἂν ἀρεστὴ ἔνι ἡ συντροφία, νὰ γένηται καὶ μέσον ἡμῶν συμπενθέριον, ὁ υἱός μου τὴν ἐκείνου θυγατέραν. Καὶ αὕτη μὲν ἦν ἡ δουλεία, ὁποῦ ὥρισεν ὅτι ἤθελαν παύσειν εἰς ἐμὲ τὰ ἀποκρισιαρίκια· ὥρισέ μοι δὲ ὅτι πέμψειν ἤθελα εἰς τὸν Μορέαν καὶ ἀπὸ τούτους τάχα τοὺς γεραιτέρους, ἀλλὰ θέλω νὰ δώσω οἰκειόχειρόν μου ἀνάθεσιν ἔχουσαν κεφάλαια έ· ἵνα εἴπῃ τὸ πρῶτον εἰς συμβίβασιν, εἰ δ' οὖν, τὸ δεύτερον ἢ τὸ τρίτον ἢ τὸ τέταρτον ἢ ἐξ ἀνάγκης τὸ πέμπτον· καὶ δοξάζω ὅτι, οἷον ἀποστείλω ἄνευ σοῦ, θέλει ὑπάγειν, καὶ νὰ τὸν τάξουν κανένα χωρίον ἀργυροβούλλῳ ἢ ὅτι θέλει ἔχειν ἐκεῖνος καὶ τὰ παιδία αὐτοῦ οὕτως καὶ οὕτως, εὐθὺς θέλει δώσειν τὸ πέμπτον, ὅπερ θέλει ἦσθεν εἰς ἐμὲ βαρύ. Εἰς τὸ τῆς Κύπρου καὶ ἐπίστασαι τὸν καλόγερον, ὃς μοι συνετύχενε τὴν δεῖνα ἡμέραν; εἰπέ μοι ἀπὸ τὴν ἀνεψιάν μου, ὅτι τίποτε ἔχει τῶν ἀναγκαίων, ὁποῦ ἤθελεν, ἢ ἂν ἦν τῶν δυνατῶν, νὰ μὲ τὸ ἔλεγεν διὰ στόματος αὐτῆς ἢ, κἂν νὰ τὸ ἐμήνυε διὰ πιστοῦ καὶ φρονίμου ἀνθρώπου αὐτῆς, ἂν εἶχεν· ἐπεὶ δὲ τὸ μὲν οὐκ ἔχει, τὸ δὲ ἔνι ἀδύνατον, νὰ στείλω ἐγὼ τὸν ὃν με θέλει φανῆν ἁρμόδιον νὰ τὸ ἀκούσῃ. τίς οὖν πρὸς τοῦτο ἁρμοδιώτερος; εἰς τὸ τρίτον, καὶ τοῦτο λόγου οὐ δεῖται· σὺ γὰρ ὁποῦ καὶ ἔπραξας καὶ ἔστη-

σας καὶ εἶδες τὸ πρόσωπον καὶ συνέτυχες καὶ ἐπληροφορήθης, πῶς ἠμπορεῖ τὸ τέλος τῆς δουλείας νὰ γένηται παρ' ἄλλου; Ἀνέφερον αὐτῷ· τοῦτο ὁμολογουμένως οὕτως ἔχει, ὡς ὁρίζεις, καὶ συγκατατίθεταί το καὶ ἡ δούλη σου, ἡ σύντροφός μου, ἐπεὶ καὶ τὸ πρᾶγμα τοῦτο ἀπαιτεῖ, καὶ ὅτι διὰ τούτου θέλει ἔχειν καὶ ἅπερ μοι ἔταξας, καὶ τόπον καὶ τιμὴν καὶ ἀναδοχὴν πλείω τῶν ἄλλων ἀρχοντισσῶν· ἀμὴν εἰς τὰ ἄλλα οὐδὲν ἠξεύρω τί νὰ σὲ ἀναφέρω· καιροῦ δὴ ὄντος τοῦ ἀρίστου ἀπῆλθον ἐγὼ οἴκαδε· ἀπὸ δὲ τοῦ γεύματος ἐλθόντος τοῦ μεγάλου δουκὸς ὥρισε πρὸς αὐτὸν, ὅσα μετ' ἐμοῦ περὶ τῶν ἀποκρισιαρικίων ὥρισε, πρὸς τὸ νὰ ἀπέλθω, οὐ μὴν τὰ αἴτια, καὶ προσέθηκε καὶ τοῦτο, ὅτι ἔνι καὶ χρεία καὶ ἡμεῖς νὰ τὸν τιμήσωμεν. εἰς γὰρ τὸ ὀφφίκιον, ὅπου ἔχει, χάριν ἡμᾶς οὐδὲν ἔχει, εἰ μὴ τὸν βασιλέα τὸν ἀδελφόν μου· λοιπὸν ἰδὲ αὐτὸν πρὸς τοῦτο, καὶ ἐγρήκησον, ποῖον τῶν ὀφφικίων νὰ ὀρέγεται, καὶ πρὸς οὗ ἀκούσωμεν· συνέτυχέ μοι οὖν, καὶ εἶπεν πρὸς αὐτὸν, ὅτι ἐγὼ ἐν νῷ εἶχον ὅτι νὰ τὸν ζητήσω νὰ μὲ εὐεργετήσῃ ὀφφίκιον μεγαλώτερον, πλὴν ὅπερ ἄλλος οὔτε ἔχει ἀλλ' οὐδὲ νὰ τὸ εὐεργετήσῃ ζῶντός μου, διότι καὶ οὕτως μοι φαίνεται πρέπον καὶ ἠγάπουν, καὶ ἀφ' οὗ μάλιστα εἰς τὴν Τραπεζοῦνταν ἀπῆλθον καὶ τοσαῦτα ὀνείδη καὶ κατηγορίας ἤκουσα, πῶς εἰς τὸ αὐτὸ καὶ ἐν ὀφφίκιον εἰσὶν ἄρχοντες τρεῖς ἐνταῦθα· καὶ ἔτι ἐβεβαιώθη ὁ λογισμός μου εἰς τὴν ὄρεξιν ἣν εἶχον· λοιπὸν ἂς μὲ εὐεργετήσῃ τὸ ὀφφίκιον τοῦ μεγάλου κοντοσταύλου. Ἀπῆλθε καὶ ἀνέφερε ταῦτα τῷ βασιλεῖ, καὶ ὁρίζει πρὸς αὐτόν· τοῦτο, Νοταρᾶ, τινὰ οὐδὲν τὸ θέλω δώσειν, διότι ὁ πρῶτός μου πενθερὸς ἦν μέγας κο-

τόσταυλος, γεγονὼς παρὰ τοῦ αὐθεντός μου τοῦ βασιλέως τοῦ πατρός μου εἰς τὸ Ἑξαμίλιον· ἀμὴ νὰ τὸν δώσω μεγαλώτερον τούτου, ἵνα τὸν ποιήσω μέγαν λογοθέτην, ὅπερ ἔνι ὀφφίκιον τέταρτον καὶ τὸ τοῦ μεγάλου κοντοσταύλου ἔνι ἕβδομον· λέγει αὐτῷ ὁ μέγας δοὺξ, καὶ τί νὰ γένηται μετὰ Παλαιολόγον τὸν Μετοχίταν, ὁποῦ ἐποίησεν (ἡ βασιλεία σου) τὸν υἱὸν τοῦ Καντακουζηνοῦ ζητήσει τοῦ δεσπότου τοῦ ἀδελφοῦ σου διὰ τὴν συγγένειαν τῆς συγγαμβρίας καὶ διὰ τὸν αὐτοῦ πατέρα πρωτοστράτορα, καὶ ἐκεῖνος ὑπάγει νὰ δώσῃ τὴν ψυχήν του τὸν διάβολον, ἂν καὶ νῦν ποιήσῃς καὶ τὸν Φραντζῆν μέγαν λογοθέτην, ὁποῦ ἔνι καὶ αὐτὸ πρῶτον ἀπὸ τὸ τοῦ μεγάλου στρατοπεδάρχη· τί θέλει γενῆν; ἀμὴ δὸς αὐτῷ τὸ μεγάλου πριμικυρίου, ὁποῦ ἔνι μετὰ τὸν μέγαν στρατοπεδάρχην· καὶ ὁρίζει πρὸς αὐτόν· ἐκεῖνος προεῖπέ μοι, ὅτι οὐδὲν θέλει κανένα, ἂν ἔνι τὸ μεγαλώτερον ἂν ἔχῃ αὐτὸ ἄλλος· πῶς θέλει καταδέξεσθεν αὐτό; ὅμως εἰπὲ τοῦτο πρὸς αὐτὸν καὶ ἂς ἀκούσωμεν. Ἔρχεται καὶ λέγει πρὸς ἐμὲ, ὅτι περὶ τοῦ μεγάλου κοντοσταύλου τὸ ὀφφίκιον ὁρίζει, ὅτι διὰ τὸ εἶναι τὸν πενθερὸν αὐτοῦ μέγαν κοντόσταυλον οὔτε σὲ οὔτε ἄλλον θέλει εὐεργετήσειν τοῦτο· ἀμὴ νὰ σὲ εὐεργετήσῃ τὸ τοῦ μεγάλου πριμικυρίου, ὅπερ ἔνι καὶ πρὸ τούτου. Εἶπον δ' ἐγὼ πρὸς αὐτὸν, ὅτι, ἐὰν ἦν καὶ πρῶτον τοῦ μεγάλου δουκὸς, οὐδὲν τὸ θέλω· ἐπεὶ τὸ ἔχει καὶ ἄλλος. Διελύθη ὁ σύλλογος· βουλευθέντος δέ μου μετὰ τῶν συγγενῶν καὶ φίλων καὶ οἰκείων ἐφάνη καλὸν ὅτι τὸ περὶ τῶν ὀφφικίων νὰ γένηται ὡς γένηται, νὰ ἀπέλθω δὲ εἰς τὸν Μορέαν καὶ τὴν Κύπρον, καὶ ὅτι νὰ ἐπάρω καὶ μετ' ἐμοῦ καὶ τὸν ἄριστόν μου υἱὸν καὶ κρείττονα σχεδὸν

πάντων τῶν συνηλικιωτῶν αὐτοῦ καὶ ἀπὸ τοῦ κινητοῦ μου βίου τὸ πλέον μερδικὸν, καὶ νὰ ἀπέλθωμεν τῆς στερεᾶς καὶ νὰ ἴδῃ καὶ τοὺς τόπους καὶ νὰ παιδευθῇ εἰς πᾶν εἴ τι χρήσιμον ἐν τῷ βίῳ, καὶ πρὸς οὗ ἀναδιδάξωσιν ἡμῖν τὰ τοῦ Ἀμηρᾶ, καὶ ἂν τυχένῃ, νὰ ἀφήσω τὸν υἱόν μου εἰς τὸν Μορέαν μὲ τὸν βίον μου εἰς τοὺς ἀπὸ μητρὸς γνησίους αὐτοῦ συγγενεῖς, ἢ πάλιν μετ' ἐμοῦ νὰ ἐπαναστρέψῃ· ὅπερ αἴτιον καὶ τὴν μητέρα αὐτοῦ ἐδυσώπησεν, ὁ λογισμὸς δηλονότι τῆς μάχης, καὶ συνεχώρησεν τὴν πάλιν ἐξέλευσίν μου. ὡς δὲ πάντα τὰ χρειώδη τῆς ὁδοῦ ᾠκονόμησα, καὶ ἔλιπον μόνον αἱ γραφαὶ, μίαν τῶν ἡμερῶν ἀπελθόντος μου εἰς τὸ παλάτιον, ἐσέβηκα εἰς τὸ τοῦ βασιλέως κελλίον ὡς σύνηθές μοι· καὶ ὡς οὐχ εὗρον ἐκεῖσε τὸν βασιλέα, ἐρωτήσας, εἶπόν μοι ὅτι εἰς τὸ τετράσαρον, ἕτερον τοῦ κελλίου αὐτοῦ πλησίον ὀσπήτιον, συντυχένει μετὰ τοῦ παπᾶ Ἀντωνίου τοῦ Ῥοδαίου· καὶ προσμείνας μικρὸν, ἰδοὺ καὶ ὁ βασιλεὺς, θυμοῦ πνέων, καὶ ὁρίζει πρός με· εἶδές τον, καὶ παραλείπων τὴν ὕβριν, τὸν μεσάζοντά σου· σὺ ἐζήτησας τὸ ὀφφίκιον τοῦ μεγάλου κοντοσταύλου· καὶ ἐγὼ εἶπον πρὸς αὐτόν· οὔτε ἄλλον τινὰ τὸ θέλω δώσειν, δι' ἃς αἰτίας εἶπον· εἶπεν δὲ ἐγὼ τὸ τοῦ μεγάλου λογοθέτου· καὶ εἶπεν ἐκεῖνος, ὅτι θέλει ὑπάγειν ἵνα κρημνίσῃ ὁ Παλαιολόγος ὁ μέγας στρατοπεδάρχης, ὅτι ποιῶ καὶ σὲ πρὸ ἐκείνου, καὶ σήμερον ἔστειλε τὴν προβατείαν, τὸν παπᾶν Ἀντώνιον, ὅτι ἐζήτησεν ἵνα τιμήσωμεν τὰ μουσχαράκιά του, ζητῶν ἵνα ποιήσωμεν τὸν πρῶτον μέγαν λογοθέτην, καὶ τὸν δεύτερον μέγαν κοντόσταυλον, ἐπεὶ καὶ τοὺς λογατέρους (ἔχει) τοῦ αὐτοῦ ὀφφικίου· λοιπὸν λέγω σοι, ὅτι ἐκείνους, ἂν θέλῃ, θέλουν τοὺς δώσειν ἄλλα μικρότερα ὀφφίκια, ἃ ἀκόμη θέ-

λει ἤσθεν καὶ παρὰ τὴν ἀξίαν τους· σὺ δὲ ἔχε τὸ τοῦ μεγάλου λογοθέτου· τοῦτο δὲ καὶ μόνον σε ζητῶ, ὅτι διὰ πολλὰ τοῦ καιροῦ καὶ τῶν ἀρχόντων αὐτῶν αἴτια, νὰ μηδέν με προσκυνήσῃς εἰς παράστασιν ἑορτῆς ὑπὲρ αὐτοῦ· ἀμὴ νὰ σὲ τὸ γράψῃ ὁ γραμματικὸς ἐν τοῖς πρὸς τοὺς ἀδελφούς μου καὶ τὴν ῥηγίναν, καὶ ἁπλῶς πρὸς πάντας, οὓς μέλλει γράψειν, ὅτι ἔρχεται αὐτοῦ ὁ μέγας λογοθέτης· καὶ σὺ πάλιν θέλεις τὸ γράψειν ἐδῶ πρὸς ἐμὲ καὶ τοὺς σούς· καὶ θέλεις τὸ βάλλειν εἰς τὸ στόμα τους καὶ ἂν τοὺς φανῇ δριμὺ ἢ πικρὸν, τέλος θέλουν τὸ καταπιεῖν. Ἐγὼ δὲ ἀπελογησάμην· πολλὰ τὰ ἔτη τῆς ἁγίας βασιλείας· ἀμὴ δέομαί σου καὶ παρακαλῶ, ὅτι δἰ ἐμὲ μηδὲν ἔνι τίποτε, ὁποῦ νὰ προξενήσῃ λύπην, ἀλλὰ μᾶλλον καὶ τὸ δέρμα μου ἀφαίρεσε, ἂν ἠμπορεῖ νὰ ἔνι πρὸς εἰρήνην καὶ εὐφροσύνην τῆς ἁγίας βασιλείας σου· κἀκεῖνος ὁρίζει· ὡς καλὸς ὑποχείριος λέγεις, πλὴν μηδὲν τὸ ἔχεις τίποτε· πρὸς γὰρ τὰς ὑπολήψεις αὐτῶν τῆς πρὸς σὲ τάχα φιλίας καὶ τοὺς τρόπους των ἀπιδῶν ἐλυπήθηκα· ἀμὴ κάλεσόν μοι ἐδῶ τὸν γραμματικὸν, τίς ἔνι αὐτοῦ; καὶ ἀποκριθείς τις ἀπῆλθεν αὐτὸν· καὶ ὡς ἦλθεν, ὁρίζει πρὸς αὐτόν· εἴπομεν πρὸς σὲ, πρὸς τίνα καὶ τίνα νὰ γράψῃς πίστωσιν ὅτι θέλει μάθειν· καὶ γράψε ὅτι θέλει μάθειν παρὰ τοῦ μεγάλου λογοθέτου τοῦ δεῖνος· καὶ ἐὰν ζῶμεν καὶ παρέμπροσθεν, θέλω τὸν γράψειν καὶ συγγενῆν εἰς τὴν πομπὴν ἐκείνων, ὁποῦ νὰ τὸ κακίσουν μόνον· καὶ σὺ ἔχε τοῦτο, γραμματικὲ, ὡσὰν ἀπόκρυφον μέχρι τινός· καὶ ἐξοικονομήσας τοὺς ὁρισμοὺς ἔλαβον αὐτοὺς καὶ σήμερον νὰ προσκυνήσω καὶ αὔριον ὁμοίως, καὶ ὅτι ὁ Ἀμηρᾶς ἐξῆλθε τῆς Ἀνδριανουπόλεως καὶ ἔρχεται, καὶ

ἄς ἴδωμεν, μή ποτε καὶ καθ' ὁδὸν συναντήσῃ σοί τι ἀπευκταῖον. Ἰδοὺ τῇ κς' Μαρτίου τοῦ αὐτοῦ ἑξηκοστοῦ ἔτους ἦλθεν ὁ Ἀμηρᾶς, καὶ ἔπεσεν εἰς τὸ στενὸν, ἵνα ἐκεῖσε κτίσῃ τὸ κάστρον· καὶ σήμερον νὰ ἴδωμεν καὶ αὔριον καὶ ἔτι διὰ τῆς στερεᾶς οὐδὲ τυχένει, ἐπεὶ ἐπὶ κίνδυνον θέλει ἦσθεν· ἰδοὺ εὑρεῖν θέλομεν πλεύσιμον. τὸν Ἰούνιον τοῦ αὐτοῦ ἔτους ἀπεσκεπάσθη ἡ μάχη· καὶ πηλαλήσαντος φωσάτου, οὓς ἔξωθεν εὗρεν, ἀπῆρε, καὶ τὴν πόλιν ἀπέκλεισε, καὶ τελέσας τὸ κάστρον τῇ λα' τοῦ Αὐγούστου, ἐγερθεὶς ἀπ' ἐκεῖ ἐλθὼν ἔπεσεν εἰς τὰς σούδας τῆς πόλεως.

υνγ.

Καὶ τῇ γ' τοῦ Σεπτεβρίου μηνὸς τοῦ ξα' ἔτους διέβη εἰς τὴν Ἀνδριανούπολιν, ὡς φαίνεται, ὅτι τὰς δύο ἡμέρας αὐτὰς ἵνα κρυφίως ἴδῃ τὸ κάστρον καλῶς καὶ τὰ τοῦ κάστρου· καὶ τῷ αὐτῷ χρόνῳ φθεινοπώρῳ ἦλθεν ὁ Τουραχάνης μετὰ καὶ τῶν υἱῶν αὐτοῦ καὶ πολλοῦ φωσάτου εἰς τὸν Μορέαν, ἐν ᾧ καιρῷ καὶ ὁ υἱὸς αὐτοῦ ἑάλω ὑπὸ τῶν Μοραϊτῶν. καὶ τῇ ιζ' τοῦ Ἰαννουαρίου μηνὸς τοῦ αὐτοῦ ἔτους ἐγεννήθη καὶ ὁ τῶν Παλαιολόγων γένους διάδοχος καὶ κληρονόμος, ὁ κὺρ Ἀνδρέας ὁ Παλαιολόγος· καὶ τῇ δ' τοῦ Ἀπριλλίου μηνὸς τοῦ αὐτοῦ ἔτους ἦλθεν πάλιν Ἀμηρᾶς καὶ παρέπεσε τὴν πόλιν πολιορκῶν αὐτὴν πᾶσι τρόποις καὶ πάσαις μηχαναῖς, διά τε γῆς καὶ θαλάσσης περικυκλώσας καὶ τὰ ιη' μίλια τῆς πόλεως, τετρακοσίων πλευσίμων ὄντων ἀπὸ τὴν θάλασσαν μικρῶν καὶ μεγάλων, διακοσίων δὲ χιλιάδων ἀνδρῶν ἀπὸ τῆς στερεᾶς, ἐχούσης τῆς πόλεως, τῆς τοσαύτης εἰς μέγεθος, ἄνδρας πρὸς ἀντιπαράταξιν ,δψ ὡς ἄνευ τῶν ξένων μόλις ὄντων σ' ἢ μικρόν τι πρός. ἔγνων οὖν ἐγὼ τοῦτο οὕτως

ἔχον, ἀπὸ αἰτίας τοιαύτης· τοῦ γὰρ βασιλέως προστάξαντος τοῖς δημάρχοις ἔγραψεν εἷς ἕκαστος τὴν δημαρχίαν αὐτοῦ ἀκριβῶς, τοὺς δυναμένους σταθῆναι ἐν τῷ κάστρῳ κοσμικοὺς καὶ καλογέρους, καὶ τί καὶ τί ἄρμα πρὸς ἄμυναν νὰ ἔχῃ εἷς ἕκαστος αὐτῶν, καὶ φέροντες εἷς ἕκαστος τῶν δημάρχων δέδωκε τὸ κατάστιχον τῆς αὐτοῦ δημαρχίας τῷ βασιλεῖ· εἶτα ὁρίζει πρὸς ἐμέ· αὕτη ἡ δουλεία πρὸς σὲ ἀφορᾷ καὶ οὐ πρὸς ἄλλον τινὰ διὰ τὸ ἐπίστασθαί σε καὶ καλῶς ἀριθμεῖν καὶ καλῶς φυλάσσειν τὰ φυλακῆς δεόμενα καὶ ἀπόκρυφα· καὶ λάβε τὰ κατάστιχα καὶ καθίσας εἰς τὸ ὀσπήτιόν σου λογάριασε ἀκριβῶς, πόσοι εἰσὶν ἄνθρωποι, καὶ πόσα ἄρματα, καὶ πόσα κοντάρια, καὶ πόσα σκουτάρια, καὶ πόσα τοξάρια, καὶ ἐκτελέσας τὸν ὁρισμὸν αὐτοῦ φέρων δέδωκα τῷ αὐθέντῃ μου καὶ βασιλεῖ τὸ κατάστιχον μετα λύπης καὶ σκυθρωπότητος ὅτι πολλῆς καὶ ἔμεινε μόνον ἐν ἀποκρύφῳ ἡ ποσότης εἰς ἐκεῖνον καὶ ἐμέ. Καὶ τῇ κθ´ Μαΐου ἡμέρᾳ, γ´ ὥρᾳ τῆς ἡμέρας ἀρχῇ, ἀπῆρε τὴν πόλιν ὁ Ἀμηρᾶς, ἐν ᾗ ὥρᾳ καὶ ἁλώσει τῆς πόλεως καὶ ὁ μακαρίτης αὐθέντης μου καὶ βασιλεὺς κὺρ Κωνσταντῖνος σκοτωθεὶς ἀπέθανεν ἐμοῦ πλησίον αὐτοῦ οὐχ εὑρεθέντος τῇ ὥρᾳ ἐκείνῃ, ἀλλὰ προστάξει ἐκείνου εἰς ἐπίσκεψιν δῆθεν ἄλλου μέρους τῆς πόλεως· ἰοὺ ἰοὺ κἀμοί, τῆς προνοίας οὐκ οἶδ᾽ εἰς τίνα με καιρὸν φυλαττούσης! Ἦν δὲ ἡ πᾶσα ζωὴ αὐτοῦ δὴ τοῦ μακαρίτου βασιλέως καὶ μάρτυρος χρόνοι μθ´ καὶ μῆνες γ´ καὶ ἡμέραι η´, ἀφ᾽ ὧν ἦν βασιλεὺς χρόνους δ´, μῆνας δ´ καὶ ἡμέρας κδ´, ὄγδοος βασιλεὺς τοῦ γένους αὐτοῦ τῶν Παλαιολόγων ὑπάρχων· ὁ γὰρ πρῶτος ἦν Μιχαήλ· ὁ δεύτερος Ἀνδρόνικος· ὁ τρίτος Μιχαήλ· ὁ τέταρτος Ἀνδρό-

νικος· ὁ πέμπτος Ἰωάννης· ὁ ἕκτος Μανουήλ· ὁ ἕβδομος Ἰωάννης· καὶ ὁ ὄγδοος Κωνσταντῖνος. ἦρχον δὲ καὶ βασίλειον ταύτην δὴ τὴν Κωνσταντινούπολιν τὸ τούτων γένος τῶν Παλαιολόγων χρόνους ἑκατὸν ἐνενήκοντα τέσσαρας καὶ μῆνας δέκα καὶ ἡμέρας δʹ· ἁλοὺς οὖν ἐγὼ καὶ πάντα τὰ δυσχερῆ καὶ κακὰ τῆς αἰχμαλωσίας ὑπενεγκὼν ὁ ἄθλιος, τέλος ἐξαγορασθεὶς,

υνδʹ.

Τῇ αʹ Σεπτεβρίου τοῦ ξβʹ ἔτους εἰς τὸν Μυζηθρᾶν ἀπέσωσα, τῆς γυναικός μου καὶ τῶν παιδίων μου ὑπὸ γερόντων καὶ καλῶν Τούρκων ἁλωθέντων, καὶ παρ' αὐτῶν πάλιν πραθέντων εἰς τὸν τοῦ Ἀμηρᾶ μελαχούρην, ἤγουν κόμητα τῶν αὐτοῦ ἀλόγων, ὃς καὶ πολλὰς καὶ καλὰς τῶν ἀρχοντισσῶν ἠγόρασε, καὶ πολλὰ ἐκέρδησεν ἐπ' αὐταῖς· τοῦ δὲ κάλλους καὶ τῶν ἄλλων ἀγαθῶν τῶν παιδίων μου οὐ δυναμένου κρυβῆναι, μαθόντες περὶ αὐτῶν τοῦ Ἀμηρᾶ, ἀπῆρεν αὐτὰ δοὺς πρὸς τὸν μελαχούρην ἄσπρα χιλιάδας πολλάς. ἐναπέμεινε δὲ ἡ ἀθλία μήτηρ μόνη μετὰ μιᾶς καὶ μόνης ἀνατροφῆς αὐτῆς, αἱ δὲ ἄλλαι διεμερίσθησαν. ἐρωτήσειέ δ' ἄν τις, καὶ τί ἐγεγόνει παρὰ τοῦ βασιλέως τὸν διὰ μέσου καιρὸν τῆς μάχης, ἐν ᾧ δὴ χρόνῳ καὶ καιρῷ ὁ Ἀμηρᾶς παρεσκευάζετο, καὶ τί πρὸς βοήθειαν ἐποίησαν οἱ ἔξωθεν Χριστιανοί. καὶ τῶν μὲν ἔξωθεν Χριστιανῶν δῆλόν ἐστιν ὅτι οὐδὲ τίποτε· ἀλλὰ μᾶλλον καὶ εἰς τὸν τῆς Σερβίας δεσπότην Γεώργιον ἀποσταλεὶς ἄρχων τοῦ Ἀμηρᾶ ἵνα γένηται μέσος εἰς ἀγάπην μετὰ τῶν Οὐγγαρῶν, ἣν ἀνατεθειμένος ὁ μετὰ τοῦ ἀποκρισιαρίου τοῦ ἀπερχομένου γραμματικοῦ Χριστιανὸς παρά τινων Τούρκων τῶν τῆς βουλῆς, ἵνα εἴπῃ τῷ δεσπότῃ

καὶ ποιήσῃ τρόπον ἀναβολῆς εἰς τὴν ἀγάπην, ὅτι, ἂν γένηται ἡ μετὰ τῶν Οὐγγαρῶν ἀγάπη, εὐθὺς ὑπάγει ὁ Ἀμηρᾶς κατὰ τῆς Κωνσταντινουπόλεως· καὶ ἐκεῖνος λόγον οὐκ ἐποιήσατο, οὐκ εἰδότος τοῦ ἀθλίου, ὅτι, ἂν τυχὸν ἀφαιρεθῇ κεφαλὴ σώματος, τὰ μέλη εἰσὶ νεκρά. Εἰς τὴν Βενετίαν καὶ βουλῆς γενομένης μεγάλης ἀντέστη ὁ δοὺξ Φραντζέσκος Φούσκαρις οὐ κατ' ἄγνοιαν· καὶ γὰρ καὶ ὁ βασιλεὺς κὺρ Ἰωάννης ὥρισέ μας· ἀλλὰ καὶ ἄλλοι οἱ ἰδόντες καὶ ὁμιλήσαντες αὐτὸν (εἶπον) ὅτι φρονιμώτερον ἄνθρωπον εἰς τὴν Ἰταλίαν οὐκ εἶδον· ἀλλὰ διὰ κακίαν καὶ φθόνον· οὐκ οἶδε γὰρ ὁ φθόνος προτιμᾶν τὸ συμφέρον· ἦν δὲ τὸ αἴτιον τοῦτο τοῦ Ἀλοΐσου Διέδου ἐκείνου μέσου γεγονότος, ἵνα ὁ μακαρίτης αὐθέντης μου κὺρ Κωνσταντῖνος δεσπότης ὢν καὶ εἰς τὸν Μορέαν αὐθέντης εὑρισκόμενος, ἐπάρῃ εἰς γυναῖκαν αὐτοῦ δὴ τοῦ δουκὸς τὴν θυγατέραν καὶ μετὰ πολλῆς προικός· ὁ αὐθέντης μου οὖν οὐ διὰ τοῦτο, ἀλλὰ διὰ τὸ γενέσθαι οἱονεὶ καὶ αὐτὸς καὶ ὁ τόπος αὐτοῦ μετὰ τῆς Βενετίας ἕν, συνεκατέβαινε τὸ τοιοῦτον συμπενθέριον, ἐμοῦ πλέον τῶν ἄλλων συναινοῦντος τοῦτο καὶ ἀναγκάζοντος· καὶ ἰδοὺ ἦν ἵνα γένηται· ὡς δὲ βασιλεὺς ἐγεγόνει καὶ εἰς τὴν πόλιν ἀπῆλθε, τοῦτο ἦν πάλιν ἀνοίκειον· τίς γὰρ τῶν τῆς πόλεως ἀρχόντων ἢ ἀρχοντισσῶν κυρίαν καὶ δέσποιναν κατεδέξατο Βενετικοῦ θυγατέραν, ἐνδόξου μὲν ἴσως καὶ δουκός, ἀλλὰ προσκαίρως; ἢ τοὺς γαμβροὺς τοὺς ἄλλους αὐτοῦ ὡς συγγάμβρους ἢ τοὺς υἱοὺς ὡς γυναικαδέλφους τοῦ βασιλέως; λοιπὸν τούτου γυρεύσαντος ἀπεπέμφθη καὶ ἐγένετο ὁ ἄνθρωπος ἐχθρός, καὶ πολλὰ εἰπόντων τῶν ἀρχόντων τοῦ Ἀλοΐσου Χουρδᾶ καὶ τοῦ Ἀντωνίου Διέδου καὶ ἄλλων πολ-

λῶν καὶ ἀποδειξάντων ὅτι, ἂν ἁλωθῇ ἡ Κωνσταντινούπολις, εἰς πολλὴν ζημίαν θέλει ἦσθεν καὶ τῆς αὐθεντίας αὐτῶν, οὐκ ἴσχυσαν. ἡ ἐκκλησία τῆς Ῥώμης καὶ τί περὶ τούτου ἐφρόντισεν; εὑρεθέντες καὶ γὰρ τοῦ Καρδηναλίου Ῥωσσίας εἰς τὴν πόλιν, μέσος ἐγὼ παρ' αὐτοῦ γίγονα εἰς τὸν ἀοίδιμον καὶ μακαρίτην αὐθέντην μου τὸν βασιλέα ἵνα γένηται πατριάρχης· καὶ (πάντα) νὰ γένωνται παρ' αὐτοῦ καὶ τοῦ τότε πάπα, ἢ κἂν ἐκ δευτέρου νὰ μνημονευθῇ ὁ πάπας· καὶ πολλῶν λόγων καὶ βουλῆς καὶ μελέτης γενομένης ἔδοξε τῷ ἀοιδίμῳ βασιλεῖ, ὅτι τὸ ἓν νὰ λείψῃ παντελῶς, διότι πατριάρχου γενομένου ἔνι χρεία παντελῶς ἢ νὰ πείθωνται αὐτῷ ἢ ἔχθρα νὰ γένηται καὶ πόλεμος μέσον αὐτοῦ καὶ τῶν μὴ πειθομένων αὐτῷ· καὶ εἰς τοιοῦτον καιρὸν ὁποῦ μᾶς ἐπεμβαίνει ἔξωθεν πόλεμος, νὰ ἔχωμεν καὶ ἔσωθεν πόλεμον, πόσον κακόν! τοῦ δὲ μνημοσύνου, ἂς γένηται διὰ τὴν ἐλπίδα τῆς βοηθείας ἡμῶν εἰς τὴν ἀνάγκην· καὶ ὅσοι ποιήσουν τοῦτο εἰς τὴν ἁγίαν Σοφίαν, οἱ ἄλλοι θέλουσιν ἦσθεν ἀναίτιοι καὶ εἰρηνικοί· καὶ γενομένου τῇ ιβ' τοῦ Δεκεμβρίου μηνός, διέβησαν ἰδοὺ μῆνες ἓξ καὶ τοσοῦτον λόγον ἐποιήσαντο ὑπὲρ βοηθείας, ὅσον ἐποιήσατο ὁ Σουλτάνος τοῦ Κάρεος· ἀπὸ δὲ τῆς Σερβίας, δυνατοῦ ὄντος νὰ ἀποστείλῃ χρήματα καὶ κρυφίως ἀπὸ πολλὰ μέρη καὶ ἀνθρώπους ὁμοίως δι' ἄλλου τρόπου εἶδέ τις ἕνα ὀβολόν; καὶ ἀληθῶς ἔστειλαν πολλὰ καὶ χρήματα καὶ ἀνθρώπους εἰς τὸν Ἀμηρᾶν πολιορκοῦντα τὴν πόλιν· καὶ ἐθριάμβευσαν αὐτοὺς οἱ Τοῦρκοι καὶ ἔδειξαν, ὅτι ἰδοὺ καὶ οἱ Σέρβοι καθ' ὑμῶν εἰσί. τίς τῶν Χριστιανῶν ἢ τάχα τοῦ βασιλέως τῆς Τραπεζοῦντος ἢ τῶν Βλαχῶν ἢ τῶν Ἰβήρων ἀπέστειλαν ἕνα

ἐβολὸν, ἢ ἕνα ἄνθρωπον εἰς βοήθειαν ἢ φανερῶς ἢ κρυφίως; οἱ Οὔγγαροι ἔστειλαν ἴσως ἀποκρισιαρίους λέγοντες, ὅτι σωζομένου τοῦ νὰ ἔχητε καὶ μετὰ τῆς πόλεως ἀγάπην, ἐποιήσαμεν καὶ ἡμεῖς μεθ' ὑμῶν τὴν ἀγάπην· εἰ δ' οὖν, θέλομεν τὴν χαλάσειν· ἦλθε τὸ ἀποκρισιαρίκιον σχεδὸν κατὰ τὴν ἑβδομάδαν, ἐν ᾗ ἔμελλον ἵνα πολεμήσουν, καὶ εἰ μὲν ἐπάρουν αὐτὴν, ἵνα εἴπωσι πρὸς αὐτούς· ἰδοὺ ἐπήραμεν αὐτὴν, καὶ ὑμεῖς ἀπέλθετε καὶ, ὡς ἂν θέλητε, ἔχετε ἡμᾶς ἢ ἀγάπην ἢ μάχην· ὃ δὴ καὶ ἐγένετο· καὶ τοῦτο πρὸς ἐκείνους ἐῤῥέθη· εἰ δὲ καὶ οὐδὲν τὴν ἔπερνον, νὰ σηκωθῶσι καὶ νὰ εἴπωσιν ὅτι καὶ διὰ τὴν ἡμῶν ἀγάπην καὶ τὸν λόγον τῆς συμφωνίας ἐσηκώθημεν, ἢ καὶ νὰ ἐποίει καὶ ἀγάπην, ὡς ἠκούομεν, ὅτι ἔλεγεν, ὅτι, ἂν οὐδὲν ἐπάρω αὐτὴν, εὐθὺς νὰ ποιήσω ἀγάπην, ὅτι εἰς πᾶσάν μου τὴν ζωὴν νὰ ἵσταται. ὁ δὲ μακαρίτης καὶ αὐθέντης μου ὁ βασιλεὺς, τί οὐκ ἔπραξεν κρυφίως καὶ φανερῶς πρὸς βοήθειαν τοῦ ὁσπητίου αὐτοῦ καὶ τῶν Χριστιανῶν ἢ τῆς ζωῆς αὐτοῦ; ἢ ἐνεθυμεῖτο, ὅτι, ἐὰν ἐπισυμβῇ τίποτε, νὰ φύγῃ, δυνατοῦ καὶ εὐκόλου ὄντος; τίς γὰρ ἐπίστατο τῶν ἄλλων πάντων πάρεξ τοῦ Καντακουζηνοῦ Ἰωάννου, ὅτι ὁ Ἰάγκος προεζήτησεν νὰ τὸν δώσῃ ἢ τὴν Σηλυμβρίαν, ἢ τὴν Μεσημβρίαν, καὶ νὰ ἔνι εἷς τῶν ὑποχειρίων αὐτοῦ, καὶ πολλοὺς τῶν ἀνθρώπων αὐτοῦ ἐκεῖσε ἔχει, καὶ εἰς καιρὸν μάχης τῶν Τούρκων νὰ ἔνι ἐχθρὸς ἐκείνων καὶ βοηθὸς τῆς πόλεως· καὶ ὡς ἐγένετο ἡ μάχη, ἐδόθη αὐτῷ ἡ Μεσημβρία, καὶ τὸ χρυσόβουλον δι' ἐμοῦ ἐγράφη· καὶ ὁ γαμβρὸς Θεοδοσίου τοῦ Κυπρίου ὁ τοῦ Μιχαὴλ υἱὸς ἐκόμισεν εἰς ἐκεῖνον· τίς ἠπίστατο τὴν τοῦ ῥηγὸς ζήτησιν τῶν Κατελά-

νοιω, ὅτι νὰ δοθῇ πρὸς ἐκεῖνον ἡ Λῆμνος καὶ νὰ ἔνι κατὰ τῶν Τούρκων ἐν τῇ θαλάσσῃ ἀεὶ καὶ ὑπὲρ τῆς πόλεως ἐν ἀνάγκῃ βοηθὸς, καὶ ἐπράττετο; τίς ἠπίστατο, ὅσα δὴ καὶ χρήματα καὶ ἐπαγγελίας δέδωκε καὶ ἔστειλεν εἰς τὴν Χίον διὰ τοῦ Γαλατᾶ, ἵνα στείλωσιν ἀνθρώπους καὶ οὐκ ἔστειλαν; τίς καὶ νηστείας καὶ δεήσεις ἐποιεῖτο καὶ δι' ἑαυτοῦ καὶ διὰ τῶν ἱερέων διδοὺς αὐτοῖς χρήματα, ἢ τοῖς πτωχοῖς πλείω ἐθεράπευσεν ἢ ἐπαγγελίας ἐποιήσατο πλείους εἰς θεὸν εἰς τὸ ἐλευθερωθῆναι τοὺς Χριστιανοὺς ἀπὸ τῆς αἰχμαλωσίας τῶν Τούρκων· ἀλλ' ὅμως πάντα ταῦτα μὲν παρεῖδε θεὸς, τίσι κρίμασιν, οὐκ οἶδα· τὰ δὲ ἠγνοοῦσαν οἱ ἄνθρωποι, καὶ ἕκαστος ἔλεγε κατ' ἐκείνου τὸ ἤθελεν· ἀλλ' ἐπὶ τὸ προκείμενον τοῦ λόγου ἐπανέλθωμεν· τῷ αὐτῷ δὴ φθινοπώρῳ τοῦ ξβ' ἔτους δηλονότι τελείως ἐπανέστησαν οἱ τοῦ Μορέως Ἀλβανῖται κατὰ τῶν δεσποτῶν καὶ αὐθεντῶν αὐτῶν· καὶ τὸν, οὐκ οἶδα τί εἰπεῖν, Καντακουζηνὸν Μανουὴλ δεσπότην τάχα πεποιήκασι. τὸν δὲ Δεκέμβριον τοῦ αὐτοῦ χρόνου, ἐλθόντος πάλιν τοῦ υἱοῦ τοῦ Τουραχάνη μετὰ φωσάτου ὑπὲρ βοηθείας τῶν δεσποτῶν, καὶ κακώσαντος μικρὸν τοὺς Ἀλβανίτας καὶ τὸν αἰχμάλωτον αὐτοῦ ἀδελφὸν Χάρητα λαβὼν ἐπανέστρεψεν· ἐν ᾧ δὴ χρόνῳ καὶ μηνὶ ἀνεῖλεν αὐτοχειρίᾳ τὸν φίλτατόν μου υἱὸν Ἰωάννην ὁ ἀσεβέστατος καὶ ἀπηνέστατος Ἀμηρᾶς, ὡς δῆθεν βουληθέντος τοῦ παιδὸς τοῦτο ποιῆσαι κατ' αὐτοῦ — οἴμοι οἴμοι τῷ δυστυχεῖ καὶ ἀθλίῳ γενέτῃ! — χρόνων ὄντος ιδ' καὶ μηνῶν η' παρὰ ἡμέραν, φρόνημα καὶ κορμὴν ἔχων πολλῷ πλειόνων χρόνων. τῷ αὐτῷ δὴ Δεκεμβρίῳ καὶ εἰς τὸ Λεοντάριν ἀπῆλθον κἀγώ· καὶ τὸν δεσπότην κὺρ Θωμᾶν τὸν πορφυρογέννητον προσεκύνη-

σα, καὶ εἰς τὴν δουλοσύνην αὐτοῦ με προσεδέξατο, καὶ τὸ χωρίον τὴν Κέρτασιν εὐηργέτησεν ἀργυροβούλλῳ, καὶ πρὸς τοὺς δεσπότας Σερβίας, τὸν συμπένθερον καὶ γαμβρὸν αὐτοῦ, ἡτοίμασεν ἀπελθεῖν με τῷ ἔαρι τοῦ αὐτοῦ ἔτους διὰ πολλὰς καὶ ἀναγκαίας δουλείας καὶ ὠφελίμους ἀμφοτέρων, τούτου λέγω κἀκείνων· καὶ ὀρθωθεὶς ἀπῆλθον καὶ εἰς τὴν Μεθώνην, ἵνα διὰ πλευσίμου ἀπέλθω εἰς τὸ Ῥασύζη, καὶ ἀπ' ἐκεῖ εἰς τὴν Σερβίαν, εἰ καὶ ἐσκόπει, εἰς τὸν Μορέαν μὲν τοῦ γυναικαδέλφου αὐτοῦ Κεντηρίωνος υἱοῦ τοῦ Πριγκίπου ἀπὸ τὴν φυλακὴν τοῦ Χλουμουτζίου φυγόντος, καὶ σύγχυσιν ποιήσαντος εἰς τὸν τόπον, τοῦ δὲ Ἀμηρᾶ κατὰ τῆς Σερβίας ἀπελθόντος, ἐν ᾧ δὴ καιρῷ καὶ τὸ Ὁμόμβρυδον ἀπῆρεν· ὡς δὲ πλέον τὸ τῆς Σερβίας οὐκ εἶχε καιρὸν πραχθῆναι, ἀπῆλθον διὰ θαλάσσης εἰς τὴν Πάτραν, καὶ ἀπ' ἐκεῖ περάσας ἀπὸ τὴν Βοστίτζαν πέρα.

υνε.

Τῇ α' Σεπτεβρίου τοῦ ξγ' ἔτους ἀπῆλθον εἰς τὴν Ἀνδριανούπολιν καὶ ἀπ' ἐκεῖ εἰς τὴν Αἶνον, ἵνα ἀποκρύφως διαβιβάσω καιρὸν, ἕως οὗ ἀπὸ τοῦ τῆς Σοφίας μέρους ἐπαναστρέψῃ ὁ Ἀμηρᾶς, καὶ ὁ τὴν ἀθλίαν τῶν παίδων μου μητέραν ἔχων εἰς χωρίον μελαχούρης αὐτοῦ εἰς τὴν Ἀνδριανούπολιν ἔλθῃ, ἣν καὶ ἐξαγοράσας, ἐπιστρέψαντός μου τὴν Ἀνδριανούπολιν, ἀλλὰ δὴ καὶ τὴν μετ' αὐτῆς Χρυσοβεργίναν, ἐν τῇ Πάτρᾳ τὸν Φευρουάριον ἐπανέστρεψα μετ' αὐτῶν, πολλὰ κακοπαθήσας καὶ ἐξοδιάσας· τὸν δ' Ὀκτώβριον, ἐν ᾧ δὴ ἐγὼ εἰς τὰ περὶ τὴν Ἀνδριανούπολιν διέτριβον, ἐλθόντος τοῦ Τουραχάνη μετὰ καὶ τῶν υἱῶν αὐτοῦ καὶ πολλοῦ φωσάτου, ὑπὲρ βοηθείας τῶν

αὐθεντῶν καὶ δεσποτῶν τοὺς Ἀλβανίτας ἐδούλωσαν ὅπως δή ποτε κακώσαντες καὶ τὸν ψευδοδεσπότην ἐδίωξαν· ἐν ᾧ δὴ χρόνῳ, καὶ τῇ β' Ἰαννουαρίου ἐγεννήθη καὶ τῷ δεσπότῃ κυρίῳ Θωμᾷ καὶ ὁ κὺρ Μανουὴλ ὁ Παλαιολόγος.

υνϛ.

Καὶ τὸν Σεπτέβριον τοῦ ξδ' ἔτους ἀπέθανεν Θάμαρ ἡ καλή μου θυγάτηρ ἐν τῷ τοῦ Ἀμηρᾶ σαῤῥαγίῳ λοιμώδει νόσῳ-ἰοὺ ἰού μοι τῷ ἀθλίῳ γενέτῃ! – οὖσα χρόνων ιδ' καὶ μηνῶν ε'· ἐμοῦ δὲ τοῦ ἀθλίου οὐκ εἰδότος τοῦτο τῇ κε' τοῦ Ὀκτωβρίου ἀπεστάλην ἀποκρισιάριος εἰς τὴν αὐθεντίαν τῶν Βενετικῶν, δουκὸς ὄντος αὐτοῦ δὴ τοῦ Φραντζέσκου Φούσκαρι· ὑφ' ὧν καὶ ἐτιμήθηκα καὶ εὐεργετήθηκα καὶ διὰ χρημάτων καὶ γραμμάτων. καὶ τῇ ϛ' Ἀπριλλίου ἐπανέστρεψα εἰς τὴν Πάτραν θεοῦ καὶ μόνου βοηθείᾳ ἀπὸ τοῦ ὑπερβάλλοντος τῆς θαλάσσης κακοῦ, οὗπερ καθ' ὁδὸν ἡμᾶς συνήντησε· καὶ τὸν Ἰούνιον τοῦ αὐτοῦ χρόνου ἀπῆρεν ὁ Ἀμηρᾶς τὴν πόλιν τῶν Ἀθηναίων· τὸν δὲ Ἰούλιον τοῦ αὐτοῦ ἔτους ἀπελθόντος τοῦ Ἀμηρᾶ εἰς τὸ Μπελοσγράδον τὸ πλέον μερικὸν ἁλώσαντος, αὐτὸς τέλος κακῶς ἐδιώχθη παρὰ τῶν εἰς αὐτὸ ἐλθόντων εἰς βοήθειαν, τοῦ Ἰάγκου δηλονότι καὶ τοῦ Καπιστριανοῦ, καὶ ἑτέρων ἀξιολόγων ἀνδρῶν· καὶ ἡττηθεὶς καὶ τοῦ χρησίμου Μπεϊλερμπεῒ αὐτοῦ ἀποθανόντος, ὡς φυγὰς ᾤχετο.

υνζ.

Καὶ τῷ ξε' ἔτει ὁ τοῦ τῆς Οὐγγαρίας φωσάτου ἄρχων καὶ κουβερνάριος ὁ Ἴαγκος ἐτελεύτησεν· ἀλλὰ δὴ καὶ αὐτὸς ὁ Καπιστριανὸς, ἔτι δὲ καὶ ὁ τῆς Σερβίας ἄρχων καὶ δεσπότης κὺρ Γεώργιος ὁ Βοῦλκος ἐτελεύτησε· καὶ Μαΐῳ β' τοῦ αὐτοῦ ἔτους καὶ βασίλισσα ἡ γυνὴ αὐτοῦ ἀπέ-

θανεν· ἐν ᾗ σχεδὸν ἡμέρᾳ καὶ ὥρᾳ διέβη εἰς τὸν Ἀμηρᾶν ἡ θυγάτηρ αὐτῆς Ἀμήρισσα μετὰ τοῦ πρώτου ἀδελφοῦ αὐτῆς καὶ τυφλοῦ καὶ τοῦ θείου αὐτῆς Θωμᾶ τοῦ Καντακουζηνοῦ καὶ παντὸς τοῦ βίου αὐτῶν, φοβηθέντες διὰ τὸν βίον τῆς μητρὸς, τὸν ἀδελφὸν καὶ τὴν νύμφην αὐτοῦ.

υνη.

Καὶ τῷ ξς´ ἔτει μηνὶ Νοεμβρίῳ, καὶ αὐτὸς ὁ δεσπότης Λάζαρος ἀπέθανε, καὶ ὁ Ἀμηρᾶς τὸν Μπεϊλερμπεῒ αὐτοῦ Μεχεμέτην ἀπέστειλεν, ἵνα, εἰ δυνατὸν, τὸ Σμεντώροβον καὶ πᾶσαν δὴ τὴν Σερβίαν μετ᾽ εἰρήνης λάβῃ καὶ ἄλλον ἀντ᾽ αὐτῶν τόπον δώσῃ τῇ γυναικὶ καὶ τοῖς τέκνοις αὐτοῦ δὴ τοῦ Λαζάρου· ὅπερ τότε μὲν οὐ κατωρθώθη ἀλλὰ μόνον τὸ Περιστέριν ἀπῆρε προδοσίᾳ, μετά τινα δὲ καιρὸν καὶ τὸ Σμεντώροβον καὶ τὸν ἄλλον τόπον, καὶ ἔδωκε τὴν βασίλισσαν τάχα κάστρα τινὰ, ἅπερ ὁ Ἀμηρᾶς εἰς τὴν Μπόσθαν εἶλε. Μαΐῳ ιέ τοῦ αὐτοῦ ἔτους ὁ Ἀμηρᾶς εἰς τὸν Μορέαν ἦλθε, καὶ εἰς τὴν Κόρινθον καταλύσας φωσάτον εἶχε ταύτην ἀποκλεισμένην, αὐτὸς δὲ ἐλθὼν ἔπεσεν εἰς τὴν μέσην τοῦ τόπου· καὶ πάντα τὰ ἐκεῖσε τὰ μὲν ἠχμαλώτευσε, τὰ δὲ κατέκαυσε καὶ ἠφάνισεν, ἐξαιρέτως δὲ τὴν Ἄκοβαν, τὸν Ἀετὸν, καὶ τὰ Πέντε χωρία· καὶ ἐξελθὼν ἐκεῖσε ἦλθε καὶ ἔπεσεν εἰς τὸ Μουχλὶν, ὃ δὴ καὶ δέδωκε πρὸς αὐτὸν ὁ καλὸς κἀγαθὸς Ἀσάνης Δημήτριος. τὸν Ἰούλιον τοῦ αὐτοῦ ἔτους καὶ ἀπ᾽ ἐκεῖ πάλιν ἐπιστρέψας ὁ Ἀμηρᾶς ἦλθε καὶ ἔπεσεν εἰς τὴν Κόρινθον ἣν δὴ καὶ δεδώκασι πρὸς αὐτὸν οἱ γενναῖοι ἄρχοντες, ὁ Ἀσάνης Ματθαῖος καὶ ὁ Λουκάνης Νικηφόρος, ἐν μηνὶ Αὐγούστῳ ς´· ὧν ὁ μὲν εἰς

ἦν κεφαλὴ εἰς αὐτὴν, ὡς μὴ ὤφελεν, ὁ δὲ Ἀσάνης δραμὼν ἦλθεν εἰς αὐτὴν, πότερον ἵνα ἢ κάλλιον φυλαχθῇ ἢ συντομωτέρως δοθῇ, οὐκ οἶδα, εἰ καὶ δῆλον ἐκ τῶν πραγμάτων· δεδωκότες οὖν τὴν κεφαλὴν τοῦ σώματος τοῦ Μορέως τὴν Κόρινθον, τάχα καὶ ὁρκωμοτικὰ ἀγάπην πεποιήκασιν, οὕτως ὅτι καὶ ὁ δεσπότης κὺρ Θωμᾶς τὴν Πάτραν δώσῃ μετὰ τῆς περιοχῆς αὐτῆς, ἔτι δὲ καὶ τὰ Καλάβρυτα καὶ τὸ Γρεβενὸν, καὶ ἁπλῶς πάντα ὅσα ὁ μακαρίτης βασιλεὺς κὺρ Κωνσταντῖνος δεσπότης ὢν καὶ εἰς τὸν Μορέαν εὑρισκόμενος εἶχεν· ἅπερ δὴ ἀκούσας ὁ αὐθέντης μου καὶ κύριος αὐτῶν, — ἦν γὰρ εὑρισκόμενος εἰς τὴν Μαντίνειαν πανοικεὶ, δραμὼν εἰς τὰ περὶ τῆς Τρύπης βουνὰ, ἔνθα δὴ καὶ ὁ ἀδελφὸς αὐτοῦ ἦν καὶ οἱ ῥηθέντες καταστάται τῶν τοιούτων ἀξιεπαίνων ἔργων ἦλθον —, οὐ βουλευσάμενος οὐδ' ἀναβολήν τιν' οἱανοῦν ποιήσας, ἀλλὰ πέμψας τὸν αὐτοῦ ὄντως μέγαν Πριμικύριον τὸν Λάζαρον πάντα τῷ Ἀμηρᾷ παραδέδωκεν ὡς λάχανα κήπου· τὴν αὐτὴν σχεδὸν ἡμέραν καὶ ὁ Ἀμηρᾶς, ἐπεὶ ἦν ἀναγκαζόμενος ἐξελθεῖν διά τινα αἴτια, καταλείψας Ἀμάρην τὸν τοῦ Τουραχάνη υἱὸν, ἵνα αὐτὰ λάβῃ, ἐξῆλθε τοῦ Μορέως.

νθ.

Τὸν δ' Ὀκτώβριον τοῦ ξζ' ἔτους ἀποκρισιάριον ὁ Ἀμηρᾶς ἔστειλεν εἰς τὸν δεσπότην κὺρ Δημήτριον, ἵνα τὴν θυγατέραν αὐτοῦ εἰς γυναῖκα πέμψῃ αὐτῷ δὴ τῷ Ἀμηρᾷ· εἰ δ' οὖν, μάχη μέσον αὐτῶν ἔσται, ὡς δὴ ἀποκρισιάριος καὶ εἰς τὸν δεσπότην κὺρ Θωμᾶν ἐλθὼν, εἰς τὸν Ποντικὸν εὑρισκόμενον, ὅρκους αὐτοῦ ἀπῆρεν ἀγάπης καὶ τὰ μὴ φθάσαντα δοθῆναι κάστρα εἰς τὸν αὐ-

θέντην αὐτοῦ, καὶ ἀπῆλθε· τὸν δὲ Ἰαννουάριον μῆνα τοῦ αὐτοῦ ἔτους καὶ ὁ καλὸς κἀγαθὸς Λουκάνης Νικηφόρος ἢ μᾶλλον Μερεσφθέρος, καὶ τῶν πρώτων καὶ πιστῶν ἀρχόντων τοῦ δεσπότου κὺρ Δημητρίου λογιζόμενος, καί τινες ἄλλοι Ἀλβανιτῶν καὶ Μοραϊτῶν, οὓς καὶ αὐτοὺς πολλῷ πλέον τὸ εἰς κακίαν ἐκείνων πρόχειρον ᾠκονόμησεν, ἔπεισαν τὸν δεσπότην κὺρ Θωμᾶν, ἵνα καὶ κατὰ τοῦ Ἀμηρᾶ καὶ κατὰ τοῦ ἀδελφοῦ αὐτοῦ ἐπανάστασιν ποιήσῃ, καὶ φάγῃ τοὺς ὅρκους ὡς λάχανα, οὓς πρὸ ὀλίγου μετ' αὐτῶν ἐποίησεν, καὶ ταῦτα τοῦ ἄλλου ἀγαθοῦ ἀνδρὸς Ἀσάνη Ματθαίου πρὸ ὀλίγου ἀπελθόντος καὶ ὄντος εἰς τὸν Ἀμηρᾶν ἀποκρισιαρίου διὰ τὴν δουλείαν δῆθεν τοῦ συνοικεσίου τῆς ἀνεψιᾶς αὐτοῦ· ἐξελθόντος σὺν τοῦ δεσπότου κὺρ Θωμᾶ εἰς τὰς ἀρχὰς τοῦ Φευρουαρίου μηνὸς τοῦ αὐτοῦ ἔτους ἀπὸ τὴν Ἀρκαδίαν, καὶ ἐνωθέντος μετὰ τῶν ἐργαζομένων τὰ κατ' αὐτοῦ ἢ καὶ τὰ κατ' αὐτῶν, ὡς ὁ λόγος προϊὼν δηλώσει, ἀπῆραν ἀπὸ μὲν τοὺς Τούρκους τὰ Καλάβρυτα καὶ μόνον ἐκ τῶν κάστρων, ὧν ἐθαῤῥοῦσαν λαβεῖν, ἐξ ὧν ἐκρατοῦσαν οἱ Τοῦρκοι, ἀπὸ δὲ τοῦ τόπου τοῦ δεσπότου κὺρ Δημητρίου, ἅπερ αὐτοὶ οἱ ἐργάται τῶν κακῶν ἐκρατοῦσαν ὡς κεφαλατίκια, ἤγουν Καρύταιναν, Βορδονίαν, Καστρίτζαν, καὶ ἕτερά τινα καὶ οὕτως, ἵνα πάλιν ἔχωσιν αὐτοὶ ταῦτα, ὡς αὐθένται αὐτῶν, οὐχ ὡς κεφαλάδες· ἐκατόρθωσαν δὲ οὐδὲν ἄλλο οἱ φρόνιμοι καὶ πρακτικοὶ καὶ γενναῖοι ἄρχοντες, ἢ μόνον ὅτι ἐπῆραν κατ' αὐτῶν θεὸν τὸν τοῦ παντὸς ποιητὴν καὶ αὐθέντην τῶν ἐπὶ γῆς ἰσχυρότερον, καὶ ἀδελφὸν καὶ αὐθέντην ἐντὸς τοῦ τόπου, οὐκ ἐνθυμηθέντες οἱ ἄθλιοι, οὔτε τοῦ ἀψευδοῦς τὸ λόγιον, ὅτι πᾶσα οἰκία μερισθεῖσα καθ'

ἑαυτὴν ἐρημοῦται, οὔτε τὸν παροιμιώδη λόγον τὸν " πρὸς τοὺς δύο οὐδ' Ἡρακλῆς ", ἀλλ' ἐπανέστησαν καὶ πρὸς τρεῖς καὶ τοιούτους· καὶ τούτων οὕτως προβάντων πρῶτον μὲν Θεὸς παρεῖδεν αὐτοὺς, καὶ τί ἔπραττον, οὐκ ἐγίνωσκον· ἀλλ' ὡς τοὺς ἰχθύας τοὺς μέσον σαγήνης ὄντας, εἰ ἀγνοοῦσιν ὅτι πάντες ὁμοῦ ἕλκονται εἰς γῆν, ἐκεῖνοι δὲ, ἕως τοῦτο γένηται, διώκουν καὶ διώκονται καὶ ἁλίσκονται καὶ φθείρονται οἱ ἐλάττονες ὑπὸ τῶν μεγαλωτέρων, οὕτω καὶ οὗτοι· ὁ μὲν γὰρ δεσπότης κὺρ Θωμᾶς παρέπιπτε καὶ ἐπολιόρκει τὰ τοῦ ἀδελφοῦ αὐτοῦ, Καλομμάταν καὶ Μαντίνειαν, καὶ συνεργοὺς εὗρε πρωτοστράτορα τὸν ἄριστον [πρωτοστράτορα τὸν] Σεβαστόπουλον Νικόλαον, (τὸν Εὐδαίμονα Ἰωάννην Λέοντα) μεσάζοντα σύγγαμβρον τοῦ ἀδελφοῦ αὐτοῦ, καὶ τὸν περιπόθητον γυναικοθεῖον, τὸν πλέον Κυδωνίδην ἢ Τζαμπλάκωνα· ὁ δὲ δεσπότης κὺρ Δημήτριος πάλιν τὸ Λεοντάριν καὶ τὰ αὐτοῦ καὶ τὸ Πίδημα διὰ τοῦ Παλαιολόγου Γεωργίου, περιποθήτου ἐξαδέλφου, καὶ μεσάζοντος τοῦ δεσπότου κὺρ Θωμᾶ καὶ τοῦ γαμβροῦ αὐτοῦ Μποχάλη Μανουὴλ, εἰ καὶ ὁ μὲν τάχα ἀπῆρε τὴν Καλομμάταν καὶ τὸ Λεῦτρον καὶ πολὺ τοῦ τῆς Μάνης ζυγοῦ· τοῦ δὲ δεσπότου κὺρ Δημητρίου ἐρχομένου ἐμβῆναι ἐν τῷ Λεονταρίῳ, ὡς ἔμαθε τοῦτο ὁ ἀδελφὸς αὐτοῦ, ἔδραμε καὶ προλαβὼν εἰσέβη ἐν αὐτῷ, καὶ ἀπέμεινεν ἄπρακτος ὁ δεσπότης κὺρ Δημήτριος τοῦ Παλαιολόγου καὶ τῶν Μποχαλέων φυγόντων μόνων καὶ ἀπελθόντων εἰς αὐτὸν, εἰς τὸν Μυζηθρᾶν ἐπαναστρέψαντα, ἔτι δὲ καὶ τὸ κάκιστον καὶ ἀνωφελέστατον γένος τῶν Ἀλβανιτῶν, καιροῦ λαβόμενον τῆς ὑπολήψεως καὶ πλεονεκτικῆς καὶ ἁρπακτικῆς αὐτῶν γνώμης ἁρμοδίου, τί οὐκ ἔπραξαν, ἢ τί οὐκ

εἰργάσαντο κακόν; ἀπιστοῦντες γὰρ δὶς τοῦ σαββάτου ἀπὸ τὸν ἕνα τῶν αὐθεντῶν εἰς τὸν ἄλλον ἀπήρχοντο· καὶ κάστρα, ὡς ἡ ἐκείνων γλῶσσα, εἰς κεφαλατίκια ἀπήτουν, εἰ δ' οὖν, εἰς τὸν ἄλλον ἀπήρχοντο· καὶ οἱ ἄλλοι πρὸς τὸν ἕτερον τῶν δεσποτῶν ὁμοίως· διὰ μέσου οὖν, εἴ τι ἄρα καὶ εὕρισκον τῶν ἀθλίων τάχα Ῥωμαίων, ἀλλὰ δὴ καὶ Ἀλβανιτῶν καὶ συγγενῶν πολλάκις καὶ οἰκείων αὐτῶν πάντα διήρπαζον καὶ ἠφάνιζον· ἐγένοντο δὲ τοιαῦτα καὶ τοσαῦτα, ὅτι τίς ἀξίως αὐτὰ θρηνήσειεν; ἀλλὰ δὴ, καὶ αὐτοὶ οἱ Τοῦρκοι, οἱ εἰς τὴν Κόρινθον (καὶ) τὴν Πάτραν εὑρισκόμενοι, καιροῦ λαβόμενοι δικαίου τοὺς μὲν ᾐχμαλώτιζον, τοὺς δὲ ἀπέκτεινον, τοὺς δ' αὐθέντας καὶ τοὺς ἄρχοντας κατεγέλων, βλέποντες καθ' ἑαυτῶν τὰ ξίφη ὠθοῦντας· ταύτας δὴ τὰς ἐργασίας κἀμοῦ ἐννοήσαντος, εὑρισκομένου μου εἰς τὴν Ἀρκαδίαν, ἔνθα δὴ καὶ ἐπράττοντο, καὶ τὰ αὐτῶν συμπεράσματα σκοπήσαντος, πρὸ τοῦ ἐξελθεῖν τὸν δεσπότην ἀπὸ τῆς Ἀρκαδίας, ἐξῆλθον κἀγὼ πλάσας αἰτίας τινὰς, καὶ ἀπῆλθον εἰς τὴν Πίδασον, ἣ νῦν Μεθώνη καλεῖται, περὶ τὸ τέλος τοῦ Δεκεμβρίου μηνὸς τοῦ αὐτοῦ ἔτους, ἀλλὰ δὴ καὶ ὁ χρήσιμος ἄρχων ἀπό τε γνώσεως καὶ πράξεως Γεώργιος ὁ Ῥαοὺλ, καὶ αὐτὸς ἀφεὶς καὶ αὐθέντην καὶ τὰ πλείω τῶν αὐτοῦ ἦλθε καὶ αὐτὸς ἐν τῇ Μεθώνῃ· καὶ καθήμενοι ἀμφότεροι ἐν λιμένι ἐκαραδοκοῦμεν καθ' ὥραν τὸ τῆς τοιαύτης τρικυμίας τέλος, εἰ καὶ τοῦ θεοῦ μακροθυμήσαντος ἐμάκρυνεν, ἵνα οἱ ἀσύνετοι ποτὲ συνήσωσι καὶ οἱ μωροὶ ποτὲ φρονήσωσι, καὶ ὁμόνοια καὶ εἰρήνη γένηται μέσον αὐτῶν, καὶ τοῦ θεοῦ δεηθῶσιν, ἔτι δὲ καὶ τοῦ Ἀμηρᾶ, καὶ ἐλεήσῃ μὲν αὐτοὺς ὡς ἐλεήμων θεὸς, προστάξῃ δὲ καὶ

τὸν δήμιον αὐτοῦ Ἀμηρᾶν, καὶ ἀφήσῃ αὐτοὺς ζῆσαι πλείονα χρόνον· τόπον γὰρ καὶ τάξιν ἔχει καὶ αὐτὸς εἰς Θεὸν, οἵαν οἱ αὐτοῦ δήμιοι πρὸς αὐτὸν, οἵτινες πληροῦσι μὲν τῷ θελήματι καὶ τῇ προστάξει αὐτοῦ, εἰσὶ δὲ μισητοὶ καὶ ἀποτρόπαιοι· καὶ τούτων δὴ τῶν προῤῥηθέντων κακῶν εἰς τὸν ἅπαντα τοῦ Μορέως ἀθλίου τόπον γινομένων, ἐλθόντος καὶ φωσάτου μερικοῦ ἔξωθεν, κατέδραμον τὸν τόπον ἅπαντα, ἵνα, ἅπερ κακὰ παρέλιπον οἱ οἰκήτορες καὶ κύριοι αὐθένται καὶ ἄρχοντες, οὐκ ἀπὸ προαιρέσεως ἀλλ' ἀπὸ ἀδυναμίας πράξωσιν αὐτοὶ, τοῦ μὲν ἑνὸς τῶν δεσποτῶν ἐχθροὶ ὄντες, τοῦ δ' ἄλλου τάχα φίλοι· ὃν δὴ δεσπότην καὶ ἐχθρὸν αὐτῶν κὺρ Θωμᾶν εἰς τὰ περὶ τὸ Λεοντάριν εὑρόντες καὶ διώξαντες καὶ αἰχμαλωτίσαντες, ἔπειτα φέροντες τὸ κατουνοτόπιον ἤτοι τὰς τένδας αὐτῶν πλησίον τῶν ὀσπητίων τοῦ Λεονταρίου ἔθηκαν, εἶτ' ἐξελθόντες ἀπῆλθον εἰς τὰ περὶ τὸν Μυζηθρᾶν καὶ τὸν φίλον αὐτῶν δεσπότην, καὶ ἀπ' ἐκεῖ διέβησαν νικηταὶ καὶ μετὰ πολλοῦ κέρδους ζώων τε καὶ ἀνθρώπων· μόλις οὖν ποτὲ ἐννοήσαντες οἱ αὐθένται καὶ ἀδελφοὶ τὸ κακὸν τῆς ἑαυτῶν μάχης, καὶ συναχθέντες εἰς τὸ Καστρίτζιν ἐποίησαν τάχα ὅρκους εἰρήνης καὶ τοῦ τῆς Λακεδαιμονίας (μητροπολίτου) μετὰ τοῦ σάκκου αὐτοῦ λειτουργήσαντος, ὁπόταν τοὺς Χριστιανοὺς μετὰ φόβου Θεοῦ καὶ πίστεως προσελθεῖν ἐπιβοῶσιν οἱ ἱερεῖς, προσελθόντες οἱ αὐθένται καὶ ἀδελφοὶ καὶ ὀμόσαντες, ἔμεινεν, ὡς ἠκούσαμεν, ὁ δεσπότης κὺρ Δημήτριος ἐν τοῖς συμπεφωνημένοις μέχρι τινός· καὶ πάλιν ἦν ὁ αὐτὸς, ὡς οὐδενὸς καινοῦ γεγονότος· ὢ τῆς ἀνοχῆς καὶ μακροθυμίας σου, Χριστὲ βασιλεῦ, καὶ εἰς αὐτὸν καὶ τοὺς αἰτίους! καὶ ἤρξαντο πάλιν τὰ κακὰ

καὶ ἔτι, τῶν χθὲς τοιούτων φρικτῶν ὅρκων λυθέντων, καὶ ἔπραττεν ὁ καθεὶς κατὰ τοῦ ἑτέρου τὸ ἠδύνατο τὰς ἐλπίδας, ὁ μὲν εἰς τὴν φιλίαν τοῦ Ἀμηρᾶ καὶ βοήθειαν, καὶ τὴν ἀδικίαν, ὁποῦ ἠδικήθη εἴς τε τοὺς ὑποχειρίους αὐτοῦ καὶ τὰ κάστρα, ὁ δὲ εἰς τὴν ἐπιορκίαν τοῦ ἄλλου καὶ εἰς τὸ κατὰ τῶν ἀσεβῶν τάχα μάχεσθαι.

νξ

Τούτων οὖν οὕτω κακῶς πραττομένων διέβη καὶ ὁ χειμὼν τοῦ ξη' ἔτους καὶ τὸν Μάϊον τοῦ αὐτοῦ ἔτους ἰδοὺ καὶ ὁ Ἀμηρᾶς ἦλθεν κατ' ἀμφοτέρων· ἀπελθόντος δ' αὐτοῦ ἐξ ὀρθοῦ εἰς τὸν Μυζηθρᾶν, ἐπεὶ ἐκεῖ εὑρίσκετο ὁ δεσπότης, διὰ τὸ εὑρίσκεσθαι τὸν ἀδελφὸν καὶ ἐχθρὸν αὐτοῦ εἰς τὴν Καλομμάταν καὶ πολεμίζοντος τὴν Μαντίνειαν, κατῆλθε καὶ ἀκουσίως ἑκουσίως, καὶ ἐδουλώθη εἰς αὐτόν· λαβὼν δὲ ὁ Ἀμηρᾶς καὶ αὐτὸν καὶ τὸν Μυζηθρᾶν καὶ φυλακὴν περιθεὶς εἶπε πρὸς τὸν δεσπότην· σὺ μὲν, ὦ δέσποτα, ἐπεὶ οὕτως ἦλθον εἰς σὲ τὰ πράγματα, τὸν τόπον τοῦτον πλέον οὐδὲ ἠμπορεῖς νὰ τὸν ἄρχῃς· ἀλλ' ἐπεὶ πατέραν σε ἐστήσαμεν ἔχειν, καὶ τὸ κορίτζιν σου ἐστήσαμεν λαβεῖν εἰς γυναῖκα μας, τὸν τόπον τοῦτον δὸς ἡμῖν· σὺ δὲ καὶ τὸ κορίτζιν σου ἔλθετε μεθ' ἡμῶν, καὶ θέλομεν σᾶς δώσειν ἕτερον κόσμον εἰς τὸ νὰ ἔχητε νὰ ζῆτε· ἅπερ στέρξας καὶ ἀκουσίως ἔπεμψε καὶ ἄρχοντας αὐτοῦ καὶ Τούρκους, ἵνα καὶ τὴν γυναῖκαν αὐτοῦ τὴν βασίλισσαν καὶ τὴν θυγατέραν λάβωσι καὶ φέρωσιν, ἀλλὰ δὴ καὶ τὴν Μονεμβασίαν παραδώσωσιν· ἐκεῖσε γὰρ αὗται εὑρίσκοντο, ὧν τὸ μὲν ἐγένετο-ἐξῆλθον γὰρ καὶ ἦλθον ἑκουσίως, ἔνθα ἦσαν ὅ τε Ἀμηρᾶς καὶ ὁ δεσπότης· – οἱ δὲ Μονεμβασιῶται καὶ ὁ εἰς κεφαλὴν εὑρισκό-

μενος Μανουὴλ ὁ Παλαιολόγος κρατήσαντες τὸ κάστρον δεδώκασιν αὐτὸ τῷ δεσπότῃ κυρίῳ Θωμᾷ, μετὰ ταῦτα καὶ αὐτὸς τάχα τῷ πάπᾳ· ὁ δ' Ἀμηρᾶς τὴν μὲν βασίλισσαν καὶ τὴν θυγατέραν οἰκονομήσας ἔστειλεν ἔξω μετά τινων τῶν αὐτοῦ καὶ αὐτῆς, τὸν δὲ δεσπότην ἦγε καὶ ἔφερε μεθ' ἑαυτοῦ. ἐλθόντες οὖν εἰς τὴν Βορδονίαν καὶ τὸ Καστρίτζιν, οἱ μὲν εἰς τὴν Βορδονίαν γενναῖοι ἄρχοντες αὐτῆς φοβηθέντες ἔφυγον ἀφέντες αὐτήν, οἱ δὲ εἰς τὸ Καστρίτζιν τάχα μέχρι τινὸς ἀντισταθέντες καὶ πολεμήσαντες τέλος προσεκύνησαν, καὶ κατελθόντες στεφανωθῆναι ὑπὲρ τῶν ἀνδραγαθημάτων αὐτῶν, οὓς μὲν αὐτῶν ἐκαρατόμησεν, οὓς δὲ εἰς πάλους ἐκάθισε, τὸν δὲ Προινοκοκᾶν ἐκδείρας ἐτελείωσεν, ἄξιον τέλος τῶν ἐργασιῶν καὶ πράξεων ἀπολαύσαντος· ἐλθόντος δ' αὐτοῦ δὴ τοῦ Ἀμηρᾶ καὶ εἰς τὰ περὶ τὸ Λεοντάριν καὶ αὐτὸ τὸ Λεοντάριν, καὶ εὑρὼν αὐτὸ ἔρημον ἀνθρώπων, αὐτὸ μὲν ἀπῆρεν· εἰς δὲ τὸ Γαρδίκιν, ἔνθα οἱ ἄνθρωποι ὡς ἰσχυρότερον ἀπῆλθον φυλαχθησόμενοι, ἀπελθὼν ἐπολεμήθη μέχρι τινὸς παρὰ τῶν Λεονταριτῶν· τέλος δὲ ἐδουλώθησαν· καὶ ἐγένοντο πάντες παρανάλωμα μαχαίρας σὺν γυναιξὶ καὶ παισί· τοῦτο ἂν καὶ οἱ ποτὲ ἀρχηγοὶ αὐτῶν Μποχαλέοι ἔπαθον, εἰ μὴ φθάσας ὁ Μπεϊλαρμπεῖς Μαχουμούτης ἐξεζήτησεν αὐτοὺς τῆς γυναικὸς Μανουὴλ τοῦ Μποχάλη ἐξαδέλφης οὔσης αὐτοῦ, εἰ καὶ κακὰ ἀνταπέδωκαν αὐτῷ ἀντὶ τούτου· διδόντος γὰρ αὐτοῖς ἀνθρώπους ἵνα μετὰ ἀνέσεως καὶ ἀναπαύσεως ἀπέρχωνται τὴν ὁδὸν τὴν φέρουσαν εἰς τὸν ἔξω τόπον, διερχόμενοι περὶ τὸν Πεντακὸν εὑρόντες πλεύσιμον καὶ δολίως ἀποκτείναντες τοὺς ἀπάγοντας ἀνθρώπους τοῦ Μπεϊλαρμπεῖ, ἐμβάντες ἔφυγον εἰς Κέρ-

χυραν· καὶ αὐτοὶ μὲν ἠλευθερώθησαν τῆς δουλείας ὁπωςδήποτε· ὁ δὲ πενθερὸς μὲν Μανουὴλ τοῦ Μποχάλη Γεώργιος ὁ Παλαιολόγος, πρωτεξάδελφος δὲ, ὡς προεδηλώσαμεν, τῆς μητρὸς τοῦ Μπεϊλαρμπεῖ, βληθεὶς εἰς σιδηρᾶ ἤγετο· αὐτὸς γὰρ, ὡς προείπομεν, φυγὼν ἀπὸ τὸ Λεοντάριν μετὰ καὶ τοῦ γαμβροῦ αὐτοῦ ἀπῆλθεν εἰς τὸν Μυζηθρᾶν, καὶ τὴν δουλοσύνην τοῦ δεσπότου κὺρ Δημητρίου· πολέμου δὲ γεγονότος περὶ τὴν Βερδονίαν καὶ τὴν Τρύπην κακῶς λαβωθεὶς ἑάλω, καὶ ἀπήγαγον αὐτὸν δέσμιον εἰς τὸν ποτὲ αὐθέντην αὐτοῦ δεσπότην κὺρ Θωμᾶν· ὡς δὲ ἰάθη ἀπὸ τοῦ λαβώματος, περιωρισμένου δὲ ὄντος καὶ φυλαττομένου ὁπωσδήποτε περὶ τὸ Δυῤῥάχιον, ἀπατήσας τοὺς φυλάσσοντας ἔφυγε· καὶ πάλιν εὑρίσκετο εἴς τε τὸν δεσπότην κὺρ Δημήτριον καὶ εἰς τὸ Ἀνάπλιν, τὸν πλείονα καιρὸν τῆς γυναικὸς αὐτοῦ καὶ τῶν παίδων εὑρισκομένων εἰς τὰ Βενετικά. Τοῦ οὖν Ἀμηρᾶ, ὡς δεδηλώκαμεν, δουλώσαντος τὸ Λεοντάριν καὶ τὰ περὶ αὐτὸ ἐδούλωσεν, ἔτι δὲ καὶ τὸν ἅγιον Γεώργιον· ταῦτα γὰρ ἰδόντος τοῦ Κροκοντύλου ἢ μᾶλλον Κροκοδείλου εἰπεῖν οἰκειότερον, προσεκύνησεν καὶ αὐτὸς τὸν Ἀμηρᾶν, καὶ τὸ κάστρον καὶ τοὺς δύο υἱοὺς αὐτοῦ αὐτῷ δέδωκεν· αὐτὸς δὲ ἔλαβε χάριν τούτων τὸ Λωὶ ἢ μᾶλλον τὸ Ἐλωὶ Ἐλωὶ, τουτέστι θεέ μου! ἵνα τί μὴ καὶ αὐτὸν προεγκατέλιπες, τῶν προλεχθέντων κακῶν πρωτεργάτην; τούτων οὖν ἐκεῖσεν γενομένων ἢ μᾶλλον γινομένων, ὁ δεσπότης κὺρ Θωμᾶς ἀφεὶς τὴν Καλομμάταν, καὶ περάσας εἰς τὰ περὶ τὴν Κοσμέναν καὶ τὸ Πεταλίδιν ἦλθε καὶ ἐσέβη εἰς τὸν Ἀβαρῖνον, κἀκεῖθεν εἰς τὸ Μαράθιν προγενέστερον τῆς βασιλίσσης καταλειψάσης τὴν Ἀρκαδίαν, κἀκεῖσε ἀπελθού-

σης μετὰ καὶ τῶν παίδων αὐτῆς καὶ τῶν εὑρισκομένων ἐκεῖσε εἰς τὴν Ἀρκαδίαν ἀρχόντων· ὡς δὲ ὁ Ἀμηρᾶς ἀπῆρεν αὐτὰ, ἀλλὰ δὴ καὶ τὴν Καρύταιναν παρὰ τοῦ Σγουρομάλη Παλαιολόγου καὶ γυναικαδέλφου τοῦ μεγάλου Λουκάνη, ὃς προαπέθανεν εἰς ἀπόπατον διαβιβάσας τὴν ψυχὴν ἅμ' ἐγκάτοις, κατῆλθεν εἰς τὰ περὶ τὴν Ἀδροῦσαν, καὶ λαβὼν αὐτὴν καὶ τὰ περὶ αὐτὴν πάντα ἀπῆλθε θεάσασθαι τὴν Κορώνην, εἶτ' ἀπ' ἐκεῖσε διέβη καὶ εἶδε καὶ τὴν Μεθώνην, εἶτα εἰς τὸν Πύλον τὸν καὶ Ἀβαρῖνον, καθ' ἣν ἡμέραν καὶ ὁ δεσπότης κὺρ Θωμᾶς ἐξῆλθε· προητοίμασε γάρ τινα πλοιάρια, καὶ ἦλθεν ἐν τῷ πόρτῳ λόγῳ ὀνομαζομένῳ, ἵν' ἀπ' ἐκεῖσε καιροῦ λαβόμενος εἰς τὴν Κέρκυραν ἀπέλθῃ, ὃ δὴ καὶ γέγονε. Καὶ τῇ κη' τοῦ Ἰουλίου μηνὸς ἀπέσωσεν ἐκεῖσε, ἤγουν τοὺς Κορφοὺς, ὡς νῦν ὀνομάζεται ἡ Κέρκυρα· εὑρόντος δὲ κἀμοῦ πλεύσιμον, ἀπαγόμενον ἐκεῖσε, ἐμβὰς τῇ ια' Ἰουλίου διὰ τὸ ἐπιγενέσθαι μετὰ τῶν ἄλλων κακῶν θανατικὸν ἐν τῇ Μεθώνῃ, τῇ β' τοῦ Αὐγούστου ἀπεσώθημεν ἔχοντός μου σκοπὸν, ἵνα εἰς τὴν Κρήτην ἀπέλθω, ἢ εἰς τὴν περὶ τὴν Θεσσαλονίκην Βέῤῥοιαν, διὰ τὸ ἔχειν με ἐκεῖ καλλίστην μονὴν εἰς ὄνομα τοῦ ἁγίου Νικολάου, ἥνπερ τῆς μητρός μου ὁ πατὴρ ἀνήγειρεν ἐκ βάθρων· τοῦ δὲ Ῥαοὺλ Γεωργίου καὶ τοῦ γαμβροῦ καὶ τῆς θυγατρὸς αὐτοῦ ἀπελθόντων, ἔτι δὲ καὶ τοῦ δεσπότου μετὰ καὶ τῶν ἄλλων πάντων μετέπειτα, καὶ ἐμὲ παρώτρυνον καὶ ἐβουλεύοντο ἐκεῖσε ἀπελθεῖν, ἀπῆλθον κἀγώ· τοῦ δὲ Ἀμηρᾶ λαβόντος τὴν Ἀρκαδίαν, καὶ ἀπ' ἐκεῖσε διερχομένου εἰς τὰ κάτω μέρη τοῦ Μορέως, καὶ λαμβάνοντος πάντα τὰ ἐκεῖσε, ἀλλὰ δὴ καὶ τὸ ἰσχυρότατον Χλομούτζιν καὶ Σανταμέριν

τῶν Μπειλαρμπεΐδων, ὁποῦ εἶχον αὐτὰ, ταῦτα ἀφέντων κούφων, καὶ ἀπελθόντων καὶ αὐτῶν εἰς Κορφοὺς, ἦλθε μέχρι καὶ τῆς Πάτρας κἀκεῖσε προσέμεινε, καὶ τὰ Καλάβρυτα λαβόντος παρὰ τοῦ οὔτ' εἰς δεσπότας οὔτ' εἰς Ἀμηρᾶν πιστοῦ Δοξᾶ, ἀλλ' οὐδ' εἰς Θεὸν νομίζω, αὐτὸς μὲν ἔδωκεν δίκην ἀξίαν ἐκδαρεὶς, οἱ δ' αὐτοῦ πάντες οἱ μὲν ἀπετμήθησαν τὰς κεφαλὰς, οἱ δὲ αἰχμάλωτοι ἀπήχθησαν· τὸ δὲ κάστρον ὁ Ἀμηρᾶς καλῶς ἀσφαλισάμενος καὶ παντὶ τρόπῳ ὀχυρώσας ἐγερθεὶς ἀπὸ τὴν Πάτραν, διέβη εἰς τὰ περὶ τὸ Σαλμενικὸν καὶ Λήστραιναν καὶ Βοστίτζαν, ὧν τὴν μὲν Βοστίτζαν καὶ Λήστραιναν ἔλαβε, τὸ δὲ Σαλμενικὸν ἐκράτησε μέχρι τινὸς Παλαιολόγος ὁ τὸ ἐπίκλην Γρέτζα· τοῦ δὲ δεσπότου, ὡς εἴπομεν, πανοικεὶ ἐλθόντος εἰς τοὺς Κορφοὺς, ἦλθον πρὸς αὐτὴν καὶ γράμματα ἀπὸ τὸν σούμπασιν Ἀγγελοκάστρου, διαλαμβάνοντα, ὡς ὁ Ἀμηρᾶς ἔχει ὄρεξιν ἀπελθεῖν εἰς ἐκεῖνον· τίς τῶν ἀρχόντων σου καὶ γενήσεται συμβίβασις μέσον ὑμῶν ἀγάπης, καὶ δοθῇ παρ' ἐκείνου καὶ τόπος μετά τινων συμφωνιῶν πρὸς σέ; συνδιασκεψάμενος οὖν μετὰ τῶν αὐτοῦ ὁ δεσπότης ἔδοξε καλὸν, ἵνα ὁ μὲν Ῥαοὺλ Γεώργιος ἀπέλθῃ εἰς τὸν Ἀμηρᾶν, ὁ δὲ γαμβρὸς αὐτοῦ Ῥαοὺλ Ἰωάννης ἀπέλθῃ εἰς τὸν πάπαν, ἵνα ὁ μὲν καὶ ταῦτα καὶ τὴν εἰς τοὺς Κορφοὺς τοῦ δεσπότου πλημμέλειαν δηλώσῃ τῷ πάπᾳ, ὁ δὲ ἴδῃ, τίς ὁ τοῦ Ἀμηρᾶ σκοπὸς τοῦ λόγου· οἱ καὶ ἀπῆλθον, ὁ μὲν τῇ θʹ, ὁ δὲ τῇ ιαʹ Αὐγούστου. θανατικοῦ δ' ἐπιγεγονότος καὶ εἰς τὸ κάστρον τῶν Κορυφῶν, ὁ δεσπότης καὶ ἡμεῖς ἀπήλθομεν εἰς χωρία, ἐκδεχόμενοι καὶ τὰ τῶν ἀποκρισιαρίων ἀποτελέσματα. ὁ μὲν οὖν Ῥαοὺλ Γεώργιος διελθὼν διὰ τοῦ Ἀγ-

γελοκάστρου ἔφθασε τὸν Ἀμηρᾶν εἰς τὰ περὶ τὴν Βεῤῥοίαν· καὶ εὐθὺς προστάξαντος αὐτοῦ, ὅ τε Ῥάλης καὶ οἱ σὺν αὐτῷ πάντες ἐδεσμεύθησαν καὶ οἱ πόδες αὐτῶν ἠσφαλίσθησαν σιδηροῖς· διαβιβάσαντες οὖν οὕτως ἡμέρας τινὰς, ὡς ἐξῆλθεν ὁ Ἀμηρᾶς καὶ αὐτοὶ οὕτως δέσμιοι μετά τινας ὀλίγας ἡμερῶν εἰς τὰ περὶ τοῦ μαύρου ὄρους βουνὰ ἠλευθέρωσεν αὐτοὺς, εἰπών· ὅτι ἐγὼ ἐκδεχόμην ἵνα πλησίον τοῦ Μορέως εὑρισκομένου μου ἔλθῃ ὁ δεσπότης ἢ στείλῃ υἱὸν αὐτοῦ μετὰ ἀρχόντων, καὶ γένηται χάρις πρὸς αὐτὸν, καὶ κάθηται καὶ ζῇ· ἐπεὶ οὖν οὐδὲν ἐγένετο, πάλιν λέγομεν, ἂν θέλῃ, ἂς γενῇ, καὶ ἀπελθόντος σοῦ ἂς ἔλθῃ ὁ δεσπότης ἢ ἂς στείλῃ ἀπὸ τὰ παιδία αὐτοῦ καὶ θέλομεν ποιήσειν εἰς ἐκείνους καλά.

ϛξα.

Ἐπιστρέψαντος δὲ τοῦ Ῥαοὺλ ἀπράκτου τὸν Ὀκτώβριον τοῦ ξθ' ἔτους, τῇ ις' τοῦ Νοεμβρίου τοῦ αὐτοῦ ἔτους ἐμβὰς εἰς ἓν τῶν κορφιατικῶν καραβοπούλων ὁ δεσπότης κὺρ Θωμᾶς μετὰ καὶ τῶν πλειόνων ἀρχόντων αὐτοῦ διέβη εἰς τὸν Ἀγκῶνα, ἵνα ἀπ' ἐκεῖσε εἴς τε τὸν πάπαν καὶ τὸν δοῦκαν Μιλάνας· καὶ ἀλλαχοῦ ἀπέλθῃ, εἰς τοὺς Κορφοὺς καταλείψας τήν τε βασίλισσαν καὶ τὰ παιδία αὐτοῦ καί τινας τῶν ἀρχόντων, ἀλλὰ δὴ καὶ τὰς φαμιλίας τῶν ἐκεῖνον ἀκολουθούντων· οὗ δὴ κἀμὲ πολλὰ διορισαμένου καὶ ζητήσαντος ἵνα ἢ μετ' αὐτοῦ ἀπέλθω ἢ ἐνταῦθα μετὰ τῆς βασιλίσσης εὑρίσκωμαι, καὶ ὡς ἄρχων τοῦ ὀσπητίου αὐτῆς, ἐγὼ ἀπό τε τοῦ ἐλέους τοῦ τὰ πάντα καλῶς οἰκονομοῦντος Θεοῦ, ἀπό τε τῆς λύπης ὧν ἐγέννησα, ἀπό τε τῆς ἀταξίας πάντων τῶν τοῦ ὀσπητίου αὐτοῦ, ἀνήκοος ἐγενόμην καὶ εἰς ἀμφότερα· ἀλλ' ἐπιμείνας καὶ ἕτερον καὶ-

ρὸν εἰς αὐτὸ δὴ τὸ χωρίον τὰ Μελιβοτινά, ὅπερ εὑρισκόμην, ὅταν καὶ ὁ δεσπότης (ἦν) εἰς τὸν Χλομὸν διὰ τὸν φόβον τοῦ θανατικοῦ, ὡς δεδήλωται, ὡς εὗρον μετὰ καιρὸν κάθισμα τὸ εἰς ὄνομα τοῦ ἁγίου Ἡλίου, πλησίον τοῦ κάστρου, ἀπελθόντος μου ἐκεῖσε,

υξβ.

Σεπτεβρίου ς' τοῦ ο' ἔτους, κατέμενεν μετὰ τῶν ἐμῶν, καὶ μόνου τοῦ θεοῦ δεόμενος, ἵνα ἡμᾶς ἐλεήσῃ καὶ ἐξοικονομήσῃ ἀπὸ τῆς αὐτοῦ φιλανθρωπίας καὶ ἀγαθότητος· διαβιβάσαντός μου σὺν ἐκεῖσε μῆνας ε' καὶ μικρόν τι πρὸς, ὡς οὐδὲν ἐνοήσαμεν ἀναπαυθῆναι μὲ τοὺς ἔχοντας τὸ τοιοῦτον κάθισμα, καὶ διὰ τὸ νὰ ἔξομεν καὶ πλέον τὸν πλησιασμὸν τοῦ καλοῦ κἀγαθοῦ φίλου καὶ πνευματικοῦ πατρὸς Δωροθέου, εὑρισκομένου αὐτοῦ εἰς τὴν μονὴν τῶν ἁγίων ἀποστόλων, Ἰάσωνος καὶ Σωσιπάτρου· εὑρόντες καὶ ἡμεῖς ἀπὸ τῆς τάξεως τῶν λβ' ἱερέων τὸ τοῦ ἁγίου Νικολάου κάθισμα τὸ ἐπονομαζόμενον τοῦ Ταρχανιώτου ἀπήραμεν αὐτὸ Μαρτίῳ ιε' τοῦ αὐτοῦ ο' ἔτους δηλονότι· ὁ δὲ δεσπότης κὺρ Θωμᾶς φθάσας εἰς τὸν Ἀγκῶνα καὶ ἀπ' ἐκεῖ εἰς τὴν Ῥώμην οὐδὲν ἄλλο κατώρθωσεν, εἰ μὴ ὅτι δέδωκε τῷ πάπᾳ Πίῳ τὴν τοῦ ἁγίου ἀποστόλου καὶ πρωτοκλήτου Ἀνδρέου κάραν, κἀκεῖνος πρὸς αὐτὸν πρὸς τὸ μόλις νὰ ζῇ μὲ τοὺς αὐτοῦ αὐτὴν καὶ μόνην τὴν ἀναγκαίαν τροφήν· διαβιβάσαντος δὲ μερικὸν καιρὸν, ἔδοξεν αὐτῷ καὶ ἐπανέστρεψεν εἰς τὴν αὐθεντίαν τῶν Βενετιῶν καὶ πάλιν ἀπ' ἐκεῖσε εἰς τὸν Ἀγκῶνα, τῆς θυγατρὸς αὐτοῦ βασιλίσσης Σερβίας ἐκεῖσε ἀπελθούσης, καὶ διατρίψας ἡμέρας τινὰς εἰς θεωρίαν αὐτῆς, ἐκεῖνος μὲν διέβη πάλιν εἰς τὴν Ῥώμην, ἡ δὲ βασίλισσα εἰς τὸ Ῥαου-

ζιν ἐπέρασεν· ἡ δὲ εἰς τοὺς Κορφοὺς βασίλισσα καὶ μήτηρ αὐτῆς, κακῶς διαβιβάζουσα, ἐλεηθεῖσα ὑπὸ τοῦ Θεοῦ, τῷ αὐτῷ ό ἔτει Αὐγούστῳ κς΄ ἀπέθανε καὶ ἐτάφη ἐν τῇ τῶν ἁγίων ἀποστόλων μονῇ Ἰάσωνος καὶ Σωσιπάτρου· ὁ δὲ τῶν ἀσεβῶν ἐξάρχων τὸν αὐτὸν δὴ χρόνου ἀπελθὼν κατὰ τοῦ Σφεντιάρη ἀπῆρε τὸ ἐκείνου περιβόητον κάστρον Σινώπιν ὀνομαζόμενον, ὃ δὴ κἀγὼ ἐθεασάμην, ἀλλὰ δὴ καὶ τὸν ἄλλον αὐτοῦ ἅπαντα τόπον· ἔτι δὲ παρέμπροσθεν ἀπελθόντος αὐτοῦ ἀπῆρε καὶ τὴν Κερασοῦντα καὶ τὴν Τραπεζοῦντα, καὶ ἅπασαν τὴν περίχωρον αὐτῶν δὴ τῶν βασιλειῶν Τραπεζοῦντος, καὶ πάντας σχεδὸν τῶν ἐκεῖσε ἀτυχῶν αὐθεντῶν καὶ ἀρχόντων ἐκβαλὼν, εἰς τὴν Ἀνδριανούπολιν φέρων κατῴκησεν, ἔνθα δὴ καὶ ὁ τοῦ Μορέως αὐθέντης· ᾧ δὴ καὶ δέδωκεν ἔχειν εἰς ζωάρκειαν αὐτοῦ καὶ τῶν αὐτοῦ τὴν μεγάλην Αἶνον, τὴν Λῆμνον, τὴν Ἴμβρον, καὶ τὸ Σαμοθράκιον, τὸν δὲ Τραπεζοῦντος βασιλέα τὸν Κομνηνὸν κὺρ Δαυὶδ χωρία περὶ τὸ μαῦρον ὄρος, ὃν δὴ καὶ μετά τινος χρόνου μικροῦ παραδρομὴν εὑρὼν τάχα εἰς αὐτὸν ἀφορμὴν μικρὰν καὶ οὐκ ἀληθῆ, πάντα τὰ αὐτοῦ ἔλαβε, κἀκεῖνον πνιγμῷ ἐτελείωσε. τὸ δὲ ἔαρ τοῦ αὐτοῦ ό ἔτους διέβη ὁ Ἀμηρᾶς εἰς τὴν μεγάλην Βλαχίαν, καὶ ἐδιόρθωσε τὰ κατ' αὐτοῦ ἐκεῖσε ἐνεργούμενα καὶ ἐπιστρέψας ἐποίησεν ἁρμάτωμα, καὶ πέμψας αὐτὸ κατὰ τῆς Λέσβου ἀπῆρεν αὐτήν.

υξγ.

Τὸν δὲ Νοέμβριον τοῦ οα΄ ἔτους ἐπιδραμόντος τοῦ υἱοῦ τοῦ Τουραχάνη Ἀμάρη, ἀπῆρε πάντας τοὺς περὶ τὸν Ναύπακτον καὶ τὴν αὐτοῦ περιοχὴν τὸν Γαλατᾶν οὕτω Βενετικοὺς, ὡς τάχα καὶ χαρατζαρίους τοῦ τῆς μικρᾶς Βλα-

χίας Φλαμπούλου αὐτοῦ· ὅπερ μαθὼν ὁ τῶν Βενετικῶν κατέργων καπετάνιος καὶ πρὸς βοήθειαν δραμὼν εἰς τὴν ἀντιπέραν πόλιν τοῦ Ἀμηρᾶ Βοστίτζαν περάσας, ἔκαυσε καὶ ἠχμαλώτευσε πᾶσαν ἄνευ μόνου τοῦ Κουλᾶ· καὶ φέρων τοὺς Βοστιτζιανοὺς ἐν τῷ Ναυπάκτῳ μὲ τοὺς αὐτοῦ ἐναλλαγὴν ἐποιήσατο, καὶ δὴ προμελετωμένης οὔσης μάχης τοῦ γενέσθαι μετὰ τοῦ Ἀμηρᾶ παρὰ τῆς αὐθεντίας τῶν Βενετιῶν, διὰ τὸ πᾶσι τρόποις χρήσασθαι τυχεῖν τῆς ἀρχῆς καὶ ἐξουσίας τοῦ Μορέως· τοῦτο δὴ τὸ ἔργον ἀπεκάλυψεν αὐτὴν (καὶ) ἀρχὴ κατέστη· καὶ ἐλθόντος τοῦ τζενεράλη καπετάνου Ἀλωΐσου Λορδᾶ ἐκείνου, μετὰ πολλῆς ἔτι παρασκευῆς καὶ δυνάμεως, ἐπίασε τὸ Ἑξαμίλιον καὶ ἔκτισεν αὐτό· κακῶς δὲ ἀπὸ τῆς συντομίας· οὐ γὰρ ἐν συντόμῳ τὸ ἀσφαλὲς, ὡς ὁ λόγος, ἀλλ' ἐπεὶ ἐπολέμησε τὴν Κόρινθον καὶ οὐκ ἔτυχε τοῦ ἐλπιζομένου, ἀφεὶς καὶ τὸ Ἑξαμίλιον ἀπῆλθε.

υξδ.

Τὸ δὲ ϛβ' ἔτος ἀπῆραν τὴν Μονεμβασίαν οἱ Βενετικοὶ, οὐ τοσοῦτον θελήσει καὶ χάριτι τῶν κυρίων αὐτῶν, ὅσον ἀνωφελείᾳ τοῦ κρατοῦντος αὐτὴν ἄρχοντος, ὥσπερ δὴ ὁμοίως ἀνωφελείᾳ καὶ ἀπετυχίᾳ καὶ τοῦ κεφαλεύοντος τὸ τῆς Λήμνου κάστρον, τὸ λεγόμενον Παλαιόκαστρον, ἐκλάπης καὶ μᾶλλον ὁ τοιοῦτος Κουλᾶς αὐτοῦ καὶ παρὰ ἐξωτερικοῦ τυχόντος καὶ ἐδόθη πρὸς τὴν αὐθεντίαν τῶν Βενετιῶν, καὶ ἐξ αὐτοῦ δηλονότι τοῦ κάστρου καὶ ἅπαν τὸ νησίον ἐκληρώσαντο· ἀλλὰ καὶ εἰς τὴν Λέσβον ἀπελθόντος αὐτοῦ δὴ τοῦ καπετάνου καὶ πολεμήσαντος αὐτὴν, οὐκ ἔπραξέ τι, ἀλλ' ἀπῆλθεν ἄπρακτος.

υξε.

Τὸ δὲ ἔαρ τοῦ σγ' ἔτους ἀποστείλας ὁ δεσπότης κὺρ Θωμᾶς ἐμήνυσεν, ἵνα οἱ υἱοὶ αὐτοῦ καὶ ἡ θυγάτηρ ἐκεῖσε ἀπέλθωσιν, ὅπου κἀκεῖνος· καὶ γενομένου καὶ ἀποσωθέντων μετὰ καραβίου εἰς τὸν Ἀγκῶνα, καὶ μόνον ἀκούσαντες ὅτι ἀπεσώθησαν, οὐ φθάσαντος δὲ ἰδεῖν αὐτὰ Μαΐῳ ιβ', ἐν Ῥώμῃ εὑρισκόμενος τέθνηκεν, ὑπάρχοντος χρόνων νς' καὶ μικρόν τι πρός· αὐτὰ δὲ ὀλίγον καιρὸν διαβιβάσαντα εἰς τὸν Ἀγκῶνα, πέμψας ὁ πάπας ἐπιμελείᾳ καὶ σπουδῇ καὶ βοηθείᾳ τοῦ αἰδεσιμωτάτου καρδηναλίου καὶ πατριάρχου Κωνσταντινουπόλεως Βησσαρίωνος, ἀπῆλθον εἰς τὴν Ῥώμην καὶ εἰς αὐτὴν ἐκείνην τὴν οἰκονομίαν πρὸς τὸ ζῆν, ἣν καὶ ὁ πατὴρ αὐτῶν εἶχε· καὶ τὸν πρῶτον υἱὸν τὸν κὺρ Ἀνδρέαν τὸν Παλαιολόγον δεσπότην ὁ πάπας τετίμηκε.

υξς.

Τῷ δὲ οδ' ἔτει Ὀκτωβρίου ιε' καὶ ὁ πνευματικὸς πατὴρ ἡμῶν καὶ ἀδελφὸς καὶ φίλος ἄριστος ὁ Δωρόθεος, ἀπῆλθεν ἀποθανὼν εὐφραινόμενος ἐν οὐρανοῖς, ἡμᾶς δὲ κατέλειπε καὶ τὴν ἐκείνου λυπουμένους στέρησιν· κἀγὼ δ' ἀναγκασθεὶς ὑπὸ τῆς ἐνδείας, Ἀπριλλίῳ η', ἐξῆλθον καὶ ἀπῆλθον εἰς τὸν Ἀγκῶνα τῇ ιζ' Μαΐου, καὶ τῇ α' πάλιν Ἰουλίου ἐξελθόντος μου, ἀπῆλθον διὰ τῆς ὁδοῦ Βιτέλμου, ἐπεὶ κἀκεῖσε εἰς τὰ θερμὰ εὑρίσκεσθαι τὸν καρδηνάλιον μεμαθήκαμεν· δι' ἡμέρας θ' εἰς τὴν Ῥώμην ἐφθάσαμεν, καὶ ποιήσας εἰς τὸ ὁσπήτιον τῶν αὐθεντῶν ἡμῶν, τοῦ δεσπότου κὺρ Ἀνδρέου καὶ αὐθεντοπούλου κὺρ Μανουὴλ τῶν Παλαιολόγων, ἡμέρας λς', ἐν αἷς ἡμέραις καὶ τοὺς τάφους τῶν μακαρίων ἀποστόλων Πέτρου

καὶ Παύλου προσεκύνησα· καὶ πολλῶν ἄλλων ἁγίων τῶν ἐκεῖσε τεθαμμένων, καὶ ἱστορήσας τὰ ἐν τῇ πόλει τῇ μεγάλῃ καὶ περιβοήτῳ (καὶ) παλαιᾷ, τῇ ις´ Ἰουλίου ἐξῆλθον καὶ ἦλθον διὰ τῆς εὐθείας ὁδοῦ εἰς τὸν Ἀγκῶνα, καὶ μικρόν τι προσμείνας διὰ θαλάσσης εἰς τὴν Βενετίαν ἀπῆλθον τῇ κη´ τοῦ αὐτοῦ, καὶ ἐποίησα ἐκεῖσε εἰς τὸ μοναστήριον τοῦ σταυροῦ ἡμέρας κϛ´, ἕως Αὐγούστου δηλονότι κγ´· ἐν ᾗ ἀργὰ σὺν θεῷ ἐξελθόντες ἀπεσώθημεν ἐνταῦθα εἰς τοὺς Κορφούς.

υξζ.

Τῇ ε´ τοῦ Σεπτεβρίου μηνὸς τοῦ οε´ ἔτους· καθ᾽ ὃν δὴ καιρὸν ἡμεῖς εἰς τὰ περὶ τὴν Ῥώμην διετρίβομεν, καὶ ὁ τῶν ἀσεβῶν ἐξάρχων Ἀμηρᾶς, ἐλθὼν κατὰ τῆς Ἀλβανιτίας, καὶ διώξας τὸν αὐθέντην αὐτῆς τὸν Σκαντάριν, καὶ αἰχμαλωτεύσας καὶ ἀφανίσας τὸν τόπον, καὶ κτίσας κάστρον πλησίον τοῦ καθολικοῦ κάστρου αὐτῆς, Κρούας ὀνομαζομένου, πρὸς τὸ ἀντιμάχεσθαι αὐτῷ, ἐπανέστρεψεν εἰς τὰ περὶ τὴν Κωνσταντινούπολιν· καὶ τοῦ αὐτοῦ οε´ ἔτους τὸ θέρος, γεγονὼς ὁ Βίκτωρ Καπέλος καπετάνιος τζενεράλης ἀπελθὼν εἰς τὴν νῆσον Ἴμβρον καὶ πολεμήσας, ἀπῆρεν αὐτήν· καὶ πάλιν ἀπελθόντος αὐτοῦ εἰς τὴν Ἀθήναν, πᾶσαν τὴν χώραν ᾐχμαλώτευσεν· ἐλθόντος δ᾽ αὐτοῦ εἰς τὴν παλαιὰν Πάτραν περὶ τὸν Αὔγουστον, ἀπῆρε τὴν χώραν· ἐπιδραμόντος οὖν τοῦ Ἀμάρη εἰς βοήθειαν αὐτῆς ὁ Πρεβεδοῦρος μετὰ τῶν τῆς ἀρμάτας καὶ Ῥαοὺλ Μιχαὴλ ὁ Ἰσὴς μετὰ στρατιωτῶν πολλῶν καὶ καλῶν ἔτρεψαν αὐτὸν κατὰ κράτος, καὶ πολλοὺς τῶν αὐτοῦ ἐσκότωσαν καὶ διώξαντες μέχρι πολλοῦ, οὐκ ἐστράφησαν περὶ τὸ προκείμενον τοῦ ἔργου, καὶ μᾶλλον τοῦτο συμβουλεύοντες οἱ Ῥωμαῖοι, οἱ καὶ

τοῦ τόπου καὶ τῶν τοιούτων πλέον εἰδήμονες· ἀλλ' ἐπαρθεὶς ὁ Πρεβεδοῦρος καὶ σκληρὸς μᾶλλον φανεὶς καὶ πρὸς αὐτοὺς, πῶς οὐ διώκουσιν, ἐξεδίωξαν καὶ μὴ γινώσκοντες τοῦτο καλὸν μέχρι καὶ τῶν μύλων καὶ τοῦ Σαραβαλλίου καὶ ἐπέκεινα πρὸς τὸ ἀνώφορον τοῦ Σιδηροκάστρου· ὁ γοῦν Ἀμάρης ἰδὼν τὸν τούτων διωγμὸν ἄκαιρον καὶ ἄπρακτον καὶ ἄτακτον, καταλείψας εἴς τινας τόπους ἀνθρώπους εἶτ' ἐπιστρέψας κατ' αὐτῶν, ἔτρεψε καὶ ἐδίωξεν αὐτοὺς, καὶ φθάσας ἀνεῖλε τὸν Πρεβεδοῦρον ἐπὶ μουλαρίου καθεζόμενον, καὶ δὶς ἀπ' ἐκείνου π.σόντα, καὶ ἄλλους ἀνεῖλεν πολλοὺς, καὶ αὐτὸν δὴ τὸν Ῥασοὺλ Μιχαὴλ ἁλώσαντες τοῦ ἀλόγου αὐτῷ συμπεσόντος, καὶ ἐκάθισαν αὐτὸν εἰς τὸν πάλον. Καὶ τέλος ὡς νικηταὶ δραμόντες εἰς τὸν αἰγιαλὸν, ἔνθα τὰ κάτεργα, πολλοὺς εὑρόντες εἰς τὴν γῆν ἀνεῖλον αὐτοὺς· ὑποπτεύσαντες δὲ εἶναι αἴτιον, καὶ τὸν μητροπολίτην τῆς αὐτῆς παλαιᾶς Πάτρας τοῦ ἐλθεῖν κατ' αὐτῶν τὸ ὁρμάτωμα, λαβόντες εἰς τὸν πάλον ἐκάθισαν· ταῦτα δὲ παθόντες ἄπρακτοι καὶ ζημιωμένοι οἱ τῆς ἀρμάτας, ἐπανέστρεψαν· ἀφ' οὗ δὴ συμβεβηκότος κακοῦ καὶ ὁ καπετάνιος λυπηθεὶς καὶ πολὺ ἀσθενήσας, εἰς τὸν Εὔριπον εὑρισκόμενος ἀπέθανε, καὶ γέγονε καπετάνιος Ἰάκωβος Λορδᾶς ὁ τοῦ Πέτρου Λορδᾶ ἐκείνου υἱὸς καὶ τοῦ πρὸ αὐτοῦ Ἀλωΐσου Λορδᾶ καπετανίου πρωτεξάδελφος· ἀλλὰ ταῦτα μὲν τῷ τοῦ ἐνεστῶτος χρόνου χειμῶνι παρηκολούθησαν· τὸ δὲ τῆς Πάτρας τῷ πρὸ τοῦ φθινοπώρου Αὐγούστῳ. τῇ κθ' τοῦ Μαρτίου μηνὸς τοῦ οε' ἔτους, ἐν ᾗ καὶ τὸ ἡμέτερον μέγα πάσχα γέγονεν, ἐναπέψυξεν ὁ τῶν κακῶν πάντων τοῦ Μορέως αἴτιος Ματθαῖος ὁ Ἀσάνης· καὶ ἰδοὺ καὶ τὸ τοῦ Δαυὶδ μελῴδημα καὶ ἔτι πεπλήρωται τὸ ἀναστήτω ὁ Θεὸς

καὶ διασκορπισθήτωσαν οἱ ἐχθροὶ αὐτοῦ, καὶ φυγέτωσαν ἀπὸ προσώπου αὐτοῦ οἱ μισοῦντες αὐτόν· καὶ τούτου γενομένου ὡς ἠκούσαμεν παρά τινων, ἀπέπεμψε καὶ ὁ δεσπότης τὴν τοῦ Ἀμηρᾶ πρὸς αὐτὸν πρόσοδον καὶ τὸ χρέος τῆς δουλείας εἰς τὰ φωσάτα, εἰπόντος αὐτοῦ· ἐγώ εἰμι γέρων καὶ ἀσθενής· ὁ ἐκπληρῶν τὴν δουλοσύνην ἀπέθανε· λοιπὸν ἡ πολλὴ πρόσοδος ἂς δοθῇ ὅπου ὁρίσῃς· ἐμοὶ δὲ ἂς δοθῇ ὅσον νὰ ζῶ καθήμενος ἐνταῦθα μετά τινων ὀλίγων· ἀπελογήσατο ὁ Ἀμηρᾶς· καλῶς λέγει καὶ ἂς χωρίσῃ τοὺς θέλει, καὶ ἐχώρισε· καὶ δέδωκε πρὸς αὐτὸν ἄσπρα χʹ, ἵνα ἔχῃ αὐτὰς ἀπὸ τὸ κουμέρκι τοῦ ἀλεύρου, τοὺς δὲ πλείονας τῶν ὑποχειρίων αὐτοῦ περιορίσας ἀπῆρεν, ἵνα εὑρίσκωνται εἰς τὴν πόλιν· ἄλλοι δὲ εἶπον ἄλλως γεγονέναι καὶ μέλλομεν μαθεῖν καὶ διηγήσεσθεν. τοῦ δ' αὐτοῦ χρόνου τὸ θέρος ἐγεγόνει τοσαύτη λοιμώδης νόσος εἴς τε τὴν Κωνσταντινούπολιν καὶ τὴν Ἀνδριανούπολιν καὶ τὴν Καλλίπολιν καὶ τὰ πέριξ αὐτῶν κάστρα καὶ κωμοπόλεις καὶ χώρας οἵα οὐ γέγονε παρόντος χρόνους πολλούς· τεθνήκασι γάρ, ὡς λέγουσι, μυριάδες πολλαὶ ἀνθρώπων, οὐ χιλιάδες· σὺν αὐτοῖς δὲ καὶ ἡ τοῦ δεσπότου θυγάτηρ.

νξη.

Τοῦ δὲ ϛϛʹ ἔτους, Νοεμβρίῳ μηνὶ ἀπῆλθον κἀγὼ εἰς τὴν ἁγίαν Μαῦραν, παρακινήσει τῆς βασιλίσσης κυρᾶς Ἑλένης καὶ πενθερᾶς τοῦ αὐθεντὸς τοῦ τόπου ἐκείνου κὺρ Λεονάρδου, ἵνα καὶ τὸν τόπον καὶ τοὺς ἐκεῖσεν ἀναθεωρήσω, καὶ ὡς δῆθεν ἀνεψίου τοῦ μακαρίτου αὐθεντός μου τοῦ βασιλέως κὺρ Κωνσταντίνου καὶ ὑπὲρ τοῦ πατρὸς αὐτοῦ παθόντος μου ζημίαν μεγίστην, ὡς προεδήλωσα ἐν τῷ λήʹ ἔτει, ἀπολαύσω τινὰς εὐεργεσίας ἐτησίους, ὡς γέρων

καὶ ἀσθενὴς καὶ πτωχὸς ἀπὸ τῆς αἰχμαλωσίας· ἐπανέστρεψα δὲ τῇ κβ′ τοῦ αὐτοῦ, εὐτελῆ πάντα καὶ ἰδὼν καὶ ἀπολαύσας ἄνευ τοῦ ὑπερέχειν ἐν τῷ μασταρδικῷ γένει τὴν πᾶσαν ἀρχὴν αὐτοῦ· δεῖ γὰρ τοὺς ἀρχομένους ἐξομοιοῦσθαι τοῖς ἄρχουσι. καὶ τὸν Ἰαννουάριον τοῦ αὐτοῦ ἔτους, καὶ ὁ τῆς Ἀλβανιτίας αὐθέντης Σκαντάρης τέθνηκεν φυσικῷ θανάτῳ· καὶ τὸ μὲν τοῦ τόπου καὶ τῆς αὐθεντίας αὐτοῦ ἔλαβεν ἡ αὐθεντία τῶν Βενετιῶν· τὸ δὲ ὁ τῆς ἀδελφῆς αὐτοῦ υἱὸς, Τοῦρκος ὢν, καὶ εἰς τὸν Ἀμηρᾶν καὶ σταλεὶς παρ' ἐκείνου· ἀπὸ δὲ τοῦ ἡμίσους ἔαρος τοῦ αὐτοῦ δηλονότι ϛ′ ἔτους καὶ ὅλου τοῦ θέρους διαβιβάσαντός μου κακῶς ἀπὸ τῆς συνήθους ἀσθενείας τοῦ ῥευματισμοῦ, ἀλλὰ δὴ καὶ τῶν κοσμικῶν φορεμάτων μου διαλυθέντων, ἐρασοφορέσαμεν τῇ α′ τοῦ Αὐγούστου μηνὸς καὶ ἀντὶ Γεώργιος Γρηγόριος, ἀντὶ δὲ Ἑλένη Εὐπραξία ὠνομάσθημεν, διδόντες πρῶτον τὴν εἰς θεὸν τῆς πίστεως ὁμολογίαν ἡμῶν, ἔχουσαν οὕτως· Πιστεύω τὸν υἱὸν τοῦ θεοῦ μὴ κτίσμα εἶναι οὐδ' ὑπὸ χρόνον, κατὰ τὸν ἄφρονα Ἄρειον, ἀλλ' ὁμοούσιον καὶ συναΐδιον τῷ θεῷ καὶ πατρὶ θεὸν ἀληθινὸν ἐκ θεοῦ ἀληθινοῦ, ποιητὴν χρόνων καὶ τῶν κτισμάτων τῶν πάντων, ὕστερον δὲ σαρκωθέντα δι' ἡμᾶς ἐκ πνεύματος ἁγίου καὶ Μαρίας τῆς ἀειπαρθένου. Πιστεύω τὸ πνεῦμα ἅγιον μὴ κτίσμα εἶναι μηδὲ ἑτερούσιον τοῦ πατρὸς καὶ τοῦ υἱοῦ, ὡς ὁ Μακεδόνιος ὁ κενὸς τῆς αὐτοῦ χάριτος ἐβλασφήμει, ἀλλὰ θεὸν ἀληθινὸν, ὁμοούσιον καὶ συναΐδιον τῷ πατρὶ καὶ τῷ υἱῷ, ἐκ τοῦ πατρὸς πρὸς υἱὸν ἐκπορευτῶς, ὥσπερ ὁ υἱὸς ἐξ αὐτοῦ γεννητῶς. Πιστεύω μὴ ἄλλον εἶναι τὸν υἱὸν τοῦ θεοῦ τὸν προαιώνιον, ἕτερον δὲ τὸν ἐκ τῆς παρθένου γεννηθέντα Ἰησοῦν Χριστὸν, ὡς ὁ ἄφρων

Νεστόριος ἐβλασφήμει, ἀλλὰ τὸν ἐξ αὐτῆς γεννηθέντα δύο μὲν εἶναι μετὰ τὴν ἕνωσιν φύσεις, ἕνα δὲ τῇ ὑποστάσει τῇ θεϊκῇ δηλονότι· διὸ καὶ τὴν αὐτὸν τεκοῦσαν κυρίως καὶ ἀληθῶς θεοτόκον εἶναι, καὶ οὐ χριστοτόκον κατ' ἐκεῖνον τὸν ἄφρονα. – Πιστεύω τὸν υἱὸν τοῦ θεοῦ μετὰ τὴν ἐνανθρώπησιν μὴ εἰς μίαν φύσιν τὰς δύο συνάψαι, κατὰ τοὺς ἄφρονας Διόσκορον καὶ Εὐτυχῆν, οἳ τῇ θεότητι τὰ πάθη προσῆπτον, ἀλλ' ἐν δύο φύσεσι καὶ μετὰ τὴν ἕνωσιν ἀσυγχύτως γνωριζόμενον, καὶ ἔτι μήτε προϋπάρχειν τὰς ψυχας τῶν σωμάτων μήτε τέλος εἶναι κολάσεως μήτε ἀποκατάστασιν δαιμόνων, κατὰ τὸν ἄφρονα Ὠριγένην. – Πιστεύω τὸν υἱὸν τοῦ θεοῦ τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστὸν, μετὰ τὴν ἐνανθρώπησιν, οὐχ ἓν θέλημα ἔχειν φυσικὸν καὶ μίαν ἐνέργειαν, κατὰ τὸν Ῥώμης Ὀνώριον (*) καὶ Πύῤῥον τὸν ἄφρονα, ἀλλὰ δύο θελήσεις καὶ δύο ἐνεργείας, θεϊκὴν δηλαδὴ καὶ ἀνθρωπίνην ἐνέργειαν καὶ θέλησιν, καὶ μηδετέραν τῶν αὐτοῦ φύσεων ἀθέλητον εἶναι ἢ ἀνενέργητον. – Πιστεύω τὰς εἰκονικὰς ἀνατυπώσεις, οὐ λατρευτικῶς, ἀλλὰ σχετικῶς ἀσπάζεσθαι τὴν ἐκκλησίαν τοῦ θεοῦ καὶ τιμᾶν, οὐ τῇ ὕλῃ τὸ σέβας ἀλλὰ τῷ πρωτοτύπῳ ἀπονέμουσαν· ἡ γὰρ τιμὴ τῆς εἰκόνος ἐπὶ τὸ πρωτότυπον διαβαίνει κατὰ τὸν μέγαν Βασίλειον. Πιστεύω μήτε ἀνενέργητον εἶναι τὴν θείαν φύσιν καὶ ἐνεργειῶν οὐσιωδῶν ἔρημον, μήτε ταὐτὸν εἶναι οὐσίαν καὶ ἐνέργειαν ἐπ' ἐκείνης μήτε κτιστὰς εἶναι ταύτας, κατὰ τοὺς ἄφρονας Βαρλαὰμ καὶ Ἀκίνδυνον, ἀλλὰ καὶ ἐνεργείας θείας οὐσιώδεις, καὶ ἑτέρας εἶναι ταύ-

(*) Honorium a monothelismi labe satis purgant theologi passim omnes. M.

τας παρ' αὐτὴν τὴν οὐσίαν, καὶ ἀκτίστους εἶναι καὶ λεγομένας θεότητας. ὁμολογῶ βεβαίως τὸ πνεῦμα τὸ ἅγιον οὐκ ἐκ τοῦ πατρὸς καὶ τοῦ υἱοῦ ἐκπορεύεσθαι ἅμα κατὰ τοὺς Ἰταλοὺς, ἀλλ' ἐξ αὐτῆς τῆς ὑποστάσεως τοῦ πατρὸς ἑνικῶς (*), ὥσπερ ἀμέλει καὶ αὐτὸς ὁ υἱὸς ἐξ αὐτῆς τῆς ὑποστάσεως τοῦ πατρὸς ἑνικῶς γεννᾶται· πέμπεσθαι δὲ παρὰ τοῦ πατρὸς καὶ τοῦ υἱοῦ τὸ πνεῦμα, οἷον αὐτὴ ἡ χάρις καὶ ἡ δωρεὰ αὐτοῦ δίδωσιν. —

υξθ.

Τὸ δὲ φθεινόπωρον τοῦ οζ' ἔτους ἀπῆλθεν ἡ βασίλισσα κυρὰ Ἑλένη ἡ Παλαιολογίνα, ἡ τοῦ δεσπότου Σερβίας γυνὴ, εἰς τὴν αὐθεντίαν τῆς Βενετίας, ἐγκαλοῦσα τοὺς τὸν βίον αὐτῆς κλέψαντας εἰς τοὺς Κορφούς· καὶ τὸ ἔαρ τοῦ αὐτοῦ ἔτους ἐγένοντο σεισμοὶ πολλοὶ καὶ μεγάλοι εἴς τε τὴν ἁγίαν Μαῦραν καὶ τὴν Κεφαλωνίαν καὶ τὴν Ζάκυνθον, καὶ ἐχάλασαν πολλὰ τῶν αὐτῶν· τὸ δὲ τῆς Κεφαλωνίας κάστρον τελείως ἅπαν ἐχάλασε καὶ πολλοὶ τῶν ἀνθρώπων τεθνήκασι· τὸ δὲ θέρος τοῦ αὐτοῦ ἔτους ἀπῆλθεν ὁ τῶν Βενετικῶν κατέργων καπετάνιος, Νικολῶν Δεκανάλιας, καὶ ἠχμαλώτευσε τὴν μεγάλην Αἶνον, καὶ ἐπιστρέψας καὶ ἐλθὼν εἰς τὸν Μορέαν, ἔκτισε τὴν Βοστίτζαν τῷ τοῦ θέρους καιρῷ τοῦ αὐτοῦ ἔτους.

υο.

Τὸν δὲ χειμῶνα τοῦ οη' ἔτους Ἰαννουαρίῳ κε' ἔπεσεν εἰς τὸ καθολικὸν νησὶν χιὼν τοσαύτη, ὅσην οὐδὲν εἶδον οἱ τῶν Κορυφῶν ἄνθρωποι ἄλλοτε, ὥστε καὶ ἀλώπεκας καὶ

(*) Sollemnis error Graecorum de processione Spiritus sancti tantummodo a Patre. M.

λαγωοὺς διὰ τῶν οἰκείων χειρῶν θηρεύειν, ἀλλὰ δὴ καὶ εἰς τὸν τῆς δύσεως τόπον, ἀλλὰ καὶ εἰς τὸν τῆς ἀνατολῆς πολλῷ γε μᾶλλον. περὶ δὲ τὸ τέλος τοῦ ἔαρος τοῦ αὐτοῦ ἔτους ἐκστρατεύσας κατὰ τοῦ Εὐρίπου ὁ τῶν ἀσεβῶν ἄρχων ἦλθεν εἰς αὐτὸν περὶ τὸ τέλος τοῦ Ἰουνίου μηνός· τὸ δὲ ἁρμάτωμα αὐτοῦ τὸ διὰ θαλάσσης, πρὸ τοῦ ἐξελθεῖν ἅπαν τὸ εὑρισκόμενον εἰς αὐτὴν Καλλίπολιν, ἀπελθὸν εἰς τὴν Λῆμνον ἀπῆρε τὸν Κότζηνον καὶ τὰ εἰς ἅπαν τὸ νησίον εὑρισκόμενα χωρία ἄνευ τοῦ Παλαιοκάστρου καὶ τῆς Σκάλας καὶ ὑπέστρεψεν· ἐπελθὸν δὲ τὸ τῆς πόλεως ἐκ Νεικομηδείας καὶ ὁπόθεν ἂν ἦν ὁμοῦ ἐξῆλθεν καὶ ἦλθε καὶ αὐτὸ εἰς τὸν Εὔριπον, ὁποῖον ἰδὼν ὁ ἐξάρχων τοῦ ἁρματος τῶν Βενετικῶν ἀνεχώρησεν, ἴσως καλῶς ποιήσας, κακῶς δὲ ὅτι οὐκ ἦλθε βαλεῖν δύναμιν εἰς τὸν Εὔριπον· ἐρχόμενον δὲ τὸ τοῦ Ἀμηρᾶ ἁρμάτωμα καθ' ὁδὸν ἀπῆρε τὴν Ἴμβρον· εἶτα ἦλθεν εἰς τὸν Εὔριπον, καθ' ὃν δὴ μῆνα καὶ ὁ Ἀμηρᾶς, καὶ πολεμήσαντες σφοδρῶς ἀπό τε γῆς καὶ θαλάσσης, τῇ ιβ´ τοῦ Ἰουλίου μηνὸς ἀπῆραν τὸ κάστρον πολέμῳ. καὶ τούτου γενομένου πάντα τὰ περὶ αὐτὸν νησύδρια καὶ καστέλλια ἐδουλώθησαν ἑκουσίως ἀκουσίως· ὁ δὲ Ἀμηρᾶς προσκαρτερήσας μικρόν τι περὶ τὰς ἀρχὰς τοῦ Αὐγούστου ἐξῆλθεν καὶ ἀπῆλθεν εἰς τὴν Κωνσταντινούπολιν· τὸν δὲ Μπεϊλαρμπεὴν αὐτοῦ ἐπαφῆκε καὶ ἦλθεν εἰς τὸν Μορέαν· ἦλθε δὲ τὸ δεξιὸν μέρος παρὰ θάλασσαν καὶ διερχόμενοι οἱ περὶ τὴν Βοστίτζαν οἱ μὲν ἀφέντες αὐτὴν ἔφυγον, οἱ δὲ προσεκύνησαν καὶ παρέδωκαν αὐτῷ ταύτην· διερχόμενος δὲ παρέμπροσθεν, ὁμοίως ἐποίησαν καὶ οἱ ἐν τῷ Βουμέρῳ καὶ τῇ Ὠλαίνᾳ καὶ τῷ Χελιδόνι καὶ οἱ ἐν τῷ Ποντικῷ ὅπερ ὡς εἶναι εἰς τὸν αἰ-

γιαλὸν ἐχάλασαν μέχρι καὶ θεμελίων, τὰ δὲ ἄλλα ἔχουσι· διελθόντος δὲ αὐτοῦ μέχρι καὶ τοῦ Πριγκιπάτου ἐπιστρέψας ἐξῆλθε τοῦ Μορέως, τὸν δὲ ῥηθέντα καπετάνιον Νικολῶν Δεκανάλια, στείλαντες ἕτερον καπετάνιον τὸν Θωμᾶ Μουτζενίγον, ἐπίασεν αὐτὸν καὶ τὸν υἱὸν αὐτοῦ καὶ τὸν γραμματικὸν, καὶ σιδηροῖς δεσμεύσαντες ἔστειλαν εἰς τὸν αὐθέντην αὐτῶν, εἰς τὴν ἀρχὴν τοῦ φθινοπώρου τοῦ ϛθ´ ἔτους.

υοα.

Ἐν ᾧ δὴ χρόνῳ [τοῦ μηνὸς] καὶ ὁ εἰς τὴν Ἀνδριανούπολιν δεσπότης κὺρ Δημήτριος τέθνηκε, γεγονὼς καὶ καλόγερος καὶ Δαυὶδ ἐπονομασθεὶς, πρὸ αὐτοῦ χρόνων ὀλίγων ἀποθανούσης τῆς θυγατρὸς αὐτοῦ· ἔτι δὲ καὶ ἡ γυνὴ αὐτοῦ βασίλισσα τέθνηκε μετά τινα καιρὸν ὀλίγον τοῦ θανάτου αὐτοῦ.

υοβ.

Τῇ δὲ κϛ´ τοῦ Ἰουλίου μηνὸς τοῦ π´ ἔτους περιέπεσον ἐγὼ εἰς ἀσθένειαν τοιαύτην, ὥστε καὶ ἐποίησάν με καὶ τέλειον καλόγερον καὶ μεγαλόσχημον, μὴ ἐννοήσαντός μου τὸ τυχόν.

υογ.

Περὶ δὲ τὸ φθινόπωρον τοῦ πα´ ἔτους ἐπαναστρέφων ἀπὸ τὸν ῥῆγαν τῆς Φράντζας καὶ τὸν δοῦκαν τῆς Μπεργωνίας ὁ καρδηνάλιος κὺρ Βησσαρίων, – ἀπεστάλη γὰρ ἀπὸ τὴν ἐκκλησίαν πρὸς τὸ εἰρηνεῦσαι αὐτοὺς, – καθ' ὁδὸν τῇ ιέ Νοεμβρίου ἀπέθανε· καὶ φέροντες αὐτὸν εἰς τὴν Ῥώμην μετὰ τιμῆς ὅτι πλείστης ἔθαψαν εἰς τὸν ναὸν τῶν ἁγίων ἀποστόλων, ἔνθα δὴ καὶ προκατέμενε, καὶ τὸν τάφον αὐτοῦ προετοίμασε, πλησίον τοῦ τάφου τῆς ἁγίας ὁσιομάρ-

τορος Εὐγενείας· περὶ δὲ τὸ ἔαρ τοῦ αὐτοῦ ἔτους ἐξῆλθεν καὶ ὁ Ζουχασάνης κατὰ τοῦ τόπου Ἀμηρᾶ τοῦ Μεχεμέτη, καὶ διέδραμε τόπους αὐτοῦ εἰς τὴν ἀνατολὴν, καὶ ἐξῆλθε καὶ οὕτως ὁ Ἀμηρᾶς ἀπὸ τῆς Κωνσταντινουπόλεως καὶ ἀπῆλθε κατ' ἐκείνου μετὰ πάσης τῆς δυνάμεως αὐτοῦ. καὶ πλησιάσαντες εἰς τὴν ἀρχὴν, ἐνίκησεν ἐκεῖνος φωσάτον τοῦ Ἀμηρᾶ, ὅπερ ἐξῆλθεν ἔμπροσθεν κατ' ἐκείνου· ἐν ᾧ ἐσκότωσε καὶ τὸν Μπεϊλαρμπεὶν τῆς δύσεως, υἱὸν τοῦ ποτὲ Παλαιολόγου Θωμᾶ τοῦ Γίδου ἐκείνου καὶ πολλοὺς ἄλλους τῶν ὄντων εἰς τὴν δύσιν ἀρχόντων καὶ κεφαλάδων· εἶτα ἐπελθόντες καὶ κατὰ πρόσωπον τοῦ Ἀμηρᾶ ἐνικήθη, καὶ ἐπιστρέψας ἀπῆλθεν εἰς τὸν τόπον αὐτοῦ, ὁμοίως καὶ ὁ Ἀμηρᾶς ἐπιστρέψας ἦλθεν εἰς τὴν πόλιν. Περὶ δὲ τὸ τέλος τοῦ Ἰουλίου τοῦ αὐτοῦ ἔτους ἀπῆρεν καὶ ἡ αὐθεντία τῶν Βενετιῶν τὸ πλησίον τῶν Κορυφῶν καστέλλιν Στροφύλιον ὀνομαζόμενον.

υοδ.

Τῇ δὲ ζ' τοῦ Νοεμβρίου μηνὸς τοῦ πβ' ἔτους τέθνηκε καὶ εἰς τὴν ἁγίαν Μαύραν καὶ βασίλισσα κυρὰ Ἑλένη ἡ Παλαιολογίνα, καὶ μοναχὴ γενομένη καὶ Ὑπομονὴ μετονομασθεῖσα· τῇ θ' τοῦ Δεκεμβρίου μηνὸς τέθνηκεν καὶ ὁ μεθ' ἡμῶν εὑρισκόμενος ἱερομόναχος καὶ πνευματικὸς, κὺρ Ἱερόθεος ὁ καὶ διὰ τοῦ μεγάλου σχήματος μετονομασθεὶς Ἰωσὴφ, ὃς ἦν ἐκ νεότητος μεθ' ἡμῶν καὶ συσχολίτης καὶ φίλος μέχρι καὶ τοῦ τέλους αὐτοῦ.

υοε.

Τὸ δὲ θέρος τοῦ πγ' ἔτους ποιήσας ὁ τῶν ἀσεβῶν ἄρχων ἁρμάτωμα μέγα καὶ πέμψας αὐτὸ εἰς τὰ ἄνω μέρη

τῆς μαύρης θαλάσσης ἀπῆρε τὸ μέγα κάστρον, τὸν Καφᾶν λεγόμενον·

υϛϛ.

Τὸ δὲ θέρος τοῦ πδ' ἔτους ἀπῆλθε κατὰ τῆς Βλαχίας μετὰ πάσης τῆς δυνάμεως αὐτοῦ.

υϛζ.

Τὸν δὲ Σεπτέβριον τοῦ πέ ἔτους ἐπέστρεψεν πλέον νικηθεὶς ἢ νικήσας, καὶ τὸν μὲν Μπεϊλαρμπεὶν ἀφῆκεν εἰς τὴν Σοφίαν, αὐτὸς δὲ ἦλθεν εἰς τὴν Ἀνδριανούπολιν καὶ ποιήσας ἡμέρας τινὰς ἐξελθὼν ἦλθεν εἰς τὴν Κωνσταντινούπολιν· τοῦ δ' αὐτοῦ χρόνου τῇ α' τοῦ Ὀκτωβρίου μηνὸς ἐπῆλθεν ἐμοὶ ῥευματισμὸς εἴς τε τὴν κεφαλὴν καὶ τὰ γόνατα, καὶ ἐξῆλθεν ἀπὸ στόματός μου καὶ τῆς ῥινὸς καὶ τῶν ὠτίων τοσαύτη ὑγρασία, ὅτι ἀπήλπισάν με, καὶ τρὶς τῶν ἀχράντων μυστηρίων με ἐκοινώνησαν τὸν ἀνάξιον· ὅπερ καὶ εἴθε μοι ἐπῆλθεν ὁ θάνατος, ἡ θεραπεία πάντων τῶν ἐν ἐμοὶ δυσχερῶν, καὶ τοῦ γήρως λέγω καὶ τῆς ἀσθενείας καὶ τῆς ἐνδείας οὐ τῶν πολλῶν καλῶν καὶ συνήθων ἀπὸ νεότητος, ἀλλὰ καὶ αὐτῶν σχεδὸν τῶν ἀναγκαίων, εἰ μὴ ὅτι ἡ ὑπομονὴ τῶν τοιούτων καὶ εὐχαριστία εἰς θεὸν, θεοῦ χάριτι, αἰτία μέλλει εἶναι εἰς τὸ συγχωρῆσαι αὐτὸν πολλὰ τῶν ὧν πρὸς αὐτὸν ἔπταισα· οὐ γὰρ γέγονεν ἐν τῷ βίῳ ἁμάρτημα, οὐδὲ πρᾶξις οὐδὲ κακία, ἣν ἐγὼ οὐκ ἐπλημμέλησα ὁ ἄθλιος κατὰ νοῦν καὶ λόγον καὶ προαίρεσιν καὶ θέσει καὶ γνώμῃ καὶ πράξει ἐξαμαρτήσας, ὡς ἄλλος οὐδεὶς πώποτε, ὅμως λυτρωθεὶς τοῦ θανάτου ἀπέμεινα κωφὸς μέχρι πολλοῦ, ὡς οὐδὲ τὰ πλησίον μου σήμαντρα ἀκούειν, ἔτι δὲ καὶ κατάκοιτος ἀπὸ τῶν ποδῶν τὰς ὀδύνας – ἀπέμεινεν δὲ εἰς τὴν ἄνω πρόνοιαν, ἢ νὰ ἀπαλλαγῶ

τῶν τοιούτων ἡμερῶν παρελθουσῶν ἢ ἐπελθόντος μοι τοῦ θανάτου καὶ τῆς ἀναπαύσεως τῶν ἀνδρῶν, ὡς ὁ θεῖος Ἰὼβ προηγόρευσεν· ἀλλ᾽ ἐγὼ δέομαι τοῦ θεοῦ οὕτως· ἀλλ᾽ εἴ με, σῶτερ, ἀνάγκη παθεῖν – τίς γὰρ οἶδε τὸ βάθος τῶν σῶν κριμάτων; τῆς μὲν σῆς φιλανθρωπίας οἱονεί μου τὰ πάθη βδελυττομένης, τῆς δ᾽ αὖ δικαιοσύνης δρώσης τὸ ἑαυτῆς· – εἰς γοῦν τὸν ἐκδεχόμενον λῆξιν τόνδε χρόνον τὸ δοῦναι δίκην ἐμοὶ παράσχου ἀλλὰ μὴ εἰς τὸν μέλλοντα ἀπέραντον, ἔνθα οὐκ ἔστι μεταπεισθαι τὰ πράγματα· ἐνταῦθά με τοίνυν ἀνακαθάρας ἅπασι χρησάμενος τοῖς εἰς τοῦτο φέρουσιν, οὕτω τῶν τῇδε μεταστήσαις ἄξιον τοῦ μὴ τῶν σῶν ἐκπεσεῖν οἰκτιρμῶν ἐν τῇ δευτέρᾳ καὶ φρικτῇ παρουσίᾳ σου. – Τὸ δὲ θέρος τοῦ αὐτοῦ πε΄ ἔτους ἔστειλε πολὺ φωσάτον τὸ κατὰ Ναύπακτον, ἵνα ἐπάρῃ αὐτό, εἶτα εἰς τὴν ἁγίαν Μαύραν ἔλθῃ, ὅπερ βοηθείᾳ θεοῦ οὔτε τὸν Ναύπακτον ἀπῆρεν οὔτε κατὰ τῆς ἁγίας Μαύρας ἦλθεν, ἀλλ᾽ ὑπέστρεψεν ἄπρακτον.

ΤΕΛΟΣ.